Αριθ. εισ. 131966

# ΝΙΚΗΦΟΡΟΥ ΜΟΝΑΣΤΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

# ΕΠΙΤΟΜΗ ΛΟΓΙΚΗΣ

ξυγγραφεῖσα

ΙΩΑΝΝΗ ΔΟΥΚΙΤΕ ΚΑΙ ΒΑΣΙΛΕΙ ΤΩ ΒΑΤΑΤΖΗ

Περίπȣ τὸ ,ασλβ ἔτος τὸ Σωτήριον. Κατὰ δὲ τὸ ,αχε ἐν Αὐγȣ́στῃ τῶν Βινδελικῶν τυπωθεῖσα.

Ἤδη δὲ

Τύποις Δεύτερον ἐκδοθεῖσα, μετὰ τῆς ἐπιτόμȣ αὐτȣ̃ ΦΥΣΙΚΗΣ. Ἐφεξῆς δὲ, ὅ, τε περὶ ΣΩΜΑΤΟΣ τȣ̃ αὐτȣ̃ καὶ περὶ ΨΥΧΗΣ ἐκτέθειται Λόγος. Μεθ᾽ ὃς ὁ περὶ τῆς αὐτῆς Ὑποθέσεως τῆς ΨΥΧΗΣ, ΘΕΟΦΑΝΟΥΣ τε τȣ̃ Μηδείας, καὶ ΓΕΝΝΑΔΙΟΥ τȣ̃ Σχολαρίȣ. καὶ Τελευταῖον, ὅ, τε περὶ ΠΙΣΤΕΩΣ καὶ ἈΡΕΤΗΣ καὶ ἈΣΚΗΣΕΩΣ τȣ̃ αὐτȣ̃ ΒΛΕΜΜΙΔΟΥ, Προηγȣμένης τȣ́των τῆς καθολικωτέρας αὐτȣ̃ ἘΠΙΣΤΟΛΗΣ.

Ἐκδέδοται δὲ Φιλοτίμῳ πάντα Δαπάνῃ, τȣ̃ Χριςιανικωτάτȣ ἐν Πραγματευταῖς

ΚΥΡΙΟΥ

ΠΑΝΑΓΙΩΤΟΥ ΙΩΑΝΝΙΝΙΤΟΥ ΤΟΥ ΧΑΤΖΗ ΝΙΚΟΥ.

Ἐν Λειψίᾳ τῆς Σαξονίας.
Ἐν τῇ Τυπογραφίᾳ τȣ̃ Βρεϊτκόπφ.
Ἔτει ,αψπδ.

ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπόλεως
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

Εἰσαγωγικῆς Ἐπιτομῆς

Βιβλίον Πρῶτον,

## Περὶ Λογικῆς.

## Πίναξ τῶν Κεφαλαίων.

ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ ΛΑΥΡΙΩΤΟΥ ΑΡΙΘ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ Ὅρου· Σελίδι. 2

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ Διαιρέσεως. 8

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ Πείρας, Ἐμπειρίας, Τέχνης· ἐν ᾧ καὶ περὶ τῶν Δυνάμεων τῆς Ψυχῆς. 12

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Τίνες εἰσὶν οἱ τῆς Φιλοσοφίας Ὁρισμοί. 18

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ Ἐπινοίας. 21

ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄.

Περὶ Αἱρέσεως· Τίς ἡ κατὰ Φιλοσοφίαν Αἵρεσις. 22

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Τίς ἡ τῆς Φιλοσοφίας Διαίρεσις. 23

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ Συνωνύμων, Ἑτερωνύμων, Ὁμωνύμων τε, καὶ Πολυωνύμων, καὶ Παρωνύμων. 27

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

a 2 ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Πίναξ τῶν Κεφαλαίων.


ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν πέντε Φωνῶν. 32

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Γένους, καὶ Εἴδους· ἐν ᾧ καὶ περὶ Σχέσεως. 37

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ Γενῶν καὶ Εἰδῶν, ἐν ᾧ καὶ περὶ Ἀτόμων. 40

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ Διαφορᾶς καὶ Συμβεβηκότος. 44

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ Ἰδίου· ἐν ᾧ καὶ περὶ Κοινοῦ. 49

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ Κατηγοριῶν. 52

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ἔτι περὶ Κατηγοριῶν. 55

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Περὶ τῶν Κατηγορουμένων· ἐν ᾧ καὶ περὶ τοῦ ἔν τινι. 61

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ Ἑνός, ταὐτοῦ, καὶ Ἑτέρου· ἐν ᾧ καὶ περὶ Ὑποστάσεως. 65

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ Προτέρου, καὶ Ὑστέρου, καὶ Ἅμα. 68

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ Οὐσίας. 71

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ἔτι περὶ Οὐσίας. 75

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ Ποσοῦ· ἐν ᾧ καὶ περὶ Κινήσεως. 81


ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.
Περὶ Ποιȣ̃, καὶ Ποιότητος. 88

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.
Περὶ τῶν Πρός τι. 94

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.
Περὶ τȣ̃ Ποιεῖν, καὶ Πάσχειν, καὶ Ἔχειν. 99

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.
Περὶ τῶν Ἀντικειμένων. 103

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.
Περὶ Ὀνόματος, καὶ Ῥήματος. 111

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.
Περὶ Λόγȣ, καὶ Προτάσεων. 116

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.
Περὶ τῶν ἐν ταῖς Προτάσεσι θεωρȣμένων Ὑλῶν, καὶ περὶ Προσδιορισμῶν. 122

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.
Περὶ Ἀπροσδιορίστων Προτάσεων. 129

ΚΕΦΑΛΑΙΟΝ Λ'.
Περὶ Καταφάσεως, καὶ Ἀποφάσεως. 132

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.
Περὶ Συλλογισμȣ̃, καὶ Ἀντιστροφῆς. 138

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.
Περὶ τῶν τριῶν Σχημάτων. 145

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.
Περὶ τȣ̃ Πρώτȣ Σχήματος. 148

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.
Περὶ τȣ̃ Δευτέρȣ Σχήματος, καὶ Τρίτȣ. 152



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΕΦΑΛΑΙΟΝ ΛΕʹ.

Περὶ τῆς τȣ̃ Δευτέρȣ καὶ Τρίτȣ Σχήματος Ἀναγωγῆς εἰς τὸ Πρῶτον Σχῆμα, καὶ περὶ τῆς εἰς Ἀδύνατον Ἀπαγωγῆς. 159

ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Περὶ τῶν Ὑποθετικῶν Συλλογισμῶν. 166

ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

Περὶ τῶν παρὰ τὴν λέξιν Σοφισμάτων. 170

ΚΕΦΑΛΑΙΟΝ ΛΗʹ.

Περὶ τῶν ἐκτὸς τῆς λέξεως Σοφισμάτων. 173

ΚΕΦΑΛΑΙΟΝ ΛΘʹ.

Περὶ Ἐλέγχȣ, καὶ ὅτι πάντες οἱ Παραλογισμοὶ εἰς τὴν τȣ̃ Ἐλέγχȣ Ἄγνοιαν ἀνάγονται. 178

ΚΕΦΑΛΑΙΟΝ Μʹ.

Περὶ Προτάσεων καὶ Συλλογισμῶν. 181

Τέλος τȣ̃ Κεφαλαιώδȣς Πίνακος.

Σημείωσαι δὲ, ὅτι ἐν τῷ τέλει τῆς Παρȣ́σης Ἐπιτομῆς εὕρηνται ἡμαρτημένοι ἀραβικοὶ Ἀριθμοὶ ἐν τῷ τῶν Ὑποθέσεων Πίνακι οἵδε· εἰς τὸ, Ἀποδεικτικὴ Ἐπιςήμη, ἐν τῷ Αʹ. 247. ἀντὶ 147. καὶ εἰς τὸ, διὰ τί τέλειον τὸ πρῶτον Σχῆμα· ἐν τῷ Σʹ. 1. 60. ἀντὶ 160.

Ἔτι καὶ Συλλαβὴ ἡμαρτημένη εὕρηται μὴ ἐν τοῖς σφάλμασι προστεθεῖσα· τȣτ' ἔςι πρὸς χειμερινὸν, ἀντὶ πρὸς τὸν χειμερινόν. Σελίδι 166. ςίχῳ κη.

ΝΙΚΗ-

## ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

# ΕΠΙΤΟΜΗΣ ΛΟΓΙΚΗΣ

## ΠΡΟΟΙΜΙΟΝ.

Ἐπειδήπερ ἡ Λογικὴ Ἐπιστήμη πρὸς τὴν ἱερὰν Γραφὴν, καὶ πάντας τοὺς τῆς ἀληθείας λόγους οὐκ ὀλίγον φέρει τὸ χρήσιμον· δέον ἐκρίναμεν τοῖς τοῦ λόγου Φοιτηταῖς τοῦ ὄντος καὶ τῆς ἀληθείας Μύσταις, μικροὺς τινας ἐν ταύτῃ τῇ Λογικῇ λιπεῖν ἡμετέρους ὑπομνηματισμοὺς· οὓς αἰτησαμένῳ Βασιλεῖ, νέοι ἔτι ὄντες καὶ πρὸς Φιλοσοφίαν εἰσαγωγικοὶ καὶ ἀνεπιστήμονες (ὁποῖοι καὶ εἰς τὸ ἑξῆς ἐκ τῆς συντρόφου ῥαθυμίας καὶ ῥυπαρίας διεμείναμεν.) ἐκδεδώκαμεν, οὕτω προοιμιασάμενοι.

Βασιλείας καὶ Φιλοσοφίας πολὺ τὸ συγγενές τε καὶ ὁμοιότροπον. Καὶ γὰρ ἄμφω τὸ μεγαλεῖον τῆς Θεαρχίας ἐξεικονίζουσι, καὶ τὸν ἴσον προτίθενται σκοπὸν ἑαυταῖς· ἡ μὲν, τῶν Ἀξιῶν ὑπερέχουσα, καὶ ταῖς Ἀρχαῖς ἐπιτάττουσα· ἡδὲ, τῶν Τεχνῶν ἐξάρχουσα καὶ τῶν Ἐπιστημῶν. καὶ νομοθετοῦσα ταύταις ἁπάσαις, καὶ καλουμένη διὰ ταῦτα Τέχνη τεχνῶν, καὶ Ἐπιστήμη ἐπιστημῶν· ὥσπερ ἡ Βασιλεία τῶν ἀξιῶν ἀξία, καὶ ὑπεροχὴ τῶν ὑπεροχῶν. Βασιλείας οὖν καὶ Φιλοσοφίας συνελθουσῶν, τέλειον τὸ κατ' εἰκόνα θείαν χαρακτηρίζεται, καὶ ἀνενδεὲς, ὡς ἐξὸν Ἀνθρώπῳ, τὸ ἀρχικὸν ἀποδείκνυται· κἀντεῦθεν Εὐζωΐα καὶ Εὐπραγία τοῖς ἀρχομένοις πολλή· καθώς που καί τις μέγας Φιλόσοφος ἐγνωμάτευσεν ἄριστα, τό τε τοὺς ὑπηκόους εὖ ἔχειν ἀποφηνάμενος,

A

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος, ὅτε βασιλεύει Φιλόσοφος, ἢ φιλοσοφεῖ Βασιλεύς. Καὶ ἵν' εἴπω συντόμως τὸ πᾶν, οὐκ ἄλλο τί ἐστι τὸ βασιλεύειν ἐπιστημονικῶς, ἢ τῆς πρακτικῆς Φιλοσοφίας αὐτὸ τὸ ἀκρότατον. ἐν αὐτῷ γὰρ ἅπαν τὸ Νομοθετικόν τε καὶ Δικαστικόν. Εἰ δὲ τοῦτο, μετὰ τοῦ Θεωρητικοῦ τε καὶ Λογικοῦ, καὶ ἐν Πράγμασι καὶ Δόγμασι βασιλικῶς ἐπιστατήσει ὁ Βασιλεύς, καὶ τὸ Προνοητικὸν καὶ Διακυβερνητικὸν, καὶ ὅλως τὸ Παιδευτικὸν ἐνδείξεται πανταχοῦ, καὶ Θεός τις ἄλλος ἐπὶ γῆς εὑρεθήσεται, μετὰ τῆς τῶν ὄντων γνώσεως ἀκωλύτως τῶν καταδεεστέρων ἐπιμελούμενος.

Ταῦτ' οὖν ὁ ἐμὸς Αὐτοκράτωρ εἰδὼς, ὅτι πολλὴν περὶ τὴν Φιλοσοφίαν εἰσάγει σπουδὴν, τοῖς φυσικοῖς πλεονεκτήμασι τὴν περὶ τὰ κάλλιστα μελέτην ἐπισυνάπτων· ἐξ ὧν ὁμοῦ πέφυκεν ἐντελῶς κατορθοῦσθαι πᾶν ἔργον τίμιον. Ἐπεὶ δὲ καὶ ἡμᾶς τοὺς μικροὺς μικράν τινα καὶ πρόχειρον αὐτῷ συνεισενεγκεῖν τοῦ σπουδάσματος ἐκέλευσεν ἀφορμὴν, ἀποπληροῦντες τὴν κέλευσιν, τοὺς ὑποτεταγμένους εἰσαγωγοὺς ἐν Φιλοσοφίᾳ κατ' ἐπιτομὴν συνετάξαμεν ὀλίγους ὑπομνηματισμούς. Ὅθεν εἴτις τῶν Ἐπιστημόνων τὸ παρὸν ἐπέρχοιτο Συνταγμάτιον, μὴ πρὸς τὸ τῆς ὑπομνηματίσεως ἀμεθόδευτον, καὶ τὸ τῶν ἐπιστασιῶν ἀκατευστόχητον ἀφορῶν, ὀργιζέσθω. καὶ γὰρ ὃ δέδοται, τοῦτο καὶ εἴρηται, καὶ ὡς δέδοται. Ὃ δὲ ἡ σύνοικος ἀμέλεια καὶ ἡ ἀκαθαρσία φθάσασαι κεκωλύκασιν ἡμᾶς, ἐκ τῆς πλουτοδότιδος Φιλοσοφίας εἰσφερέτω παρ' ἑαυτοῦ ὁ ἠξιωμένος λαβεῖν, τῆς τε ἀνεπιστημοσύνης συγγινωσκέτω ἡμῖν.

## ΚΕΦΑΛΑΙΟΝ Α΄.

### Περὶ Ὅρου.

Ὅρος λέγεται μὲν καὶ τὸ Ὁροθέσιον· λέγονται δὲ καὶ ἡ Ἀρχὴ τοῦ πράγματος καὶ τὸ Τέλος αὐτοῦ. Οὕτω γὰρ πᾶν τὸ πεπερασμένον, ὡρισμένον καλεῖται, καθὸ πεπέρασται. Κατὰ τοῦτο τὸ σημαινό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σημαινόμενον καὶ Ἀριστοτέλης Ὅρον ἐκάλεσεν, εἰς ὃν ἀναλύεται ἡ Πρότασις· οἷον ἔστω πρότασις, Βασιλεὺς φιλοσοφεῖ. Ὅροι τῆς προτάσεως ταύτης εἰσὶ, τὸ Βασιλεὺς, καὶ τὸ Φιλοσοφεῖ· εἰς ταῦτα γὰρ ἀναλύεται ἡ πρότασις, ὥσπερ εἰς τελευταῖα πέρατα, καὶ οὐκ ἔστι δυνατὸν περαιτέρω προελθεῖν τὴν ἀνάλυσιν· ὥσπερ γὰρ Ἀρχαὶ ταῦτα τῆς ἐν προτάσει Συνθέσεως, οὕτω καὶ Τέλη τυγχάνει τῆς Ἀναλύσεως. Καὶ ἡ Ἀρχὴ δὲ καὶ τὸ Τέλος, πέρατα λέγονται· Πέρας γὰρ ἐστι τὸ κατάντημα. Ὅθεν τοῖς μὲν ἐκ τῆς ἀρχῆς πρὸς τὸ τέλος ἰοῦσι, τὸ τέλος πέρας εὑρίσκεται· τοῖς δ᾽ ἐκ τοῦ τέλους πρὸς τὴν ἀρχὴν, ἡ ἀρχή. Καὶ ἄμφω δὲ τὰ πέρατα διὰ τὸ κατ᾽ αὐτὰ ὡρίσθαι τὸ πρᾶγμα, ὅροι κατονομάζονται. Λέγεται Ὅρος, καὶ Στάσις ῥητορικὴ, καὶ Κεφάλαιον τῇ στάσει ὁμωνυμοῦν, καὶ Δογμάτων περίληψις, καὶ πᾶς Λόγος κεφαλαιώδης καὶ εὐσύνοπτος, Ὅρος καλεῖται. Τάττεται δὲ ὁ Ὅρος καὶ τὸ Ὁρίζειν, καὶ ἐπὶ ἀσφαλείας καὶ βεβαιώσεως. Ἔτι δὲ παρὰ ταῦτα λέγεται Ὅρος καὶ ὁ Ὁρισμὸς ὁ ἐκ γένους καὶ συστατικῶν διαφορῶν, ἢ τῶν ἀναλογούντων αὐτοῖς συγκείμενος Λόγος, καὶ σημαίνων οὐσίαν πράγματος ἐν ὀλίγῳ· περὶ οὗ νῦν πρόκειται λέγειν ἡμᾶς. Σημαίνει μὲν γὰρ καὶ τὸ ὄνομα, πράγματος οὐσίαν, ἀλλὰ σκιωδῶς· ὁ δὲ Ὁρισμὸς, φανερῶς· ὃν καὶ ἀποδίδοασιν οὕτως. Ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. τὸ μὲν οὖν Λόγος, ὡς γένος εἴληπται. τὸ δὲ, Σύντομος, καὶ τὸ, Δηλωτικὸς τῆς Φύσεως τοῦ ὑποκειμένου πράγματος, ὡς διαφοραὶ συστατικαί. Λόγος τοίνυν εἴρηται ὁ Ὁρισμὸς πρὸς ἀντιδιαστολὴν τοῦ ὀνόματος. Ὅτι τὸ μὲν Ὄνομα κἂν ὁπωσοῦν σημαίνῃ Φύσιν πράγματος καὶ αὐτὸ, ἀλλ᾽ οὖν ἐκ μιᾶς συνέστηκε λέξεως· ὁ δὲ Λόγος, ἐκ δύω λέξεων τὸ ἐλάχιστον. Σύντομος δὲ, διά τε τοὺς ἄλλους μακροὺς, καὶ τοὺς διεξοδικῶς περὶ Φύσεως πραγμάτων διαλαμβάνοντας. Ἐπεὶ δὲ εἰσι λόγοι σύντομοι, καὶ οὐκ εἰσὶν οἱ τοιοῦτοι ὁρισμοὶ, Φύσιν πράγματος μὴ δηλοῦντες, οἷα καὶ τὰ ἀποφθέγματα· τὸ, Γνῶθι σαυτόν· τὸ, Μηδὲν ἄγαν,

καὶ τὰ τοιαῦτα, διὰ τοῦτο προσετέθη τὸ δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος.

Ἀρετὴ δὲ τοῦ Ὁρισμοῦ ἐστι, τὸ ἀντιστρέφειν πρὸς τὸ ὁριστόν, οἷον ὡς ἐν ὑποδείγματι τὸν Ἄνθρωπον ὁρίζονται Ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ Ζῶον μὲν λέγουσιν αὐτὸν χωρίζοντες Ἀπό τε τῶν Ἀψύχων, καὶ ἀπὸ τῶν Φυτῶν καὶ τῶν Ζωοφύτων. Ἐπεὶ δὲ τὸ ζῶον Γένος ἐστὶ τῶν λογικῶν ζώων τε καὶ ἀλόγων, διὰ τοῦτο προστιθέασι καὶ τὸ Λογικόν, διιστῶντες τὸν Ἄνθρωπον τῶν ἀλόγων ζώων. Ἐπεὶ δὲ καὶ τοὺς Ἀγγέλους ζῶα λέγουσι λογικά, πρὸς δὲ καὶ τὰ Οὐράνια σώματα, ζῶα λογικὰ τερατεύονται, διὰ τοῦτο προστιθέασι καὶ τὸ Θνητόν, ἀπὸ τῶν εἰρημένων τὸν Ἄνθρωπον διαστέλλοντες. Ἀλλὰ καὶ Νύμφας μακραίωνας εἶναι μυθεύονται ζῶα λογικὰ καὶ μακρόβια (ὅμως μέντοι θνητὰ) ἐκ φύσεως, ἀλλ᾽ οὐκ ἐκ μαθήσεως, γινώσκοντα τοὺς τεχνικούς τε λόγους καὶ τοὺς ἐπιστημονικούς. Τούτων οὖν ἀφιστῶντες τὸν Ἄνθρωπον, προστιθέασι τῷ ὅρῳ αὐτοῦ, καὶ τὸ Νοῦ καὶ Ἐπιστήμης δεκτικόν. Ἔστιν οὖν οὗτος ὁ Ὅρος ἐκ γένους μέν, τοῦ ζώου· ἐκ δὲ συστατικῶν Διαφορῶν, τοῦτε λογικοῦ καὶ τοῦ θνητοῦ. Καὶ τὸ νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν Ἴδιον ὂν τοῦ ἀνθρώπου, συστατικῇ ἔοικε διαφορᾷ, διὰ τὸ οὐσιωδῶς προσεῖναι αὐτῷ. εἰσὶ γὰρ καὶ οὐσιώδη Ἴδια· ἅτινες Διαφορὰς μονοειδεῖς ὀνομάζουσιν. Ἀντιστρέφει τοίνυν ὁ δηλωθεὶς Ὁρισμὸς πρὸς τὸ ὁριστόν. καὶ γὰρ εἴτι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ εἴτι ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτο ἄνθρωπός ἐστιν. Ἀρετὴ μὲν οὖν [τοῦ] Ὁρισμοῦ, τὸ ἀντιστρέφειν πρὸς τὸ ὁριστόν. Κακία δέ, τὸ μὴ ἀντιστρέφειν.

Γίνεται δὲ τὸ μὴ ἀντιστρέφειν, Ἢ διὰ προσθήκην λέξεων, Ἢ δι᾽ ἀφαίρεσιν. Καὶ ὁ μὲν τῶν λέξεων πλεονασμός, ἔλλειψιν τῶν πραγμάτων ἐργάζεται· ἡ δὲ ἔλλειψις τῶν λέξεων, τῶν πραγμάτων πλεονασμόν· καὶ οὕτως ἀμφοτέρωθεν, ἔκ τε τοῦ πλεονασμοῦ καὶ τῆς ἐλλείψεως, ἀτελὴς ὁ Ὅρος ἐστίν. Εἰ γὰρ ἐπὶ τοῦ κατὰ τὸν ἄνθρωπον ὁρισμοῦ πλεονά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλεονάσας τις ταῖς λέξεσιν. ἐρεῖ, Ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν, τοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικὸν, ἔλλειψιν τῶν πραγμάτων ἐποίησεν· οὐ πάντας γὰρ τοὺς ἀνθρώπους τῷ ὅρῳ ἐμπεριέλαβεν, ἀλλὰ μόνους τοὺς γραμματικούς. Καὶ εἴ τι μὲν ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικὸν, τοῦτο καὶ ἄνθρωπος. οὐ μὴν δὲ καὶ ἀντιστρέφει· οὐδὲ γὰρ εἴ τι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν. Εἰ δέ γε πάλιν ἐλλείψας ταῖς λέξεσιν εἴποι τις, Ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν, ἐπλεόνασε κατὰ τὸν ἑλληνικὸν ὕθλον τοῖς πράγμασι· καὶ ἃς γὰρ οὗτος Νύμφας εἰσάγει μακραίωνας, τοῖς ἀνθρώποις συμπεριέλαβε. Καὶ εἴ τι μὲν Ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητόν· οὐκ εἴ τι δὲ Ζῶον λογικὸν θνητὸν, τοῦτο ἤδη καὶ ἄνθρωπος.

Ἰστέον δὲ ὅτι ἐκείνη ἡ προσθήκη τὴν τοῦ Ὅρου κωλύει ἀντιστροφὴν, ἡ προστιθεῖσα αὐτῷ, ἃ μὴ θεωροῦνται ἐν πᾶσι τοῖς ὁριστοῖς. Ἐπεί τοί γε καὶ ἡ τῶν ἰδίων, καὶ τῶν ἐν πᾶσι τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος ἀτόμοις θεωρουμένων συμβεβηκότων προσθήκη, τὴν ἀντιστροφὴν οὐ κωλύει· περιττολογίαν δὲ μόνην ἐμποιεῖ· κἀντεῦθεν τὴν συντομίαν τοῦ Ὅρου περιαιρεῖ. Καὶ γὰρ εἴ τις τῷ τοῦ ἀνθρώπου ὅρῳ τὸ γελαστικὸν προσθήσει, καὶ τὸ ὀρθοπεριπατητικὸν, οὐ παραβλάψει τὴν ἀντιστροφὴν οὐδαμῶς. Εἴ τι γὰρ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γελαστικὸν ὀρθοπεριπατητικὸν, τοῦτο Ἄνθρωπος· καὶ εἴ τι Ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γελαστικὸν ὀρθοπεριπατητικόν. Παραλαμβάνονται δὲ τὰ Ἴδια καὶ τὰ ἀχώριστα Συμβεβηκότα εἰς τοὺς ὑπογραφικοὺς ὁρισμούς.

Διαφέρει δὲ ὁ κυρίως Ὁρισμὸς τοῦ ὑπογραφικοῦ ὁρισμοῦ. Ὅτι ὁ μὲν κυρίως ὁρισμὸς, ἐκ γένους σύγκειται καὶ διαφορῶν τῶν ὅλων οὐσιωδῶν· ὁ δὲ ὑπογραφικὸς, ἐκ γένους καὶ διαφορῶν· τινῶν μὲν οὐσιωδῶν· τινῶν δὲ ἐπουσιωδῶν. Διὰ τοῦτο γὰρ καὶ ὑπογραφικὸς ὁρισμὸς λέγεται, ὅτι κατά τι μὲν κοινωνεῖ τῷ ὁρισμῷ· κατά τι δὲ τῇ ὑπογραφῇ. Καὶ γὰρ ἡ Ὑπογραφὴ ἐκ τε Γένους καὶ Ἰδίων καὶ Συμβεβηκό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

των ἀχωρίστων συνίσταται· ὡς ὅταν εἴποι τις, Ἄνθρωπός ἐστι ζῶον γελαστικόν, ὀρθοπεριπατητικόν, πλατυώνυχον, χερσὶ χρώμενον. Συνέστη γὰρ ἡ τοιαύτη ὑπογραφὴ ἐκ γένους τοῦ ζώου, καὶ διαφορῶν ἐπουσιωδῶν, τοῦτε γελαστικοῦ, ὅπερ ἐστὶν ἴδιον, καὶ τῶν ἄλλων, ἅπερ εἰσὶ συμβεβηκότα ἀχώριστα. Ἔχει δέ τι χρήσιμον ἡ Ὑπογραφὴ, ὅταν οὐκ ἔχῃ τὸ πρᾶγμα οὐσιώδεις διαφοράς.

Χρήσιμος δὲ καὶ ὁ ὑπογραφικὸς Ὁρισμὸς, ὅταν ἔχῃ μὲν τὸ πρᾶγμα οὐσιώδεις διαφορὰς· οὐ μὴν δὲ ἀρκούσας εἰς τὸ ἀνελλιπῶς παραστῆσαι αὐτό· ὡς ἐπὶ τοῦ Ὅρου τοῦ Ἵππου· λέγομεν γὰρ, Ἵππος ἐστὶ ζῶον ἄλογον· καὶ τὸ μὲν Ἄλογον, οὐσιώδης διαφορά ἐστιν· ἀλλ᾽ ἐπειδὴ τῶν ὅλων ζώων χωρίσαι τὸν ἵππον οὐ δύναται, προστιθέαμεν καὶ τὸ Ἴδιον, ὅπερ ἐστὶ, τὸ χρεμετιστικόν. Τινὲς δὲ διὰ σαφήνειαν πλείονα, καὶ τὸ τετράπουν, ὅπερ ἐστὶν ἀχώριστον συμβεβηκὸς, προστιθέασιν, οὕτω λέγοντες· Ἵππος ἐστὶ ζῶον ἄλογον τετράπουν χρεμετιστικόν. Οὐ πάντοτε δὲ ὁ ὑπογραφικὸς Ὁρισμὸς πᾶσι χρῆται τοῖς οὐσιώδεσι, καὶ ἔκτοτε τοῖς ἐπουσιώδεσιν, ἀλλὰ καὶ μιᾷ μόνῃ πολλάκις ἀρκούμενος οὐσιώδει διαφορᾷ, τὸ λοιπὸν ἐξ ἐπουσιωδῶν συμπληροῖ. Διαφορῶν δὲ οὐσῶν οὐσιωδῶν ἀρκουσῶν εἰς τὸν ὁρισμὸν, τὸ παραλαμβάνειν ἐπουσιώδεις, ἀτεχνίας ἐστίν. Ὡσαύτως καὶ τὸ δι᾽ Ὑπογραφῆς δεικνύειν, τὸ πεφυκὸς δειχθῆναι δι᾽ Ὁρισμοῦ· πλὴν εἰ μήπως πρὸς ἀτελεῖς τὸν λόγον ποιούμενός τις, οὐ δύναται τὸ πρᾶγμα σαφῶς αὐτοῖς ἐκ τῶν οὐσιωδῶν καὶ μόνων παραστῆσαι διαφορῶν· τότε γὰρ καὶ διαφορὰς ἐπουσιώδεις διὰ τοὺς πρὸς οὓς ὁ λόγος εἰς διασάφησιν πλείονα παραλήψεται.

Λαμβάνονται οἱ Ὁρισμοὶ καὶ ἐξ Ὕλης καὶ [ἐξ] Εἴδους· οἷον, Ἀνδριάς ἐστιν ἐκ Χαλκοῦ πεποιημένος, Ἀνδρὸς εἶδος ἐμφαίνων. Ὕλη μὲν οὖν ἐστιν ὁ χαλκὸς καὶ ἀναλογεῖ τῷ γένει· τὸ δὲ ἀνδρὸς εἶδος ἐμφαίνων, Εἶδος ὂν, ταῖς διαφοραῖς ἀναλογεῖ ταῖς συστατικαῖς. Λαμβάνονται καὶ ἐξ Ὑποκειμένου καὶ Τέλους. Ὑποκείμενον μὲν οὖν ἐστὶ, περὶ ὃ τὸ ὁριστὸν καταγίνεται· Τέλος δὲ, οὗ στοχάζεται· οἷον, Ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα καταγινομένη,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νομένη, ὑγιείας περιποιητική. Ὑποκείμενα γὰρ τῇ ἰατρικῇ, τὰ ἀνθρώπεια σώματα· τέλος δὲ. τὸ περιποιεῖσθαι αὐτοῖς τὴν ὑγιείαν, καὶ ἢ παροῦσαν διαφυλάττειν, ἢ ἀποῦσαν ἀνακαλεῖσθαι. Λαμβάνονται καὶ ἐξ Ὑποκειμένου μόνου καὶ ἐκ Τέλους μόνου, ὅταν ἐκ θατέρου τούτων δυνατὸν ᾖ δηλοῦσθαι τὸ πρᾶγμα. Ἐξ Ὑποκειμένου μόνου Ὁρισμὸς, ὡς ὅτε λέγει τις, Ὑαλουργική ἐστι τέχνη καταγινομένη περὶ τὴν ὕαλον· ἐκ δὲ τοῦ Τέλους μόνου, ὡς τὸ, Μαγειρική ἐστι τέχνη ἐδεσμάτων κατασκευαστική. Θεωροῦνται δὲ καὶ ἐν τοῖς τοιούτοις ἅπασιν ὁρισμοῖς τὰ γένεσιν ἀναλογοῦντα καὶ διαφοραῖς (ταῖς) συστατικαῖς· ὥσπερ κἀν τοῖς προσεχῶς εἰρημένοις, ἡ τέχνη μὲν ὡς γένος ἐστίν· ὡς διαφοραὶ δὲ συστατικαὶ, τὰ λοιπά.

Τὴν κλῆσιν δ' ἔχον οἱ Ὁρισμοὶ ἐκ μεταφορᾶς τῶν τῆς Γῆς Ὁροθεσίων· ὡς γὰρ δι' ἐκείνων χωρίζεται τὰ χωρία ἀπ' ἀλλήλων, οὕτω καὶ διὰ τῶν ὁρισμῶν τὰ πράγματα ἀπ' ἀλλήλων διακρίνεται. Λέγονται δὲ καὶ ὁρισμοὶ καὶ ὅροι, διά τε τὸ περιορίζειν καὶ περικλείειν, καὶ οὕτω διαχωρίζειν ἀπ' ἀλλήλων τὰ ὁριστὰ, καὶ διὰ τὸ εὐόρατα καὶ εὐσύνοπτα καὶ σαφῆ ποιεῖν τὰ πράγματα. Δηλοῦσι μὲν γὰρ καὶ τὰ Ὀνόματα, φύσεις πραγμάτων, ὡς ἔφημεν. Διὸ καί τινες, ὅρους συνεσταλμένους ταῦτα κεκλήκασιν, ὥσπερ οὖν ὀνόματα ἐξηπλωμένα, τοὺς ὁρισμούς. Πλὴν ὃ δηλοῦσι τὰ Ὀνόματα, σκοτεινῶς τε καὶ ἀσαφῶς καὶ ἀδιακρίτως δηλοῦν πεφύκασιν· οἱ δὲ Ὅροι καθαρῶς καὶ σαφῶς καὶ διακεκριμένως, διὰ τὸ χρῆσθαι διαφοραῖς καὶ ταύταις οὐσιώδεσι, τουτέστιν, οὐσίας καὶ φύσεις πραγμάτων δυναμέναις ἀπ' ἀλλήλων διαχωρίζειν.

Ἡ δὲ Ὑπογραφὴ ταύτης τῆς κλήσεως ἔτυχε διὰ τὸ ἐοικέναι σκιαγραφίᾳ. Τελείᾳ μὲν γὰρ γραφῇ ὁ Ὅρος ἔοικε, δηλῶν αὐτὴν τὴν φύσιν τοῦ πράγματος· ἡ δ' Ὑπογραφὴ σκιαγραφίαν μιμεῖταί τινα· τὰ γὰρ περὶ τὴν φύσιν τοῦ πράγματος διαλαμβάνουσα, δίδωσιν ἐκ τούτων εἰκάζειν τὸ πρᾶγμα. Ὁ δὲ ὑπογραφικὸς ὁρισμὸς οὔτε σκιαγραφίᾳ ἔοικεν, οὔτ' αὖ ἐντελογραφίᾳ, ἀλλὰ μεσότητί τινι· προσεγγίζει δὲ μᾶλλον, εἴτε τῷ ὁρισμῷ, εἴτε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ ὑπογραφῇ, κατὰ τὰς οὐσιώδεις ἢ ἐπουσιώδεις διαφορὰς, ἐξ ὧν ὁμοῦ καὶ συνέστηκεν.

Ἰστέον δ' ὅτι καὶ τὸ Ἴδιον ἐν τοῖς Ὁρισμοῖς τε καὶ ταῖς Ὑπογραφαῖς λόγον ἔχει διαφορᾶς· οὐσιώδους μὲν, τὸ καθαρῶς οὐσιῶδες· (ὃ καὶ διαφορὰν μονοειδῆ καλοῦσιν, ὡς εἴπομεν, ὡς μὴ κατὰ πλειόνων εἰδῶν λεγόμενον.) οἷον ἐν ἀνθρώπῳ, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐπουσιώδους δὲ διαφορᾶς λόγον ἔχει τὸ λοιπὸν Ἴδιον· οἷον ἐν Ἀνθρώπῳ τὸ γελαστικὸν, ἐν Ἵππῳ τὸ χρεμετιστικὸν, καὶ ἐν Κυνὶ τὸ ὑλακτικόν. Ὅπερ Ἴδιον κἂν ἐπουσιῶδες εἴη, πλὴν ἀλλὰ Συμβεβηκότος παντὸς προτιμότερον, ὅσῳ καὶ εἶδος ὅλον χαρακτηρίζειν δύναται πλέον, ἢ ἅπαν συμβεβηκός.

ὁ Ὅρος {
- Ἢ ἐκ Γένους καὶ συστατικῆς Διαφορᾶς·
- Ἢ ἐξ Ὕλης καὶ Εἴδους·
- Ἢ ἐξ Ὑποκειμένου καὶ τοῦ Τέλους·
- Ἢ ἐξ Ὑποκειμένου μόνου·
- Ἢ ἐκ Τέλους μόνου λαμβάνεται.

## ΚΕΦΑΛΑΙΟΝ. Β'.

### Περὶ Διαιρέσεως.

Πᾶν Πρᾶγμα ἢ Διαιρετόν ἐστιν, ἢ Ἀδιαίρετον. Τὸ δὲ διαιρετὸν, ἢ Καθ' αὑτὸ διαιρεῖται, ἢ κατὰ Συμβεβηκός. Καὶ τὸ μὲν καθ' αὑτὸ διαιρούμενον, ἢ ὡς Πρᾶγμα διαιρεῖται, ἢ ὡς Φωνή. Καὶ εἰ μὲν ὡς πρᾶγμα, γίνεται ἀπὸ Γένους εἰς εἴδη Διαίρεσις, καὶ ἀπὸ Εἴδους εἰς ἄτομα, καὶ ἀπὸ Ὅλων εἰς μέρη, καὶ Ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ταῦτα γὰρ ὡς πράγματα διαιροῦνται. Εἰ δὲ ὡς Φωνή, γίνεται ἡ Διαίρεσις ἀπὸ ὁμωνύμου Φωνῆς εἰς διάφορα σημαινόμενα. Τὸ μὲν οὖν καθ' αὑτὸ διαιρούμενον, τοιαύτην ἐπιδέχεται τὴν διαίρεσιν. Τὸ δὲ κατὰ συμβεβηκὸς, ἢ ὡς ἀπὸ Οὐσίας εἰς συμβεβηκότα ἔχει τὴν διαίρεσιν, ἢ ὡς ἀπὸ Συμβεβηκότων εἰς οὐσίας, ἢ ἀπὸ Συμβεβηκότων εἰς συμβεβηκότα. ταῦτα γὰρ πάντα κατὰ συμβεβηκός εἰσιν.

Ἐντεῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐντεῦθεν τοίνυν φαίνονται τρόποι διαιρετικοὶ ὀκτώ· Ὁ ἀπὸ Γένους εἰς εἴδη· οἷον, τὸ Ζῶον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον· Ὁ ἀπὸ Εἴδους εἰς ἄτομα· οἷον, ὁ Ἄνθρωπος διαιρεῖται εἰς Πέτρον καὶ Παῦλον, καὶ τοὺς λοιποὺς κατὰ μέρος ἀνθρώπους. Ὁ ἀπὸ Ὅλων εἰς μέρη, ὁμοιομερῆ τε καὶ ἀνομοιομερῆ. Καὶ Ὁμοιομερῆ μὲν λέγονται, τὰ δεχόμενα καὶ τὸ ὄνομα καὶ τὸν ὅρον τοῦ ὅλου τε καὶ ἀλλήλων· ὡς ὅταν τέμωμεν τὴν Σάρκα εἰς πολλὰς σάρκας· καὶ γὰρ ἕκαστον τῶν μερῶν σὰρξ λέγεται, καὶ τὸν ὁρισμὸν τῆς σαρκὸς ἐπιδέχεται· αἷμα γάρ ἐστι πεπηγὸς ἐκ φύσεως. Ἀνομοιομερῆ δέ εἰσι, τὰ μήτε ὀνόματος μήτε ὁρισμοῦ κοινωνοῦντα, ἢ τῷ ὅλῳ, ἢ ἀλλήλοις· ὡς ὅταν διέλωμεν τὸν Πέτρον εἰς κεφαλὴν χεῖρας καὶ πόδας· οὐδὲν γὰρ ἐκ τούτων, οὔτε τὸ ὄνομα, οὔτε τὸν ὁρισμὸν ἐπιδέχεται τοῦ ὅλου ἢ τῶν λοιπῶν μερῶν. Ὁ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· Ἀφ' ἑνὸς μὲν, ὡς ἀπὸ τῆς Ἰατρικῆς, ἰατρικὸν βιβλίον, ἰατρικὸν ἐργαλεῖον· ταῦτα γὰρ ἀφ' ἑνός εἰσιν, ἐπείπερ ἀπὸ μιᾶς τῆς ἰατρικῆς ὠνομάσθησαν. Πρὸς ἓν δὲ, ὡς ὑγιεινὸν φάρμακον, ὑγιεινὸν βρῶμα· πρὸς ἓν γὰρ βλέπουσι τὴν ὑγίειαν. Ὁ ἀπὸ ὁμωνύμου Φωνῆς εἰς διάφορα σημαινόμενα, εἴτε ὅλα εἴτε μέρη. Ὅλα μὲν, ὡς ὅταν ἡ Κύων φωνὴ διαιρῆται εἴς τε τὸν Ἀστρῷον κύνα, τὸν Χερσαῖον καὶ τὸν Θαλάσσιον· ταῦτα γὰρ ὅλα εἰσί. Μέρη δὲ, ὡς ὅταν τὸ τῆς γλώττης ὄνομα φέρηται κατὰ τοῦ ἄκρου τοῦ ὑποδήματος, τοῦ ἄκρου τοῦ αὐλοῦ, καὶ τοῦ γευστικοῦ μορίου τῶν ζώων· ἅτινα μέρη εἰσὶ καὶ οὐχ ὅλα. Ὁ ἀπὸ Οὐσίας εἰς συμβεβηκότα· ὡς ὅταν εἴπωμεν, τῶν Ἀνθρώπων οἱ μέν εἰσι λευκοί· οἱ δὲ μέλανες. Ὁ ἀπὸ Συμβεβηκότων εἰς οὐσίας· ὡς τῶν Λευκῶν, τὰ μὲν ἔμψυχα· τὰ δὲ ἄψυχα. Ὁ ἀπὸ Συμβεβηκότων εἰς συμβεβηκότα· οἷον, τῶν Λευκῶν, τὰ μὲν θερμὰ, τὰ δὲ ψυχρά· θερμὰ μὲν, ὡς ἐπὶ τῆς Ἀσβέστου· ψυχρὰ δὲ ὡς ἐπὶ τῆς Χιόνος.

Ἰστέον δ' ὅτι κυρίως διαιρετικοὶ τρόποι τρεῖς εἰσιν· ὁ ἀπὸ Γένους εἰς εἴδη, ὁ ἀπὸ Ὅλων εἰς μέρη, καὶ ὁ ἀπὸ ὁμωνύμου Φωνῆς εἰς διάφορα σημαινόμενα· οἱ δὲ ἄλ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοι τρόποι καταχρηστικώτερον διαιρετικοὶ ὀνομάζονται. Ἀπὸ γὰρ Εἴδους εἰς ἄτομα διαίρεσις οὐκ ἔστιν, ἀλλ' ἀπαρίθμησις· ἄπειρα γὰρ ὄντα τὰ ἄτομα διαιρέσει καθυποβληθῆναι οὐ δύναται. Ἀλλ' οὐδὲ ἀπὸ Συμβεβηκότων εἰς οὐσίας γίνεται διαίρεσις· ὁ γὰρ λέγων, ὅτι τῶν Λευκῶν τὰ μὲν ἔμψυχα, τὰ δὲ ἄψυχα, ὡς ἀπὸ σωμάτων ἐπιδεδεγμένων λευκότητα ποιεῖται τὴν διαίρεσιν, ἅτινα οὐσίαι εἰσίν· οὐδὲ γὰρ δύναται τὸ συμβεβηκὸς εἰς οὐσίας διαιρεθῆναι· ὅτι τὸ διαιρούμενον ὡς πρᾶγμα εἰς ὅμοια θέλει διαιρεῖσθαι, οὐ μὴν εἰς ἀνόμοια. Οὔτε δὲ ἀπὸ Οὐσίας εἰς συμβεβηκότα γίνεται διαίρεσις· ὁ γὰρ λέγων, ὅτι τῶν Ἀνθρώπων οἱ μὲν εἰσὶ λευκοί, οἱ δὲ μέλανες, οὐκ ἔστι διαίρεσις ἀπὸ οὐσίας εἰς συμβεβηκότα, ἀλλὰ ἀπὸ οὐσίας εἰς οὐσίας πάλιν ἐχούσας συμβεβηκότα· εἰς ἀνθρώπους γὰρ μέλανας καὶ λευκοὺς ἐγένετο ἡ διαίρεσις, οἵτινες οὐσίαι εἰσίν. Ἀλλ' οὐδ' ἀπὸ Συμβεβηκότων εἰς συμβεβηκότα γίνεται διαίρεσις. Ἢ γὰρ ἀπὸ Γένους εἰς εἴδη ἐστὶν ἡ τοιαύτη διαίρεσις· ὡς ὅταν εἰς λευκὸν καὶ μέλαν διαιρήσω τὸ Χρῶμα· Γένος γάρ ἐστι τὸ χρῶμα τοῦ λευκοῦ καὶ τοῦ μέλανος· Ἢ ἀπὸ Οὐσίας εἰς οὐσίας· ὁ γὰρ λέγων, ὅτι τῶν λευκῶν τὰ μέν ἐστι θερμά, τὰ δὲ ψυχρά, οὐδὲν ἄλλο ἐστὶν, ἢ ὅτι τῶν σωμάτων τῶν ἐπιδεδεγμένων λευκότητα, τὰ μὲν ἔχει θερμότητα, τὰ δὲ ψυχρότητα. Καὶ γὰρ αὐτὴ καθ' ἑαυτὴν ἡ λευκότης, ἥτις ἐστὶ συμβεβηκός, οὔτε θερμή ἐστιν, οὔτε ψυχρά· ἐπεὶ οὐκ ἔστι τι συμβεβηκὸς ἑτέρῳ συμβεβηκότι πρὸς ὕπαρξιν ὑποκείμενον· μόνη δὲ ἡ οὐσία πᾶσι τοῖς συμβεβηκόσι πρὸς τὸ εἶναι ταῦτα ὑπόκειται. Οὔτε δὲ ἐν τοῖς ἀφ' ἑνὸς καὶ πρὸς ἓν θεωρεῖται διαίρεσις, ἀλλ' ἀπαρίθμησις· ἀόριστα γὰρ καὶ ταῦτα καὶ ἀπερίληπτα, ὥσπερ δὴ καὶ τὰ ἄτομα· δύναται γὰρ εἰπεῖν τις, ἰατρικὸν βιβλίον, καὶ ἰατρικὸν σκεῦος, ἰατρικὸν ἔμπλαστρον, καὶ ἄλλα μυρία· ὡσαύτως ὑγιεινὸν οἶνον, ὑγιεινὴν δίαιταν, ὑγιεινὸν ἀέρα καὶ τὰ τοιαῦτα.

Ἰστέον δὲ, ὅτι Διαίρεσις, Ἐπιδιαίρεσις, Ὑποδιαίρεσις, κατὰ τοῦτο διαφέρουσιν ἀλλήλων, καθότι ἡ μὲν Διαίρεσις πρώτως τέμνει τὸ πρᾶγμα· ἡ δὲ Ἐπιδιαίρεσις, κατὰ

δευτέραν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δευτέραν ἐπιβολὴν τέμνει τὸ αὐτὸ πρᾶγμα· ἡ δέ γε Ὑποδιαίρεσις ἓν τῶν τμημάτων παραλαβοῦσα, τέμνει αὐτό· οἷον, ὁ Ἄνθρωπος διαιρεῖται εἰς Ἄρσεν καὶ Θῆλυ· τοῦτο Διαίρεσις. Καὶ πάλιν ὁ Ἄνθρωπος διαιρεῖται εἰς Ψυχὴν καὶ Σῶμα· τοῦτο Ἐπιδιαίρεσις· ἥτις τότε μόνον ὀφείλει γίνεσθαι, ὅτε καθ᾽ ἕκαστον τῶν τμημάτων τῆς πρώτης διαιρέσεως, τὰ τῆς δευτέρας διαιρέσεως, εἴτουν ἐπιδιαιρέσεως θεωροῦνται τμήματα. Ἰδοὺ γὰρ ἐν τῷ ἄῤῥενι καὶ ἐν τῷ θήλει θεωρεῖται ψυχὴ καὶ σῶμα. Ὅταν δὲ εἰπὼν ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, εἴπω πάλιν, ὅτι τὸ σῶμα διαιρεῖται εἰς ἔμψυχον καὶ ἄψυχον, ἐποίησα Ὑποδιαίρεσιν. Λέγονται δὲ τὰ ἐκ τοῦ αὐτοῦ γένους τμηθέντα, Εἴδη Ἀντιδιαιρούμενα, ὡς ἀντίθεσίν τινα πρὸς ἄλληλα φέροντα, κἂν ἐκ τοῦ αὐτοῦ εἶεν καὶ ἑνός· οἷον τὸ σῶμα καὶ τὸ ἀσώματον ἐκ τῆς οὐσίας διαιρεθέντα, καὶ μετέχοντα τῆς οὐσίας ἐπίσης, ἀντίκεινται θάτερον θατέρῳ κατὰ τὰς οὐσιώδεις διαφοράς· τὸ μὲν γὰρ τριχῇ διαστατόν· τὸ δὲ τοῦ τριχῇ διαστατὸν εἶναι πόῤῥω καθέστηκε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Λέγοιντο δ᾽ ἂν Ἀντιδιαιρούμενα, καὶ ὡς ὁμοτίμως μετέχοντα τοῦ γένους, ἐξ οὗ διῄρηνται· καὶ ὡς ἂν εἴποι τις ὄντα Ἰσοδιαιρούμενα, καὶ ἀντὶ θατέρου θάτερον κατὰ τὸ ἰσοδιαίρετον λογιζόμενα· καὶ γὰρ ἐν τούτοις οὐκ ἔστι τὸ μᾶλλον καὶ ἧττον μετέχον τοῦ γένους. Οὔτε γὰρ τὸ σῶμα τυγχάνει οὐσία μᾶλλον τοῦ ἀσωμάτου, οὔτε τὸ ἀσώματον οὐσία μᾶλλον τοῦ σώματος· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Οὔτε δὲ τὸ Φύσει Πρότερον ἐν τοῖς ἀντιδιαιρουμένοις εὑρίσκεται· κατὰ γὰρ πάντας τοὺς τρόπους τῶν διαιρέσεων ἄπεστιν ἐκ τῶν τμημάτων τό, τε μᾶλλον καὶ ἧττον, καὶ τὸ Φύσει πρότερον, πλὴν τῶν ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν. Φύσει δὲ Πρότερον λέγεται τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον· καὶ συνεισφερόμενον καὶ μὴ συνεισφέρον· οἷον τὸ Ζῶον φύσει πρότερον τοῦ ἀνθρώπου, διότι ἀναιρούμενον, συναναιρεῖ τὸν ἄνθρωπον· ζώου γὰρ μὴ ὄντος, οὐδὲ ἄνθρωπος ἔσται· συνεισφερόμενον δέ, οὐ συνεισφέρει· ἐπεὶ συνεισφέρεται μὲν τῷ ἀνθρώπῳ· (ἀνθρώπου γὰρ ὄντος, καὶ ζῶόν ἐστιν ἐξ ἀνάγκης.) οὐ συ-

νεισφέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεισφέρει δὲ τὸν ἄνθρωπον· Ζῴου γὰρ ὄντος οὐκ ἤδη καὶ ἄνθρωπος ἔσται· ἀλλ᾽ Ἵππος τυχὸν, ἢ Βοῦς, ἢ Κύων, ἢ ἄλλο τι ζῷον. Φύσει γοῦν πρότερόν ἐστι τὸ Γένος τοῦ εἴδους, καὶ τὸ Εἶδος τῶν ἀτόμων. Ἐν δὲ τοῖς εἴδεσιν, ἢ τοῖς ἀτόμοις οὐθεωρεῖται τὸ φύσει πρότερον· οὐ γὰρ τὸ λογικὸν, φύσει πρότερον τοῦ ἀλόγου· (ἐπεὶ οὐδὲ συναναιρεῖ, οὐδὲ συνεισφέρεται.) οὐδὲ πάλιν ὁ Πέτρος φύσει πρότερος τοῦ Παύλου· Ἀλλ᾽ οὐδὲ μᾶλλον ζῷον ὑπάρχει τὸ λογικὸν, τὸ δὲ ἄλογον ἧττον· οὐδὲ ὁ Πέτρος μᾶλλον ἄνθρωπος, καὶ ἧττον ὁ Παῦλος· Φάρμακον δὲ ἄλλου φαρμάκου ὑγιεινότερον, καὶ Βιβλίον ἄλλου βιβλίου ἰατρικώτερον.

Πᾶν τὸ Διαιρούμενον.
- Ἢ Καθ᾽ αὐτὸ, καὶ τοῦτο·
  - Ἢ ὡς Πρᾶγμα· ὃ
    - Ἢ ἀπὸ Γένους εἰς εἴδη·
    - Ἢ ἀπὸ Εἴδους εἰς ἄτομα·
    - Ἢ ἀπὸ Ὅλων εἰς μέρη·
    - Ἢ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἓν διαιρεῖται.
  - Ἢ ὡς Φωνὴ, καὶ ἔστιν ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα ἡ διαίρεσις.
- Ἢ κατὰ Συμβεβηκὸς ὅπερ·
  - Ἢ ἀπὸ Οὐσίας εἰς συμβεβηκότα διαιρεῖται·
  - Ἢ ἀπὸ Συμβεβηκότων εἰς οὐσίας·
  - Ἢ ἀπὸ Συμβεβηκότων εἰς συμβεβηκότα.

## ΚΕΦΑΛΑΙΟΝ Γ΄.

### Περὶ Πείρας, Ἐμπειρίας, Τέχνης, καὶ Ἐπιστήμης· ἐν ᾧ καὶ περὶ τῶν Δυνάμεων τῆς Ψυχῆς.

Η Γνῶσις, ἢ ἄνευ Λόγου ἐστὶν, ἢ μετὰ Λόγου· καὶ ἢ Μερική ἐστιν, ἢ Καθόλου. Ἡ μὲν οὖν ἄνευ λόγου Γνῶσις ἡ Μερικὴ, ποιεῖ τὴν Πεῖραν· καὶ ἔστιν ἡ Πεῖρα, ἑνὸς πράγματος ἄλογος γνῶσις· οἷον, ὅταν τις ἓν μόνον γινώσκῃ βοήθημα, καὶ τούτῳ χρῶτο, τὴν αἰτίαν ἀγνοῶν, καθ᾽ ἣν ὠφελεῖ τὸ τοιοῦτον βοήθημα. Ἡ δὲ ἄνευ λόγου Γνῶσις ἡ Καθόλου, ποιεῖ τὴν Ἐμπειρίαν· καὶ ἔστιν Ἐμπειρία ἡ τῶν καθόλου γνῶσις ἄλογος· ὥσπερ ἐπὶ τῶν ἐμπειρικῶν Ἰατρῶν· οὗτοι γὰρ πολλὰ μὲν γινώσκουσι βοηθήματα· τὴν αἰτίαν δὲ τῆς βοηθείας αὐτῶν οὐ γινώσκουσιν. Ἐμπειρία τοίνυν ἐστὶ μνήμη καὶ τήρησις ἄλογος τῶν πολλάκις καὶ ὡσαύτως

ὀφθέντων·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀφθέντων· ὁ γὰρ ἐμπειρικὸς Ἰατρὸς ἐν μνήμῃ κατέχων καὶ διατηρῶν τὰ πολλάκις καὶ ὡσαύτως ὀφθέντα ἰάματα, κέχρηται τούτοις, τὸν λόγον τῆς ἰάσεως οὐκ εἰδώς. Ἡ δὲ μετὰ λόγου Μερικὴ Γνῶσις, Τέχνης ἢ Ἐπιστήμης μέρος ποιεῖ· Τέχνης μὲν, εἰ τὸ ὑποκείμενον τρεπτόν· Ἐπιστήμης δὲ, εἰ τὸ ὑποκείμενον ἄτρεπτον. Ἡ δὲ Καθόλου μετὰ λόγου Γνῶσις, τελείαν Τέχνην ἢ τελείαν Ἐπιστήμην ποιεῖ· Τέχνην μὲν, εἴπερ ἔχει τὰ ὑποκείμενα τρεπτά τε καὶ ἀλλοιωτά· εἰ δ' ἄτρεπτα καὶ ἀναλλοίωτα, Ἐπιστήμην. Τέχνη γὰρ καὶ Ἐπιστήμη κατὰ τὰ ὑποκείμενα διαφέρουσιν.

Ἔστι μὲν οὖν ἡ Τέχνη γνῶσις τῶν καθόλου μετὰ λόγου, τρεπτὰ τὰ ὑποκείμενα ἔχουσα· ἢ πάλιν, Τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Σύστημα μὲν οὖν ἐκ καταλήψεων, τουτέστιν, ἄθροισμα ἐξ εὑρέσεων, εἴρηται πρὸς ἀντιδιαστολὴν τῆς πείρας ὑπαρχούσης γνώσεως μερικῆς· ἐγγεγυμνασμένων δὲ, ἤτοι δεδοκιμασμένων, διὰ τὴν ἐμπειρίαν ἀδόκιμον οὖσαν τριβήν. Τὸ δὲ, πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ προστέθειται, διὰ τὰς Ματαιοτεχνίας καὶ Κακοτεχνίας· αἵτινες οὐδὲ τέχναι εἰσίν. Ἡ γὰρ Ματαιοτεχνία, οὔτε ὠφέλειαν οὔτε βλάβην εἰσφέρει τῷ βίῳ· ὡς ἡ Νευροβατικὴ, καὶ ἡ Κοντοπαικτική. Ἡ δέ γε Κακοτεχνία, πρὸς τῷ μηδὲν ὠφελεῖν καὶ βλάπτει τὸν βίον· ὡς ἡ Γοητική. Τέχνη πάλιν ἐστὶν, ἕξις ὁδῷ βαδίζουσα μετὰ φαντασίας, πρόσκειται δὲ τὸ μετὰ φαντασίας διὰ τὴν φύσιν. Ἕξις γάρ τις ἐστὶ καὶ ἡ Φύσις, διὰ τὸ τὴν ἕξιν ἀπὸ τοῦ ἔχω λέγεσθαι· ὡς ἔχουσα τὸ εἶναι ἐν οἷς ἐστιν· οἷον ἐν Ζώῳ, ἐν Φυτῷ, ἐν Λίθῳ καὶ τοῖς λοιποῖς. Βαδίζει δὲ καὶ ὁδῷ, τουτέστι κατὰ τάξιν προέρχεται, καὶ πάντα κατὰ λόγον ποιεῖ· ἀλλ' οὐ μετὰ φαντασίας, ὥσπερ ἡ τέχνη· οὐδὲ γὰρ προδιατυποῖ ἐν ἑαυτῇ ὃ βούλεται κατασκευάσαι· ἄλογος γάρ ἐστιν· ἀλλ' ὁ τεχνίτης κεχρημένος τῷ λόγῳ, ἡνίκα τι βούλεται ποιῆσαι, πρότερον διατυποῖ τὸ τοιοῦτον ἐν ἑαυτῷ, καὶ εἶθ' οὕτως ἀποτελεῖ.

Ἐπιστήμη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπιστήμη δέ ἐστιν ἡ τῶν Καθόλου ἄπταιστος Γνῶσις καὶ ἀμετακίνητος· ἀπταίστως γὰρ γινώσκει τὰ γινωσκόμενα, διὰ τὸ αὐτῶν ἄρρευστόν τε καὶ ἀναλλοίωτον· οὐδὲ γὰρ ἐξετάζει τῶν ἐπὶ μέρους κράσεων τὰς ἰδιότητας, ὥσπερ ἡ Ἰατρική, ἀλλὰ περὶ τοῦ καθόλου Ἀνθρώπου διαλαμβάνει, καὶ τοῦ καθόλου Ἵππου, καὶ τῶν ὁμοίων· ἅτινα ἀεὶ ὡσαύτως ἔχουσιν. Ἡ δὲ Τέχνη περὶ τὰ ῥευστὰ, καὶ τὰ μὴ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται· τὰ γὰρ ὑποκείμενα ταύτῃ ῥευστά εἰσι καὶ ἀλλοιωτά· καθὼς τῇ Ἰατρικῇ τὰ ἀνθρώπεια σώματα. Ὅθεν καὶ τοῦ Ἰατροῦ ἐστιν ὅτε, δόντος τινὶ καθάρσιον ἐν καιρῷ δέοντι, αἴφνης δὲ τραπέντος τηνικαῦτα τοῦ καταστήματος, κἀντεῦθεν ἀλλοιωθέντος τοῦ ὑποκειμένου, βλάβη καὶ οὐκ ὠφέλεια τῷ καθαρσίῳ ἐπηκολούθησε· καὶ γέγονεν ἡ ἀποτυχία τῆς ἰάσεως, οὐ παρὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ παρὰ τὸ τρεπτὸν τοῦ ὑποκειμένου καὶ ἀλλοιωτόν. Τοῦτο δὲ τὸ ἄστατον τῶν ὑποκειμένων, καὶ ἐπὶ πασῶν θεωρεῖται τεχνῶν. Ὅθεν ἡ τὰ ὑποκείμενα ἔχουσα στάσιμα, Ἐπιστήμη ὠνόμασται, διὰ τὸ ἐπὶ στάσιν καὶ ὅρον τῶν πραγμάτων ἄγειν ἡμᾶς· τῆς ἀοριστίας καὶ μεταβολῆς τῶν ἐπὶ μέρους ἀπάγουσα. Ἡ γὰρ Ἐπιστήμη περὶ τὰ καθόλου καὶ ἀμετάπτωτα καταγίνεται.

Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι τῶν ψυχικῶν Δυνάμεων, αἱ μέν εἰσι Φυτικαὶ· αἱ δὲ Ζωτικαὶ καὶ ὀρεκτικαὶ· αἱ δὲ Γνωστικαί. Καὶ Φυτικαὶ μέν εἰσιν, ἥτε Θρεπτικὴ καὶ Αὐξητικὴ καὶ Γεννητική. Ζωτικαὶ δὲ καὶ ὀρεκτικαὶ, Βούλησις, Προαίρεσις, Θυμὸς καὶ Ἐπιθυμία. Καὶ ἡ μὲν Βούλησις, δύναμίς ἐστι λογική· ἄλογοι δὲ δυνάμεις, ἡ Ἐπιθυμία καὶ ὁ Θυμός. Ἡ δὲ προαίρεσις ἐπαμφοτερίζει. Ἡ μὲν γὰρ Βούλησις αὐτῆς καθ᾽ αὐτήν ἐστι τῆς λογικῆς ψυχῆς, καὶ πρὸς μόνον τὸ ἀγαθὸν ἀποτείνεται· ἡ δὲ Προαίρεσις τῆς συμπεπλεγμένης ἐστὶ τῇ ἀλόγῳ· καὶ ποτὲ μὲν, πρὸς τοῦ λόγου γίνεται· ποτὲ δὲ, πρὸς τῆς ἀλογίας, καὶ αἱρεῖται τόδε πρὸ τοῦδε· διὸ καὶ προαίρεσις λέγεται. Γνωστικαὶ δὲ τῆς ψυχῆς δυνάμεις εἰσὶ, Νοῦς, Διάνοια, Δόξα, Φαντασία καὶ Αἴσθησις. Καὶ Λογικαὶ μὲν τούτων, νοῦς καὶ

διάνοια·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διάνοια· Ἄλογοι δὲ, φαντασία καὶ αἴσθησις. Ἡ δὲ δόξα ἐπαμφοτερίζει· γίνεται γὰρ καὶ μετὰ λόγου, καὶ ἄνευ λόγου. Καὶ ἄνευ λόγου μὲν, ὅταν χωρὶς αἰτίας δοξάζῃ τὰ πράγματα. Μετὰ λόγου δὲ, ὅταν ἐξ αἰτίας εὐλόγου τινὸς εἰς τὸ δοξάσαι προάγηται· οἷον, δοξάζει τις τὴν λογικὴν ψυχὴν ἀθάνατον εἶναι, μὴ ἔκ τινος αἰτίας εἰς τοῦτο ἐλθών· ἰδοὺ ἄλογος ἡ δόξα. Δοξάζει πάλιν ἄλλος τὴν αὐτὴν ψυχὴν ὑπάρχειν ἀθάνατον, ἀλλ' ἐκ τοῦ εἶναι αὐτὴν αὐτοκίνητον, ταυτὸν δ' εἰπεῖν, αὐτενέργητον· τὸ δὲ αὐτοκίνητον, ἀεικίνητον· τὸ δὲ ἀεικίνητον, ἀθάνατον· ἰδοὺ μετὰ λόγου δόξα· ἥτις ἐστὶ τὸ συμπέρασμα τῶν προτάσεων. Αἴσθησις δέ ἐστιν, ἡ τοῦ παρόντος μερικὴ γνῶσις· τοῦ παρόντος γὰρ ἀντιλαμβάνεται ἡ αἴσθησις· οἷον ἡ Ὅρασις, εἰ μὴ ὄψεταί τι, οὐ δύναται γνῶναι αὐτό· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Φαντασία δέ ἐστιν, ἡ τοῦ ἀπόντος μερικὴ γνῶσις· ὡς ὅταν χθὲς ἰδὼν ἄνθρωπον, σήμερον φαντασθῶ αὐτὸν, ἤγουν ἀναπολήσω τὸν τοιοῦτον. Νοῦν δὲ παθητικὸν ὁ Ἀριστοτέλης τὴν Φαντασίαν ὠνόμασε· Νοῦν μὲν, ὡς ἔνδον ἐν ἑαυτῇ τὸ γνωστὸν ἔχουσαν, καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως· ὅτι ἅπερ ἡ αἴσθησις ἔξω κείμενα γινώσκει, δεομένη πάντως τῆς ἐκείνων παρουσίας πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτὰ, τούτων ἡ Φαντασία τοὺς τύπους διὰ τῶν αἰσθήσεων ἀπομαξαμένη, ἔχει ἐν ἑαυτῇ, καὶ δύναται προβάλλειν, μὴ δεομένη τῶν ἔξω κειμένων· δι' ὃ κἂν τοῖς ὕπνοις ἐνεργεῖ τὸ φανταστικὸν, ἀνενεργήτων μενουσῶν τῶν αἰσθήσεων. Νοῦν μὲν οὖν διὰ ταῦτα τὴν Φαντασίαν ἐκάλεσεν ὁ Φιλόσοφος. Παθητικὸν δὲ, διότι μετὰ μερισμοῦ γινώσκει [τὰ πράγματα] καὶ διαστάσεως ἐκ τῶν αἰσθήσεων ἀρχομένη τε καὶ συνισταμένη, καὶ τῇ χρονίῳ διαλυομένη πολλάκις ἀπουσίᾳ τῶν αἰσθητῶν. Ἐπεὶ οὖν οὐδὲν τῶν ἐνταῦθα πραγμάτων χωρὶς Φαντασίας ἰσχύομεν νοεῖν, οὐκ ἀπαθὴς δὲ καθέστηκεν αὕτη, διαλύσει δὲ ὑπόκειται, καθὼς ἔφημεν, καὶ φθορᾷ, διὰ τοῦτο τῆς Φαντασίας φθειρομένης, τὴν τῶν ἐγνωσμένων πάσχομεν λήθην· ἐπεὶ συμπεπλεγμένην τῇ Φαντασίᾳ τὴν νόησιν ἔχομεν· ὅθεν καὶ τὰ νοήματα, παθήματα λέγεται τῆς ψυχῆς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψυχῆς, οὐχ ὅτι πάσχει ἡ λογικὴ ψυχὴ, ἀλλ' ὅτι χωρὶς τοῦ παθητικοῦ νοῦ, τουτέστι, τῆς φαντασίας, οὐδὲν πέφυκε τῶν ἐν τῷ κόσμῳ νοεῖν. Διάνοια δέ ἐστι γνωστικὴ τῶν καθόλου μετὰ λόγου Δύναμις, οὐκ ἀθρόως ἀλλὰ διά τινος μεθόδου καταλαμβάνουσα τὸ γνωστόν. Καλεῖται δὲ ἡ Διάνοια, καὶ δυνάμει Νοῦς, διὰ τὸ συνεπαίρεσθαι τῷ ἐνεργείᾳ νῷ, τουτέστι, διὰ συλλογισμοῦ ἀνάγεσθαι πρὸς ἅπερ ἁπλαῖς ἐπιβολαῖς ὁ ἐνεργείᾳ νοεῖ νοῦς. Ἡ διάνοια τοίνυν ὁ δυνάμει νοῦς, συνεργεῖ πρὸς τὸ δέον, καὶ βοηθεῖ καὶ ταῖς ὀρεκτικαῖς δυνάμεσι τῆς ψυχῆς, καὶ πρὸς τὸ λελογισμένον ἀλόγους οὔσας αὐτὰς ὁδηγεῖ· συνεπαίρεται δὲ καὶ τῷ ἐνεργείᾳ νῷ, καὶ πρὸς τὴν τῶν ὄντων ἀναγομένη γνῶσιν, ὡς εἴρηται· διὸ γοῦν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόεισιν, ἤγουν ἐκ τοῦ δυνάμει πρὸς τὸ ἐνεργείᾳ· διὰ τοῦτο καὶ ἡ ταύτης ἐνέργεια, ἤτουν ἡ Νόησις, πάθος λέγεται πρὸς διάκρισιν τῆς ἐνεργείας τοῦ νοῦ, τοῦ αὐτοτελοῦς καλουμένου καὶ ἐνεργείᾳ νοῦ, ὡς τῇ οὐσίᾳ σύνδρομον τὴν ἐνέργειαν ἔχοντος, ἀμιγῆ τε τοῦ δυνάμει καὶ διὰ τοῦτο παντελῶς ἀπαθῆ.

Διαφέρει δὲ ἡ διάνοια τῆς μετὰ λόγου Δόξης· ὅτι ἡ μὲν μετὰ λόγου Δόξα, συμπέρασμά ἐστιν, ὡς εἴρηται, τῶν προτάσεων· ἡ δὲ Διάνοια, λαμβάνουσα τὰς προτάσεις ὁμολογουμένας κατασκευάζει τὸ ζητούμενον· λαμβάνουσα γὰρ ὁμολογούμενον, ὅτι ἡ ψυχὴ αὐτοκίνητός ἐστι, καὶ ὅτι τὸ αὐτοκίνητον, ἀεικίνητον, καὶ ὅτι τὸ ἀεικίνητον, ἀθάνατον· κατασκευάζει ἐντεῦθεν ἀθάνατον τὴν ψυχήν· καὶ οὕτως ἐκ τῆς τοιαύτης κατασκευῆς, ἡ μετὰ λόγου δόξα συμπεραίνει, ὅτι ἡ ψυχὴ ὑπάρχει ἀθάνατος. Ὁ δὲ Νοῦς ἁπλῇ προσβολῇ τουτέστιν εὐθέως, ἀχρόνως, κρεῖττον ἢ κατὰ ἀπόδειξιν πάντα τὰ ὑποπίπτοντα αὐτῷ γινώσκει, τὰ νοητὰ δηλαδή. Ἣν δὴ γνῶσιν ἐκεῖνοι ἔχουσιν ἀκραιφνῆ τε καὶ ἀμιγῆ, οἵτινες διὰ Πράξεως καὶ Θεωρίας εἰς ἄκρον καθάρσεως καὶ ἐπιστήμης ἀφίκοντο.

Τούτων οὕτως ἐχόντων, ἐκ μὲν τῆς Αἰσθήσεως ἐγείρεται ἡ Πεῖρα· καὶ γὰρ αὕτη μερική ἐστι γνῶσις καὶ ἄλογος. Ἡ δὲ ἐμπειρία, ἔκ τε τῆς ἄνευ λόγου δόξης ἔρχεται, καὶ ἐκ τῆς αἰσθήσεως καὶ Φαντασίας ὁμοῦ. καὶ ὅτε μὲν ἐκ τῆς

αἰσθή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἰσθήσεως καὶ τῆς φαντασίας, Αὐτοψία καλεῖται· καὶ γὰρ αὐτόπτης γενόμενος τῶν βοηθημάτων, ὁ ἐμπειρικὸς Ἰατρὸς, καὶ βασανίσας αὐτὰ διὰ τῆς αἰσθήσεως, καὶ συναγαγὼν ἐν ἑαυτῷ διὰ τῆς φαντασίας, τὰς ἐνεργείας αὐτῶν χρῆται κατὰ καιροὺς ἐνὶ ἑκάστῳ πρὸς τὰς ἰάσεις. Ὁπότε δ' ἐκ τῆς ἀλόγου δόξης ἡ ἐμπειρία ὁρμᾷ, τότε καλεῖται Ἱστορία· ὡς ὅταν τις νομίσῃ τὰς φύσεις τῶνδε τῶν βοηθημάτων τοιάσδε τινὰς εἶναι μὴ πειραθεὶς αὐτὸς, ἀλλ' ἀπ' ἄλλων ἀκούσας καὶ οὕτω δοξάσας. Ἐκ δὲ τῆς μετὰ λόγου δόξης καὶ τῆς διανοίας ἡ Τέχνη ἀνίσταται· καὶ γὰρ καὶ αὕτη ταύταις ὁμοίως τὰ καθόλου μετὰ λόγου γινώσκει. Ἡ δὲ Ἐπιστήμη γεννᾶται ἔκ τε τῆς διανοίας καὶ τοῦ νοῦ. καὶ τὰς μὲν δεομένας ἀποδείξεων ἀρχὰς, οἷον ὅτι τὸ σημεῖον ἀμερὲς καὶ τὰ τοιαῦτα ἐκ τῆς διανοίας λαμβάνει· τὰς δ' ὁμολογουμένας καὶ ἀνενδεεῖς ἀποδείξεων, οἷον, ὅτι ὁ Θεὸς ἀγαθὸς, καὶ τὰ ὅμοια, ἐκ τοῦ νοῦ. Διαφέρει γοῦν καὶ κατὰ τοῦτο τέχνη ἐπιστήμης· ὅτι ἡ μὲν Τέχνη ἔκ τε τῆς μετὰ λόγου δόξης καὶ τῆς διανοίας ἐγείρεται· ἡ δὲ Ἐπιστήμη ἐκ τῆς διανοίας καὶ τοῦ νοῦ.

**Ἡ Γνῶσις**
- Ἡ ἄνευ λόγου
  - Ἡ Μερική.
  - Ἡ Καθόλου.
- Ἡ μετὰ λόγου
  - Ἡ Μερική.
  - Ἡ Καθόλου.

Ἡ Γνῶσις



**Ἡ Γνῶσις**
- Ἡ ἄνευ λόγου· ἥτις,
  - Ἡ Μερικὴ· καὶ ποιεῖ τὴν Πεῖραν.
  - Ἡ Καθόλου· καὶ ποιεῖ τὴν Ἐμπειρίαν.
- Ἡ μετὰ λόγου· ἥτις,
  - Ἡ Μερικὴ, μέρος ποιοῦσα
    - Ἐπιστήμης
    - ἢ
    - Τέχνης·
  - Ἡ Καθόλου
    - Ἡ τρεπτὰ ἔχουσα τὰ ὑποκείμενα, καὶ ποιεῖ Τέχνην τελείαν.
    - Ἡ ἄτρεπτα, καὶ ποιεῖ Ἐπιστήμην τελείαν.

**Τῶν ψυχικῶν Δυνάμεων.**
- Αἱ μὲν Φυτικαὶ, καὶ τούτων.
  - Αἱ μὲν Θρεπτικαί.
  - Αἱ δὲ Γεννητικαί.
- Αἱ δὲ Ζωτικαὶ καὶ ὀρεκτικαί, ὡς
  - Βούλησις
  - Προαίρεσις
  - Θυμὸς, καὶ
  - Ἐπιθυμία.
- Αἱ δὲ Γνωστικαί.
  - Νοῦς.
  - Διάνοια.
  - Δόξα.
  - Φαντασία.
  - Αἴσθησις.

# ΚΕΦΑΛΙΟΝ Δ'.

## Τίνες οἱ τῆς Φιλοσοφίας Ὁρισμοί.

Πολλοὶ τῆς Φιλοσοφίας ἐκτέθεινται Ὁρισμοί· ἓξ δέ εἰσι τῶν ἄλλων οἱ κρείττους καὶ ἀσφαλέστεροι. Καὶ Πρῶτος μὲν ὁ λέγων, ὅτι Φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων, ᾗ ὄντα ἐστίν, ἀντὶ τοῦ, καθὸ φύσεως ἔχουσιν ἕκαστα, οὐ μὴν ἀριθμοῦ καὶ ἰδιότητος· οὐ δὲ γὰρ προτίθεται ὁ Φιλόσοφος εἰδέναι τοὺς ἐπὶ μέρους ἀνθρώπους, ὁπόσοι εἰσὶ καὶ ὁποῖοι τὰς ἰδιότητας· οὐ δὲ τὰ λοιπὰ τῶν ὄντων καθ᾽ ἕκαστον ἐπισκέπτεται· τὴν φύσιν δὲ τῶν ὄντων κοινῶς· ὡσαύτως δὲ καὶ τὰς τῶν ἄλλων πραγμάτων φύσεις ἐπίστασθαι βούλεται. Δεύτερος Ὅρος ὁ λέγων, ὅτι Φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. Ἐπεὶ γὰρ τὰ ὄντα ἢ φθαρτά εἰσιν, ἢ ἄφθαρτα· τιμιώτερα δὲ τῶν μὲν ἀφθάρτων, τὰ θεῖα· τῶν δὲ φθαρτῶν,

τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ ἀνθρώπινα· ἐκ τῶν τιμιωτέρων μερῶν τὰ πάντα ἐδήλωσε, καὶ γνῶσιν καὶ αὐτὸς τῶν ὄντων τὴν Φιλοσοφίαν ἐκάλεσε. Τρίτος Ὅρος ὁ λέγων, ὅτι Φιλοσοφία ἐστὶ μελέτη θανάτου, δηλονότι τοῦ προαιρετικοῦ· οὐδὲ γὰρ βούλεται ὁ Φιλόσοφος περὶ τῆς ἀναιρέσεως αὐτοῦ μελετᾶν· οὕτω γὰρ ἂν τοὺς δημιουργικοὺς ἀνατρέποι νόμους· εἴγε ὁ μὲν Δημιουργὸς συνέδησε τῷ σώματι τὴν ψυχήν· ὁ δὲ, βούλεται τὸν τοιοῦτον ἀναλύειν δεσμὸν, παρὰ τὴν τοῦ συνδήσαντος κέλευσιν. Ἀλλ' ἐπεὶ διττή ἐστιν ἡ Ζωή· (καὶ γὰρ ἡ μὲν Φυσική, ἡ δὲ Προαιρετική. Καὶ Φυσικὴ μὲν, ἡ συνάφεια τῆς ψυχῆς καὶ τοῦ σώματος· καθ' ἣν ὑπὸ τῆς προνοίας ἐτάχθημεν ζῆν· καθ' ἣν τὸ σῶμα δεσμεῖ τὴν ψυχήν· Προαιρετικὴ δὲ [ζωή,] ἡ πρὸς τὸ σῶμα συμπάθεια, καὶ περὶ τὰς ἡδονὰς ἀσχολία· καθ' ἣν ἡ ψυχὴ ἑαυτὴν δεσμεῖ καὶ προσπατταλεύει τῷ σώματι.) διττὸς γινώσκεται καὶ ὁ θάνατος, Φυσικὸς, καὶ Προαιρετικός. Καὶ Φυσικὸς μέν ἐστι θάνατος, ὁ τοῦ σώματος διαχωρισμὸς ἀπὸ τῆς ψυχῆς· καθ' ὃν ἅπας ἄνθρωπος τελευτᾷ· Προαιρετικὸς δὲ Θάνατος, ἡ κατ' ἀρετὴν ὑπάρχει ζωή· καθ' ἣν ὁ ἀληθὴς Φιλόσοφος χωρίζει καὶ πρὸ τοῦ φυσικοῦ θανάτου τὴν ψυχὴν ἐκ τοῦ σώματος, νέκρωσιν ἀπεργαζόμενος τῶν παθῶν· [καὶ] διὰ τῆς τοιαύτης νεκρώσεως, τῷ ἀπαθεῖ κατὰ τὸ δυνατὸν ὁμοιούμενος. Ἔστι δὲ καὶ κοινότερον περὶ τῆς τοῦ Θανάτου μελέτης εἰπεῖν· ὅτιπερ ὁ τὴν ἐντεῦθεν ἐκδημίαν ἐν νῷ φέρων διὰ παντὸς, καὶ μελέτημα ταύτης τιθέμενος ἔμμονον, πάντων φιλοσοφήσει τῶν σωματικῶν τὴν ἀπαλλαγὴν, καὶ ὅσα τὴν ψυχὴν βελτιοῖ κατορθῶσαι σπουδάσει, καὶ τὴν ἀρετὴν καὶ συμπολιτευομένην καὶ συνέκδημον κτήσεται, τῶν ἐπικήρων ἀνταλλαξάμενος τὰ αἰώνια· Τέταρτος Ὅρος ἐστὶν, ὁ λέγων ὅτι Φιλοσοφία ἐστὶν ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. Ἐπεὶ γὰρ ὁ Θεὸς διττὰς ἔχει τὰς Ἐνεργείας· τὰς μὲν Γνωστικὰς τῶν ὄντων, καθ' ἃς πάντα γινώσκει καὶ πρὸ γενέσεως αὐτῶν· τὰς δὲ Προνοητικὰς τῶν καταδεεστέρων, καθ' ἃς προνοεῖται τοῦ κόσμου παντός· ἀλλὰ δὴ καὶ ὁ Φιλόσοφος, τῶν ὄντων σπεύδει πάντων εἶναι θεωρητής,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρητής, καὶ τὴν τῶν ὅλων φύσιν ἐπίστασθαι· προνοεῖται δὲ καὶ τῶν καταδεεστέρων· διὰ μὲν τῆς Θεωρητικῆς, τὰ Δόγματα διδάσκων τῆς Ἀληθείας· διὰ δὲ τῆς Πρακτικῆς, Ἤθη ῥυθμίζων καὶ νομοθετῶν τὰ δέοντα, καὶ δικάζων, καὶ παντοίαν ἄλλην ποιούμενος ἐπιμέλειαν τοῦ συνόντος· εἰκότως ἡ Φιλοσοφία διὰ ταῦτα Θεῷ ὑπάρχει ὁμοίωσις· Πρόσκειται δὲ τό, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, καλῶς· ἐπεὶ τῶν Γνώσεων καὶ τῶν Προνοιῶν πάμπολυ τὸ διάφορον. Ὧν γὰρ αἱ Οὐσίαι διάφοροι καὶ καθ' ὅσον, τούτων καὶ αἱ Τελειότητες κατὰ τοσοῦτον διάφοροι. Τίς δὲ σύγκρισις Φύσεως πάμπαν τρεπτῆς καὶ ῥευστῆς, πρὸς τὴν μακαρίαν ἐκείνην Οὐσίαν καὶ παντάπασιν ἐξῃρημένην ἁπάσης Φθορᾶς καὶ τροπῆς τὴν πάντα νοῦν μὴ μόνον ἀνθρώπινον, ἀλλὰ καὶ ἀγγελικὸν ἐς ἀπειράκις ἄπειρον ὑπερβαίνουσαν; Πέμπτος Ὁρισμός, ὁ τὴν Φιλοσοφίαν τέχνην τεχνῶν, καὶ ἐπιστήμην ἐπιστημῶν ὁριζόμενος· ἐπεὶ πᾶσαι Τέχναι καὶ Ἐπιστῆμαι παρὰ τῆς Φιλοσοφίας λαμβάνουσι τὰς ἀρχάς, εἴγε τῶν ὅλων αὐτὴ τὰς φύσεις ἐπίσταται. Ἕκτος καὶ τελευταῖός ἐστιν Ὁρισμός, ὁ τὴν Φιλοσοφίαν εἶναι λέγων φιλίαν σοφίας, τουτέστιν, ἀγάπην Θεοῦ. αὐτὸς γάρ ἐστιν ἡ Αὐτοσοφία· καὶ ὁ φιλῶν αὐτόν, καὶ κατὰ τὸ δυνατὸν διὰ Θεωρίας καὶ Πράξεως αὐτῷ συνών, ἐκεῖνος ἂν κυρίως κληθείη Φιλόσοφος. Ὁ μὲν οὖν πρῶτος τῶν εἰρημένων ὁρισμῶν καὶ ὁ δεύτερος, καὶ ὁ ἕκτος, εἰς Πυθαγόραν τὸν σάμιον ἀναφέρονται· ὁ τρίτος δὲ καὶ ὁ τέταρτος εἰς τὸν Πλάτωνα· ὁ δέ γε πέμπτος εἰς τὸν Ἀριστοτέλην.

**Ὁρισμοὶ Φιλοσοφίας.**

- Φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί.
- Φιλοσοφία ἐστὶ Γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων.
- Φιλοσοφία ἐστὶ μελέτη Θανάτου.
- Φιλοσοφία ἐστὶν ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ.
- Φιλοσοφία ἐστὶ Τέχνη τεχνῶν καὶ Ἐπιστήμη ἐπιστημῶν.
- Φιλοσοφία ἐστὶ φιλία σοφίας.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ Ε΄.

## Περὶ Ἐπινοίας.

Διττὴ λέγεται ἡ Ἐπίνοια· ἡ μέν, οἷον Ἐπέννοιά τις οὖσα καὶ ἐπενθύμησις τὰ ἐκ τῆς Φύσεως συνημμένα διαχωρίζουσα, καὶ ἰδιοσυστάτως ἐπινοοῦσα ἑκάτερον· οἷον ἅμα ψυχὴ καὶ σῶμα δεδημιούργηνται, καὶ ἓν ἐξ ἀμφοτέρων ὁ ἄνθρωπος γέγονεν. Ἀλλ' ἡ Ἐπίνοια διαιρεῖ τὸν ἄνθρωπον εἰς τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ πρὸ τῆς ἀπ' ἀλλήλων αὐτῶν διακρίσεως, καὶ τὴν ψυχὴν χωρὶς τοῦ σώματος ἐπινοεῖ, καὶ τὸ σῶμα χωρὶς τῆς ψυχῆς· διὰ τό, τὴν μέν, ἀθάνατον εἶναι οὐσίαν καὶ ζωῆς αἰτίαν τῷ σώματι· τὸ δέ, θνητῆς Φύσεως· οὐκ ἀφ' ἑαυτοῦ τὸ ζῆν ἔχον, καὶ ὅσα ἄλλα πρόσεισιν ἑκατέροις διάφορα. Πάλιν, ὁμοῦ τὸ Σῶμα καὶ τὸ Χρῶμα πεφύκασιν εἶναι· καὶ οὐκ ἔστι σῶμα χρώματος χωρισθῆναι, οὔτε χρῶμα τοῦ ὑποκειμένου σώματος ἄμοιρον· ἀλλ' ἐξ ἀλλήλων ταῦτα [ἡ] Ἐπίνοια διαχωρίζουσα, τὸ κεχρωσμένον Φύσει σῶμα συνίστησιν ἐν ἑαυτῇ μεμονωμένον καὶ ἐστερημένον τοῦ χρώματος, καὶ τὸ χρῶμα πάλιν ἰδίᾳ διῃρημένον τοῦ σώματος. Καὶ αὕτη μὲν ἡ πρώτως καὶ κυρίως Ἐπίνοια.

Ἡ δὲ λοιπή, Ψιλὴ Ἐπίνοια ὀνομάζεται· ἥτις διανοίας ὑπάρχει ἀνάπλασμα. Τὰ γὰρ μηδαμῇ μηδαμῶς ὄντα, ὡς ὄντα λογίζεται, πτερωτὸν ἄνθρωπον συνιστῶσα, καὶ σκύμνους Λεόντων ἕλκοντας Ἄροτρον, καὶ Πλοῖον ἐναέριον, καὶ ἕτερα παραπλήσια· καὶ ἐκ τῶν ὅλων δὲ μέρη τινὰ λαμβάνουσα καὶ συντιθεῖσα μετ' ἀλλήλων ὑφιστᾷ τὰ πάντῃ ἀνύπαρκτα· τοιοῦτον ὁ Ἱπποκένταυρος, εἴτουν Ἱππάνθρωπος, τῶν ὄντων οὐδέν, ἀλλ' ἢ μόνον ψιλὸν ἐπινόημα.

Διαφέρει δὲ τῆς Φαντασίας ἡ ψιλὴ Ἐπίνοια. ὅτι ἡ μὲν Φαντασία τῶν ὄντων ἐστὶν ἀναπόλησις· ὅταν τις τὸ ὁραθὲν ἀναπολῇ καὶ Φαντάζηται· ἡ δὲ ψιλὴ Ἐπίνοια, τῶν μηδαμῶς ὄντων ἐστὶ διατύπωσις, γένεσιν ἔχουσα τὴν ἐνθύμησιν· τὴν δὲ λήθην, τελείαν φθοράν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ Ἐπίνοια {

Ἡ μὲν, Ἐπίνοιά τις ἐστι, τὰ ἐκ φύσεως συνημμένα διαχωρίζουσα, καὶ ἰδιοσυστάτως ἐπινοοῦσα ἑκάτερον, ὡς τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος, ἥτις λέγεται κυρίως Ἐπίνοια.

Ἡ δὲ, ψιλὴ Ἐπίνοια, τὰ μηδαμῆ μηδαμῶς ὄντα συνιστῶσα, οἷον, πλοῖον ἐναέριον, ἢ τραγέλαφον.

# ΚΕΦΑΛΑΙΟΝ Ϛ.

## Περὶ Αἱρέσεων.

Ἡ κατὰ Φιλοσοφίαν Αἵρεσίς ἐστιν Ἀνδρῶν ἀστείων Δόξα, πρὸς ἑαυτοὺς μὲν συμφωνούντων· πρὸς ἑτέρους δὲ διαφωνούντων. Ἀνδρῶν εἴρηται καὶ οὐχὶ ἀνδρός, ἐπειδὴ ἡ τοῦ ἑνὸς ἀνδρὸς δόξα αἵρεσιν οὐ ποιεῖ, ἀλλὰ Θέσιν. Θέσις γάρ ἐστι παράδοξος ὑπόληψις [καὶ] ἑνὸς τῶν κατὰ Φιλοσοφίαν γνωρίμων· ὡς ἡ τοῦ Ἡρακλείτου, ὅτι Πάντα κινεῖται· καὶ ἡ τοῦ Παρμενίδου, ὅτι Ἓν τὸ ὂν καὶ ἀκίνητον· καὶ ἡ τοῦ Ἀντισθένους, ὅτι Οὐκ ἔστιν ἀντιλέγειν. Πολλοὶ τοιγαροῦν εἰσιν οἱ συνιστῶντες τὴν αἵρεσιν· ἀλλὰ καὶ ἀστεῖοι, τουτέστιν, ἀξιόλογοί τε καὶ ἐπιστήμονες· οἱ γὰρ εἰκαῖοι καὶ ἀγελαῖοι, αἵρεσιν ἐν Φιλοσοφίᾳ πῶς ποιήσονται; Χαρακτηρίζει δὲ τὴν αἵρεσιν, συμφωνία μετὰ διαφωνίας· οἱ γὰρ καὶ πρὸς ἑαυτοὺς συμφωνοῦντες καὶ πρὸς τοὺς ἄλλους, αἵρεσιν οὐ ποιοῦσι· τὸ γὰρ Παρὰ πάντων ὁμολογούμενον, κοινὴ ἔννοιά ἐστιν· οἷον, ὅτι ὁ Θεὸς ἀγαθός, καὶ ὁ Ἥλιος φωτιστικός.

Ὠνομάθησαν δὲ αἱ κατὰ Φιλοσοφίαν αἱρέσεις κατὰ τρόπους ἑπτά. Ἢ γὰρ ἀπ' αὐτοῦ τοῦ Αἱρεσιάρχου, ὡς οἱ Πλατωνικοὶ καὶ Ἀριστοτελικοί· Ἢ ἀπὸ τῆς Πατρίδος τοῦ Αἱρεσιάρχου· ὡς οἱ Κυρηναϊκοί, διὰ τὸν κυρηναῖον Ἀρίστιππον, καὶ οἱ Μεγαρικοί, δι' Εὐκλείδην τὸν μεγαρέα. Ἢ ἀπὸ τοῦ τόπου, ἐν ᾧ τὰς συνουσίας ἐποιοῦντο· ὡς οἱ Στωϊκοί, διὰ τὴν ἐν Ἀττικῇ ποικίλην Στοάν· Ἢ ἀπὸ τῆς ἐν τῷ Φιλοσοφεῖν Ἐπικρίσεως, ὡς οἱ Ἐφεκτικοί (οὗτοι γὰρ ἀκαταληψίαν δοξάζοντες, ἐπεῖχον τὰς λύσεις τῶν προτάσεων.) Ἢ ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὥσπερ οἱ Κυνικοί, ζῶντες ἀδιαφόρως δίκην Κυνῶν, τά τε δόγματα τῆς Φιλοσοφίας

λοσοφίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοσοφίας φρουροῦντες, καὶ ὑπερμαχοῦντες αὐτῶν διὰ τῶν ἀποδείξεων, καὶ τοὺς φίλους ἐκ τῶν ἀλλοτρίων, ἤγουν τοὺς πρὸς τὸ φιλοσοφεῖν ἐπιτηδείους ἐκ τῶν ἀνεπιτηδείων πρὸς αὐτὸ διακρίνοντες· καὶ τοὺς μὲν, εὐμενῶς δεχόμενοι· τοὺς δὲ, μετὰ παῤῥησίας ἐλέγχοντες, καὶ τοῦ *Ὁμακοΐου, μακρὰν ἐκδιώκοντες· Ἢ ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ ἡδονικοὶ, τέλος τῆς Φιλοσοφίας λέγοντες εἶναι τὴν ἡδονὴν, τὴν ἐκ γνώσεως καὶ ἀπαθείας καὶ τῆς πρὸς τὸ θεῖον ἀναγωγῆς, τὸ πρῶτον τῶν ἐφετῶν. Ἢ ἀπό τινος συμβεβηκότος, ὡς οἱ Περιπατητικοὶ, κληθέντες οὕτω διὰ τὸ τὰς συνουσίας ποιεῖσθαι κατὰ περίπατον· ὡς ἂν ἅμα τῇ ψυχῇ καὶ τὸ σῶμα γυμνάζοιτο.

| | |
|---|---|
| Αἱ κατὰ Φιλοσοφίαν Αἱρέσεις ὠνομάσθησαν. | Ἢ ἀπὸ τοῦ Αἱρεσιάρχου, ὡς οἱ Πλατωνικοί. |
| | Ἢ ἀπὸ τῆς Πατρίδος τοῦ Αἱρεσιάρχου, ὡς οἱ Κυρηναϊκοὶ, διὰ τὸν κυρηναῖον Ἀρίστιππον. |
| | Ἢ ἀπὸ τοῦ Τόπου, ὡς οἱ Στωϊκοί. |
| | Ἢ ἀπὸ τῶν ἐν τῷ φιλοσοφεῖν Ἐπικρίσεων, ὡς οἱ Ἐφεκτικοί. |
| | Ἢ ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὡς οἱ Κυνικοί. |
| | Ἢ ἀπὸ τοῦ τέλους, ὡς οἱ Ἡδονικοί. |
| | Ἢ ἀπό τινος συμβεβηκότος, ὡς οἱ Περιπατητικοί. |

# ΚΕΦΑΛΑΙΟΝ Ζ'.

## Τίς ἡ τῆς Φιλοσοφίας Διαίρεσις.

Ἡ Φιλοσοφία διαιρεῖται εἰς τὸ Θεωρητικὸν καὶ τὸ Πρακτικόν. Καὶ διὰ μὲν τοῦ Θεωρητικοῦ, γινώσκει τὰ Ὄντα· διὰ δὲ τοῦ Πρακτικοῦ, τὰ Ἤθη κοσμεῖ. Τοῦ μὲν οὖν Θεωρητικοῦ τέλος ἐστὶ τὸ ἀληθές· τοῦ Πρακτικοῦ δὲ, τὸ Ἀγαθόν. Ἀλλ' ἐπείπερ ἀναγκαῖόν ἐστι διακρίνεσθαι τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ· ὥστε τὰ μὲν, ἑλέσθαι ἡμᾶς, τὰ δὲ, φυγεῖν καὶ μὴ τοῖς ἐναντίοις περιπίπτειν δι' ἄγνοιαν, πρὸς τὴν τοιαύτην διάκρισιν ἐξεῦρεν ἡ Φιλοσοφία [τὴν] ἀπόδειξιν Ὄργανον ἐπιτηδειότατον· ὅπερ ἐστὶ τὸ Λογικόν· ἤγουν περὶ ὃ καταγίνεται ἡ λογικὴ πραγμα-

* τουτέστι, τοῦ κοινοῦ ἀκροατηρίου.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πραγματεία· καὶ ἔστι τὸ Λογικὸν, Φιλοσοφίας ἐργαλεῖον χρειωδέστατον, ὑπ' αὐτῆς κατεσκευασμένον· ὥσπερ ὑπὸ Χαλκευτικῆς ὁ Ἄκμων, καὶ ἡ Σφῦρα καὶ τὸ Ξυλάβιον ὄργανα ὑπάρχοντα ταύτης δὴ τῆς χαλκευτικῆς.

Τὸ θεωρητικὸν τῆς Φιλοσοφίας διαιρεῖται, εἰς τὸ Φυσιολογικὸν, τὸ Μαθηματικὸν καὶ τὸ Θεολογικόν. Διαιρεῖται δὲ εἰς τρία τὸ θεωρητικὸν, ἐπεὶ καὶ τὰ ὄντα περὶ ἃ τὸ θεωρητικὸν καταγίνεται, τριττά· Ἢ γὰρ τῆς ὕλης ἀχώριστα παντελῶς καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ, ὁποῖα τὰ Φυσικὰ σώματα· Ἢ [παντελῶς] τῆς ὕλης χωριστὰ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ, οἷα τὰ ὑπὲρ φύσιν [τε] καὶ ἀσώματα· Ἢ κατά τι μὲν ἀχώριστα τῆς ὕλης· κατά τι δὲ χωριστά· κατὰ μὲν τὴν ὑπόστασιν ἔνυλα ὄντα· κατὰ δὲ τὴν ἐπίνοιαν ἄϋλα· ὥσπερ οἱ ἀριθμοὶ καὶ τὰ σχήματα. Οὐδὲ γὰρ ὁ δεῖνα τυχὼν Ἀριθμὸς, ἢ τὸ Τρίγωνον ἄνευ Ὕλης ὑποστῆναι δύναται· ἀλλ' ἢ ἐν ξύλοις, ἢ ἐν λίθοις, ἢ ἔν τισιν ἄλλοις ὑλικοῖς τὴν ὕπαρξιν ἔχουσιν· ὁ μὲν Ἀριθμὸς, κατὰ Διορισμὸν· τὸ δὲ Σχῆμα, κατὰ Συνέχειαν. Τῇ μέντοι ἐπινοίᾳ δύνανται τῆς ὕλης χωρίζεσθαι. καὶ γὰρ ἡνίκα τις φαντάζεται καὶ ἀναπολεῖ τοὺς ἀριθμοὺς αὐτοὺς καθ' ἑαυτοὺς, ἢ τὰ σχήματα, καθὼς ὁ Κηρὸς ἀναματτόμενος τὴν Σφραγῖδα, οὐδέν τι τοῦ σφραγιστηρίου ἀφαιρεῖται· τὸν αὐτὸν τρόπον καὶ οὗτος οὐδέν τι τῆς ὕλης λαμβάνει τότε, μόνα δὲ τὰ σχήματα καὶ τοὺς ἀριθμοὺς ἀΰλως ἐν τῇ διανοίᾳ διατυποῖ. Ἐπεὶ γοῦν τῷ θεωρητικῷ πάντα τὰ ὄντα πρὸς γνῶσιν ὑπόκειται, τὰ δὲ ὄντα τριττά· τούτου χάριν καὶ τὸ Θεωρητικὸν εἰς τρία διαιρεῖται. Καὶ τὸ μὲν Φυσιολογικὸν περὶ τὰ πάντη ἔνυλα καταγίνεται· τὸ δὲ Θεολογικὸν, περὶ τὰ πάντη ἄϋλα· τὸ δέ γε Μαθηματικὸν, περὶ τὰ μετέχοντα καὶ ὕλης καὶ ἀϋλίας. Καὶ Πρῶτον μέν ἐστι πρὸς ἡμᾶς τὸ Φυσιολογικὸν, ὡς πλησιάζον τοῖς ἐνύλοις ἡμῖν· Δεύτερον, τὸ Μαθηματικὸν, οἷόν τις σύνδεσμος ὑπάρχων ὕλης καὶ ἀϋλίας· τρίτον καὶ τελευταῖον τὸ Θεολογικὸν, ἀμέτοχον ὂν τῆς ὕλης παντάπασι.

Τὸ μὲν οὖν Φυσιολογικὸν, ὡς περὶ τὰ φυσικὰ καταγινόμενον καὶ φθαρτὰ, διὰ τοῦθ' οὕτως ὠνόμασται· τὸ δὲ

Θεολο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Θεολογικὸν, ὡς περὶ τὰ θεῖα καὶ ἄφθαρτα, κέκληται Θεολογικόν. Ἐπεὶ δὲ διὰ τοῦ Μαθηματικοῦ ἐξ ἄλλων ἄλλα μανθανόμεν, καὶ ἀπὸ τῶν αἰσθητῶν τὰ ὑπὲρ αἴσθησιν διδασκόμεθα, καὶ οἱονεί τινι γεφύρᾳ καὶ κλίμακι χρώμενοι τούτῳ, πρὸς τὴν ἀϋλίαν ἐκ τῆς ὕλης δι' αὐτοῦ μεταβαίνομεν, καὶ ἀπὸ τῶν χθαμαλῶν καὶ γηΐνων πρὸς θεωρίαν ὑψηλὴν μετατιθέμεθα καὶ οὐράνιον, διὰ τοῦτο μαθηματικὸν αὐτὸ προσηγόρευται. Μάθησις γάρ ἐστι τῶν μὴ ἐγνωσμένων κατάληψις, καὶ οἷον ἐξ ἀγνωσίας εἰς γνῶσιν μετάθεσις.

Τοῦτο τὸ μαθηματικὸν διαιρεῖται εἰς Ἀριθμητικὴν, Μουσικὴν, Γεωμετρίαν καὶ Ἀστρονομίαν· καὶ γὰρ περὶ Ποσὸν καταγίνεται. Τοῦ δὲ Ποσοῦ τὸ μὲν, ἐστὶ Συνεχές· τὸ δὲ, Διωρισμένον. Καὶ Συνεχὲς μὲν ἐστὶ, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει· οἷον, ἡ Γραμμή· καὶ γὰρ πάντα τὰ μέρη αὐτῆς συνημμένα ἐστὶν ἀλλήλοις, μὴ παρὰ τῶν ἐν αὐτῇ σημείων διειργόμενα τὴν συνάφειαν· τὸ γὰρ Σημεῖον, ὃ πέρας ἐστὶ τοῦ ἡμίσεος μέρους τυχὸν τῆς γραμμῆς, ἀρχὴ τοῦ λοιποῦ ἡμίσεος μέρους ταύτης καθέστηκε. Διωρισμένον δὲ ποσόν ἐστι, ὃ τὰ μέρια πρός τινα κοινὸν ὅρον οὐ συνάπτει· οἷον, ὁ Ἀριθμός· οὐ γὰρ τοῦ ἐξ τυχὸν τὸ ἥμισυ μέρος ἤτοι τὰ τρία, κοινὸν ὅρον ἔχει τινὰ μετὰ τοῦ λοιποῦ ἡμίσεος ἤτοι τῶν ἄλλων τριῶν, πρὸς ὃν ὅρον ταῦτα δὴ τὰ μέρη συναφθεῖεν ἄν, ἀλλὰ ταῖς μονάσιν ἀπ' ἀλλήλων ἅπαντα μέρη παντὸς ἀριθμοῦ διακέκρινται. Τοῦ μὲν οὖν Διωρισμένου Ποσοῦ, τὸ μέν ἐστι Καθ' αὑτό· οἷον, τὸ Ἄρτιον, τὸ Περιττὸν, τὸ Τέλειον, καὶ τὰ τοιαῦτα· τὸ δὲ, σχέσιν ἔχον πρὸς ἄλλο τι· οἷον, Διπλάσιον, Ἥμισυ, Μεῖζον, Ἔλαττον, Ἐπίτριτον, Ἡμιόλιον, καὶ τὰ ὅμοια. Τοῦ δὲ συνεχοῦς ποσοῦ, τὸ μὲν ἐστιν ἐν μονῇ καὶ στάσει· τὸ δ' ἐν κινήσει καὶ περιφορᾷ. Ἡ τοίνυν Ἀριθμητικὴ καταγίνεται περὶ ποσὸν διωρισμένον καθ' ἑαυτό· ἡ δὲ Μουσικὴ, περὶ ποσὸν διωρισμένον ἐν σχέσει· καὶ ἔστιν ἡ μὲν Ἀριθμητικὴ, γνῶσις ποσοῦ διωρισμένου καθ' αὑτό· ἡ δὲ Μουσικὴ, γνῶσις ποσοῦ διωρισμένου ἐν σχέσει. Ἡ Γεωμετρία καταγίνεται περὶ ποσὸν συνεχὲς ἀκίνητον, ὁποῖον ἡ Γῆ· καὶ

ἐστιν ἡ Γεωμετρία, γνῶσις ποσοῦ συνεχοῦς ἀκινήτου. Ἡ δὲ Ἀστρονομία περὶ ποσὸν συνεχὲς ἀεικίνητον, ὁποῖον ὁ Οὐρανός· καὶ ἔστιν ἡ Ἀστρονομία, γνῶσις ποσοῦ συνεχοῦς ἀεικινήτου. Ταῦτα μὲν περὶ τοῦ τῆς Φιλοσοφίας Θεωρητικοῦ.

Τὸ δὲ πρακτικὸν διαιρεῖται, εἰς Ἠθικὸν, Οἰκονομικὸν, καὶ Πολιτικόν. καὶ Ἠθικὸς μέν ἐστι Φιλόσοφος, ὁ τὰ ἑαυτοῦ ἤθη καὶ ἄλλου ῥυθμίζειν δυνάμενος· Οἰκονομικὸς δὲ, ὁ καὶ οἶκον ὅλον ἐκπαιδεύειν καλῶς ἐπιστάμενος· ὁ δέ γε πόλιν ἢ καὶ πόλεις διεξάγων καὶ διακυβερνῶν ἀρίστως, Πολιτικός. Κατορθοῦται δὲ τὸ πᾶν Πρακτικὸν διά τε τοῦ Νομοθετικοῦ καὶ Δικαστικοῦ. Καὶ γὰρ νομοθετεῖ ὁ Πρακτικὸς Φιλόσοφος, καὶ πόλει, καὶ οἴκῳ, καὶ μαθητῇ, καὶ ἑαυτῷ τὰ συνοίσοντα. Ὡσαύτως δὲ καὶ δικάζει· τοὺς μὲν καλῶς πράττοντας τῶν ἀγομένων ἐπαινῶν καὶ τιμῶν, καὶ τῶν προσηκουσῶν ἀμοιβῶν ἀξιῶν· τοὺς δὲ κακῶς, ἐλέγχων καὶ φαυλίζων καὶ τιμωρούμενος. Γίνεται δὲ καὶ ἑαυτῷ δικαστὴς ὁ Φιλόσοφος, καὶ τέρπεται μὲν, πράττων τὰ ἀγαθὰ καὶ ταῖς ἀρεταῖς ἐνηδύνεται· παραβαίνων δέ τι τῶν δεόντων, πενθεῖ, καὶ ἑαυτὸν ἐπιπλήττει, καὶ διόρθωσιν τῶν ἐσφαλμένων ἐργάζεται.

Ὥσπερ τοίνυν τοῦ Σώματος τελείωσίς ἐστιν ἡ Ἰατρική· οὕτω δὴ τῆς Ψυχῆς ἡ Φιλοσοφία τελείωσις, ἰατρικὴ γινωσκομένη ψυχῆς. Ἐπεὶ δὲ τῆς Ψυχῆς, τὸ μέν ἐστιν Ὀρεκτικὸν, τὸ δὲ Γνωστικόν· καὶ τὸ μὲν Ἄλογον, τὸ δὲ Λογικόν· καὶ τοῦ γνωστικοῦ τε καὶ λογικοῦ, τὸ μὲν συνεργοῦν τῷ ὀρεκτικῷ, οἷος ὁ δυνάμει νοῦς, ἡ διάνοια· τὸ δὲ χωριστὸν καὶ ἐξῃρημένον παντάπασιν, οἷος ὁ κατ᾽ ἐνέργειαν νοῦς· ὅσον μὲν τῆς Φιλοσοφίας τελειωτικόν ἐστι τοῦ ὀρεκτικοῦ τῆς ψυχῆς, καὶ αὐτοῦ δὴ τοῦ δυνάμει νοῦ, τοῦ συνεργοῦντος τῷ ὀρεκτικῷ, τοῦτο Πρακτικὸν ὀνομάζεται, περὶ πρᾶξιν ἠσχολημένον, καὶ τέλος ἔχον τὴν αἵρεσιν καὶ ἐπίτευξιν τοῦ ἀγαθοῦ· ὅσον δὲ τοῦ γνωστικοῦ τελειωτικὸν, τέλος ἔχον τὴν ἀλήθειαν, τοῦτο λέγεται κοινῶς Θεωρητικόν. Ἀλλ᾽ ὅσον μὲν τὴν γνῶσιν τοῦ δυνάμει νοῦ τελειοῖ, τὴν μετ᾽ αἰσθήσεως καὶ φαντασίας περὶ τὰ ἔνυλα εἴδη καὶ ἀχώριστα τῆς ὕλης καταγινομένην, τοῦτο καλεῖται Φυσιολογικὸν, ὅτι περὶ

ταῦτα ἡ Φύσις καὶ ἐν τούτοις ἐστίν. Ὅσον δὲ τὴν τοῦ ἐνεργείᾳ νοῦ καθαρὰν ἐνέργειαν τελειοῖ, καὶ τὴν τοῦ δυνάμει νοῦ τὴν συνεπαιρομένην τῷ ἐνεργείᾳ νῷ· εἰ μὲν περὶ τὰ πάντη χωριστὰ τῆς ὕλης ἡ γνῶσίς ἐστι, τὸ τοιοῦτον Θεολογικὸν καλεῖται, καὶ πρώτη Φιλοσοφία, καὶ μετὰ τὰ φυσικὰ, ὡς ἐπέκεινα τεταγμένον τῶν φυσικῶν. Εἰ δὲ περὶ τὰ πῇ μὲν χωριστὰ τῆς ὕλης εἴδη, πῇ δὲ ἀχώριστα, τὸ τοιοῦτον Μαθηματικὸν ὀνομάζεται καὶ περὶ ψυχῆς. Ἥ τε γὰρ μαθηματικὴ οὐσία, μέση [τίς] πως ἐστὶν ὕλης καὶ ἀϋλίας· τῷ μὲν καθόλου τὸ χωριστὸν ἔχουσα τῆς ὕλης, τῷ δὲ διαστατῷ καὶ διακεκριμένῳ, τὸ ἀχώριστον. Καὶ ἡ Ψυχὴ ὁμοίως· κατὰ μὲν τὰς αἰσθήσεις καὶ φαντασίας, καὶ τὸν δυνάμει νοῦν, ἀχώριστος τῆς ὕλης ἐστί· κατὰ δὲ τὸν ἐνεργείᾳ νοῦν, ὅς ἐστι τῆς ψυχῆς τὸ ἀκρότατόν τε καὶ καθαρώτατον, παντάπασιν ἡ ψυχὴ τῆς ὕλης κεχώρισται.

Ἡ Φιλοσοφία διαιρεῖται
- Εἰς Θεωρητικόν, οὗ εἴδη,
  - Φυσιολογικόν,
  - Μαθηματικόν· οὗ εἴδη,
    - Γεωμετρία.
    - Ἀστρονομία.
    - Ἀριθμητική.
    - Μουσική.
  - καὶ Θεολογικόν.
- καὶ Πρακτικόν. οὗ εἴδη,
  - Ἠθικόν.
  - Οἰκονομικόν.
  - Πολιτικόν.

# ΚΕΦΑΛΑΙΟΝ Η΄.

## Περὶ Συνωνύμων, Ἑτερωνύμων, καὶ Ἑτέρων, Ὁμωνύμων τε καὶ Πολυωνύμων, καὶ Παρωνύμων.

Ἕκαστον τῶν Ὄντων ἐν κόσμῳ, καὶ Ἕν τί ἐστι, καὶ Πολλά· οἷον, ὁ Ἄνθρωπος, καὶ Ἕν [τί] ἐστι καθὸ ἄνθρωπος· καὶ Πολλὰ, καθὸ ζῶον, καὶ λογικὸν, καὶ θνητὸν, καὶ νοῦ καὶ ἐπιστήμης δεκτικόν. Ἐπεὶ οὖν ἕκαστον τῶν ὄντων ἐν κόσμῳ, καὶ ἕν τί ἐστι καὶ πολλά· ὡς μὲν Ἕν, δηλοῦται ὑπὸ τοῦ ὀνόματος· ὡς δὲ Πολλὰ, δηλοῦται ὑπὸ τοῦ ὁρισμοῦ, ἢ τῆς ὑπογραφῆς. καὶ γὰρ ὁ ἄνθρωπος ἓν ὢν καὶ πολλὰ, ὡς μὲν Ἓν ὑπὸ τῆς Ἄνθρωπος δηλοῦται φωνῆς, ἥτις ἁπλοῦν ἐστιν ὄνομα· ὡς δὲ Πολλὰ, ὑπὸ τοῦ ὅρου τοῦ λέγοντος, ζῶον λογικὸν θνητόν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ὃς δὴ Ὅρος, λόγος ὑπάρχει τῶν ὧν ἔχει ὁ ἄνθρωπος ἕκαστον ἐπεξιών.

Ἔστωσαν οὖν δύω τινὰ Πράγματα ἢ καὶ πλείω, καὶ ταῦτα Ἢ καὶ κατὰ τὸ Ὄνομα καὶ κατὰ τὸν Λόγον κοινωνείτωσαν ἀλλήλοις· Ἢ καὶ κατ᾽ ἄμφω διαφερέτωσαν· Ἢ [καὶ] κατὰ μὲν τὸ Ὄνομα κοινωνείτωσαν, κατὰ δὲ τὸν Λόγον διαφερέτωσαν· Ἢ τὸ ἀνάπαλιν, κατὰ μὲν τὸν Λόγον κοινωνείτωσαν, κατὰ δὲ τὸ Ὄνομα διαφερέτωσαν, ὡς εἶναι τέσσαρας τὰς διαφοράς.

Εἰ μὲν οὖν καὶ κατ᾽ ἄμφω κοινωνοῦσι, κατὰ τὸ Ὄνομά φημι, καὶ [κατὰ] τὸν Λόγον, καλοῦνται Συννώνυμα, ὡσανεὶ μεταδιδόντα ἀλλήλοις σὺν τῷ ὀνόματι καὶ τοῦ λόγου. Συνώνυμα γάρ εἰσιν, ὧν τό, τε ὄνομα κοινόν, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός, οἷον Ζῶον, ὅ, τε Ἄνθρωπος καὶ ὁ Βοῦς κατὰ τὸ ζῶον ὄνομα συνώνυμα ὄντα· καὶ γὰρ ἄμφω καὶ ζῶα προσαγορεύονται, καὶ τὸν αὐτὸν ἐπιδέχονται λόγον, καθὸ ζῶα· ἔστι γὰρ ἑκάτερον, Οὐσία ἔμψυχος, αἰσθητική, μεταβατική.

Εἰ δὲ κατὰ τὸ Ὄνομα, καὶ κατὰ τὸν Λόγον διαφέρουσιν, εἰ μὲν ἔχουσιν ἓν ὑποκείμενον, λέγονται Ἑτερώνυμα, ὥσπερ Ἀνάβασις καὶ Κατάβασις· ἔχουσι γὰρ ἓν ὑποκείμενον τὴν Κλίμακα· ὁμοίως καὶ Σπέρμα καὶ Καρπός· θεωροῦνται γὰρ περὶ τὸν αὐτὸν σῖτον, ὃς πρὸς μὲν τὸ εἶναι καὶ ἀπηρτῖσθαι λέγεται καρπός· πρὸς δὲ τὸ μέλλειν καὶ πεφυκέναι, λέγεται σπέρμα.

Εἰ δὲ διάφορα ἔχουσι τὰ ὑποκείμενα, λέγονται Ἕτερα· οἷον, Ἄνθρωπος καὶ Ἵππος, οὐ καθὸ ζῶα, (κατὰ τοῦτο γὰρ Συνώνυμά εἰσιν) ἀλλὰ καθὸ ἄνθρωπος καὶ ἵππος. Διάφορα γὰρ ἔχουσι καὶ τὰ ὀνόματα· διαφόρους δὲ καὶ τοὺς κατὰ τὰ ὀνόματα λόγους. ὁ μὲν γὰρ Ἄνθρωπος ᾗ ἄνθρωπος, ζῶόν ἐστι λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ὁ δὲ Ἵππος, ᾗ ἵππος ζῶον ἄλογον τετράπουν χρεμετιστικόν. Ἀλλὰ καὶ τὰ ὑποκείμενα διάφορα· Ἄλλη γὰρ ἡ οὐσία τοῦ ἀνθρώπου, καὶ ἄλλη ἡ οὐσία τοῦ ἵππου. Λέγεται δὲ Ἑτερώνυμα μέν, ὧν τό, τε Ὄνομα ἕτερον, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, ἓν ἐχόντων τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑποκείμενον. Ἕτερα δὲ, ὧν τό, τε Ὄνομα ἕτερον, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, διάφορα ἐχόντων τὰ ὑποκείμενα.

Εἰ δὲ κατὰ μὲν τὸ Ὄνομα κοινωνοῦσι, κατὰ δὲ τὸν Λόγον διαφέρουσι, καλοῦνται Ὁμώνυμα. Ὁμώνυμα γάρ εἰσιν, ὧν Ὄνομα μόνον κοινὸν, ὁ δὲ κατὰ τοὔνομα Λόγος τῆς οὐσίας ἕτερος· ὥσπερ οἱ δύω Αἴαντες. οὗτοι γὰρ ἓν μὲν ὄνομα κοινὸν ἔχουσι τὸ Αἴας· τὸν δὲ κατὰ τὸ αἴας λόγον, οὐ τὸν αὐτόν· ὁ μὲν γάρ ἐστιν αἴας ὁ τοῦ Τελαμῶνος Υἱὸς, ὁ ἐκ Σαλαμῖνος, ὁ μονομαχήσας τῷ Ἕκτορι· ὁ δὲ αἴας ὁ τοῦ Ὀϊλέως Υἱὸς, ὁ τοὺς πόδας ταχὺς, καὶ εἴτι ἕτερον ἔχει. Πρόσκειται δὲ κατὰ τοὔνομα καλῶς πανταχοῦ· κατ᾽ ἄλλο γάρ τι τὰ ὁμώνυμα, συνώνυμα εὑρεθήσονται· καὶ τὰ συνώνυμα, ὁμώνυμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ἰδοὺ γάρ, καὶ οἱ δύω Αἴαντες, καθὸ μὲν αἴαντες Ὁμώνυμοί εἰσι· καθὸ δὲ ἄνθρωποι, πάντως Συνώνυμοι. Ὁ δὲ λόγος ἐν τούτοις ἅπασι κατά τε τοῦ ὁρισμοῦ καὶ τῆς ὑπογραφῆς εἴρηται. Τὸ δὲ τῆς οὐσίας ὄνομα τὸ ἁπλῶς εἶναι δηλοῖ. οἱ γὰρ δύω Αἴαντες, καθό εἰσιν αἴας ἑκάτεροι, κατὰ τοῦτο τὸν λόγον ἔχουσιν ἕτερον· κατὰ δὲ τὴν φύσιν, ἕνα καὶ τὸν αὐτόν.

Χρὴ δὲ γινώσκειν, ὅτι τὸ Ὄνομα οἱ Φιλόσοφοι καὶ κατὰ πάσης φωνῆς σημαντικῆς ἐκλαμβάνουσιν. Εἰ τοῦτο, τοίνυν καὶ ῥήματα ὁμώνυμα ἔσονται, οἷον τὸ ἐρῶ. ἔστι γὰρ τὸ λέξω, καὶ τὸ ἐρωτικῶς ἔχω. καὶ ἐφ᾽ ἑτέρων δὲ τοῦ λόγου μερῶν ὁμωνυμίαν εὑρήσει τις. Τρία δὲ δεῖ ἐπὶ τῶν ὁμωνύμων ζητεῖν· Εἰ ἔστι τῶν ὁμωνύμων τὸ περὶ οὗ ὁ λόγος. Καὶ κατὰ πόσων σημαινομένων τὸ τοιοῦτον ὄνομα φέρεται. Καὶ περὶ ποίου τῶν σημαινομένων ὁ λόγος ἐστίν.

Εἰ δὲ κατὰ μὲν τὸν Λόγον κοινωνοῦσι τὰ πράγματα, κατὰ δὲ τὸ Ὄνομα διαφέρουσι, Πολυώνυμα λέγονται, ἤγουν ὅταν τὸ αὐτὸ πρᾶγμα πολλοῖς καλῆται ὀνόμασιν, οἷον Φάσγανον, Σπάθη, Ξίφος, Ἄορ· ἕνα γὰρ λόγον ἐπιδέχονται ταῦτα πάντα· Σίδηρος γὰρ ἀμφήκης εἰσίν. Ἔστι δὲ ὁ τῶν πολυωνύμων Λόγος, πλεῖστα ὀνόματα καθ᾽ ἑνὸς λεγόμενα πράγματος.

Εἰσὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰσὶ δὲ καί τινα μεταξὺ τῶν ὁμωνύμων καὶ τῶν συνωνύμων, κοινωνοῦντα καὶ διαφέροντα τῷ τε ὀνόματι καὶ τῷ κατὰ τοὔνομα λόγῳ· πλησιάζουσι δὲ ταῦτα μᾶλλον τοῖς συνωνύμοις· πλείονα γὰρ ἔχουσι τὴν κοινωνίαν, ἢ τὴν διαφοράν, ἅπερ καλοῦνται Παρώνυμα, ὡς ἀπό τινων παρωνομασμένα· οἷον, ἀπὸ τῆς Γραμματικῆς, ὁ Γραμματικός, καὶ ἀπὸ τῆς Μουσικῆς ὁ Μουσικός· καὶ γὰρ τῷ ὀνόματι κοινωνοῦσι καὶ διαφέρουσι, μὴ τὴν αὐτὴν κατάληξιν ἔχοντα τοῦ ὀνόματος· καὶ τῷ κατὰ τοὔνομα λόγῳ κοινωνοῦσι πάλιν καὶ διαφέρουσιν· ἡ μὲν γὰρ Γραμματικὴ καὶ ἡ Μουσικὴ γνώσεις εἰσίν· ὁ δὲ Γραμματικὸς καὶ ὁ Μουσικὸς οὐσίαι, ἐν αἷς αἱ γνώσεις. Ἡ γραμματικὴ δὲ Γυνή, καὶ ἡ μουσικὴ Γυνή, οὐκ εἰσὶ παρώνυμα, ἀλλ' ὁμώνυμα.

Χρὴ γὰρ ἐπὶ μὲν τῶν Παρωνύμων ἐξ ἀνάγκης παρηλλάχθαι τὴν κατάληξιν τοῦ ὀνόματος· ἐπὶ δὲ τῶν Ὁμωνύμων σώζεσθαι κατὰ πάντα τὸ ὄνομα ἀπαράλλακτον· μὴ μόνον κατὰ τὴν Κατάληξιν, ἀλλὰ καὶ κατὰ τὸ Πνεῦμα, καὶ κατὰ τὸν Τόνον καὶ κατὰ τὴν Πτῶσιν, καὶ κατὰ τὴν Γραφήν, καὶ κατὰ τὸν Ἀριθμόν, καὶ κατὰ τὸ Γένος, καὶ κατὰ τὸ τοῦ λόγου Μέρος, καὶ κατὰ τὴν Συνήθειαν. τὸ γὰρ Οἷος, δασυνόμενον μὲν δηλοῖ τό, ὁποῖος· ψιλούμενον δέ, τὸ μόνος· καὶ ἡ τοῦ πνεύματος διαφορὰ χωρίζει τῶν ὁμωνύμων αὐτό. Ἀλλ' οὐδὲ τὸ ἄργος, καὶ τὸ ἀργὸς ὁμώνυμά εἰσι διὰ τὴν τοῦ Τόνου διαφοράν. τὸ μὲν γὰρ Ἄργος παροξυτόνως, δηλοῖ τὸν Ἄργον ὃν ἀπέκτεινεν ὁ Ἑρμῆς καὶ ἄλλων ὀνόματα· τὸ δὲ Ἀργὸς ὀξυτόνως, δηλοῖ τὸν βραδὺν καὶ λευκόν. Τὸ Ἐλάτης διαφέρον κατὰ τὴν Πτῶσιν, οὐκ ἔστιν ὁμώνυμον· ὅτε γὰρ τὸν ἐλάτην δηλοῖ τὸν Ἡνίοχον, εὐθεῖά ἐστιν. ὅτε δὲ τὴν ἐλάτην τὸ Δένδρον, γενική· ἐνταῦθα δὲ καὶ κατὰ τὸ Γένος ἐστὶν ἡ διαφορά. Τὸ Καινὸν καὶ Κενὸν κατὰ τὴν Γραφὴν διαφέρον, οὐκ ἔστιν ὁμώνυμον. ψιλούμενον γάρ, σημαίνει τὸ μάταιον καὶ τὸ κοῦφον· διφθογγιζόμενον δέ, τὸ νέον καὶ τὸ παράδοξον. Τὸ Εἶπον, ἐπεὶ διαφέρει τῷ Ἀριθμῷ, καὶ ἑνικῶς μέν, δηλοῖ τό, εἶπον ἐγώ· πληθυντικῶς δέ, τό, εἶπον ἕτεροι. διὰ τοῦτο οὐκ ἔστιν ὁμώνυμον. Τὸ Φάρος, ὅτι

διαφέρει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διαφέρει κατὰ τὸ Γένος, οὐκ ἔστιν ὁμώνυμον· Ἀρσενικῶς μὲν γὰρ αὐτὸ τὸ Κτίσμα δηλοῖ· Θηλυκῶς δὲ, τὴν Πόλιν· Οὐδετέρως δὲ, τὸ Ἱμάτιον. Τὸ Ἔχεις, μέρει λόγου διαφέρει· καὶ ὅτε μὲν Ὄνομα ἐστὶ, γένος Ὄφεων σημαίνει πληθυντικῶς· ὅτε δὲ Ῥῆμα, ἐπὶ δευτέρου προσώπου τὸ κέκτησαι· διὸ καὶ τῆς ὁμωνυμίας ἐξέπεσε. Τὸ Ἅρμα, συνηθείᾳ μὲν ἑλληνικῇ ταττόμενον ἐπὶ τοῦ ἱππικοῦ ζεύγους· ἐπὶ τῶν ὅπλων δὲ τῷ ῥωμαίων ἔθει φερόμενον, τῶν ὁμωνύμων ἀπηλλοτρίωται. τοσαῦτα περὶ τῶν ὁμωνύμων.

Τὰ δὲ Παρώνυμα ὑπογράφουσιν οὕτως· Παρώνυμά εἰσιν, ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει, τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει. οἷον, ἀπὸ τῆς Γραμματικῆς ὁ γραμματικὸς, καὶ ἀπὸ τῆς Ἀνδρείας, ὁ ἀνδρεῖος. ἐν ταύτῃ τῇ τῶν παρωνύμων ὑπογραφῇ, πτῶσις καλεῖται πέρας τῆς λέξεως. Τεσσάρων δέ τινων χρεία, ἵνα γίνωνται τὰ παρώνυμα· κοινωνίας καὶ διαφορᾶς Ὀνόματος, καὶ κοινωνίας καὶ διαφορᾶς Πράγματος. Ὅθεν τὸ Ἕλενος καὶ Ἑλένη, παρώνυμα οὐκ εἰσί· κοινωνίαν μὲν γὰρ καὶ διαφορὰν ὀνόματος ἔχουσι· πράγματος δὲ κοινωνίαν οὐκ ἔχουσιν· ὁ μὲν γὰρ Ἕλενος ὁ ἐκ Τροίας ὁ Πριαμίδης, ὁ μαντικὸς, ἕτερος· ἄλλη δὲ πάλιν ἡ Ἑλένη ἡ λάκαινα, ἡ τῆς Λήδας ἐκ Τυνδάρεω παῖς, ἡ μυρίων συμφορῶν Φρυξὶν αἰτία καὶ Ἀχαιοῖς· καὶ οὐχ ὡς ἐξ ἐπιστήμης ὁ ἐπιστήμων, ἐκ τῆς Ἑλένης ὁ Ἕλενος. Ἀλλ᾽ οὐδὲ τὸ Παρθενικὴ καὶ Παρθένος, παρώνυμα· Πράγματος γὰρ ἐν τούτοις οὐκ ἔστι διαφορά. ταυτὸ γὰρ αἱ λέξεις καὶ ἄμφω σημαίνουσι. Παρθένος δ᾽ ἡμῖν ἐκ τοῦ παρὰ Θεῷ εἶναι, τουτέστι, πλησίον θεοῦ, διὰ τὴν ἁγνείαν ἠτυμολόγηται· εἴγε τὸ ὅλον παρθένος εἴη, καὶ τῆς ψυχῆς παρθενευούσης μετὰ τοῦ σώματος· οὔτε δὲ τὸ Ἀρετὴ καὶ Σπουδαῖος παρώνυμα· καὶ γὰρ ἄπεστιν ἐκ τούτων ἡ κοινωνία τοῦ Ὀνόματος· οὔτ᾽ αὖ μουσικὴ Γυνὴ, καὶ μουσικὴ Ἐπιστήμη παρώνυμα, διὰ τὸ μὴ κεκτῆσθαί τινα διαφορὰν τοῦ Ὀνόματος.

Διαφέρουσι δὲ τὰ Παρώνυμα τῶν Ἀφ᾽ ἑνὸς· ὅτι τὰ μὲν Παρώνυμα περιέχουσι τὰ ἀφ᾽ ὧν παρωνομάσθησαν· ὡς ὁ γραμματικὸς τὴν Γραμματικὴν, καὶ ὁ δίκαιος τὴν

Δικαιο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δικαιοσύνην· τὰ δὲ Ἀφ᾽ ἑνὸς, οὐκ ἔτι· οὐδὲ γὰρ περιέχει τὸ ἰατρικὸν ἐργαλεῖον τὴν Ἰατρικὴν, οὐδὲ τὸ γραμματικὸν βιβλίον τὴν Γραμματικήν· ἐπεὶ τὸ μὲν ἂν ἰάτρευεν ἐξ ἑαυτοῦ, τὸ δ᾽ ἔγραφε καὶ ἀνεγίνωσκε.

**Τῶν ὄντων ἕκαστον**

- Ἢ καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν Λόγον κοινωνοῦσι· καὶ εἰσὶ Συνώνυμα, οἷον ζῷον, ὅ, τε Ἄνθρωπος, καὶ ὁ Βοῦς, κατὰ τὸ ζῷον ὄνομα.
- Ἢ καὶ κατὰ τοὔνομα, καὶ κατὰ τὸν Λόγον διαφέρουσι· καὶ ταῦτα.
  - Ἢ ἐν ἔχουσιν ὑποκείμενον, καὶ εἰσὶν Ἑτερώνυμα, ὡς Ἀνάβασις καὶ Κατάβασις.
  - Ἢ διάφορα, καὶ εἰσὶν Ἕτερα, ὡς Ἄνθρωπος καὶ Ἵππος, καθὸ ἄνθρωπος καὶ ἵππος.
- Ἢ κατὰ μὲν τὸ Ὄνομα κοινωνοῦσι, κατὰ δὲ τὸν Λόγον διαφέρουσι, καὶ εἰσὶν Ὁμώνυμα· ὡς οἱ δύω Αἴαντες κατὰ τὸ αἴας ὄνομα.
- Ἢ κατὰ μὲν τὸν Λόγον κοινωνοῦσι, κατὰ δὲ τὸ Ὄνομα διαφέρουσι, καὶ εἰσὶ Πολυώνυμα, Ἄορ, Ξίφος, Μάχαιρα.
- Ἢ κοινωνοῦσι καὶ διαφέρουσι, καὶ κατὰ τοὔνομα, καὶ κατὰ τὸν κατὰ τοὔνομα Λόγον, καὶ εἰσὶ Παρώνυμα ὡς Γραμματικὸς καὶ Γραμματική.

# ΚΕΦΑΛΑΙΟΝ Θ´.

## Περὶ τῶν πέντε Φωνῶν.

Η Φωνὴ ἢ Ἔναρθρός ἐστιν, ἢ Ἄναρθος. Καὶ περὶ μὲν τῆς ἀνάρθρου φωνῆς, ἐπείπερ οὐκ ἐγγράμματος αὕτη, λόγος οὐδείς. Ἡ δ᾽ ἔναρθρος Φωνὴ καὶ ἐγγράμματος, ἢ Σημαντική ἐστιν, ἢ Ἄσημος· Ἄσημος μὲν οὖν ἐστιν, ἡ μὴ δηλοῦσά τι πρᾶγμα. Τοιαύτην ἄσημον ἔφασάν τινες εἶναι, τὸ Βλίτυρι, καὶ τὸ Σκινδαψός· ἥτις φωνὴ καὶ ἀκατηγόρητος λέγεται, ὡς μὴ κατά τινος πράγματος ἀγορευομένη, τοῦτ᾽ ἐστι, λεγομένη. Σημαντικὴ δὲ καὶ κατηγορικὴ Φωνή ἐστιν, ἡ σημαίνουσα πρᾶγμα· οἷον, ζῷον, ἄνθρωπος, λίθος· ἥτις λέγεται, καὶ ἁπλῶς κατηγορική· ὡς ἀγορευομένη καὶ λεγομένη κατὰ πράγματος ὁπωσοῦν. Αὕτη [τοίνυν] ἡ ἁπλῶς κατηγορικὴ λεγομένη [Φωνὴ] ἢ Μερική ἐστιν, ἢ Καθόλου.

Καὶ

Καὶ μερικὴ μὲν, ἡ ἐπὶ τῶν ἀτόμων παραλαμβανομένη· περὶ ὧν οὐ διαλαμβάνουσιν οἱ Φιλόσοφοι, διὰ τὸ ἄπειρα ὑπάρχειν αὐτά.

Ἡ δὲ ἁπλῶς κατηγορικὴ καθόλου φωνή, Ἢ οὐσιωδῶς κατηγορεῖται, ὧν κατηγορεῖται, Ἢ ἐπουσιωδῶς. Καὶ εἰ μὲν οὐσιωδῶς κατηγορεῖται, Ἢ πολλαῖς φύσεσιν ἁρμόζει, Ἢ μιᾷ. Καὶ εἰ μὲν πολλαῖς φύσεσιν ἁρμόζει, Ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ποιεῖ τὸ Γένος, Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ ποιεῖ τὴν Διαφοράν. Εἰ δὲ μιᾷ φύσει ἁρμόζει, Ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ Εἶδος· Ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ ποιεῖ τὸ οὐσιῶδες Ἴδιον. καὶ οὕτω μὲν ἡ οὐσιωδῶς κατηγορουμένη καθόλου Φωνή.

Ἡ δ' ἐπουσιωδῶς κατηγορουμένη, Ἢ μιᾷ φύσει ἁρμόζει καὶ αὐτή, Ἢ πολλαῖς. Καὶ εἰ μὲν μιᾷ (φύσει) ἁρμόζει, ποιεῖ τὸ ἐπουσιῶδες Ἴδιον· δῆλον δ' ὅτι καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται· ἐπὶ γὰρ τῶν ἐπουσιωδῶν, οὐδεμίαν χώραν ἔχει τὸ τί ἐστιν. Εἰ δὲ πολλαῖς φύσεσιν ἁρμόζει, ποιεῖ τὸ Συμβεβηκός. Καὶ εἰ μὲν ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται, ποιεῖ τὸ ἀχώριστον συμβεβηκός. Εἰ δ' ἐν τῷ πῶς ἔχον ἐστί, ποιεῖ τὸ χωριστὸν συμβεβηκός.

Συνάγονται τοίνυν ἐντεῦθεν καθόλου φωναὶ κατηγορικαὶ ἁπλῶς, ἤτοι σημαντικαί, πέντε· Γένος, Διαφορά, Εἶδος, Ἴδιον, καὶ Συμβεβηκός. καὶ περὶ τούτων παρὰ τοῖς Φιλοσόφοις ὁ λόγος. Τὸ μὲν οὖν Γένος προτερεύει τῆς Διαφορᾶς, ὅτι περιεκτικόν ἐστι τῶν διαφορῶν· τὸ γὰρ ζῷον γένος ὄν, περιέχει ἐν ἑαυτῷ τὸ λογικὸν καὶ τὸ ἄλογον. Ἡ Διαφορὰ δὲ προτερεύει τοῦ Εἴδους· ἐπεὶ καθολικωτέρα τοῦ εἴδους ἐστί· καὶ γὰρ τὸ λογικὸν καθολικώτερόν ἐστι τοῦ ἀνθρώπου· φέρεται γὰρ οὐ κατὰ τοῦ Ἀνθρώπου μόνον, ἀλλὰ καὶ κατὰ τοῦ Ἀγγέλου. Τὸ δὲ Εἶδος, προτερεύει τοῦ Ἰδίου· ἐπειδὴ τὸ μὲν Εἶδος, μόνον οὐσιῶδές ἐστι· τὸ δὲ Ἴδιον καὶ ἐπουσιῶδες· τὰ οὐσιώδη δὲ τῶν ἐπουσιωδῶν τιμιώτερα· ταῦτα γὰρ παρόντα μὲν σώζουσι τὸ εἶδος· ἀπόντα δὲ φθείρουσιν αὐτό· τὰ δὲ ἐπουσιώδη, οὔτε παρόντα σώζουσιν, οὔτε ἀπόντα φθείρουσι. Καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλως δὲ, δεῖ πρότερον εἶναι τὸ εἶδος καὶ οὕτως ἔχειν τὸ ἴδιον εἴδεσιν ἄλλοις ἀμέθεκτον. Τὸ δὲ Ἴδιον προτερεύει τοῦ Συμβεβηκότος· ἐπειδὴ τὸ μὲν Συμβεβηκὸς μόνον ἐπουσιῶδές ἐστι· τὸ δὲ Ἴδιον καὶ οὐσιῶδες καὶ ἐπουσιῶδες. Ἀλλὰ καὶ αὐτὸ τὸ ἐπουσιῶδες Ἴδιον, τιμιώτερόν ἐστι τοῦ Συμβεβηκότος. Τὸ μὲν γὰρ ψυχική τίς ἐστι δύναμις ἐντὸς θεωρουμένη, καὶ τὸ εἶδος χαρακτηρίζουσα· μόνῳ γὰρ ὑπάρχει τῷ εἴδει καὶ παντὶ καὶ ἀεί· ὅθεν καὶ ἀντιστρέφει. καὶ γὰρ εἴ τι Ἄνθρωπος, Γελαστικόν· καὶ εἴ τι Γελαστικὸν, Ἄνθρωπος. Τὸ δὲ Συμβεβηκὸς, ἐκτός ἐστι περὶ τὸ σῶμα, καὶ πρὸς αὐτὴν μᾶλλον τὴν ἐπιφάνειαν, καὶ οὐδὲ μόνῳ τῷ εἴδει ὑπάρχει, ἵνα διαχωρίσῃ αὐτὸ τῶν ἄλλων εἰδῶν. καὶ γὰρ λευκὸς μὲν ὁ Κύκνος ἐστὶν, οὐ μὴν δὲ καὶ ἀντιστρέφει· ἐπείπερ οὐκ εἴ τι λευκὸν, τοῦτο ἤδη καὶ Κύκνος· πολλὰ γὰρ παρὰ τὸν κύκνον πτηνὰ ζῶα κατείδομεν λευκὰ, καὶ μᾶλλον ἐν τοῖς αἰγιαλοῖς· Ἀλλὰ καὶ ἡ Χιὼν, καὶ ἡ Τίτανος, καὶ ἄλλα πολλὰ λευκὰ ὄντα, οὐκ εἰσὶ Κύκνοι. καὶ κατὰ τοῦτον οὖν τὸν λόγον εἰκότως καὶ τὸ ἐπουσιῶδες Ἴδιον προτέτακται τοῦ Συμβεβηκότος· τὸ δὲ συμβεβηκὸς τὴν ἐσχάτην εἴληχε τάξιν.

Τὸ μὲν οὖν Γένος, ἡ Διαφορὰ καὶ τὸ Εἶδος, οὐσιώδη πάντοτέ εἰσι· τὸ δὲ Συμβεβηκὸς, ἐπουσιῶδες ἀεί. τὸ δέ γε Ἴδιον ἐπαμφοτερίζει· καὶ τὰ πολλὰ μὲν ἐπουσιῶδές ἐστιν· εὑρίσκεται δέ πῃ καὶ οὐσιῶδες· οἷον ἐν τῷ ἀνθρώπῳ, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· οὐ γάρ ἐστι τοῦτο διαφορά· κατὰ πλειόνων γὰρ εἰδῶν, οὐ καθ' ἑνὸς ἡ διαφορά· τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἰδίως μόνῳ τῷ ἀνθρώπῳ ὑπάρχει· μόνος γὰρ ὁ ἄνθρωπος δέχεται τὸν θύραθεν νοῦν τὸν ἐκ τῆς μαθήσεως, καὶ μόνος τὰς ἐπιστήμας διδάσκεται. Λέγεται δὲ οὐσιῶδες [καὶ] τὸ τοιοῦτον ἴδιον, ὅτι καὶ παρὸν σώζει τὸ εἶδος· ὁ γὰρ ἄνθρωπος, τοῦτο ὅλον ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ ἀπὸν φθείρει· εἰ μὴ γὰρ ὑπάρχει νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐκ ἔστιν ἄνθρωπος. Ἐπεὶ οὖν τὸ, νοῦ καὶ ἐπιστήμης δεκτικὸν καὶ παρὸν σώζει τὸν ἄνθρωπον, καὶ ἀπὸν φθείρει· λέγεται δὲ καὶ καθ' ἑνὸς εἴδους μόνου τοῦ ἀνθρωπείου, καὶ ἐν τῷ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁποῖόν τί ἐστι κατηγορεῖται, διὰ ταῦτα οὐσιῶδες ἴδιον εἴρηται. Τὸ δὲ Γελαστικὸν, ἴδιον τοῦ ἀνθρώπου ἐπουσιῶδές ἐστι· παρὸν μὲν γὰρ οὐ σώζει· καὶ γὰρ οὐ χρήζομεν τοῦ γελαστικοῦ πρὸς συμπλήρωσιν τῆς φύσεως ἡμῶν· τοῦ δέ γε νοῦ καὶ ἐπιστήμης δεκτικοῦ χρήζομεν, διὰ τὴν ἔξωθεν γνῶσιν καὶ τὰς ἐπιστήμας ὡς εἴρηται· ἀπὸν δὲ πάλιν τὸ τοιοῦτον ἐπουσιῶδες ἴδιον, οὐ φθείρει· δύναται γὰρ καὶ μὴ ἔχων τὸ γελαστικὸν ὁ ἄνθρωπος οὐδὲν ἧττον εἶναι ἄνθρωπος· μὴ ἔχων δὲ καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐ δύναται εἶναι ἄνθρωπος, μήτε γνῶσιν, μήτε ἐπιστήμην δυνάμενος δέξασθαι.

Παραλαμβάνονται δὲ καὶ τὰ Ἴδια ἐν τοῖς ὁρισμοῖς, χαρακτηριστικὰ τυγχάνοντα τῶν εἰδῶν. Καὶ ὅπου μὲν ἐστιν οὐσιῶδες ἴδιον, τοῦ ἐπουσιώδους προκρίνεται. (χαρακτηρίζειν γὰρ μᾶλλον δύναται.) καὶ εἰς τὸν ὁρισμὸν τοῦτο παραλαμβάνεται· ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου· λέγομεν γὰρ, Ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν· καὶ οὐ λέγομεν γελαστικόν. Ὅπου δὲ οὐσιῶδες ἴδιον οὐχ εὑρίσκεται, τὸ ἐπουσιῶδες εἰσάγεται, ὡς ἐπὶ τοῦ ἵππου· λέγομεν γὰρ, ἵππος ἐστὶ ζῶον ἄλογον τετράπουν χρεμετιστικόν. καὶ ἐστι τὸ χρεμετιστικὸν, ἴδιον ἐπουσιῶδες τοῦ ἵππου.

Ἐν μὲν οὖν τοῖς ἄλλοις ζώοις, ἐπουσιῶδες μόνον τὸ ἴδιον. ὁ δὲ ἄνθρωπος, ἐπεὶ καὶ τῆς ἀλόγου μετέχει φύσεως καὶ ζωῆς, καὶ τὴν λογικὴν ψυχὴν ἐξαίρετον ἔχει παρὰ πάντα τὰ ζῶα, διὰ τοῦτο διττὸν φέρει τὸ ἴδιον. τὸ μὲν γελαστικὸν, ὡς κοινωνῶν τοῖς ἀλόγοις· τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὡς νοερός τε καὶ λογικὸς, καὶ τοῖς Ἀγγέλοις τρόπον τινὰ συναπτόμενος, καὶ Ἄγγελος ὢν μετὰ σώματος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

- ἡ Φωνή
  - Ἡ Ἔναρθρος
    - Ἡ Σημαντική
      - Ἡ Καθόλου
        - Ἡ Οὐσιώδης
          - Ἡ πολλαῖς Φύσεσιν ἁρμόζει.
            - Ἡ ἐν τῷ Τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ Γένος.
            - Ἡ ἐν τῷ Ὁποῖόν τί ἐστι, καὶ ποιεῖ τὴν Διαφοράν.
          - Ἡ μιᾷ
            - Ἡ ἐν τῷ Τί ἐστι, καὶ ποιεῖ τὸ Εἶδος.
            - Ἡ ἐν τῷ Ὁποῖόν τί ἐστι, καὶ ποιεῖ τὸ οὐσιῶδες Ἴδιον.
        - Ἡ Ἐπουσιώδης
          - Ἡ μιᾷ φύσει ἁρμόζει, καὶ ποιεῖ τὸ ἐπουσιῶδες Ἴδιον.
          - Ἡ πολλαῖς, καὶ ποιεῖ τὸ Συμβεβηκός.
      - Ἡ Μερική.
    - Ἡ Ἄσημος.
  - Ἡ Ἄναρθρος.

## ΚΕΦΑΛΑΙΟΝ. Ι′.

### Περὶ Γένους καὶ Εἴδους, ἐν ᾧ καὶ περὶ Σχέσεως.

Τὰ σημαινόμενα τοῦ Γένους ὑπάρχει διάφορα. Γένος γὰρ λέγεται, καὶ ἡ ἑκάστου τῆς γενέσεως ἀρχή· εἴτε ἀπὸ τοῦ Τεκόντος, εἴτε ἀπὸ τῆς Πατρίδος. Ἀπὸ μὲν τοῦ τεκόντος, ὡς ὅταν εἴπωμεν, τὸν Ἰούδαν ἐκ τοῦ Ἰσραὴλ ἔχειν τὸ γένος, ἢ ἐκ τοῦ Ἀβραάμ. Ἀπὸ δὲ τῆς πατρίδος, ὡς ὅταν λέγωμεν τὸν Παῦλον ταρσέα εἶναι τὸ γένος. ἐκεῖ μὲν γὰρ τὸ γένος ἐστὶν ἡ ἀρχὴ τῆς γενέσεως ὁ Ἀβραὰμ καὶ ὁ Ἰσραήλ· ἐνταῦθα δὲ πάλιν γένος καὶ ἀρχὴ γενέσεως, ἡ Ταρσός. Διττὴ τοίνυν ἡ τῆς γενέσεως Ἀρχή, φυσική τε καὶ τοπική. Φυσικὴ μέν, ἡ ἐκ τοῦ τεκόντος· τοπικὴ δέ, ἡ ἐκ τῆς πατρίδος. Λέγεται Γένος καὶ αὐτὸ τὸ πλῆθος τῶν ἀπὸ μιᾶς ἀρχῆς, καθὸ σχέσεως ἔχουσι πρός τε τὴν πρώτην ἀρχήν, καὶ πρὸς ἀλλήλους αὐτούς· ὡς ὅταν λέγωμεν τὸ γένος τῶν Ἰουδαίων· καὶ γὰρ οἱ Ἰουδαῖοι σχέσιν ἔχουσι καὶ πρὸς τὴν πρώτην ἀρχὴν τῆς γενέσεως, ἤγουν τὸν Ἰούδαν, ἐξ οὗ κατάγονται, καὶ πρὸς ἀλλήλους τὴν τῆς συγγενείας. Ἐκλήθησαν δὲ πρώτως καὶ κυρίως οἱ Ἰουδαῖοι,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἱ ἐκ τοῦ Ἰούδα, κατὰ ἀποτομὴν τῶν ἀπὸ τῶν ἄλλων κεκλημένων γενῶν, ἤγουν τῶν Λευϊτῶν, τῶν Βενιαμιτῶν, καὶ τῶν λοιπῶν φυλῶν· ὕστερον δὲ καὶ τὸ ἅπαν γένος τῶν Ἑβραίων Ἰουδαῖοι κατωνομάσθησαν, διὰ τὸ τῆς Ἰούδα φυλῆς ἐπίσημον καὶ βασιλικόν. Ἄλλως δὲ λέγεται γένος, ᾧ ὑποτάσσεται τὸ εἶδος, καθ' ὁμοιότητα τῶν εἰρημένων ἴσως γενῶν· Ἀρχή τε γάρ ἐστι τὸ τοιοῦτον γένος τῶν ὑφ' ἑαυτὸ, καὶ περιέχει καὶ πᾶν τὸ πλῆθος τῶν ὑπ' αὐτό. Τριχῶς οὖν τοῦ γένους λεγομένου, περὶ τοῦ τρίτου τοῖς Φιλοσόφοις ὁ λόγος, ὃ καὶ ὑπογράφοντες λέγουσι. Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ Εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον.

Καὶ τὸ Εἶδος δὲ, οὐχ ἕν τι δηλοῖ· λέγεται γὰρ τὸ εἶδος καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθ' ὃ λέγομεν εὐειδεῖς ἀνθρώπους καὶ δυσειδεῖς· οἷον, ὁ μὲν Νηρεὺς εὐειδής· ὁ Θερσίτης δὲ δυσειδής, καὶ τὸ εἶδος τοῦ Ἀνδριάντος τοῖόν δε. Λέγεται εἶδος, καὶ τὸ τασσόμενον ὑπὸ τὸ γένος, καὶ οὗ κατηγορεῖται τὸ γένος ἐν τῷ τί ἐστι· περὶ τούτου τοῖς Φιλοσόφοις ὁ λόγος. Ἐπεὶ δὲ τὸ γένος ἀποδιδόντες, τοῦ εἴδους ἐμνήσθημεν, εἰπόντες· Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον· καὶ τὸ εἶδος ὑπογράφοντες, καὶ περὶ τοῦ γένους διαλαμβάνομεν· Εἶδός ἐστι λέγοντες, τὸ τασσόμενον ὑπὸ τὸ γένος, καὶ οὗ κατηγορεῖται τὸ γένος ἐν τῷ τί ἐστι.

Χρὴ γινώσκειν, ὅτι καθάπερ ἐν τῷ περὶ τοῦ Πατρὸς λόγῳ καὶ ὁ Υἱὸς συνεισάγεται, καὶ ὁ Πατὴρ πάλιν ἐν τῷ περὶ τοῦ Υἱοῦ. Πατὴρ γάρ ἐστιν ὁ ἔχων Υἱόν· καὶ Υἱὸς, ὁ ἔχων Πατέρα, τὸν αὐτὸν τρόπον κἀν τῷ περὶ γένους λόγῳ, καὶ τὸ εἶδος εἰσφέρεται, κἀν τῷ περὶ εἴδους τὸ γένος· τὸ γὰρ Γένος, Εἴδους ἐστὶ γένος· καὶ τὸ Εἶδος, Γένους ἐστὶν Εἶδος. Σχέσιν γὰρ ἔχουσι πρὸς ἄλληλα φυσικήν.

Λέγεται δὲ ἡ σχέσις τετραχῶς· Ἡ κατὰ Τέχνην, ὥσπερ Διδασκάλου καὶ Μαθητοῦ· Ἡ κατὰ Τύχην, ὡς Δεσπότου καὶ Δούλου· Ἡ κατὰ Προαίρεσιν, ὡς Φίλου πρὸς Φίλον· Ἡ κατὰ Φύσιν, ὡς Πατρὸς καὶ Υἱοῦ, καὶ Γένους καὶ Εἴδους. Ὥσπερ γὰρ ὁ πατὴρ Αἴτιός ἐστι τοῦ υἱοῦ, ὁ δὲ υἱὸς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἰτιατός· οὕτω καὶ τὰ Γένη τῶν οἰκείων εἰδῶν Αἴτιά εἰσι· τὰ δὲ Εἴδη, αἰτιατά.

Ὥσπερ δὲ ὁ πρῶτος ἄνθρωπος, ἤγουν ὁ Ἀδὰμ, Πατὴρ μὲν λέγεται, διότι ἔχει υἱούς· Υἱὸς δὲ οὐ λέγεται πατέρα μὴ ἔχων· ὁ δὲ Ἄβελ, Υἱὸς μὲν λέγεται, διότι γεγέννηται παρὰ πατρὸς τοῦ Ἀδάμ· οὐ λέγεται δὲ πατὴρ, ἐπείπερ υἱὸν οὐκ ἐγέννησεν· ὁ δέ γε Σὴθ, καὶ πατὴρ λέγεται, καὶ υἱός· Πατὴρ μὲν, ὡς γεννήσας υἱὸν τὸν Ἐνώς· Υἱὸς δὲ, ὡς γεννηθεὶς ἐκ τοῦ πατρὸς τοῦ Ἀδάμ· οὕτω δὴ καὶ ἐπὶ τῶν γενῶν καὶ τῶν εἰδῶν ἐστιν εὑρεῖν. Εἰσὶ γάρ τινα γένη πρώτιστα καὶ ἀνώτατα, μὴ ἔχοντα ἐπάνω αὐτῶν ἕτερον γένος· ταῦτα καλοῦνται γενικώτατα γένη. Γενικώτατον γὰρ γένος ἐστὶν, ὃ γένος ὂν, οὐκ ἔστιν εἶδος, καὶ ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο τι ἐπαναβεβηκὸς γένος. Εἰσὶ δὲ καί τινα εἴδη ἔσχατα καὶ κατώτατα, μὴ ἔχοντα ἕτερα εἴδη ἐξ αὐτῶν διαιρούμενα· ταῦτα ὀνομάζεται εἰδικώτατα εἴδη. Εἰδικώτατον γὰρ εἶδός ἐστιν, ὅπερ εἶδος ὂν, οὐκ ἔστι γένος, καὶ ὃ εἶδος ὂν, οὐκ ἂν διελοίμεθα εἰς εἴδη ἔτι, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορούμενον. Εἰσὶ δὲ ἄλλα μέσα τῶν ἄκρων, εἴδη καὶ γένη τὰ αὐτά. Εἴδη μὲν τῶν πρὸ αὐτῶν, Γένη δὲ τῶν μετ' αὐτά.

Λέγεται δὲ ταῦτα τὰ μέσα, Γένη ὑπάλληλα· οὐχ ὅτι ἕκαστον ἐφ' ἕκαστον φέρεται καὶ τοῦ αὐτοῦ τὸ αὐτὸ γένος καὶ εἶδός ἐστιν, ἀλλ' ὅτι γένος ὑπ' ἄλλο γένος τελεῖ, κἀκεῖνο ὑφ' ἕτερον, καὶ ἔχουσιν ἄλληλα κοινὸν τὸ ὑποκεῖσθαι ὡς εἴδη καὶ γένη ὄντα· οἷον, ἡ Οὐσία, πρώτιστόν ἐστι Γένος καὶ γενικώτατον. Ὑπὸ τὴν οὐσίαν τὸ Σῶμα· (διαιρεῖται γὰρ ἡ οὐσία εἰς σῶμα καὶ ἀσώματον.) Ὑπὸ τὸ σῶμα, τὸ Ἔμψυχον σῶμα· Ὑπ' αὐτὸ πάλιν τὸ Αἰσθητικόν· Ὑφ' ὃ τὸ Ζῶον· Ὑπὸ τὸ Ζῶον δὲ, τὸ λογικὸν ζῶον ὁ Ἄνθρωπος· Ὑφ' ὃ ὁ Πέτρος, ὁ Παῦλος, καὶ οἱ λοιποὶ κατὰ μέρος ἄνθρωποι· οἵτινες ὀνομάζονται πάντες Ἄτομα. Ἡ μὲν οὖν Οὐσία, Γένος ἐστὶν ὡς εἴρηται γενικώτατον, διὰ τὸ μὴ ἔχειν ἕτερον γένος ταύτης ἐπαναβεβηκός· ὁ δὲ Ἄνθρωπος Εἶδός ἐστιν εἰδικώτατον, διὰ τὸ μὴ ἔχειν ἕτερον εἶδος ὑποβεβηκός· Τὸ δὲ μέσον τῆς οὐσίας καὶ τοῦ ἀνθρώπου,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρώπου, καὶ γένη καὶ εἴδη εἰσὶ τὰ αὐτά· τῶν μετ' αὐτὰ γένη, τῶν πρὸ αὐτῶν εἴδη. Τὸ γὰρ Σῶμα, τῆς μὲν οὐσίας Εἶδος· τοῦ δὲ ἐμψύχου σώματος, Γένος· (ἔχει γὰρ τὸ ἁπλῶς σῶμα, τεταγμένον ὑφ' ἑαυτὸ τὸ ἔμψυχον σῶμα.) Τοῦτο δὴ τὸ Ἔμψυχον, Εἶδος μέν ἐστι τοῦ σώματος· Γένος δὲ τοῦ αἰσθητικοῦ· Τὸ αἰσθητικὸν, Εἶδος μὲν τοῦ ἐμψύχου· Γένος δὲ τοῦ ζώου· Τὸ ζῶον, Εἶδος μὲν τοῦ αἰσθητικοῦ· Γένος δὲ τοῦ λογικοῦ· Τὸ δὲ λογικὸν ζῶον ὁ Ἄνθρωπος, Εἶδος μὲν τοῦ ζώου, οὐκέτι δὲ Γένος τοῦ Πέτρου, καὶ τοῦ Παύλου, καὶ τῶν λοιπῶν ἀτόμων, ἀλλ' εἶδός ἐστι καὶ αὐτῶν. Τοῦ μὲν οὖν ζώου, εἶδος λέγεται, διότι περιέχεται ὑπ' αὐτοῦ· τῶν δὲ ἀτόμων εἶδος, ὅτι περιέχει αὐτά. Εἰ γὰρ ἦν γένος τῶν ἀτόμων ὁ ἄνθρωπος, εἴδη ἂν ὑπῆρχοι τὰ ἄτομα· πᾶν γὰρ γένος, εἰς εἴδη διαιρεῖται· τὰ δὲ εἴδη τεμνόμενα, μεταδιδόασι τοῖς ἐξ αὐτῶν, καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ· ὥστε καὶ ὁ Πέτρος εἰς ψυχὴν καὶ σῶμα τεμνόμενος μετεδίδου ἂν τοῖς ἐξ αὐτοῦ καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ. καὶ ἦν οὕτως ἡ τοῦ πέτρου ψυχὴ, Πέτρος· καὶ τὸ σῶμα πάλιν Πέτρος· καὶ τὸν τοῦ πέτρου ὅρον, ἀλλὰ δὴ καὶ τὸν τοῦ ἀνθρώπου, παρὰ μέρος ἐκληροῦντο ἀμφότεροι· νῦν δὲ τοῦτο οὐκ ἔστιν· οὐκ ἄρα γένος ὁ ἄνθρωπος, ἀλλ' εἶδος εἰς ἄτομα διαιρούμενον.

Πάντα δὲ τὰ ἄτομα, καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τῶν οἰκείων εἰδῶν ἀνελλιπῶς ἐπιδέχονται. οὐ μὴν ἀλλὰ καὶ αὐτῶν τῶν γενῶν. ὡσαύτως δὲ καὶ τὰ εἴδη τῶν γενῶν, καὶ τὰ ὑπάλληλα γένη τῶν ἀνωτέρω γενῶν ἕως τοῦ γενικωτάτου. Καὶ ἁπλῶς εἰπεῖν, τὰ μὲν ὑποκάτω, λαμβάνουσι τῶν ἄνω πάντων ἀνελλιπῶς καὶ τὰ ὀνόματα καὶ τοὺς ὁρισμούς· τὰ ἐπάνω τῶν ὑποκάτω οὐδ' ὁπωσοῦν. Ἀλλ' οὐδὲ τὰ Εἴδη κοινωνοῦσιν ἀλλήλοις, ἢ κατὰ τοὺς ὅρους, ἢ κατὰ τὰ ὀνόματα· καὶ γὰρ ὁ ἄνθρωπος, οὐ ποτ' ἂν ἵππος κληθείη, ἢ ὁ ἵππος ἄνθρωπος. οὔτε δὲ ὁ τοῦ ἵππου ὅρος ἁρμόσει τῷ ἀνθρώπῳ, ἢ ὁ τοῦ ἀνθρώπου τῷ ἵππῳ· τὸν γὰρ Ἄνθρωπον οὐδεὶς εἶναι φαίη ἂν ζῶον ἄλογον τετράπουν χρεμετιστικὸν, ἢ τὸν Ἵππον, ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. Τοῦ δὲ κοινοῦ γένους, καὶ τὸ ὄνομα καὶ τὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅρον, τὰ εἴδη ἐπίσης λαμβάνουσιν· οὐ τὸ μὲν εἰδῶν μᾶλλον, τὸ δὲ ἧττον. καὶ γὰρ ὁ ἄνθρωπος καὶ ὁ ἵππος, κοινὸν γένος ἔχοντες τὸ ζῷον, καὶ ζῷα καλοῦνται ὁμοῦ, καὶ ὁμοίως τὸν τοῦ ζῴου κέκτηνται ὁρισμόν. καὶ ἄμφω γὰρ οὐσίαι εἰσὶν ἔμψυχοι αἰσθητικαὶ καὶ μεταβατικαί.

**Τὸ Γένος**
- Ἡ ἑκάστου τῆς γενέσεως Ἀρχή· ἤ.
  - Ἡ φυσική, ἤτουν ἀπὸ τοῦ Τεκόντος ὡς Ἰσραηλῖται.
  - Ἡ τοπική, ἤτουν ἀπὸ τῆς Πατρίδος, ὡς Θηβαῖοι.
- Οἱ ἀπὸ μιᾶς σχέσεως, ὡς Ἡρακλεῖδαι καὶ Ἰουδαῖοι.
- Καὶ ᾧ ὑποτάσσεται τὸ Εἶδος.

**Τὸ Εἶδος**
- Ἡ ἑκάστου Μορφή, ὡς δυσειδής τις, ἢ εὐειδής.
- Καὶ οὗ κατηγορεῖται τὸ Γένος ἐν τῷ τί ἐστι.

**Ἡ Σχέσις**
- Φυσική, ὡς Πατὴρ Υἱός, καὶ Γένος καὶ Εἶδος.
- Τυχική, ὡς Δοῦλος καὶ Δεσπότης.
- Τεχνική, ὡς Μαθητὴς καὶ Διδάσκαλος.
- Καὶ Προαιρετική, ὡς Φίλος καὶ Φίλος.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑʹ.

### Περὶ Γένους καὶ Εἴδους ἐν ᾧ καὶ περὶ Ἀτόμων.

Τῶν λεγομένων εἶναι· τὰ μέν, ὑφέστηκε· τὰ δέ, οὐχ ὑφέστηκεν, ἀλλ᾽ ἐν μόναις ἐπινοίαις κεῖται ψιλαῖς. Τῶν δὲ ὑφεστηκότων, τὰ μὲν σώματά εἰσι· τὰ δὲ ἀσώματα. Τῶν δὲ ἀσωμάτων, τὰ μὲν ἰδίαν ὑπόστασιν ἔχει ὡς Ἄγγελος καὶ Ψυχή· τὰ δὲ ἐν ἑτέροις ἔχει τὸ εἶναι· τοιαῦτά εἰσι καὶ τὰ Γένη καὶ τὰ Εἴδη. Λέγονται δὲ τὰ γένη καὶ τὰ εἴδη Πρὸ τῶν πολλῶν, Ἐν τοῖς πολλοῖς, Ἐπὶ τοῖς πολλοῖς. οἷον, ἐννοείσθω τι Σφραγιστήριον, ἔχον καὶ ἐκτύπωμα τὸ τυχόν, ἐξ οὗ κηρία πολλὰ μεταλαβέτω τοῦ ἐκτυπώματος, καί τις ὑπ᾽ ὄψιν ἀγαγέτω ταῦτα, μὴ προκατιδὼν μηδόλως τὸ Σφραγιστήριον· ἑωρακὼς δὲ τὰ ἐν οἷς τὸ ἐκτύπωμα, καὶ

ἐπιστήσας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπιστήσας ὅτι πάντα τοῦ αὐτοῦ μετέχουσιν ἐκτυπώματος, καὶ τὰ δοκοῦντα πολλὰ τῷ λόγῳ συναθροίσας εἰς ἕν, ἐχέτω τοῦτο κατὰ διάνοιαν. Τὸ μὲν οὖν ἐν τῷ σφραγιστηρίῳ ἐκτύπωμα, λέγεται Πρὸ τῶν πολλῶν· τὸ δ' ἐν τοῖς κηρίοις, Ἐν τοῖς πολλοῖς· τὸ δὲ ἐξ αὐτῶν καταληφθὲν καὶ κατὰ διάνοιαν ἀΰλως ὑποστὰν, Ἐπὶ τοῖς πολλοῖς. Οὕτως οὖν καὶ τὰ Γένη καὶ τὰ Εἴδη· Πρὸ τῶν πολλῶν μέν εἰσιν ἐν τῷ δημιουργῷ, κατὰ τοὺς ποιητικοὺς λόγους. (ἐν τῷ Θεῷ γὰρ οἱ οὐσιοποιοὶ λόγοι τῶν Ὄντων ἑνιαίως προϋφεστήκασι· καθ' οὓς Λόγους ὁ ὑπερούσιος τὰ ὄντα πάντα καὶ προώρισε καὶ παρήγαγεν.) Ὑφεστηκέναι δὲ λέγονται τὰ γένη καὶ τὰ εἴδη Ἐν τοῖς πολλοῖς· διότι ἐν τοῖς κατὰ μέρος ἀνθρώποις, τὸ τοῦ Ἀνθρώπου Εἶδός ἐστι, κἀν τοῖς κατὰ μέρος ἵπποις τὸ τοῦ Ἵππου Εἶδος. Ἐν ἀνθρώποις δὲ καὶ ἵπποις καὶ τοῖς ἄλλοις ζώοις τὸ Γένος εὑρίσκεται τῶν τοιούτων εἰδῶν, ὅπερ ἐστὶ τὸ ζῶον· Κἀν τοῖς ζώοις ὁμοῦ καὶ τοῖς ζωοφύτοις τὸ καθολικώτερον γένος τὸ Αἰσθητικὸν ἐξετάζεται· συναχθέντων δὲ καὶ τῶν Φυτῶν, θεωρεῖται τὸ Ἔμψυχον· εἰ δὲ σὺν τοῖς ἐμψύχοις ἐθέλει τις ἐπισκοπεῖν καὶ τὰ ἄψυχα, τὸ Σῶμα σύμπαν κατόψεται· συνδραμουσῶν δὲ τοῖς εἰρημένοις τῶν ἀσωμάτων οὐσιῶν, τὸ πρῶτον Γένος φανεῖται καὶ γενικώτατον· καὶ οὕτω μὲν Ἐν τοῖς πολλοῖς ὑφέστηκε τὰ Εἴδη καὶ τὰ Γένη. Καταλαβὼν δέ τις ἐκ τῶν κατὰ μέρος ἀνθρώπων τὴν αὐτῶν φύσιν τὴν ἀνθρωπότητα· ἐκ δὲ τῶν κατὰ μέρος ἵππων αὐτὴν τὴν ἱππότητα, καὶ οὕτω τὸν καθ' ὅλου Ἄνθρωπον καὶ τὸν καθ' ὅλου Ἵππον ἐπινοήσας· καὶ τὸ καθ' ὅλου Ζῶον ἐκ τῶν καθ' ἕκαστα τῷ λόγῳ συναγαγὼν, καὶ τὸ καθ' ὅλου Αἰσθητικὸν, καὶ τὸ καθ' ὅλου Ἔμψυχον, καὶ τὸ καθ' ὅλου Σῶμα, καὶ τὴν καθολικωτάτην Οὐσίαν ἐξ ἁπάντων συλλογισάμενος· ὁ τοιοῦτος ἐν τῇ ἑαυτοῦ διανοίᾳ, τὰ γένη καὶ τὰ εἴδη ἀΰλως ὑπέστησεν Ἐπὶ τοῖς πολλοῖς, τουτέστι, μετὰ τὰ πολλὰ καὶ ὑστερογενῶς.

Ἰστέον δὲ ὅτι πάντα μὲν τὰ γένη λεχθήσονται ἐπὶ τοῖς πολλοῖς, οὐ πάντα δὲ τὰ εἴδη. τὸ γὰρ Ὄν, Ἢ καὶ τῇ Φύσει καὶ τῇ Γνώσει πεπερασμένον ἐστὶν, Ἢ οὐδὲ τῇ Φύσει, οὐδὲ τῇ γνώσει· Ἢ τῇ Φύσει μὲν πεπέρασται, τῇ γνώσει δὲ οὐ

πεπέρασται· οὐδὲν δὲ πού ἐστι τῇ γνώσει πεπερασμένον, ἄπειρον ὂν τῇ φύσει. Τούτων οὕτως ἐχόντων, τὰ μὲν γενικώτατα Γένη, καὶ τὰ Ὑπάλληλα, καὶ φύσει καὶ γνώσει πεπέρασται. Δέκα γάρ εἰσι τὰ γένη τὰ γενικώτατα· ὡρισμένα δέ γε καὶ τὰ ὑπάλληλα. Τὸ δὲ τῶν Ἀτόμων πλῆθος, οὔτε τῇ φύσει οὔτε τῇ γνώσει πεπερασμένον ἐστίν· ἀεὶ γὰρ γίνεται καὶ ἀεὶ φθείρεται· καὶ οὔτε πέρας ὑπὸ τῆς φύσεως εἴληφεν, οὔτε τὸ γεγονὸς στάσιμον ὑπάρχει καὶ μόνιμον· τὸ δὲ τοιοῦτον, πῶς τῇ γνώσει περιληφθήσεται; Τὰ δὲ εἰδικώτατα Εἴδη, τῇ μὲν φύσει πεπέρασται, τῇ γνώσει δέ εἰσιν ἀπερίληπτα· πολλὰ γὰρ ἡμῖν ἄγνωστα τῶν τοιούτων εἰδῶν, ἢ ἐν ἐρημίαις ἀβάτοις, ἢ ἐν σπηλαίοις ὄντα, καὶ τὴν ἡμετέραν γνῶσιν διαδιδράσκοντα. Καθ᾽ ὃ μὲν οὖν πάντα τὰ εἴδη τῇ φύσει πεπέρασται, κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· ἑτεροῖον γὰρ ὧν ἐποίησεν οὐ ποιεῖ· καθ᾽ ὃ δὲ τὰ ἄτομα γίνεται ἔτι, καὶ οὔπω πεπέρασται τούτων ἡ γένεσις ὑπὸ φύσεως, ὁ Πατὴρ τοῦ Κυρίου ἕως ἄρτι ἐργάζεται, καὶ ὁ Υἱὸς ἐργάζεται· δῆλον δ᾽ ὅτι καὶ ὁ συμπαντουργὸς παράκλητος συνεργάζεται ταῦτά τε καὶ τὰς προνοίας, καὶ τὰς οἰκονομίας καὶ τὰ θαυμάσια.

Χρὴ δὲ γινώσκειν ὡς ὁ Πλάτων πέντε γένη τῶν ὄντων φησίν· Οὐσίαν, Ταυτότητα, Ἑτερότητα, Κίνησιν, καὶ Στάσιν· Οὐσίαν λέγων, τὴν ἁπλῶς ὕπαρξιν· Ταυτότητα τὴν κοινωνίαν· Ἑτερότητα τὴν διαφοράν· Κίνησιν, τὴν ἐνέργειαν· Στάσιν τήν τε ἠρεμίαν, ἤγουν τὴν ἀποβολὴν τῆς τοιᾶσδε κινήσεως, καὶ τὴν ἐν τῷ κινεῖσθαι μονήν· καθ᾽ ἣν καὶ τῷ οὐρανῷ καὶ τοῖς θείοις δίδωσι στάσιν. Τὸ γὰρ ἀεὶ ἐν τῷ αὐτῷ κινεῖσθαι, στάσιν λέγει δηλοῦν. Ἐπεὶ τοίνυν ἐν τοῖς οὖσι καὶ ὕπαρξίς ἐστι καὶ κοινωνία πρὸς ἄλληλα καὶ διαφορά, ἐνέργειά τε καὶ στάσις τῆς ἐνεργείας ὁποιασοῦν, διὰ τοῦτο τὰ τοιαῦτα γένη ὀνομάζει τῶν ὄντων, ὡς πολλοῖς τοῖς γε οὖσιν ἐνθεωρούμενα.

Ὁ δὲ Ἀριστοτέλης, ἐν μὲν τοῖς Φυσικοῖς, τὴν Ὕλην τίθεται Γένος· ἐν δὲ τῇ λογικῇ Πραγματείᾳ, τὰς δέκα Κατηγορίας γένη λέγει τὰ γενικώτατα· Οὐσίαν, Πο-

σόν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σόν, Ποιὸν, Πρός τι, Ποῦ, Πότε, Ποιεῖν, Πάσχειν, Ἔχειν, Κεῖσθαι. Τούτων ἕκαστον ἔχει καὶ εἰδικώτατα εἴδη, καὶ ὑπάλληλα γένη. Ἐκ δὲ τῶν εἰδικωτάτων Εἰδῶν εὐθὺς εἰς Ἄτομα γίνεται ἡ διαίρεσις· ἥτις οὐδὲ διαίρεσίς ἐστι κυρίως, ἀλλ' ἀπαρίθμησις. Διὸ καί τινες αὐτὰ τὰ εἰδικώτατα εἴδη, Γένη ὠνόμασαν Ἄτομα· Γένη μὲν, ὡς περιληπτικὰ τῶν μερικῶν· Ἄτομα δὲ, ὡς ἀδιαίρετα. τὸ γὰρ διαιρούμενον γένος, εἰς εἴδη διαιρεῖται ἀναγκαίως.

Σημαίνει δὲ τὸ Ἄτομον τέσσαρα· Τὸ ἀδιαίρετον καθὸ ἀμερὲς, ὡς ἡ Στιγμὴ, καὶ τὸ Νῦν, καὶ ἡ Μονάς· ἅτινα καὶ ἄποσα λέγεται. Τὸ δύστμητον, ὡς ὁ ἀδάμας Λίθος. Τὸ εἰδικώτατον εἶδος, διὰ τὸ μὴ τέμνεσθαι εἰς ἕτερα εἴδη. Καὶ τὸ κυρίως ἄτομον, ὃ τέμνεται μὲν, οὐ σώζει δὲ μετὰ τὴν τὴν τομὴν τὸ πρότερον εἶδος· οἷον ὁ Πέτρος, τέμνεται μὲν εἰς ψυχὴν καὶ σῶμα· ἀλλ' οὔτε ἡ ψυχὴ καθ' ἑαυτήν ἐστι Πέτρος τέλειος, ἐπεὶ οὐδὲ ἄνθρωπος τέλειος ἐστιν· οὔτε τὸ σῶμα. Περὶ τούτου τοῦ ἀτόμου, τοῖς Φιλοσόφοις ὁ λόγος· ὅπερ ἀποδιδόασιν οὕτως, Ἄτομόν ἐστι, τὸ ἐξ ἰδιοτήτων συγκείμενον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ὀφθείη ἐπὶ ἑτέρου ποτέ.

**Τὰ Γένη καὶ τὰ Εἴδη**
- Πρὸ τῶν πολλῶν, ὡς ἐν τῷ Δημιουργῷ.
- Ἐν τοῖς πολλοῖς, ὡς ἐν τοῖς κατὰ μέρος ἀνθρώποις τὸ ἀνθρώπου Εἶδος.
- Ἐπὶ τοῖς πολλοῖς, ὡς ἐν τῇ Διανοίᾳ.

**Τῶν λεγομένων Εἶναι**
- Τὰ μὲν ὑφέστηκεν· ὧν
  - Τὰ μὲν σώματα.
  - Τὰ δὲ ἀσώματα· ὧν
    - Τὰ μὲν ἰδίαν ὑπόστασιν ἔχει, ὡς Ἄγγελος, Ψυχή.
    - Τὰ δὲ ἐν ἑτέροις ἔχει τὸ εἶναι, ὡς τὰ Γένη καὶ τὰ Εἴδη.
- Τὰ δὲ ἐν μόναις ψιλαῖς ἐπινοίαις εἰσί.

**Τὸ Ἄτομον**
- Τὸ ἀδιαίρετον, ὡς ἡ Στιγμὴ καὶ τὸ Νῦν, καὶ ἡ Μονάς.
- Τὸ δύστμητον, ὡς ὁ Ἀδάμας.
- Τὸ εἰδικώτατον Εἶδος, ὡς μὴ τεμνόμενον εἰς εἴδη.
- Καὶ τὸ κυρίως ἄτομον, ὡς Σωκράτης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ Ὂν πεπέρασται.




# ΚΕΦΑΛΑΙΟΝ. ΙΒ'.

## Περὶ Διαφορᾶς καὶ Συμβεβηκότος.

Τῷ διαλαβόντι περὶ Διαφορᾶς, οὐκ ἀπεικὸς καὶ περὶ Συμβεβηκότος εἰπεῖν· ἐπεὶ καὶ αὐτὸ διαφορὰ ὀνομάζεται. ἡ γὰρ διαφορὰ ἢ οὐσιώδης ἐστὶν, ἢ ἐπουσιώδης· οὐσιώδης μὲν οὖν ἐστι διαφορὰ, ἡ καθ' αὑτήν τε καὶ φυσικὴ καὶ εἰδοποιός· ἥτις καλεῖται παρὰ τοῖς Φιλοσόφοις ἰδιαίτατα διαφορά· καθ' ἣν εἶδος εἴδους διαφέρει· οἷον τὸ λογικόν· κατὰ τοῦτο γὰρ διαφέρει τὸ εἶδος τοῦ ἀνθρώπου, τοῦ εἴδους τοῦ ἵππου, καὶ τῶν λοιπῶν τῶν παρὰ τὸν ἄνθρωπον ζώων. Ὃ δὴ λογικὸν καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ, καὶ τῆς τοῦ ἀνθρώπου φύσεώς ἐστι παραστατικὸν, καὶ τοῦ ἀνθρωπείου εἴδους ποιητικόν. Λέγουσι δὲ τὴν ἰδιαίτατα διαφορὰν οὕτως· Διαφορά ἐστιν, ᾗ περισσεύει τὸ εἶδος τοῦ γένους· ὁ γὰρ ἄνθρωπος πλέον ἔχει τοῦ ζώου τὸ λογικόν. Τὸ γὰρ ζῶον, οὔτε λογικόν ἐστιν Ἐνεργείᾳ, οὔτε ἄλογον· ἐπεὶ τὸ αὐτὸ ἕξει τὰ ἀντικείμενα· Δυνάμει δέ γε τὸ ζῶον καὶ λογικὸν ὑπάρχει καὶ ἄλογον, καὶ πάσας ἔχει τὰς ὑπ' αὐτὸ διαφοράς. εἰ μὴ γὰρ τοῦτο, πόθεν ἂν τὰ εἴδη σχοῖεν [τὰς] διαφοράς; Οὔτε γοῦν ἐκ τῶν οὐκ ὄντων ἐν τῷ γένει τὸ εἶδος συνίσταται, (δυνάμει γάρ εἰσιν ἐν τῷ γένει τῶν εἰδῶν αἱ διαφοραί.) οὔτε περὶ [τὸ] αὐτό εἰσιν ἅμα τὰ ἀντικείμενα. ἐνεργείᾳ γὰρ οὐδεμίαν ἔχει τὸ γένος διαφορὰν τῶν εἰδῶν. Ὁρίζονται δὲ ταύτην τὴν οὐσιώδη καὶ ἰδιαίτατα διαφορὰν καὶ οὕτω. Διαφορά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων

τῷ

τῷ εἴδει ἐν τῷ ὁποῖόν τι ἐστι κατηγορούμενον. Ἐρωτώμενοι γὰρ τί ἐστιν ἄνθρωπος; οἰκείως ἂν λέγοιμεν ὅτι ζῶον. πυνθανομένου δέ τινος ὁποῖόν τι ζῶον ὁ ἄνθρωπος; τότε πάλιν οἰκείως ἐστὶν εἰπεῖν, ὅτι λογικόν. Ὑπογράφουσι δὲ τὰς τοιαύτας καὶ οὕτω. Διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος. τὸ γὰρ λογικὸν καὶ τὸ ἄλογον, χωρίζει τὸν ἄνθρωπον καὶ τὸν ἵππον, ὑπὸ τὸ αὐτὸ γένος ὄντα τὸ ζῶον. Πάλιν Διαφορά ἐστιν, ὅτῳ διαφέρει ἕκαστον. ἄνθρωπος γὰρ καὶ ἵππος, κατὰ μὲν τὸ γένος οὐ διενήνοχε· (ζῶα γὰρ καὶ ἀμφότερα.) κατὰ δὲ τὰς διαφορὰς, ἤτοι κατὰ τὸ λογικὸν καὶ τὸ ἄλογον, ἀπ' ἀλλήλων διέστηκε.

Λέγονται δὲ αἱ ἰδιαίτατα Διαφοραὶ, διαιρετικαὶ καὶ συστατικαί· διαιρετικαὶ μὲν τῶν Γενῶν, συστατικαὶ δὲ τῶν Εἰδῶν. Τὸ γὰρ σῶμα καὶ τὸ ἀσώματον, διαιροῦσι τὴν Οὐσίαν· Τὸ δὲ ἔμψυχον καὶ τὸ ἄψυχον διαιροῦσι τὸ Σῶμα· Καὶ τὸ αἰσθητικὸν, καὶ τὸ ἀναίσθητον διαιροῦσι τὸ Ἔμψυχον· Καὶ τὸ μεταβατικὸν καὶ τὸ ἀμετάβατον διαιροῦσι τὸ Αἰσθητικόν. Ταῦτα οὖν τὰ τῶν γενῶν διαιρετικὰ, γίνονται συστατικὰ τῶν εἰδῶν. Τὸ γὰρ ἔμψυχον, καὶ τὸ αἰσθητικὸν καὶ τὸ μεταβατικὸν συνιστῶσι τὸ Ζῶον. Ζῶον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατική. Τὸ ἔμψυχον, τὸ αἰσθητικὸν, τὸ ἀμετάβατον, συνιστῶσι τὸ Ζωόφυτον. ἔστι γὰρ τὸ Ζωόφυτον, οὐσία ἔμψυχος αἰσθητικὴ ἀμετάβατος. Τὸ ἔμψυχον δὲ μετὰ τοῦ ἀναισθήτου, τὸ Φυτὸν συνιστῶσι. καὶ ἔστι [τὸ] Φυτὸν, οὐσία ἔμψυχος ἀναίσθητος. καὶ ἕτερα πάλιν ἑτέρων εἰδῶν γίνονται συστατικὰ, πρότερον ὄντα γενῶν διαιρετικά. Δι' ὅ,τι οὖν αἱ διαιρετικαὶ τῶν γενῶν διαφοραὶ, γίνονται συστατικαὶ τῶν εἰδῶν, ὁμοῦ πᾶσαι κέκληνται εἰδοποιοί.

Αὗται δὲ αἱ διαφοραὶ, λέγονται εἶναι τὰ ὑπάλληλα γένη· ἀπαραλλάκτως δὲ οὐκ εἰσίν, ἀλλ' ὥσπερ θερμὸν καὶ ψυχρόν. Ὀνομάζονται μὲν καὶ αὗται μόναι αἱ Ποιότητες, ἡ θερμότης δηλονότι καὶ ἡ ψυχρότης. Καλοῦνται δὲ οὕτω καὶ τὰ τῶν τοιούτων ποιοτήτων μετέχοντα Σώματα, ἤγουν τὸ σῶμα τὸ ἔχον ἐν ἑαυτῷ τὴν θερμότητα, καλεῖ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται Θερμὸν, καὶ τὸ τὴν ψυχρότητα κεκτημένον, Ψυχρόν. τὸ δ' αὐτὸ κἀπὶ τῶν ἄλλων ποιοτήτων τε καὶ πεποιωμένων σωμάτων ἔστιν εὑρεῖν. Οὕτω δὴ καὶ σῶμα καὶ ἀσώματον. ἔμψυχόν τε καὶ ἄψυχον, καὶ αἰσθητικὸν, καὶ λογικὸν, καὶ τἄλλα ὁμοίως. Λέγονται μὲν καὶ αὗται μόναι αἱ Ποιότητες· ἡ σωματότης, ἡ ἀσωματότης, ἡ ἐμψυχότης, ἡ ἀψυχότης, ἡ αἰσθητικότης, ἡ λογικότης, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Λέγονται δ' οὕτω καὶ αἱ οὐσίαι αἱ τὰς τοιαύτας ἐν ἑαυταῖς κεκλημέναι ποιότητας Σῶμα μὲν, ἡ τὴν σωματότητα κεκλημένη οὐσία· Ἀσώματον δὲ, ἡ τὴν ἀσωματότητα· καὶ ἡ μὲν τὴν ἐμψυχότητα ἔχουσα, Ἔμψυχον· ἡ δὲ τὴν ἀψυχότητα, Ἄψυχον· ἡ δὲ τὴν αἰσθητικότητα, Αἰσθητικόν· καὶ ἡ τὴν λογικότητα, Λογικόν Αὗται μὲν οὖν καθ' ἑαυτὰς αἱ ποιότητες, εἰσὶν αἱ διαφοραί· αἱ δὲ μετέχουσαι τῶν τοιούτων ποιοτήτων οὐσίαι, τὰ ὑπάλληλα γένη τυγχάνουσιν. ἐπεὶ πῶς ἂν τὰ αὐτὰ, καὶ γένη ἔσοιντο καὶ διαφοραί; καὶ ὡς διαφοραὶ μὲν, ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορηθεῖεν, ὡς γένη δ' αὖ ἐν τῷ τί ἐστιν;

Εἰ δὲ καὶ πᾶν γένος εἰς εἴδη διαιρούμενον, διὰ τῶν διαιρετικῶν διαιρεῖται διαφορῶν· εἴδη δὲ τῆς οὐσίας ὁμολογοῦνται εἶναι τὸ σῶμα καὶ [τὸ] ἀσώματον· διὰ ποίων διαφορῶν εἰς ταῦτα ἡ Οὐσία διαιρεῖται ἢ διαιρεθήσεται, εἰ μὴ διὰ τῆς σωματότητός τε καὶ [τῆς] ἀσωματότητος; Τὸ δὲ Σῶμα πάλιν, εἰς τὰ οἰκεῖα εἴδη, τὸ ἔμψυχόν τε καὶ τὸ ἄψυχον, πῶς ἆραλμηθήσεται; Ἢ πάντως διὰ τῆς ἐμψυχότητος καὶ ἀψυχότητος. Ὅτε γὰρ λέγομεν τὴν Οὐσίαν διαιρεῖσθαι εἰς σῶμα καὶ ἀσώματον, εἰς οὐσίαν σεσωματωμένην, καὶ μὴ σεσωματωμένην τὴν ἁπλῶς οὐσίαν διαιρεῖσθαί φαμεν· ἐπεὶ τὸ Σῶμα πρότερον ἦν οὐσία μόνον, ἐνεργείᾳ δὲ λαβὸν καὶ [τὴν] σωματότητα, γέγονεν οὐσία ἐνσώματος. Ὡσαύτως δὲ καὶ τὸ Ἀσώματον δεξάμενον τὴν ἀσωματότητα, οὐσία ὑπῆρξεν ἀσώματος. Καὶ τὸ Ἔμψυχον δὲ, πρότερον ἦν ἁπλῶς σῶμα, τουτέστιν, οὐσία ἐνσώματος· μετασχὸν δὲ καὶ τῆς ἐμψυχότητος, σῶμα ἔμψυχον ἐκτετέλεσται. Ὅτε οὖν τοῦ σώματος τὴν διαίρεσιν, εἰς ἔμψυχον ποιοῦμεν καὶ ἄψυχον, χρὴ προσυπα-

κούειν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κόειν τὸ σῶμα, ἵνα διαιρῆται τὸ σῶμα εἰς ἔμψυχον σῶμα καὶ ἄψυχον σῶμα. Οὕτω δὴ κἀπὶ τῶν ἄλλων ποιητέον, ὡς ἂν καὶ αἱ διαφοραὶ καὶ τὰ γένη καὶ τὰ εἴδη σώζωνται ἀσυγχύτως ὅπερ εἰσί. Περὶ μὲν οὖν τῆς οὐσιώδους Διαφορᾶς, ἥτις καὶ ἰδιαίτατα καλεῖται διαφορὰ, τοσαῦτα εἰρήσθω.

Ἡ δ᾽ ἐπουσιώδης Διαφορὰ αὐτό ἐστι τὸ Συμβεβηκός. Διαιρεῖται δ᾽ αὕτη, εἴς τε τὴν κοινῶς διαφορὰν, καὶ εἰς τὴν ἰδίως διαφοράν. Καὶ κοινῶς μὲν διαφορά ἐστι, τὸ χωριστὸν συμβεβηκός· ὃ καὶ ἐν τῷ πῶς ἔχον ἐστὶ κατηγορεῖται. Ἰδίως δὲ διαφορὰ, τὸ ἀχώριστον συμβεβηκός· ὃ καὶ ἐν τῷ ὁποῖόν τί ἐστι λέγεται. Τοῦ γὰρ συμβεβηκότος, τὸ μέν ἐστι χωριστὸν, τὸ δὲ ἀχώριστον. Κατὰ μὲν οὖν τὸ χωριστὸν συμβεβηκὸς διαφέρει ἄτομον ἑτέρου ἀτόμου καὶ ἑαυτοῦ· οἷον κάθηται Πέτρος, βαδίζει Παῦλος. κατὰ γοῦν τὸ καθῆσθαι καὶ τὸ βαδίζειν ἀλλήλων λέγονται διαφέρειν ὁ Πέτρος καὶ ὁ Παῦλος. ἐνδέχεται δὲ καθῆσθαι τὸν Παῦλον καὶ βαδίζειν τὸν Πέτρον, καὶ οὕτω χωρισθῆναι αὐτῶν τὴν τοιαύτην διαφορὰν καὶ λαβεῖν ἄλλην ἀντ᾽ ἄλλης ἑκάτερον. Πάλιν διαφέρει ἄτομον ἑαυτοῦ, ἐν τῷ ποτὲ μὲν καθῆσθαι, ποτὲ δ᾽ ἑστάναι ἢ βαδίζειν· καὶ ποτὲ μὲν καθεύδειν, ποτὲ δ᾽ ἐγρηγορέναι· καὶ ὁτὲ μὲν νοσεῖν, ὁτὲ δὲ ὑγιαίνειν· καὶ νῦν μὲν νεάζειν, ἄλλοτε δὲ γεγηρακέναι. Ταῦτα γοῦν καὶ τὰ παραπλήσια λέγονται κοινῶς διαφοραὶ, καὶ χωριστὰ συμβεβηκότα.

Κατὰ δὲ τὸ ἀχώριστον συμβεβηκὸς ἑαυτοῦ μὲν οὐ διαφέρει τὸ ἄτομον, ἑτέρου δὲ ἀτόμου διαφέρει· οἷον, ἔστι τις Σιμός· ἀδύνατον χωρισθῆναι αὐτοῦ τὴν σιμότητα· διαφέρει δὲ οὗτος τοῦ Γρυποῦ. ὡσαύτως καὶ ὁ Γλαυκὸς, καὶ ὁ ἔχων ἐκ τραύματος ἐσκιῤῥωμένην οὐλὴν, ἑαυτῶν μὲν οὐ διαφέρουσιν, ἄλλων δὲ διαφέρουσιν. Ἔστι δὲ ἡ σιμότης, ἡ γλαυκότης, ἡ ἐν τῷ Αἰθίοπι μελανία, καὶ ἐν τῷ Κόρακι, καὶ ἡ ἐν τῷ Κύκνῳ λευκότης, καὶ τὰ τοιαῦτα, συμβεβηκότα ἀχώριστα· καθὸ οὐ δύναται χωρισθῆναι πραγματικῶς τῶν ἐν οἷς ἀτόμοις εἰσί. Κατ᾽ ἐπίνοιαν δὲ χωρίζονται καὶ αὐτὰ τῶν πραγμάτων, τὴν

φύσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φύσιν μὴ λυμαινόμενα. Διὰ τοῦτο παντὸς συμβεβηκότος ἀχωρίστου καὶ χωριστοῦ κοινὸς ὁ λόγος οὗτός ἐστι. Συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. καὶ πάλιν, Συμβεβηκός ἐστιν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν· ἐνδέχεται γὰρ ἄνθρωπον καὶ καθῆσθαι, καὶ ἑστάναι, καὶ βαδίζειν, καὶ εἶναι σιμὸν, καὶ μὴ εἶναι· καὶ ἀπογινομένης τῆς γλαυκότητος οὐδὲν ἧττον ὁ ἄνθρωπος μένει. δύναται δὲ καὶ Κύκνος ἐπινοηθῆναι μέλας, καὶ ὁ Κόραξ λευκὸς, καὶ ὁ Αἰθίοψ, ἀποβαλὼν τὴν χροιάν· καὶ ταῦτα πάντα γενέσθαι δύναται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.

Τριχῶς οὖν τῆς διαφορᾶς λεγομένης, κοινῶς καὶ ἰδίως, καὶ ἰδιαίτατα· πᾶσα μὲν διαφορὰ, ἑτερότης τέ ἐστι, καὶ ἑτεροῖόν τι ποιεῖ προσγινομένη τινί. Ἀλλ᾽ αἱ μὲν κοινῶς καὶ ἰδίως διαφοραὶ, ἀλλοῖον ποιοῦσιν· αἱ δὲ ἰδιαίτατα, ἄλλο· αἵτινές εἰσιν ἀχώριστοι καὶ κατ᾽ αὐτὴν τὴν ἐπίνοιαν. οὐδὲ γάρ ἐστιν ἐπινοῆσαι ζῷον ἀναίσθητον ἢ ἄνθρωπον ἄλογον, ἢ ἵππον ἀλογίας κεχωρισμένον. Αὗται μὲν οὖν αἱ ἄλλο ποιοῦσαι διαφοραὶ, καθ᾽ ἑαυτάς τέ εἰσι, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχονται· οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ ἧττον κατηγορεῖται οὗ ἂν εἴη γένος, οὔτε αἱ τοῦ γένους διαφοραὶ· καθ᾽ ἃς διαιρεῖται τὸ γένος εἰς τὰ εἴδη. Αἱ δὲ ἀλλοῖον ποιοῦσαι, κατὰ συμβεβηκός τέ εἰσι, καὶ ἐπιτείνονται καὶ ἀνίενται ἅπασαι. κάθηται γάρ τις πλέον ἑτέρου, καὶ ἄλλος ἄλλου βαδίζει πλέον· καὶ σιμοῦ σιμώτερός ἐστί τις, καὶ γλαυκοῦ γλαυκότερος. Οὐδεμία δὲ τῶν κοινῶς ἢ ἰδίως διαφορῶν συντελεῖ πρὸς τὸν ὁρισμόν. ὑπογράφουσι γὰρ αὗται τὰ πράγματα, οὐ μὴν καὶ ὁρίζουσιν. Αἱ δὲ ἰδιαίτατα διαφοραὶ, πράγματος ἑκάστου συμπληροῦσι τὸν ὁρισμόν.

Ἀναγκαῖον δὲ εἰδέναι, ὅτι [τε] τὸ τῆς Οὐσίας ὄνομα καὶ ἐπὶ τῆς ἁπλῶς ὑπάρξεως ἐνίοτε τάττεται, καὶ ὅτι τὸ Συμβεβηκὸς δηλοῖ ποτε τὸ οὐσιῶδες ἴδιον, ὡς συμβαῖνον καὶ συντρέχον τῷ πράγματι. λέγομεν γὰρ τὴν οὐσίαν τοῦ χρώματος, διὰ τὸ ἐν τοῖς οὖσι τετάχθαι καὶ τὸ συμβεβηκὸς, καὶ ὁπωσοῦν εἶναι αὐτό. καὶ πάλιν λέγομεν

συμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμβαίνειν ταῖς προτάσεσι τὸ συμπέρασμα· τουτέστι, συνέπεσθαι φυσικῶς τε καὶ οὐσιωδῶς. Λέγεται δὲ τὸ τοιοῦτον συμβεβηκὸς, ἤτουν τὸ οὐσιῶδες ἴδιον, καὶ πάντῃ ἀχώριστον καὶ κατ᾽ αὐτὴν τὴν ἐπίνοιαν, Πρώτως καὶ Καθ᾽ αὑτὸ ὑπάρχειν τῷ πράγματι· ὡς τῷ σώματι, τὸ τριχῇ διαστατόν· Πρώτως μὲν, ὅτι αὐτῷ μόνῳ ὑπάρχει ἀμέσως· Καθ᾽ ἑαυτὸ δὲ, ὅτι οὐσιωδῶς. Οὐκ ἔτι δὲ καθ᾽ αὑτὸ, τοῦτο καὶ Πρώτως·) ἐπὶ πλέον γὰρ τοῦ πρώτως τὸ καθ᾽ αὑτό.) τὸ γὰρ ζῶον ὑπάρχον τῷ ἀνθρώπῳ καθ᾽ αὑτὸ καὶ οὐσιωδῶς, οὐχ ὑπάρχει καὶ πρώτως. Ἔστι γὰρ ζῶον ἀνθρώπου μὴ ὄντος. Τριχῇ δέ τι διαστατὸν, σώματος μὴ ὄντος, οὐκ ἔστιν· οὔτε νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἀνθρώπου μὴ ὄντος· οὔτε συμπέρασμα, προτάσεων μὴ οὐσῶν· οὔτε ὁρισμὸς, ἀπόντος τοῦ ὁριστοῦ. Διὸ καὶ οἱ Ὁρισμοὶ, καὶ πρώτως ὑπάρχουσι τοῖς ὁριστοῖς, καὶ οὐσιωδῶς, εἴγε κυρίως εἰσὶν ὁρισμοί. Ἐκ τούτων [οὖν] τῶν καθ᾽ αὑτὰ καὶ πρώτως ἡ κυρίως ἀπόδειξις γίνεται· οὔτε δὲ ἐκ τῶν συμβεβηκότων, οὔτ᾽ ἐκ τῶν καθ᾽ αὑτὰ μὲν, μὴ πρώτως δὲ τοῖς πράγμασιν ὑπαρχόντων.

Ἡ Διαφορὰ
- Ἡ Οὐσιώδης· ἥτις καλεῖται ἰδιαίτατα, ὡς τὸ Λογικόν.
- Ἡ Ἐπουσιώδης
  - Ἡ κοινῶς, ὡς τὸ Καθῆσθαι.
  - Ἡ ἰδίως, ὡς τὸ Φαλακρόν.

Ἡ Διαφορὰ
- Κοινῶς.
- Ἰδίως.
- Ἰδιαίτατα.

Τῶν Διαφορῶν
- Αἱ μὲν ἄλλο ποιοῦσιν, ὡς τὸ Λογικόν.
- Αἱ δὲ ἀλλοῖον, ὡς τὰ κοινῶς καὶ ἰδίως Συμβεβηκότα.

Τῶν Διαφορῶν
- Αἱ μὲν Χωρισταί.
- Αἱ δὲ Ἀχώριστοι
  - Αἱ μὲν Καθ᾽ αὑτό.
  - Αἱ δὲ κατὰ Συμβεβηκός.

# ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

## Περὶ Ἰδίου· ἐν ᾧ καὶ περὶ Κοινοῦ.

Τὸ Ἴδιον λέγεται τετραχῶς· Ἢ ὃ παντὶ μὲν ὑπάρχει τῷ εἴδει, οὐ μόνῳ δέ· ὡς τῷ ἀνθρώπῳ τὸ Δίπουν. Πᾶς μὲν γὰρ ἄνθρωπος δίπους· οὐ μόνος δὲ ὁ ἄνθρωπος δίπους, ἀλλὰ καὶ ἕτερα ζῶα· Ἢ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὃ μόνῳ μὲν, οὐ παντὶ δέ· ὡς τῷ ἀνθρώπῳ τὸ Φαλακρόν. καὶ γὰρ μόνος ὁ ἄνθρωπος Φαλακρὸς, ἀλλ' οὐ πᾶς ἄνθρωπος Φαλακρός· Ἢ ὃ παντὶ καὶ μόνῳ, οὐκ ἀεὶ δὲ, ὡς τῷ ἀνθρώπῳ τὸ Πολιοῦσθαι· οὐκ ἀεὶ γὰρ, ἀλλ' ἐν γήρᾳ, μένοντος τοῦ κατὰ φύσιν· Τέταρτον, ἐφ' ᾧ συνδεδράμηκε τὸ παντὶ καὶ τὸ μόνῳ, καὶ τὸ ἀεί· ὡς τῷ ἀνθρώπῳ τὸ Γελαστικόν. πᾶς γὰρ ἄνθρωπος, καὶ μόνος ἄνθρωπος, καὶ ἀεὶ, γελαστικός. Γελαστικὸς δὲ λέγεται, οὐ τῷ ἀεὶ γελᾶν, ἀλλὰ τῷ πεφυκέναι γελᾶν. Τοῦτο δὲ τὸ τέταρτον, κυρίως Ἴδιον λέγεται, ὅτι καὶ ἀντιστρέφει. πᾶς γὰρ Ἄνθρωπος γελαστικὸς, καὶ πᾶν Γελαστικὸν ἄνθρωπος. Εἰ γὰρ καὶ ὁ Πίθηκος φαίνεται ἴσως γελῶν· ἀλλ' οὐκ ἔχει ἐν ἑαυτῷ τὴν δύναμιν τοῦ γελᾶν, οὐ δὲ ταῖς ἀληθείαις γελᾷ· κατὰ μόνην δὲ τὴν ἐπιφάνειαν, τὸ γελᾶν σχηματίζεται, τῷ μιμεῖσθαι τὸν ἄνθρωπον· ζῶον γὰρ μιμηλότατον τυγχάνει ὁ Πίθηκος. Οὕτω γελᾶν εἶμαι καὶ τὸν Ἐρωδιὸν, διάκενον γέλωτος, καὶ ψυχικῆς ἄμοιρον διαχύσεως.

Ὑπογράφεται δὲ τὸ ἴδιον οὕτως. Ἴδιόν ἐστι, τὸ παντὶ καὶ μόνῳ τῷ εἴδει καὶ ἀεὶ ὑπάρχον. Ἑκάστῳ μὲν οὖν εἴδει τῶν ζώων ἐξαίρετόν ἐστιν ἴδιον· τῷ Ἀνθρώπῳ τὸ Γελαστικὸν, τῷ Ἵππῳ τὸ Χρεμετιστικὸν, τῷ Κυνὶ τὸ Ὑλακτικὸν, καὶ τοῖς ἄλλοις ἕτερα ἴδια. Κατὰ ταῦτα γὰρ διαχωρίζονται τῆς κοινωνίας ἀλλήλων τὰ εἴδη. Καὶ διὰ τοῦτο λέγονται ἴδια, διὰ τὸ ἰδιαζόντως προσεῖναι τοῖς εἴδεσιν, ὧν εἰσιν ἴδια, μηδεμίαν κοινωνίαν ἔχοντος τοῦ εἴδους πρὸς ἕτερον εἶδος κατὰ τὸ ἴδιον.

Ἐπεὶ δὲ ὁ ἄνθρωπος ὑπάρχει διπλοῦς· (μετέχει γὰρ καὶ τῆς τῶν ἀλόγων ζωῆς, καὶ τῆς τῶν λογικῶν νοήσεως, ἐπίγειος ὢν καὶ οὐράνιος, θνητὸς καὶ ἀθάνατος, ὁρατὸς καὶ νοούμενος.) Καθὸ μὲν κοινωνεῖ τοῖς ἀλόγοις, ἔχει καὶ τὸ ἴδιον τὸ γελαστικόν. Ἔστι γὰρ τὸ Γελαστικὸν, δύναμις τῆς ἀλόγου ψυχῆς ἐνεργουμένη διὰ τῶν μυῶν· ὡς καὶ τὸ Χρεμετιστικὸν καὶ τὰ τοιαῦτα. Καθὸ δὲ τοῖς λογικοῖς κοινωνεῖ, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν κέκτηται ἴδιον· τοῦτο δὲ τῆς λογικῆς ψυχῆς ἐστι δύναμις. Ἔχει τοίνυν ὁ ἄνθρωπος ἕκαστον Ἴδιον κατάλληλον ἑκάστῳ Κοινῷ.

Λέγεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λέγεται δὲ καὶ τὸ Κοινὸν τετραχῶς· Ἢ γὰρ τὸ εἰς μέρη διαιρετὸν, ὡς Ἀγρὸς κοινός· Ἢ τὸ ἀδιαιρέτως ἐν χρήσει κοινῇ λαμβανόμενον, ὡς εἷς Δοῦλος, ἢ εἷς Ἵππος, Δεσποτῶν διαφόρων· Ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, ὡς ὁ ἐν Θεάτρῳ τόπος κοινὸς ὤν, ἴδιος γίνεται τοῦ προκαταλαβόντος αὐτόν· Ἢ τὸ ἐπίσης μετεχόμενον, ὡς ἡ Φωνὴ τοῦ Κήρυκος. Κατὰ τοῦτο τὸ σημαινόμενον ἥ, τε Ὕλη πᾶσι τοῖς οὖσι κοινὴ, καὶ τὰ Γένη καὶ αἱ Διαφοραὶ κοινὰ τοῖς αὐτῶν μετέχουσιν εἴδεσι· τὸ Ζῶον ὅλοις τοῖς ζώοις κοινὸν, καὶ τὸ Λογικὸν ὅλοις τοῖς λογικοῖς, καὶ τοῖς ἀλόγοις τὸ Ἄλογον, καὶ ἐπὶ τῶν ἄλλων ἁρμοζόντως. Κατὰ τὸ τοιοῦτον τοῦ κοινοῦ σημαινόμενον, καὶ ἐπὶ τῶν Ὁμωνύμων τὸ ὄνομα μόνον κοινὸν λέγεται. ἐπὶ δὲ τῶν Συνωνύμων, τό, τε ὄνομα καὶ ὁ κατὰ τοὔνομα λόγος. Ἔστι δὲ Κοινὸν, τὸ ἐν πολλοῖς θεωρούμενον, ἢ τὸ πολλῶν κατηγορούμενον.

Τὸ δὲ Ἴδιον οἱ πλατωνικοὶ τριχῶς ἐκλαμβάνονται· Ἀπὸ τῆς Διοργανώσεως, ὡς τὸ Δικέφαλον τῇ Ἀμφισβαίνῃ· Ἀπὸ τῆς Ἐνεργείας, ὡς τὸ Λοξοβαδιστικὸν τῷ Καρκίνῳ· Ἀπὸ τῆς Δυνάμεως, ὡς τὸ Καυστικὸν τῷ Πυρί. δύναται γὰρ ὑπὲρ πᾶν ἕτερον σῶμα καίειν τὸ Πῦρ.

| | |
|---|---|
| Τὸ Ἴδιον | Ὃ παντὶ μὲν ὑπάρχει, μὴ μόνῳ δέ, ὡς τῷ ἀνθρώπῳ τὸ Δίπουν. |
| | Ὃ μόνῳ, οὐ παντί· ὡς τὸ Φαλακρὸν ἢ Γραμματικόν. |
| | Ὃ μόνῳ καὶ παντί, οὐκ ἀεὶ δέ· ὡς τῷ ἀνθρώπῳ τὸ Πολιοῦσθαι. |
| | Ὃ μόνῳ καὶ παντί, καὶ ἀεί· ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν, ὃ καὶ κυρίως ἴδιόν ἐστι. |
| Τὸ Κοινὸν | Τὸ εἰς μέρη διαιρετόν, ὡς ἀγρὸς κοινός. |
| | Τὸ ἀδιαιρέτως ἐν χρήσει κοινῇ λαμβανόμενον, ὡς εἷς δοῦλος δύω Δεσποτῶν. |
| | Τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, ὡς ὁ ἐν Θεάτρῳ τόπος. |
| | Τὸ ἐπίσης μετεχόμενον, ὡς ἡ Φωνὴ τοῦ Κήρυκος τοῖς ἀκούουσι. |



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ Ἴδιον ἐκλαμβάνουσιν οἱ Πλατωνικοὶ
- Ἀπὸ τῆς Διοργανώσεως, ὡς τὸ Δικέφαλον τῇ Ἀμφισβαίνῃ.
- Ἀπὸ τῆς Ἐνεργείας, ὡς τὸ Λοξοβαδιστικὸν τῷ Καρκίνῳ.
- Ἀπὸ τῆς Δυνάμεως, ὡς τὸ Καυστικὸν τῷ Πυρί.

# ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

## Περὶ τῶν Κατηγοριῶν.

Τὰ Λεγόμενα καὶ Ὄντα, Ἢ τῇ μὲν προφορᾷ εἰσιν Ἁπλᾶ, τῷ δὲ σημαινομένῳ Συμπεπλεγμένα· (ὡς τὸ τρέχω. τὸ γὰρ τρέχω, ἁπλοῦν μέν ἐστι τῇ προφορᾷ καὶ ἀσύνθετον· τῷ δὲ σημαινομένῳ, συμπεπλεγμένον καὶ σύνθετον. δηλοῖ γὰρ ἐμὲ, καὶ τὸν δρόμον, τουτέστιν, οὐσίαν καὶ ἐνέργειαν.) Ἢ τῇ μὲν προφορᾷ ὑπάρχουσι Σύνθετα, τῷ σημαινομένῳ δέ γε Ἁπλᾶ· (ὡς ὅτε λέγει τις πράγματος ὁρισμόν· ἓν γὰρ τότε δηλοῖ διὰ τῆς συνθέτου φωνῆς, ἐκεῖνο δηλονότι τὸ πρᾶγμα, ὅπερ ὁρίζεται.) Ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ Συμπεπλεγμένα εἰσὶ τὰ λεγόμενα· ὡς τὸ Παῦλος δημηγορεῖ· Ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ ἁπλᾶ, ὡς τὸ τρέχει.

Τούτων τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον, ἢ Οὐσίαν σημαίνει, ἢ Ποσὸν, ἢ Ποιὸν, ἢ Πρός τι, ἢ Ποῦ, ἢ Πότε, ἢ Ποιεῖν, ἢ Πάσχειν, ἢ Ἔχειν, ἢ Κεῖσθαι· πάντα γὰρ τὰ ὄντα, ὑπὸ τὰς δέκα ταύτας κοινότητας ἀναφέρονται· καὶ οὐκ ἔστι τῶν ὄντων οὐδὲν, ὃ μὴ ταύταις ἐμπερικλείεται. Καὶ γὰρ οἱ Φιλόσοφοι πάντων τῶν ὄντων ἐπιστήμονες εἶναι βουλόμενοι, ἐπεὶ τῶν κατὰ μέρος Ἐπιστήμη οὐκ ἔστι, διά τε τὸ πολυάριθμον αὐτῶν, καὶ τὸ ἀεὶ γεννητὸν καὶ φθαρτὸν, ταῖς εἰρημέναις κοινότησι τὰ πάντα συμπεριώρισαν· καὶ τοὺς μὲν κατὰ μέρος ἀνθρώπους, καὶ τοὺς κατὰ μέρος ἵππους ἐπισκεψάμενοι πρότερον ὅπως ἔχουσι φύσεως, ἐπὶ τὸν καθόλου Ἄνθρωπον καὶ τὸν καθόλου Ἵππον ἀνέδραμον, τουτέστιν, ἐπὶ τὸ Εἶδος τοῦ ἀνθρώπου καὶ ἐπὶ τὸ Εἶδος τοῦ ἵππου. Τοῦτο δὲ κἀπὶ τῶν

ἄλλων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλων ζώων πεποιηκότες τῶν μερικῶν, ἀπὸ τῶν τρεπτῶν καὶ ἀλλοιωτῶν μετέβησαν ἐπὶ τὰ ἄτρεπτά τε καὶ ἀναλλοίωτα. Τρεπτὰ μὲν γὰρ καὶ ἀλλοιωτὰ ὑπάρχει τὰ μερικά· τοῖς δὲ Καθόλου τὸ ἀεὶ ὡσαύτως ἔχειν ἐστίν. Ἐπεὶ δὲ καὶ τῶν τοιούτων εἰδῶν, οὐκ ἔστιν ἅπαντα τῇ διανοίᾳ περιληπτά· (πολλὰ γὰρ αὐτῶν ἀγνοεῖται ἡμῖν.) τὸ καθολικώτερον αὖθις ζητήσαντες εὗρον τὸ Ζῶον. Ὡσαύτως δὲ καὶ τὰ κατὰ μέρος φυτὰ πρὸς τὸ καθόλου συναγαγόντες Φυτὸν, καὶ πρὸς τὸ Ζωόφυτον τὰ ζωόφυτα· ταῦτα πάντα τὸ ζῶον, τὸ φυτὸν, τὸ ζωόφυτον, τῷ Ἐμψύχῳ συνέδησαν. Θεωρήσαντες δὲ καὶ [τὰς] ἀψύχους φύσεις, τὸ ξύλον, τὸν λίθον, τὸν σίδηρον καὶ τὰ ὅμοια· τὸ καθόλου Ἄψυχον δι' αὐτῶν συνεστήσαντο· καὶ τοῦτο μετὰ τοῦ ἐμψύχου συνῆψαν διὰ τοῦ Σώματος. Ὅτι δὲ καὶ Ἄγγελον ἔγνωσαν εἶναι καὶ Ψυχὴν, οὐ μετέχει δὲ ταῦτα τῆς τοῦ σώματος φύσεως (τὸ μὲν γὰρ μεριστὸν, καὶ τρεῖς ἔχον διαστάσεις· τὰ δὲ παντελῶς ἀμερῆ, καὶ μηδεμίαν κεκτημένα διάστασιν· οὐ Μῆκος, οὐ Πλάτος, οὐ Βάθος.) διὰ τῆς Οὐσίας ἥνωσαν τῷ Σώματι τὸ Ἀσώματον, καὶ γέγονεν ἡ Οὐσία πάντων τούτων αὐθυπάρκτων ὄντων Γένος κοινόν. Ἐπεὶ δέ τινα τῶν πραγμάτων ἐν τῇ οὐσίᾳ, μὴ μέντοι ἐν ἑαυτοῖς τὴν ὕπαρξιν ἔχουσιν, οὕτω καὶ περὶ τούτων ἐσκέψαντο. δύω τινὰ καὶ τρία, καὶ δέκα καὶ εἴκοσιν εὑρηκότες, ἀνήγαγον ἐπὶ τὸν Ἀριθμόν· μέγα δὲ καὶ μικρὸν καὶ τὰ τοιαῦτα ἐπὶ τὸ Μέγεθος· τὸν ἀριθμὸν δὲ καὶ τὸ μέγεθος, περιέλαβον τῷ Ποσῷ. Δύω γοῦν ἔχον κοινότητας περιεκτικὰς πραγμάτων πολλῶν, τὴν Οὐσίαν καὶ τὸ Ποσόν. Πάλιν ἔστι τι λευκὸν, μέλαν, κιῤῥόν· ταῦτα ὑπὸ τὸ Χρῶμα συνήθροισαν· ἔστι δέ τι γλυκὺ, πικρὸν, θερμὸν, ψυχρόν· ταῦτα δὴ καὶ τὸ Χρῶμα, καὶ τὰς Τέχνας, καὶ τὰς Ἐπιστήμας μιᾷ κοινότητι περιέγραψαν, τῷ Ποιῷ. Ποιὸν δέ ἐστιν, ἀφ' οὗ παρωνύμως ὀνομάζεται τὸ μετέχον, ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτοῦ· ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς, καὶ ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος. Ὅτι δὲ καὶ δεξιόν ἐστι τι καὶ ἀριστερὸν, καὶ διπλάσιον καὶ ἥμισυ· τὰ τοιαῦτα τῷ Πρός τι ἀπένειμαν. Ἔστι δὲ τὰ Πρός τι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σχέσις ἑτέρου πρὸς ἕτερον. Πάλιν ἐστί τι ἐν νῷ, ἐν ἀγορᾷ, ἐν θεάτρῳ. τῇ τοῦ Ποῦ κοινότητι τὰ τοιαῦτα προσήρμοσαν. Τόπου δὲ παραστατικὸν ὑπάρχει τὸ ποῦ. Διαφοραὶ δὲ αὐτοῦ ὅσαι καὶ τοῦ τόπου· ἄνω, κάτω, δεξιά, ἀριστερά, ἔμπροσθεν, ὄπισθεν. Τὸ δὲ χθὲς καὶ πέρυσι καὶ σήμερον, καὶ αὔριον, καὶ ὅσα τοιαῦτα, ἐπὶ τοῦ Πότε συνήγαγον. τὸ δὲ, ἐστι χρόνου σημαντικόν. Διαφοραὶ δὲ τοῦ Πότε ὅσαι καὶ τοῦ χρόνου· ἐνεστὼς, παρεληλυθὼς, καὶ μέλλων. Τὸ δὲ τύπτειν, τὸ θερμαίνειν, τὸ ψύχειν καὶ τὰ τοιαῦτα ἤγουν παραπλήσια, ἐν τῷ Ποιεῖν ἔθεσαν· ὥσπερ αὖ ἐν τῷ Πάσχειν, τὸ τύπτεσθαι, τὸ θερμαίνεσθαι, τὸ ψύχεσθαι, καὶ τὰ ὅμοια. Ἔστι δὲ Ποιεῖν μὲν, τὸ δρᾷν περί τι. Πάσχειν δὲ, ὑφ᾽ ἑτέρου ἀλλοιοῦσθαι. Πάλιν ἐπειδή ἐστι τὸ ὑποδεδέσθαι, ὡπλίσθαι, δακτύλιον φορεῖν, τὰ ἐοικότα πάντα ταῦτα τῷ Ἔχειν δεδώκασιν. Ἔστι δὲ τὸ ἔχειν οὐσίας περὶ οὐσίαν περίθεσις. Τὸ δὲ ἑστάναι καὶ ἀνακεῖσθαι, καὶ καθῆσθαι, γένει κοινῷ τῷ Κεῖσθαι ὑπέταξαν. Κεῖσθαι δέ ἐστιν ἡ τοιάδε θέσις τοῦ σώματος· εἰ μὲν γὰρ ὄρθια τὰ μέλη πάντα εἰσὶν, ἑστάναι λέγεται· εἰ δ᾽ ὕπτια πάντα, ἀνακεῖσθαι καὶ ἀνακεκλίσθαι· εἰ δὲ τὰ μὲν ὀρθιάζοντα, τὰ δ᾽ ὑπτιάζοντά πως, καθῆσθαι. Τοῦ δὲ Κεῖσθαι, τὰ μὲν Φύσει μετέχει, ὡς τὰ τέσσαρα Στοιχεῖα, ἐν τοῖς ἰδίοις ἱδρυμένα τόποις, καὶ ὁ Οὐρανὸς τὴν ἀνωτάτω χώραν ἐπέχων· τὰ δὲ Θέσει, ὡς ἀνδριάντες, καὶ κίονες. καὶ σκεύη, καὶ ὅλως τὰ κατὰ τέχνην τινὰ, ἢ χρείαν τιθέμενα. Ἔτι τὰ μὲν, ἐν Στάσει ἔχει τὴν θέσιν, ὡς ἡ γῆ· τὰ δ᾽ ἐν Κινήσει, ὡς τὰ οὐράνια σώματα. Ἔτι τὰ μὲν, διαμένον ἔχει τὸ κεῖσθαι, ὡς τὰ Στοιχεῖα καὶ ὁ Οὐρανός· τὰ δ᾽ ἔγχρονον, ὡς τὰ ἐν μέρει χρόνου ὑφεστῶτα. Οὕτω μὲν οὖν οἱ Φιλόσοφοι τὰς τοιαύτας δέκα γενικωτάτας ἐξεῦρον κοινότητας.

Ἕκαστον δὲ τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων αὐτὸ καθ᾽ αὐτὸ, πρᾶγμα μὲν ἐξ ἀνάγκης δηλοῖ· ψεῦδος δὲ ἢ ἀλήθειαν, οὐδαμῶς· τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ, ἢ ἀλήθεια, ἢ ψεῦδος ἀκολουθεῖ. Ἂν μὲν γὰρ εἴπω, ἄνθρωπος, ἢ ἵππος, ἢ τρέχει, ἢ ἵσταται· πρᾶγμα

μὲν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν, σημαίνω ἁπλῶς· οὐκ ἀληθεύω δὲ, οὐδὲ ψεύδομαι. ἐὰν δὲ συμπλέξας ἐρῶ, ἄνθρωπος τρέχει, ἢ ἵππος ἵσταται, τότ' ἐξ ἀνάγκης ἢ ἀληθεύω, ἢ ψεύδομαι· Τὰ μὲν οὖν πρῶτα καὶ δεύτερα πρόσωπα, διὰ τὸ εἶναι ὡρισμένα, ὡς τὸ τρέχω καὶ τρέχεις, συμπεπλεγμένα εἰσὶ τῷ σημαινομένῳ· τὰ δὲ τρίτα, διὰ τὸ εἶναι ἀόριστα, μετὰ τῶν ἁπλῶν ἐτάχθησαν.

**Τὰ Λεγόμενα καὶ Ὄντα**
- Ἢ τῇ μὲν προφορᾷ εἰσιν Ἁπλᾶ, τῷ δὲ σημαινομένῳ Σύνθετα, ὡς τὸ Τρέχω.
- Ἢ τῇ μὲν προφορᾷ Σύνθετα, τῷ δὲ σημαινομένῳ Ἁπλᾶ, ὡς οἱ Ὁρισμοί.
- Ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ Ἁπλᾶ, ὡς τὸ τρέχει.
- Ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ Σύνθετα, ὡς τὸ Παῦλος δημηγορεῖ.
  - Οὐσία, ὡς Ἄνθρωπος, Βοῦς.
  - Ποσὸν, ὡς Δίπηχυ.
  - Ποιὸν, ὡς Λευκὸν, Μέλαν.
  - Πρός τι· ὡς Πατὴρ, Υἱός.
  - Ποῦ, ἐν Λυκείῳ.
  - Πότε, Χθὲς, Πέρυσι.
  - Ποιεῖν· Ψύχειν, Θερμαίνειν.
  - Πάσχειν· Θερμαίνεσθαι, Ψύχεσθαι.
  - Ἔχειν, Ὑποδεδέσθαι.
  - Κεῖσθαι, Καθῆσθαι.

**Τὰ Κείμενα**
- Τὰ μὲν Φύσει, ὡς τὰ Στοιχεῖα.
- Τὰ δὲ Θέσει, ὡς Ἀνδριάντες καὶ Σκεύη.

**Τὸ Κεῖσθαι**
- Ἵστασθαι.
- Ἀνακεῖσθαι.
- Καθῆσθαι.

**Ἄλλως τὰ Κείμενα**
- Ἢ διαμένον ἔχει τὸ κεῖσθαι, ὡς τὰ Στοιχεῖα.
- Ἢ ἔγχρονον, ὡς τὰ τεχνητά.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

### Ἔτι περὶ Κατηγοριῶν.

Τῶν Ὄντων, τὰ μὲν Καθ' ὑποκειμένου λέγεται, τὰ δ' οὐ λέγεται καθ' ὑποκειμένου. Τῶν δὲ λεγομένων καθ' ὑποκειμένου, τὰ μὲν ἐν ὑποκειμένῳ οὐκ ἔστι· τὰ δ' ἐν ὑποκειμένῳ ἐστίν. Ὡσαύτως καὶ τῶν μὴ λεγομένων καθ' ὑποκειμένου, τὰ μὲν ἐν ὑποκειμένῳ οὐκ ἔστι· τὰ δ' ἐν ὑποκειμένῳ ἐστί. Διτ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν δὲ τοῦ Ὑποκειμένου τὸ σημαινόμενον· δηλοῖ γὰρ καὶ τὸ πρὸς Ὕπαρξιν ὑποκείμενον, καὶ τὸ ὑποκείμενον πρὸς Κατηγορίαν. Κατηγορία δὲ εἴρηται, διὰ τὸ κατά τινων ἀγορεύεσθαι ἤτοι λέγεσθαι. Πρὸς Ὕπαρξιν μὲν οὖν ὑπόκειται ἡ Οὐσία τοῖς Συμβεβηκόσι· ταῦτα γὰρ ἐν τῇ οὐσίᾳ ἔχει τὸ εἶναι· καὶ ἔστι μόνη ἡ οὐσία πρὸς Ὕπαρξιν ὑποκείμενον. Πρὸς Κατηγορίαν δὲ ὑπόκεινται τὰ ἄτομα τοῖς οἰκείοις εἴδεσί τε καὶ γένεσι· καὶ τὰ εἴδη τοῖς ἑαυτῶν γένεσιν· ἕως τοῦ γενικωτάτου· οἷον, ὁ Πέτρος Ἄνθρωπός ἐστιν· ὑπόκειται ὁ Πέτρος ἐνταῦθα τῷ ἀνθρώπῳ πρὸς κατηγορίαν, καὶ λέγεται ὁ ἄνθρωπος, καθ᾽ ὑποκειμένου τοῦ Πέτρου, ἐπεὶ ὁ Πέτρος, ὑποκείμενόν ἐστι· κατηγορούμενον δὲ, ὁ ἄνθρωπος. Πάλιν τὸ Ζῶον Οὐσία ἐστίν· ὑπόκειται τὸ ζῶον· καθ᾽ ὑποκειμένου τοῦ ζώου, τουτέστι, κατηγορούμενον, ἡ οὐσία. Ἔνθα μὲν οὖν ἡ κατὰ, πρόθεσις φαίνεται, καὶ κατὰ γενικὴν πτῶσιν τελεῖται ἡ σύνταξις, ἐκεῖ τὸ πρὸς κατηγορίαν παραλαμβάνεται ὑποκείμενον· ὡς ὅταν εἴπωμεν, τῶν Ὄντων τὰ μὲν καθ᾽ ὑποκειμένου λέγεται· διὰ τοῦτο γὰρ τίθεμεν καὶ τὸ λέγεται, ἵνα καὶ ἐντεῦθεν τὸ πρὸς κατηγορίαν γνωσθῇ ὑποκείμενον· τὸ γὰρ λέγεται καὶ τὸ κατηγορεῖται, ταὐτόν ἐστιν. Ἔνθα δὲ ἡ ἐν, πρόθεσις ὁρᾶται, καὶ κατὰ δοτικὴν πτῶσιν γίνεται ἡ σύνταξις, ἐκεῖ τὸ πρὸς Ὕπαρξίν ἐστιν ὑποκείμενον· ὡς ὅταν εἴπωμεν, τὰ δὲ ἐν ὑποκειμένῳ ἐστί· διὰ τοῦτο γὰρ καὶ τὸ ἐστὶ τίθεμεν, ἵνα καὶ ἐντεῦθεν τὸ πρὸς Ὕπαρξιν γνωσθῇ ὑποκείμενον. Ὑπάρξεως γὰρ παραστατικὸν τὸ ἐστίν.

Ὅταν οὖν λέγωμεν, ὅτι τῶν Ὄντων τὰ μὲν, Καθ᾽ ὑποκειμένου λέγεται· τὰ δὲ οὐ λέγεται καθ᾽ ὑποκειμένου, τοῦτό φαμεν, ὅτι τῶν ὄντων τὰ μὲν τινων κατηγοροῦνται, τὰ δὲ οὐ κατηγοροῦνταί τινων. Ὅταν δὲ λέγωμεν ὅτι τῶν Καθ᾽ ὑποκειμένου λεγομένων, τὰ μὲν ἐν Ὑποκειμένῳ οὐκ ἔστι, τὰ δ᾽ ἐν Ὑποκειμένῳ ἐστί, τοῦτό φαμεν, ὅτι τῶν Κατηγορουμένων, τὰ μὲν ἐν ἑτέροις οὐκ ἔχουσι τὴν ὕπαρξιν· (οὐσίαι γάρ εἰσιν αὐθύπαρκτα πράγματα καὶ μὴ δεόμενα ἑτέρων πρὸς σύστασιν.) τὰ δ᾽ ἐν ἑτέροις ἔχουσι τὸ εἶναι· Συμβεβηκότα γάρ εἰσι, τὰ μὴ δυνάμενα καθ᾽ ἑαυτὰ εἶναι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶναι, ἀλλ' ἐν ταῖς Οὐσίαις τὴν ὕπαρξιν ἔχοντα. Μόνως μὲν οὖν καθ' ὑποκειμένου λέγεται καὶ οὐχ ὑποκείμενα, τὰ καθόλου τῶν πραγμάτων καὶ γενικώτατα· ταῦτα γὰρ κατηγοροῦνται μόνον, οὐ μὴν καὶ ὑπόκεινται. Οὐ καθ' ὑποκειμένου δέ εἰσιν, ἀλλ' ὑποκείμενα μόνως, δηλονότι τὰ μερικὰ τῶν πραγμάτων καὶ ἄτομα, διὰ τὸ μὴ κατηγορεῖσθαί τινων. Ὁμοῦ δὲ καθ' ὑποκειμένου τε καὶ ὑποκείμενα λέγεται, τὰ εἰδικώτατα Εἴδη καὶ τὰ ὑπάλληλα Γένη· ὡς ἄλλων μὲν ὄντα καθολικώτερα καὶ ἄλλων αὖ μερικώτερα· καὶ τοῖς μὲν ἐπάνω αὐτῶν ὑποκείμενα, τῶν δ' ὑποκάτω κατηγορούμενα. Δῆλον ἐντεῦθεν ὡς Καθ' ὑποκειμένου, καὶ οὐκ ἐν ὑποκειμένῳ ἐστὶν ἡ καθολικωτέρα Οὐσία. Οὐ καθ' ὑποκειμένου, καὶ οὐκ ἐν ὑποκειμένῳ, ἡ μερικὴ οὐσία καὶ ἄτομος. Καθ' ὑποκειμένου, καὶ ἐν ὑποκειμένῳ, τὸ καθολικὸν Συμβεβηκός. Οὐ καθ' ὑποκειμένου καὶ ἐν ὑποκειμένῳ, τὸ μερικὸν καὶ ἄτομον Συμβεβηκός.

Τούτων οὕτω διακεκριμένων, τὸ Ὂν Ἢ ἐν ὑποκειμένῳ ἐστὶν, Ἢ οὐκ ἐν ὑποκειμένῳ. Εἰ μὲν οὖν μὴ ἐν ὑποκειμένῳ εἴη, τὴν οὐσίαν ποιεῖ· Εἰ δ' ἐν ὑποκειμένῳ, Ἢ οὐ καθ' αὑτό ἐστιν, Ἢ καθ' αὑτό. Ἀλλ' εἰ μὲν καθ' αὑτὸ, Ἢ μεριστόν ἐστι καὶ ποιεῖ τὸ Ποσόν· Ἢ ἀμέριστον καὶ ποιεῖ τὸ Ποιόν. Εἰ δ' οὐ καθ' αὑτὸ, Ἢ σχέσις μόνον ἐστὶ, καὶ ποιεῖ τὰ Πρός τι· Ἢ κατὰ σχέσιν ἄλλων νοεῖται, καὶ ποιεῖ τὰς λοιπὰς ἓξ κατηγορίας. Ἡ γὰρ καλλίστη καὶ πρώτη τῶν κατηγοριῶν Οὐσία, μετὰ μὲν τοῦ Ποσοῦ, γεννᾷ τὸ Ποῦ, καὶ τὸ Ποτέ· μετὰ δὲ τοῦ Ποιοῦ, τὸ Ποιεῖν καὶ τὸ Πάσχειν· μετὰ δὲ τοῦ Πρός τι, τὸ Ἔχειν καὶ τὸ Κεῖσθαι. Καὶ αὗται μὲν εἰσιν αἱ δέκα Κατηγορίαι, πᾶσαι δὲ τυγχάνουσιν ἁπλαῖ. Κἂν γὰρ ἀπογεννᾶν ἡ οὐσία λέγηται, μετὰ μὲν τοῦ ποσοῦ τὸ ποῦ καὶ τὸ ποτέ· μετὰ δὲ τοῦ ποιοῦ, τὸ ποιεῖν καὶ τὸ πάσχειν· μετὰ δὲ τῶν πρός τι, τὸ ἔχειν καὶ τὸ κεῖσθαι, ἀλλ' οὐδεμία τῶν κατηγοριῶν σύνθετός ἐστιν· οὐδὲ γὰρ κατηγορία τὸ ἐν τόπῳ εἶναι, ἢ τὸ ἐν χρόνῳ εἶναι, ἢ ἄλλο τι τῶν τοιούτων. διὰ τοῦτο καὶ ὀνόμασιν ἀπαρεμφάτοις τῶν κατηγοριῶν τινες ὠνομάσθησαν· τὸ ποιεῖν δηλαδὴ, καὶ τὸ πάσχειν, καὶ τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχειν, καὶ τὸ κεῖσθαι, ἵνα μὴ τῷ ἐφέλκεσθαι πρόσωπα σύνθεσίν τινα εἰσαγάγωσιν.

Πᾶσαι τοίνυν αἱ Κατηγορίαι ἁπλαῖ καὶ καθολικαὶ φωναί εἰσιν, ἁπλᾶ καὶ καθολικὰ σημαίνουσαι πράγματα, διὰ μέσων ἁπλῶν καὶ καθολικῶν νοημάτων. Διαφέρουσι δὲ τῶν πέντε Φωνῶν· ὅτι αὗται μὲν αἱ κατηγορίαι, κατὰ πραγμάτων φέρονται φυσικῶς, φύσεις πραγμάτων σημαίνουσαι· καὶ εἰσὶ φωναὶ κατηγορικαὶ φύσεων, ἤτοι λόγοι κατὰ πραγμάτων λεγόμενοι φυσικῶς, διὰ τοῦτο καὶ Κατηγορίαι κυρίως ἐκλήθησαν. Αἱ δὲ πέντε φωναὶ λέγονται μὲν καὶ αὗται κατηγορικαὶ ἁπλῶς, ὡς σημαντικαί· οὐ μὴν φύσεις πραγμάτων σημαίνουσιν, οὐδὲ κατὰ πραγμάτων ὑπάρξεως φέρονται, καὶ διὰ τοῦτο οὐδὲ κυρίως ἔχουσι τὸ κατηγορικαὶ εἶναι φωναὶ, ἀλλ᾽ ἁπλῶς Φωναί· λόγοι δηλονότι σημαντικοὶ τῆς κατὰ πραγμάτων ὀντότητος, λεγομένοις λόγοις ἐνθεωρούμενοι· διὸ καὶ λογικαὶ μᾶλλον εἶεν ἂν, ἢ κατηγορικαί. Καθάπερ γὰρ ἐν τοῖς οὖσιν οἱ κυρίως κατηγορικοὶ λόγοι εὑρίσκονται· (καὶ οὐσία γὰρ ἐνορᾶται τοῖς πράγμασι, καὶ ποσὸν, καὶ ποιὸν, καὶ τὰ λοιπά.) κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς τοιούτοις κατηγορικοῖς λόγοις, αἱ λογικαὶ αὗται θεωροῦνται φωναί· καὶ γένος γὰρ ἐμφαίνεται τῇ οὐσίᾳ, καὶ εἶδος, καὶ διαφορὰ, καὶ ἴδιον, καὶ συμβεβηκὸς ἐν αὐτῇ συνιστάμενον. Καὶ τῶν λοιπῶν δὲ κατηγοριῶν μιᾷ ἑκάστῃ καὶ γένος ἐμφαίνεται καὶ εἶδος, καὶ διαφορὰ, καὶ ἴδιον, καὶ συμβεβηκὸς δι᾽ αὐτῆς ὅλης χωροῦν.

Πᾶσαι δὲ αἱ Κατηγορίαι γενικώτατα Γένη εἰσὶ, διὰ τὸ μὴ ἔχειν ἐπάνω αὐτῶν ἄλλο τι γένος ἐπαναβεβηκός. κἂν γὰρ ἐκ τοῦ ὄντος διαιρῶνται, ἀλλ᾽ οὐκ ἔστιν αὐτῶν γένος τὸ Ὄν. Τὸ γὰρ Γένος οὐ μόνον τοῦ ὀνόματος μεταδίδωσι τοῖς οἰκείοις εἴδεσιν, ἀλλὰ καὶ ὅλου τοῦ ὁρισμοῦ· τὸ δὲ Ὂν διαιρούμενον εἰς τὰς δέκα κατηγορίας, τοῦ μὲν ὀνόματος αὐταῖς μεταδίδωσιν· τοῦ λόγου δὲ τελείου γε οὐδεμιᾷ· τὸ γὰρ ὂν οὕτως ὑπογράφουσιν. Ὂν ἐστιν, Ἢ αὐθύπαρκτον πρᾶγμα καὶ μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· Ἢ τὸ μὴ καθ᾽ ἑαυτὸ δυνάμενον εἶναι, ἀλλ᾽ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. Ἡ δὲ πρώτη τῶν κατηγοριῶν οὐσία τὸν τοιοῦτον ὅλον λόγον ἐκ

ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπιδέχεται· ἀλλὰ τὸ ἓν μέρος αὐτοῦ· καὶ γὰρ Οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, καὶ οὐδὲν πλέον. Ἀλλὰ καὶ αἱ λοιπαὶ κατηγορίαι συμβεβηκότα οὖσαι, τὸ λοιπὸν μέρος λαμβάνουσι τῆς τοῦ ὄντος ὑπογραφῆς, καὶ οὐχ ὅλην τὴν ὑπογραφήν, οὐδὲ αὗται. Συμβεβηκὸς γάρ ἐστι πρᾶγμα, μὴ καθ' ἑαυτὸ δυνάμενον εἶναι, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν· ὥστε οὐκ ἔστι γένος τῶν Κατηγοριῶν τὸ Ὄν. Ἔτι πᾶν Γένος διαιρούμενον εἰς εἴδη μὴ εἰδικώτατα, δύο ἢ τρία ἔχει τὰ ἐξ αὐτοῦ διαιρούμενα, ἢ καὶ κατὰ τὸ σπάνιον τέσσαρα. Τοῦ δὲ ὄντος ἡ διαίρεσις μέχρι δέκα προχωροῦσά τινων μὴ ὄντων εἰδικωτάτων εἰδῶν, εἰκότως οὐδ' ἀπὸ γένους εἰς εἴδη ἐστί. Τὸ δὲ μὴ εἶναι τὰς κατηγορίας εἰδικώτατα εἴδη, παρίσταται σαφῶς ἐκ τοῦ ἔχειν ταύτας ὑφ' ἑαυτὰς καὶ εἰδικώτατα εἴδη, καὶ γένη ὑπάλληλα. Ἐντεῦθεν δῆλον ὅτι οὐδὲ τὸ συμβεβηκός ἐστι γένος τῶν ἐννέα κατηγοριῶν, εἰ καὶ μεταδίδωσι ταύταις καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου τελείου. Ὥσπερ γὰρ τὸ Γένος φωνὴ ὂν λογική, μεταδίδωσι ταῖς δέκα κατηγορίαις καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου αὐτοῦ (καὶ γὰρ ἑκάστη τῶν Κατηγοριῶν καὶ Γένος λέγεται, καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορεῖται) κατὰ τοῦτον τὸν λόγον καὶ τὸ Συμβεβηκὸς μεταδίδωσι ταῖς ἐννέα κατηγορίαις, καὶ τοῦ ὀνόματος αὐτοῦ καὶ τῆς οἰκείας ὑπογραφῆς, μὴ ὂν γένος τῶν κατηγοριῶν· Φωνὴ γάρ ἐστι καὶ αὐτὸ λογική, μία τῶν πέντε φωνῶν.

Πάλιν, ἐν οἷς τὸ Πρῶτον καὶ τὸ Δεύτερον Φύσει, τούτων τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστιν· οὐδὲ γὰρ ἐν τοῖς εἴδεσι τοῦ αὐτοῦ γένους θεωρεῖται τὸ Φύσει πρότερόν τε καὶ ὕστερον. ἐν δὲ ταῖς κατηγορίαις θεωρεῖται αὐτό. Φύσει γὰρ προτέρα τῶν Συμβεβηκότων ἡ Οὐσία ἐστίν. Οὐσίας γὰρ μὴ οὔσης, ἐν τίνι σχοίη ἂν τὴν ὕπαρξιν τὸ Συμβεβηκός; Συμβεβηκότος δὲ μὴ ὄντος, ἔσται Οὐσία· πρᾶγμα γάρ ἐστιν αὕτη αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. Ὥστε ἡ οὐσία συναναιρεῖ καὶ οὐ συναναιρεῖται, καὶ συνεισφέρεται καὶ οὐ συνεισφέρει. Ὅπου γὰρ συμβεβηκός,

ἀναγκαίως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀναγκαίως ἐκεῖ καὶ οὐσία ἐν ᾗ ἐστι [τὸ] συμβεβηκός. οὐ μὴν ἔνθα γε οὐσία, εἴη ἂν καὶ συμβεβηκὸς ἐξ ἀνάγκης. δυνατὸν γὰρ καὶ χωρὶς συμβεβηκότος οὐσίαν θεωρεῖσθαι, κατὰ τὸν τῆς αὐθυπαρξίας λόγον. Ὥστε καὶ οὕτως οὐκ ἔστι γένος τῶν κατηγοριῶν τὸ Ὄν.

Θεωρεῖται δὲ κἀν ταῖς λοιπαῖς κατηγορίαις, τὸ φύσει πρότερόν τε καὶ ὕστερον· τὸ γὰρ Ποσὸν πρότερον τοῦ Ποιοῦ, καὶ τὸ Ποιὸν τῶν Πρός τι· ἡ γὰρ ἀνείδεος Ὕλη πρότερον ποσοῦται, καὶ ὕστερον ποιοῦται· τὸ ποιὸν δὲ πάλιν καθ' αὑτὸ ὂν πρότερόν ἐστι τῶν Πρός τι· ταῦτα γὰρ σχέσεις ἐστί· τὰ δὲ καθ' ἑαυτὰ ὄντα, τῆς σχέσεως πρότερα. Τούτων οὕτως ἐχόντων, πρότερα τὰ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ· καὶ ταῦτα πάλιν πρότερα τῶν ἐξ οὐσίας καὶ τῶν πρός τι. Τοίνυν καὶ οὕτως οὐκ ἔστιν οὐδὲ τὸ συμβεβηκὸς γένος τῶν ἐννέα κατηγοριῶν. Διαιρεῖται δὲ τὸ Ὂν εἰς τὰς δέκα κατηγορίας, κατ' ἄλλον οὐδένα τῶν διαιρετικῶν τρόπων, ἢ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. μόνη γὰρ ἡ διαίρεσις αὕτη, τὸ Φύσει πρότερόν τε καὶ ὕστερον ἔχει θεωρούμενον ἐν τοῖς τμήμασι.

Τῶν Ὄντων
- Τὰ μὲν Καθ' ὑποκειμένου λέγεται· ὧν,
  - Τὰ μὲν ἐν Ὑποκειμένῳ ἐστίν, ὡς τὸ καθολικὸν Συμβεβηκός.
  - Τὰ δ' ἐν Ὑποκειμένῳ οὐκ ἔστιν, ὡς ἡ καθολικὴ Οὐσία.
- Τὰ δ' οὐ λέγεται Καθ' ὑποκειμένου· ὧν
  - Τὰ μὲν ἐν Ὑποκειμένῳ ἐστίν, ὡς τὸ τὶ λευκόν.
  - Τὰ δ' ἐν Ὑποκειμένῳ οὐκ ἔστιν, ὡς ἡ μερικὴ Οὐσία, καὶ ἄτομον.

Τὰ Ὄντα.




Τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ Ὂν
- Ἢ ἐν Ὑποκειμένῳ
  - Ἢ Καθ' αὑτό· καὶ τοῦτο
    - Ἢ μεριστόν ἐστι, καὶ ποιεῖ τὸ Ποσόν·
    - Ἢ ἀμέριστον καὶ ποιεῖ τὸ Ποιόν.
  - Ἢ οὐ καθ' αὑτό· καὶ τοῦτο
    - Ἢ σχέσις μόνον ἐστὶ, καὶ ποιεῖ τὰ Πρός τι
    - Ἢ κατὰ σχέσιν ἄλλων νοεῖται
      - Ἢ Οὐσίας καὶ Ποσοῦ: Ποῦ. Πότε.
      - Ἢ Οὐσίας καὶ Ποιοῦ: Ποιεῖν. Πάσχειν.
      - Ἢ Οὐσίας καὶ Πρός τι: Ἔχειν. Κεῖσθαι.
- Ἢ οὐκ ἐν ὑποκειμένῳ, καὶ ποιεῖ τὴν Οὐσίαν.

## ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

### Περὶ τῶν Κατηγορουμένων ἐν ᾧ καὶ περὶ τοῦ Ἔν τινι.

Πᾶσα Κατηγορία, Ἢ ἐπίσης ἐστὶ τοῦ ὑποκειμένου, Ἢ ἐπὶ πλέον· ἐπ' ἔλαττον δὲ, οὐδέ ποτε. Καὶ ἐπὶ πλέον μὲν, ὅτε τὰ καθολικώτερα, κατηγοροῦνται τῶν μερικωτέρων· οἷον πᾶς ἄνθρωπος ζῷόν ἐστιν· ἰδοὺ τὸ ζῶον ἐπὶ πλέον ὂν τοῦ ἀνθρώπου, κατηγορήθη αὐτοῦ μερικωτέρου ὑπάρχοντος. Οὐκ ἔστι δὲ ἀντιστρέψαντας εἰπεῖν, ὅτι πᾶν ζῶον ἄνθρωπός ἐστιν· ἐπ' ἔλαττον γὰρ τοῦ ζώου ὁ ἄνθρωπος ὤν, οὐ δύναται κατηγορηθῆναι αὐτοῦ. τὸ μὲν γὰρ ζῶον περιέχει τὸν ἄνθρωπον· ὁ δὲ ἄνθρωπος, οὐ περιέχει τὸ ζῶον· οὐδὲ γὰρ μόνος ὁ ἄνθρωπός ἐστι ζῶον, ἀλλὰ καὶ τὰ ἄλογα ζῶα. καὶ οὕτως ἐπὶ πλέον μὲν, γίνεται κατηγορία· ἐπ' ἔλαττον δὲ, οὐδαμῶς. Γίνεται δέ ποτε καὶ ἐπίσης κατηγορία· ὡς ἐπὶ τῶν εἰδῶν τε καὶ τῶν ἰδίων, ἐπὶ τῶν ὁρισμῶν τε καὶ τῶν ὁριστῶν· οἷον, πᾶς ἄνθρωπος γελαστικός ἐστι· καὶ πᾶν γελαστικὸν, ἄνθρωπός ἐστιν· ὁμοίως πᾶς ἄνθρωπος, ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστι· καὶ πᾶν ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἄνθρωπός ἐστι. Ταῦτα δὲ τὰ ἐπίσης ἀντιστρέφοντα, καὶ ἀντικατηγορούμενα λέγεται.

Χρὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χρὴ δὲ γινώσκειν, ὡς ὅταν ἕτερον ἑτέρου κατηγορῆται ὡς καθ᾽ ὑποκειμένου, τουτέστιν, οὐσιωδῶς· ὅσα κατὰ τοῦ Κατηγορουμένου λέγεται οὐσιωδῶς, ταῦτα καὶ κατὰ τοῦ Ὑποκειμένου ῥηθήσεται. Διττῆς γὰρ οὔσης τῆς κατηγορίας, τῆς μὲν καθ᾽ ὑποκειμένου, τῆς δ᾽ ἐν ὑποκειμένῳ· Καθ᾽ ὑποκειμένου μέν ἐστιν, ὅτε τὰ καθολικώτερα κατηγοροῦνται τῶν μερικωτέρων οὐσιωδῶς καὶ πραγματικῶς, καὶ τὸ ὅλον εἰπεῖν συνωνύμως· ὁπότε δηλαδὴ, καὶ τὰ κατηγορούμενα καὶ τὰ ὑποκείμενα, ὑφ᾽ ἓν καὶ τὸ αὐτὸ γένος κοινὸν ἀναφέρονται, ὑπὸ τὴν οὐσίαν τυχὸν, ἢ τὸ ποσὸν, ἢ ἄλλο τι τῶν δέκα γενικωτάτων Γενῶν. Τότε γὰρ ὅσα τινὸς κατηγοροῦνται καθὼς εἴπομεν, καὶ τοῦ ὑποκειμένου αὐτῷ κατηγορηθήσονται· οἷον ὁ ἄνθρωπος οὐσιωδῶς κατηγορεῖται τοῦ Πέτρου, καὶ τοῦ ἀνθρώπου δ᾽ οὐσιωδῶς κατηγορεῖται τὸ ζῶον. (ὑπὸ μίαν γὰρ κατηγορίαν τὴν οὐσίαν καὶ ἀμφότερα.) καὶ τοῦ Πέτρου τοίνυν τὸ ζῶον κατηγορηθήσεται· ὁ γὰρ Πέτρος, ἄνθρωπός ἐστιν, ἀλλὰ καὶ ζῶόν ἐστι. Πάλιν τοῦ πέντε κατηγορεῖται οὐσιωδῶς ὁ ἀριθμὸς· καὶ τοῦ ἀριθμοῦ κατηγορεῖται τὸ διωρισμένον οὐσιωδῶς καὶ αὐτό· καὶ γὰρ ὑπὸ τὸ ποσὸν καὶ ἀμφότερα· καὶ τοῦ πέντε γοῦν κατηγορηθήσεται τὸ διωρισμένον· ὁ γὰρ πέντε καὶ ἀριθμός ἐστι, καὶ διωρισμένον ἐστί. Καὶ αὕτη μὲν ἡ Καθ᾽ ὑποκειμένου Κατηγορία.

Ἐν Ὑποκειμένῳ δὲ κατηγορία ἐστὶν, ὅταν κατά τινος λέγηταί τι ἐπουσιωδῶς· ὁπόταν δηλονότι, μηδ᾽ ὑφ᾽ ἓν καὶ τὸ αὐτὸ γένος κοινὸν ἀναφέρωνται τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον. τότε γὰρ οὐχ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, εἴτε οὐσιωδῶς, εἴτε ἐπουσιωδῶς· ταῦτα ἤδη καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται· οἷον, τοῦ Κύκνου κατηγορεῖται τὸ Λευκὸν ἐπουσιωδῶς· τοῦ δὲ Λευκοῦ τὸ Χρῶμα οὐσιωδῶς· ὁ μὲν γὰρ Κύκνος ὑπὸ τὴν οὐσίαν ἐστί· τὸ δὲ λευκὸν καὶ τὸ χρῶμα, ὑπὸ τὸ ποιόν· οὐ τοίνυν τὸ Χρῶμα κατὰ τοῦ Κύκνου ῥηθήσεται· ὁ γὰρ Κύκνος, καὶ τὸ Ψιμμίθιον, καὶ ἡ Τίτανος καὶ ἡ Χιὼν λευκὰ μέν εἰσι· χρώματα δὲ οὐκ εἰσί. Πάλιν τοῦ Ἀνθρώπου κατηγορεῖται τὸ Ζῶον οὐσιωδῶς· τοῦ δὲ Ζώου τὸ Δισύλλαβον ἐπουσιωδῶς· ὁ μὲν

γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ ἄνθρωπος, καὶ τὸ ζῶον, ὑπὸ τὴν οὐσίαν εἰσί· τὸ δὲ δισύλλαβον, ὑπὸ τὸ ποσόν. οὐ τοίνυν καὶ τοῦ ἀνθρώπου τὸ δισύλλαβον κατηγορηθήσεται· καὶ γὰρ ὁ ἄνθρωπος ζῶον μὲν ἐστι· δισύλλαβον δὲ οὐκ ἐστι. Πάλιν κατὰ τοῦ Σωκράτους, ἐπουσιωδῶς λέγεται τὸ Φιλόσοφον· κατὰ δὲ τοῦ Φιλοσόφου ὁμοίως ἐπουσιωδῶς τὸ Τετρασύλλαβον· ὁ μὲν γὰρ Σωκράτης, ὑπὸ τὴν οὐσίαν ἐστι· τὸ δὲ φιλόσοφον, ὑπὸ τὸ ποιόν· τὸ δὲ τετρασύλλαβον, ὑπὸ τὸ ποσόν. ἀλλ᾽ οὐχὶ καὶ κατὰ τοῦ Σωκράτους ῥηθείη ἂν, τὸ τετρασύλλαβον· Φιλόσοφος μὲν γάρ ἐστιν ὁ Σωκράτης, οὐ μὴν δὲ καὶ τετρασύλλαβον. Ὥσπερ δὲ πάντοτε τῇ καθ᾽ ὑποκειμένου κατηγορίᾳ ἐμφαίνεται τὸ Συνώνυμον· οὕτω τῇ ἐν ὑποκειμένῳ οὐδέποτε. Ἀλλ᾽ ὁτὲ μὲν τὸ Ὁμώνυμον· ὡς ὅταν εἴπῃ τις τήνδε τὴν γυναῖκα μουσικὴν, ἢ γραμματικήν. Ὁτὲ δὲ τὸ Παρώνυμον· ὡς ὅταν ἀπὸ τῆς Φιλοσοφίας, παρονομάσῃ τις τὸν Ἀριστοτέλη Φιλόσοφον. Ποτὲ δὲ αὖ τὸ Ἑτερώνυμον· ὡς ὅταν ἐκ τῆς ἀρετῆς, σπουδαῖον τὸν Σωκράτην καλέσῃ τις· τὸ γὰρ ἐνάρετον ἐν τῇ τοῦ ἑλληνισμοῦ συνηθείᾳ οὐχ εὕρηται.

Οὐσία δὲ καὶ Οὐσιῶδες, διαφέρουσιν ἀλλήλων. ὡσαύτως Συμβεβηκός τε καὶ Ἐπουσιῶδες. Ἡ μὲν γὰρ οὐσία, πρᾶγμά ἐστιν αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· Τὸ δὲ συμβεβηκὸς, πρᾶγμά ἐστιν ἐν τῇ οὐσίᾳ ὑπάρχον, μὴ ὡς μέρος, καὶ μὴ δυνάμενον εἶναι τῆς οὐσίας χωρίς. Τὸ οὐσιῶδες δὲ καὶ ἐπουσιῶδες, τρόποι εἰσὶν ὑπάρξεώς τινων ἔν τισι. καὶ τὸ μὲν Οὐσιῶδες τὸ οἰκεῖον καὶ γνήσιον τοῦ ἐνυπάρχοντος παρίστησι πράγματος, πρὸς ἐκεῖνο, ᾧ ἐνυπάρχει· τὸ δὲ ἐπουσιῶδες, τὸ ἀλλότριον δηλοῖ καὶ τὸ ἐπείσακτον. Ὅθεν καὶ ἐν πάσαις ταῖς κατηγορίαις, τὸ οὐσιῶδές τε καὶ τὸ Ἐπουσιῶδες λαμβάνεσθαι δύναται.

Τὸ δ᾽ Ἔν τινι λέγεται Ἑνδεκαχῶς. Ὡς Γένος ἐν Εἴδει· οἷον τὸ Ζῶον ἐν τῷ Ἀνθρώπῳ· τὸ γὰρ γένος ἐξῃρημένην ἔχον τὴν ὕπαρξιν, ὅλον ἐν ἑκάστῳ γίνεται τῶν εἰδῶν, καὶ κοινὸν τοῖς εἴδεσιν ἅπασι, καὶ ἰδικὸν ἐνὶ ἑκάστῳ εἴδει ἐστὶ, καθὼς ἡ Φωνὴ τοῦ Κήρυκος τοῖς ἀκούουσι, καὶ ἡ Ὕλη τοῖς ἐν κόσμῳ, καὶ τὸ τοῦ Κύκλου κέντρον ταῖς ἐ[illegible]αὐτοῦ δὴ τοῦ

κέντρου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κέντρȣ ἀγομέναις εὐθείαις· Ὡς Εἶδος ἐν Γένει, οἷον ὁ Ἄνθρωπος ἐν τῷ Ζώῳ· περιέχεται γὰρ ὁ ἄνθρωπος ἐν τῷ ζώῳ, καὶ πᾶν εἶδος ἐν τῷ οἰκείῳ γένει· Ὡς Ὅλον ἐν Μέρεσι, καθάπερ ὁ Σωκράτης ἐν τοῖς ἑαυτȣ̃ μέρεσι, κεφαλῇ, χερσὶ, ποσὶ, καὶ τοῖς ἄλλοις· καὶ τȣ̃το δ᾽ ἔν τισίν ἐςι, καὶ ȣ̓κ ἔν τινι. Λέγεται δὲ μέρη μὲν ὅλȣ· ὅλον δὲ μερῶν ȣ̓δαμῶς, ἀλλ᾽ ὅλον ἐν μέρεσιν. Ὡς Μέρος ἐν Ὅλῳ· καθάπερ χεὶρ, ἢ πȣ̃ς ἐν Σωκράτει. Ὡς Εἶδος ἐν Ὕλῃ· καθὰ τὸ Εἶδος τȣ̃ Ἀνδριάντος ἐν τῷ Χαλκῷ, καὶ τὸ Σημεῖον ἐν τῇ Γραμμῇ· εἰδοποιεῖ γὰρ καὶ τὸ σημεῖον τὴν πεπερασμένην γραμμήν. Ἐν Χρόνῳ, ὡς ἐν τῷ καιρῷ τȣ̃ Κατακλυσμȣ̃ Νῶε. Ἐν Τόπῳ, ὡς Ἱερεὺς ἐν τῷ Ναῷ. Ἐν Ἀγγείῳ, ὡς Ὕδωρ ἐν Ἐκπώματι· καὶ εἴη ἂν τὸ μὲν ἀγγεῖον τόπος μεταφορητὸς· ὁ δὲ τόπος, ἀγγεῖον ἀμεταφόρητον. Ἐν τῷ ποιητικῷ Αἰτίῳ, ὡς τὰ Πάντα ἐν τῷ Θεῷ, καὶ ἐν τῷ Τεχνίτῃ τῶν ὑπ᾽ αὐτȣ̃ γενομένων οἱ Λόγοι· καὶ ἐν τῷ Ἄρχοντι, τῶν ἀρχομένων τὰ πράγματα. Ἐν τῷ τελικῷ Αἰτίῳ, ὡς ἐν τῇ ἀναπαύσει τῶν ἀνθρώπων ἡ Κλίνη, καὶ ἐν τῇ Ὑγιείᾳ ἡ Γυμνασία. Ἐν Ὑποκειμένῳ, ὡς ἐν τῇ Οὐσίᾳ τὸ Συμβεβηκός. Ἀνάγονται δὲ ὑπὸ τὴν Ποῦ κατηγορίαν, τὰ Ἔν τινι. Καὶ τὰ μὲν ἀπηριθμημένα, τȣ̃ κατὰ φύσιν ἐςί· τȣ̃ δὲ παρὰ φύσιν, ὡς ἡ φθορὰ ἐν τῷ ζώῳ, καὶ τὸ πῦρ ἐν τῷ ξύλῳ. Καθόλȣ γὰρ ἡ φθορὰ ἐν τῷ φθειρομένῳ παρὰ φύσιν ἐςίν. Οὐδὲ γὰρ ὁ τῆς φύσεως σκοπὸς, τὸ ταύτης [ἔργον] ἀπόλλυσθαι· συντηρεῖσθαι δὲ μᾶλλον καὶ διαμένειν.

Πᾶσα Κατηγορία {
- Ἢ ἐπὶ πλέον, ὡς τὸ Ζῶον τȣ̃ Ἀνθρώπȣ.
- Ἢ ἐπίσης, ὡς τὸ Γελαστικὸν τȣ̃ Ἀνθρώπȣ.

Ὡς

**Τὰ Ἔν τινι:**

- Ὡς Γένος ἐν Εἴδει· οἷον τὸ Ζῶον ἐν Ἀνθρώπῳ.
- Ὡς Εἶδος ἐν Γένει· οἷον Ἄνθρωπος ἐν τῷ Ζώῳ.
- Ὡς Ὅλον ἐν Μέρεσιν· οἷον ὁ Σωκράτης ἐν τοῖς οἰκείοις μέρεσιν.
- Ὡς Μέρος ἐν Ὅλῳ· οἷον Χεὶρ ἢ Ποῦς ἐν Σωκράτῃ.
- Ὡς Εἶδος ἐν Ὕλῃ· ὡς τὸ Εἶδος τοῦ Ἀνδριάντος ἐν τῷ Χαλκῷ.
- Ἐν Χρόνῳ, ὡς Νῶε ἐν τῷ καιρῷ τοῦ Κατακλυσμοῦ.
- Ἐν Ἀγγείῳ, ὡς Ὕδωρ ἐν Ἐκπώματι.
- Ἐν τόπῳ· ὡς Ἱερεὺς ἐν τῷ Ναῷ.
- Ἐν τῷ ποιητικῷ Αἰτίῳ· ὡς τὰ πάντα ἐν τῷ Θεῷ.
- Ἐν τῷ τελικῷ Αἰτίῳ, ὡς ἡ γυμνασία ἐν τῇ ὑγιείᾳ.
- Ἐν ὑποκειμένῳ, ὡς ἐν τῇ Οὐσίᾳ τὸ Συμβεβηκός.

# ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

## Περὶ Ἑνὸς, Ταυτοῦ, καὶ Ἑτέρου, ἐν ᾧ καὶ περὶ Ὑποστάσεως.

Τριχῶς λέγεται τὸ Ἓν καὶ Ταυτόν. Ἢ γὰρ τῷ Γένει, καὶ ποιεῖ τὰ Ὁμογενῆ· οἷον Ἄνθρωπος καὶ Ἵππος· ταῦτα γὰρ ἓν καὶ ταυτὸν γένος ἔχουσι τὸ ζῶον· ἢ τῷ Εἴδει, καὶ ποιεῖ τὰ Ὁμοειδῆ· οἷον Πέτρος καὶ Παῦλος· (τούτοις γὰρ ἓν καὶ ταυτὸν εἶδος ὑπάρχει ὁ ἄνθρωπος.) Ἢ τῷ Ἀριθμῷ, καὶ ποιεῖ τὸ Ἄτομον καθ᾽ αὑτὸ νοούμενον, τῶν λοιπῶν ἀτόμων κεχωρισμένον· οἷον Σωκράτης· ἓν γὰρ ὑπάρχει καὶ ταυτὸν, εἰ καὶ πλείστοις ἴσως καλεῖτο ὀνόμασι· Σωκράτης, Σωφρονίσκου υἱὸς, Φιλόσοφος. Τὸ δ᾽ αὐτὸ κἀπὶ τῶν ἰδίως λεγομένων Πολυωνύμων ἐστίν. ἓν γὰρ καὶ ταυτὸν ὑπάρχει τῷ ἀριθμῷ, τὸ Ξίφος, καὶ τὸ Ἄορ, καὶ ἡ Σπάθη, καὶ τὸ Φάσγανον.

Ὁσαχῶς δὲ λέγεται τὸ ἓν καὶ ταυτὸν, τοσαυταχῶς καὶ τὸ Ἕτερον. Ἢ γὰρ τῷ Γένει καὶ τοῦτο λέγεται, καὶ ποιεῖ τὰ Ἑτερογενῆ, οἷον Ζῶον καὶ Ἐπιστήμη· (τοῦ μὲν γὰρ ζώου γένος ἡ οὐσία· τῆς ἐπιστήμης δὲ, τὸ ποιόν.) Ἢ τῷ Εἴδει, καὶ ποιεῖ τὰ Ἑτεροειδῆ· οἷον Ἵππος καὶ Βοῦς· (ἄλλο γὰρ εἶδος τοῦ ἵππου, καὶ ἄλλο τοῦ βοός, εἰ καὶ γένος οὐκ ἄλλο καὶ ἄλλο.) Ἢ τῷ Ἀριθμῷ καὶ ποιεῖ [τὰ] Ἄτο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μα· καὶ γὰρ τῷ Ἀριθμῷ διαφέρουσιν, ὅσα τῇ συνδρομῇ τῶν συμβεβηκότων, τὴν ἰδιότητα τῆς ἰδίας ὑποστάσεως ἀφωρίσαντο. Ταῦτα δὲ λέγονται καὶ Ἑτεροϋπόστατα, ὡς ἐσχηκότα τὴν ἀνὰ μέρος καθ᾽ ἑαυτὰ ὕπαρξιν· τούτῳ γὰρ καὶ τῶν Ὁμοϋποστάτων διενηνόχασιν. Ὁμοϋπόστατα γάρ εἰσιν, ὅταν δύο φύσεις ἐν μιᾷ ὑποστάσει ἑνωθῶσι, καὶ μίαν ποιῶσιν ὑπόστασιν σύνθετον, καὶ ἓν πρόσωπον, ὡς ψυχὴ καὶ σῶμα. Πάντα μὲν οὖν τὰ Ὁμοειδῆ, ἐξ ἀνάγκης εἰσὶ καὶ ὁμογενῆ· οὐ πάντα δὲ τὰ Ὁμογενῆ, ἀναγκαίως καὶ ὁμοειδῆ. Οὕτω καὶ τὰ Ἑτερογενῆ μὲν, ὁμολογουμένως πάντα ἑτεροειδῆ· οὐ πάντα δὲ τὰ Ἑτεροειδῆ, ἤδη καὶ ἑτερογενῆ. Καὶ τὰ μὲν τῷ Γένει ἕτερα, καὶ τῷ εἴδει καὶ τῷ ἀριθμῷ διαφέρουσι· τὰ δὲ τῷ Εἴδει ἕτερα, τῷ μὲν ἀριθμῷ διαφέρουσιν· οὐ μὴν δὲ ἀεὶ καὶ τῷ γένει. Οὔτε δὲ τὰ τῷ Ἀριθμῷ διαφέροντα, ἐξ ἀνάγκης καὶ τῷ εἴδει, καὶ τῷ γένει ἕτερά ἐστιν. Ἑτεροειδῆ δὲ λέγοιντ᾽ ἂν μάλιστα, τὰ ἐκ διαφόρων εἰδικωτάτων εἰδῶν ἄτομα· καθάπερ γὰρ Σωκράτης καὶ Πλάτων ὁμοειδῆ· (καὶ ἄμφω γὰρ ἄνθρωποι·) τὸν αὐτὸν τρόπον Πήγασος καὶ Κέρβερος, ἑτεροειδῆ· τὸν μὲν γὰρ Ἵππον, λέγουσιν εἶναι τὸν Πήγασον· τὸν δὲ Κύνα, τὸν Κέρβερον. Τῶν Ἑτερογενῶν δὲ καὶ μὴ ὑπάλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ Διαφοραί· οἷον Ζώου καὶ Ἐπιστήμης· Ἄλλαι γὰρ διαφοραὶ τοῦ ζώου, καὶ ἄλλαι τῆς ἐπιστήμης. Τοῦ μὲν γὰρ Ζώου, συστατικαὶ διαφοραὶ, τὸ Ἔμψυχον, τὸ Αἰσθητικὸν, τὸ Μεταβατικόν· διαιρετικαὶ, τὸ Λογικὸν, τὸ Ἄλογον, τὸ Πεζὸν, τὸ Πτηνὸν, τὸ Ἔνυδρον, καὶ ἕτερα. Τῆς δὲ Ἐπιστήμης συστατικαὶ μὲν, τὸ τοῖς λογικοῖς ἐνυπάρχειν ζώοις, τὸ Δυσμετάβλητον, τὸ Ἄπταιστον τῶν ὑποκειμένων· διαιρετικαὶ δὲ, τὸ Θεωρητικὸν, τὸ Πρακτικόν· καὶ αὖθις, τὸ Γεωμετρικόν τε καὶ Ἀστρονομικὸν, καὶ τὰ τοιαῦτα· καὶ γὰρ ἧς κατηγορίας ὑπάρχει τὸ γένος, ἐκείνης καὶ τὸ εἶδος. κατάλληλοι δὲ καὶ αἱ διαφοραί. Τῶν τοίνυν ἑτερογενῶν ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραὶ, αἱ συστατικαί τε καὶ αἱ διαιρετικαί.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῶν δέ γε ὑπάλληλα τεταγμένων, διαιρετικαὶ μὲν οὐ πάντοτε αἱ αὐταί· τοῦ γὰρ Σώματος διαιρουμένου εἰς Ἔμψυχον σῶμα καὶ Ἄψυχον, οὐ διαιρεθήσεται καὶ τὸ Ἔμψυχον εἰς ἔμψυχον πάλιν καὶ ἄψυχον, ἀλλ' εἰς Αἰσθητικὸν καὶ Ἀναίσθητον· ἔσται δὲ καὶ τὸ Σῶμα διῃρημένον εἰς Αἰσθητικὸν καὶ Ἀναίσθητον. Πάλιν τοῦ Ἐμψύχου καὶ τοῦ Αἰσθητικοῦ, εὑρεθήσονται κοιναὶ διαφοραὶ διαιρετικαί, τὸ Λογικόν τε καὶ Ἄλογον· καὶ οὕτως ἔσονται τῶν ὑπάλληλα Γενῶν, διαφοραὶ διαιρετικαί, ποτὲ μὲν αἱ αὐταί, ποτὲ δ' οὐχ αἱ αὐταί. Τὰς δὲ συστατικὰς εἶναι πάντοτε τὰς αὐτάς, τὸ κωλύον οὐδέν· ὁμογενῶν γὰρ ὄντων τῶν ὑπάλληλα, καὶ συνωνύμου γενομένης τῆς κατηγορίας, ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, πᾶσαι καὶ τοῦ ὑποκειμένου ἔσονται.

Χρὴ δὲ γινώσκειν, ὡς οἱ θεῖοι Πατέρες Ὁμογενῆ καὶ Ὁμοειδῆ τὰ αὐτὰ λέγουσι, τὰ Ὁμοούσια δηλαδή, ἤγουν τὰς ὑπὸ τὸ αὐτὸ εἶδος Ὑποστάσεις. Ἡ δ' Ὑπόστασις δύο σημαίνει· δηλοῖ γὰρ καὶ τὴν ἁπλῶς Ὕπαρξιν, καθὸ καί τινες τῶν Πατέρων, ὡς δηλωτικὸν φύσεως παρειλήφασι τὸ τῆς ὑποστάσεως ὄνομα· δηλοῖ καὶ τὸ Ἄτομον, ὃ καὶ κυρίως ὑπόστασις λέγεται, διὰ τὸ καθ' αὑτὸ ὑφεστάναι πραγματικῶς· ἐν γὰρ τοῖς Ἀτόμοις ἡ Οὐσία ἐνεργείᾳ ὑφέστηκε, προσλαβοῦσα τὰ Συμβεβηκότα. Καὶ τὸ Ἀνυπόστατον δέ, δύο σημαίνει· τό, τε γὰρ μηδαμῆ μηδαμῶς ὄν, καὶ τὸ συμβεβηκός, ὡς μὴ ἔχον ἰδίαν ὑπόστασιν, εἴτουν ὕπαρξιν, ἀλλ' ἐν τῇ οὐσίᾳ ὑφεστηκός. Τὸ δὲ Ἐνυπόστατον, ποτὲ μὲν τὸ ἁπλῶς ὑπάρχον δηλοῖ· καθὸ σημαινόμενον οὐ μόνον τὴν ἁπλῶς οὐσίαν, ἀλλὰ καὶ τὸ συμβεβηκὸς ἐνυπόστατον λέγομεν, ἑτεροϋπόστατον μᾶλλον ὑπάρχον· ποτὲ δὲ δηλοῖ καὶ τὸ ἄτομον. Οὐδ' αὐτὸ δὲ κυρίως ἐνυπόστατόν ἐστιν, ἀλλ' ὑπόστασις. Κυρίως γὰρ Ἐνυπόστατόν ἐστιν, Ἢ τὸ καθ' αὑτὸ μὲν μὴ ὑφιστάμενον, ἀλλ' ἐν ταῖς ὑποστάσεσι θεωρούμενον, ὥσπερ τὸ εἶδος, ἤγουν ἡ φύσις· (καὶ γὰρ τῶν ἀνθρώπων ἡ φύσις οὐ καθ' ἑαυτήν, ἀλλ' ἐν τοῖς κατὰ μέρος ἀνθρώποις ὑφέστηκεν·) Ἢ τὸ συνερχόμενον ἑτέρῳ τινὶ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς μιᾶς ὑποστάσεως συνθέτου ἐκπλήρωσιν· ὡς ἡ Ψυχὴ καὶ τὸ Σῶμα συνελθόντα ἀλ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λήλοις τόντινα ἄνθρωπον ἀπετέλεσαν. Τὰ μὲν οὖν, Ἐνυπόστατα λεχθεῖεν ἄν· τὸ δ᾽ ἐξ αὐτῶν ἀλλήλων συντεθειμένον, Ὑπόστασις.

Ἀλλὰ καὶ ὑφ᾽ ἑτέρας ὑποστάσεως προσληφθεῖσα Φύσις, καὶ ἐν αὐτῇ ἐσχηκυῖα τὴν ὕπαρξιν, καὶ αὕτη καλῶς ἐνυπόστατος λέγεται· ὅθεν καὶ τοῦ Κυρίου ἡ Σάρξ, μηδὲ πρὸς καιροῦ ῥοπὴν ἀκαριαίαν ὑποστᾶσα καθ᾽ ἑαυτὴν, οὐχ Ὑπόστασις, ἀλλ᾽ Ἐνυπόστατος καὶ λέγεται καὶ ἐστίν· ἐν γὰρ τῇ τοῦ Θεοῦ Λόγου ὑπέστη Ὑποστάσει προσληφθεῖσα ὑπ᾽ αὐτῆς, καὶ ταύτην ἔσχε καὶ ἔχει Ὑπόστασιν.

Ἰστέον δ᾽ ὅτι οἱ ἅγιοι Πατέρες τὸ αὐτὸ καὶ ἓν ἐκάλεσαν Ὑπόστασίν τε καὶ Ἄτομον καὶ Πρόσωπον, τὸ διὰ τῶν ἑαυτοῦ ἰδιωμάτων ἀρίδηλον καὶ περιωρισμένην ἀπὸ τῶν ὁμοφυῶν αὐτοῦ παρεχόμενον ἡμῖν τὴν οἰκείαν ἐμφάνειαν.

**Τὸ Ἓν καὶ Ταυτὸν** {
Ἢ Γένει, οἷον Ἄνθρωπος καὶ Ἵππος.
Ἢ Εἴδει, ὡς Πέτρος καὶ Παῦλος.
Ἢ Ἀριθμῷ, ὡς Λώπιον καὶ Ἱμάτιον.

**Τὸ Ἕτερον,** {
Ἢ Γένει, ὡς Ζῷον καὶ Ἐπιστήμη·
Ἢ Εἴδει, ὡς Ἵππος καὶ Βοῦς·
Ἢ Ἀριθμῷ, ὡς Σωκράτης καὶ Πλάτων.

**Ὑπόστασις,** {
Ἢ ἁπλῶς Ὕπαρξις·
Ἢ καὶ τὸ Ἄτομον.

**Ἀνυπόστατον,** {
Ἢ τὸ μηδαμῇ μηδαμῶς ὄν·
Ἢ τὸ Συμβεβηκός.

**Τὸ Ἐνυπόστατον.** {
Τὸ ἁπλῶς ὑπάρχον·
Τὸ Ἄτομον·
Τὸ μὴ καθ᾽ ἑαυτὸ θεωρούμενον, ὡς τὸ Εἶδος τοῦ ἀνθρώπου ἐν τοῖς κατὰ μέρος·
Καὶ τὸ συνερχόμενον διαφόρως κατὰ τὴν οὐσίαν, εἰς μιᾶς ὑποστάσεως σύστασιν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

### Περὶ τοῦ Προτέρου, καὶ Ὑστέρου, καὶ Ἅμα.

Κατὰ πέντε τρόπους τὸ Πρότερον λέγεται· Καθ᾽ ἕνα μὲν τρόπον ἀπὸ τοῦ Χρόνου, καθ᾽ ὃν πρεσβύτερον καὶ παλαιότερον ἕτερον ἑτέρου φαμέν. Τάττεται δὲ τὸ μὲν Πρεσβύτερον κυρίως ἐπὶ τῶν ἐμψύχων, καὶ μάλιστα ἐπ᾽ ἀνθρώπων· ἐπὶ δὲ τῶν ἀψύχων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀψύχων [καὶ] ὁμοῦ πάντων τὸ Παλαιότερον. Δῆλον δ' ὅτι πρὸς ἕτερον χρὴ παραβάλλοντα πάντοτε ποιεῖσθαι τὴν σύγκρισιν, ἵνα μή τις ἑαυτοῦ κατὰ τὴν νέαν ἡλικίαν, ὡς τῷ χρόνῳ προτέραν, εὑρεθείη πρεσβύτερος. Καθ' ἕτερον τρόπον λέγεται Πρότερον, τὸ κατὰ φύσιν. Φύσει δὲ πρότερόν ἐστι, τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον, καὶ συνεισφερόμενον καὶ μὴ συνεισφέρον· οἷον τὸ ἕν, πρότερον φύσει τῶν δύω· καὶ γὰρ ἀναιρούμενον, συναναιρεῖ τὰ δύω· μὴ ὄντος γὰρ ἑνός, πῶς ἔσονται δύω; τῶν δύω δ' ἀναιρεθέντων, οὐ συναναιρεῖται τὸ ἕν· ἔστι γὰρ ἕν, δύω μὴ ὄντων. Πάλιν τοῖς μὲν δύω συνεισφέρεται τὸ ἕν· ἔνθα γὰρ δύω, ἐκεῖ καὶ τὸ ἕν· ἓν γὰρ καὶ ἓν τὰ δύω· οὐ συνεισφέρει δὲ τὸ ἓν τὰ δύω· ἑνὸς γὰρ ὄντος, οὐκ ἀναγκαῖον εἶναι καὶ δύω. Κατὰ τοῦτον τὸν τρόπον τὰ Γένη πρότερα τῶν οἰκείων Εἰδῶν, καὶ τὰ Εἴδη τῶν Ἀτόμων, καὶ ἁπλῶς τὰ καθολικώτερα τῶν ὑπὸ τὴν αὐτὴν κατηγορίαν μερικωτέρων. Τρίτος τρόπος ὁ κατὰ Τάξιν, ὡς τὸ προοίμιον πρότερον τῆς διηγήσεως, καὶ ὁ στρατιώτης τοῦ στρατηγοῦ. Τέταρτος. ὁ κατ' Ἀξίαν· ὡς ὁ ἄρχων πρότερος τοῦ ἀρχομένου, τῇ ἀξίᾳ δηλονότι καὶ τῇ τιμῇ. Τοῦτον τὸν τρόπον ὁ Ἀριστοτέλης οὐ δέχεται· τίθησι δ' ἀντ' αὐτοῦ τὸν κατὰ τὸ Αἴτιον· οἷον, ἔστιν ἄνθρωπος, καὶ λέγομεν καὶ ἡμεῖς ἀληθῆ λόγον, ὅτι ἐστὶν ἄνθρωπος. τὸ εἶναι γοῦν ἄνθρωπον, αἴτιον γίνεται τοῦ λόγου τούτου τοῦ ἀληθοῦς, τοῦ, ὅτι ἐστὶν ἄνθρωπος. Κατὰ τοῦτο τὸ σημαινόμενον, λέγομεν τὸν ἄναρχον Πατέρα πρῶτον καὶ μείζονα τοῦ Μονογενοῦς, ὡς Αἴτιον τῆς αὐτοῦ ὑπάρξεως οὐσιωδῶς. Προστιθέασί τινες τοῖς τρόποις τοῦ προτέρου, τὸν κατ' Ἐπίνοιαν· ὡς ὅταν βουλόμενοι τοῖχον δείμασθαι θεμέλιον καταβάλλωμεν· καὶ λέγομεν, ἐπεὶ πρότερον τὸν τοῖχον ἐπινοήσαντες διὰ τὸν τοῖχον τιθέμεθα τὸν θεμέλιον, ὁ τοῖχός ἐστι πρότερος τοῦ θεμελίου. Συνάγεται δ' οὗτος ὁ τρόπος τῷ κατ' Ἀξίαν· καθ' ὃν τὸ βέλτιον καὶ τιμιώτερον, λέγεται πρότερον. Καὶ ὥσπερ ὁ κατ' ἀξίαν πρότερος, ὕστερος εὑρίσκεται κατὰ τάξιν· (ὁ γὰρ ἄρχων πρότερόν ἐστιν ἀρχόμενος, καὶ ὕστερον ἄρχων καθίσταται.)



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοιουτοτρόπως καὶ τὸ κατ᾽ ἐπίνοιαν πρότερον, ὕστερον ἀπαρτίζεται καὶ τελειοῦται.

Ὁσαχῶς δὲ τὸ πρότερον, τοσαυταχῶς καὶ τὸ ὕστερον, προσφυῶς τοῖς τρόποις καὶ καταλλήλως γινομένης τῆς ἀντιθέσεως. Διαιροῦσι δὲ τὸ Πρότερον, καὶ τὸ Ὕστερον, καὶ τὸ Μᾶλλον καὶ τὸ Ἧττον, ὥσπερ τὰ ἀφ᾽ ἑνός.

Ἅμα δέ ἐστι καθ᾽ ἕνα μὲν τρόπον, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ· ὡς ὅταν ἐν μιᾷ ῥοπῇ τύχῃ γεννηθῆναι δύω τινάς. οὗτος ὁ τρόπος τῷ πρώτῳ τρόπῳ τοῦ προτέρου ἀντίκειται, τῷ ἀπὸ τοῦ Χρόνου. Καθ᾽ ἕτερον τρόπον Ἅμα λέγονται τὰ κατὰ φύσιν ἅμα ὑπάρχοντα· ταῦτα δ᾽ ἐστὶ τὰ συναναιροῦντα καὶ συναναιρούμενα, συνεισφερόμενά τε καὶ συνεισφέροντα· οἷα τὰ Πρός τι. Οὗτος δὲ ὁ τρόπος ἀντίκειται τῷ τοῦ προτέρου δευτέρῳ τρόπῳ τῷ κατὰ φύσιν· καίγε τῷ πέμπτῳ τῷ κατὰ τὸ αἴτιον. τῷ δευτέρῳ μὲν οὖν καθ᾽ ὅσον ἀντιστρέφει, ἀντίκειται τῷ μὴ ἀντιστρέφοντι· τῷ πέμπτῳ δ᾽ αὖθις, ἤ μὴν τετάρτῳ, καθ᾽ ὅσον οὐκ ἔστι θάτερον αἴτιον τοῦ λοιποῦ· τοιαῦτα γὰρ τὰ πρός τι, καθὸ πρός τι· τὸ γὰρ Πατὴρ καὶ Υἱὸς, ἅμα ἐστὶ καὶ οὐδέτερον αἴτιον, καθ᾽ αὐτὸ ἑτέρου· μᾶλλον μὲν οὖν αἴτιον ἑκατέρου ἑκάτερόν ἐστιν. Αἴτιον γὰρ τοῦ Πατέρα εἶναι, τὸ Υἱὸν εἶναι, καὶ τοῦ Υἱὸν εἶναι, τὸ Πατέρα εἶναι· κἂν ἄλλως αἴτιος τῆς τοῦ υἱοῦ ὑπάρξεως ὁ πατὴρ, οὐ μὴν τῆς τοῦ πατρὸς ὁ υἱός· ὁ μὲν γὰρ πατὴρ ἐγέννησεν· ὁ δὲ υἱὸς ἐγεννήθη, καὶ γέγονεν ὁ υἱὸς ἐκ τοῦ πατρὸς, οὐ μὴν ἐκ τοῦ υἱοῦ ὁ πατήρ. Τρίτον τοῦ Ἅμα σημαινόμενον, τὰ ἀντιδιαιρούμενα Εἴδη· ὡς ὅταν διαιροῦντες τὸ Ζῷον εἰς Λογικὸν καὶ Ἄλογον, ἅμα λέγομεν εἶναι τὸ Λογικὸν καὶ τὸ Ἄλογον· καὶ οὐ τὸ μὲν πρότερον, τὸ δ᾽ ὕστερον. Ἀντίκειται δὲ τῶν ἀντιδιαιρουμένων ὁ τρόπος, τῷ τρίτῳ τρόπῳ τοῦ προτέρου τῷ κατὰ τάξιν. ἰσόστοιχα γὰρ τὰ ἀντιδιαιρούμενα, καὶ τὴν αὐτὴν ἀλλήλοις ἔχοντα τάξιν. δοκεῖ δέ τι τοῦ ἅμα καὶ τῷ κατ᾽ ἀξίαν ἀντικεῖσθαι τρόπῳ τοῦ προτέρου. τοῦτο δ᾽ ἂν εἴη, τὸ, ἰσάξιόν τε καὶ ὁμότιμον.

Τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ Πρότερον καὶ Ὕστερον
- Τὸ κατὰ Χρόνον.
- Τὸ τῇ Φύσει πρότερον.
- Τὸ κατὰ Τάξιν, ὡς τὸ προοίμιον τῆς διηγήσεως.
- Τὸ κατ' Ἀξίαν, ὡς ὁ ἄρχων τοῦ ἀρχομένου.
- Τὸ κατὰ τὸ Αἴτιον, ὡς τὸ εἶναι ἄνθρωπον τοῦ ἀληθοῦς περὶ αὐτοῦ λόγου, τοῦ, ὅτι ἐστὶν ἄνθρωπος.

Ἅμα λέγεται
- Τὰ κατὰ Χρόνον, οἷον εἰ γεννηθῶσι δύωτινὲς κατὰ τὸν αὐτὸν χρόνον.
- Τὰ κατὰ Φύσιν, ὡς τὰ Πρός τι.
- Τὰ Ἀντιδιαιρούμενα ἐκ τοῦ αὐτοῦ γένους, ὡς τὸ Λογικὸν καὶ Ἄλογον.

# ΚΕΦΑΛΑΙΟΝ. ΙΘ'.

## Περὶ Οὐσίας.

Ἡ Οὐσία, σημαίνει μὲν ποτε καὶ τὴν ἁπλῶς ὕπαρξιν, ὅτε καὶ κατὰ πάντων τῶν ὄντων φέρεται· κυρίως δὲ τὴν ἀντιδιαιρουμένην τοῖς συμβεβηκόσι κατηγορίαν δηλοῖ· ἥτις ἐστὶ πρᾶγμα αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· ταύτῃ γὰρ καὶ τὸ ὂν πάρεστι πρώτῃ· μετὰ ταύτην δὲ τοῖς συμβεβηκόσιν. Αὕτη ἡ Οὐσία, διαιρεῖται εἰς Σῶμα καὶ Ἀσώματον· τὸ Σῶμα εἰς Ἔμψυχον καὶ Ἄψυχον· τὸ Ἔμψυχον εἰς Αἰσθητικὸν καὶ Ἀναίσθητον· τὸ Αἰσθητικὸν εἰς Μεταβατικὸν καὶ Ἀμετάβατον· τὸ Μεταβατικὸν εἰς Λογικὸν καὶ Ἄλογον· Λογικὸν μὲν τὸν ἄνθρωπον· Ἄλογον δὲ, τὰ παρὰ τὸν ἄνθρωπον ζῶα.

Οὐσία μὲν οὖν Ἔμψυχος Ἀναίσθητος, τὸ Φυτόν· οὐσία, ἐπείπερ αὐτὸ καθ' αὐτό ἐστι τὸ Φυτόν, καὶ οὐκ ἐν ἑτέροις ἔχει τὸ εἶναι· ἀλλ' ἕτερα μᾶλλον ἐν αὐτῷ τὴν ὕπαρξιν ἔχουσιν. Ὑπάρχει γὰρ ἐν τῷ Φυτῷ, καὶ Ποσόν· (δίπηχυ γάρ ἐστιν ἴσως ἢ τρίπηχυ τουτὶ τὸ φυτόν.) καὶ Ποιόν· (μέλαν γάρ ἐστιν ἢ λευκόν.) καὶ Πρός τι· (μεῖζον γάρ ἐστιν ἑτέρου Φυτοῦ, καὶ ἄλλου πάλιν μικρότερον.) καὶ Ποῦ. (ἐν τόπῳ γάρ ἐστι.) καὶ Πότε, δι' ὅ,τι καὶ ἐν χρόνῳ· καὶ Ποιεῖν. (ἀνθεῖ γὰρ ἢ καρποφορεῖ.) καὶ Πάσχειν· (τέμνεται γὰρ τυχὸν, ἢ ψύχεται, ἢ θερμαίνεται.) καὶ Κεῖσθαι· (ἵσταται γὰρ ἢ ὄρθιον, ἢ πρὸς γῆν νενευκός.) καὶ Ἔχειν· ἔσται γὰρ ἴσως καί τι θρίγγωμα τῷ φυτῷ τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῦ πως ῥίζης ἢ τοῦ στελέχους ἁπτόμενον. Οὕτω μὲν οὖν Οὐσία ἐστὶ τὸ Φυτόν. Ἔμψυχον δὲ, διότι τρέφεται καὶ αὔξεται, καὶ γεννᾷ ὅμοιον ἑαυτῷ. Δυνάμεις δὲ Ψυχῆς τὸ Θρεπτικὸν, καὶ Αὐξητικὸν, καὶ Γεννητικόν. Ἐπεὶ δὲ ἔμψυχον τὸ Φυτὸν, δῆλον ὅτι καὶ σεσωματωμένον ἐστίν· (ἔμψυχόν γὰρ λέγεται τὸ σῶμα, τὸ ἔχον ψυχήν.) οὐ προστίθεται δὲ τὸ σεσωματωμένον τῷ ὅρῳ, ὡς τῷ ἐμψύχῳ συνυπακουόμενόν τε καὶ συννοούμενον. Οὕτω μὲν καὶ Ἔμψυχον τὸ Φυτόν. Ἀναίσθητον δὲ, διὰ τὸ μηδεμιᾷ διοικεῖσθαι τῶν πέντε αἰσθήσεων· οὐχ Ὁράσει, οὐκ Ἀκοῇ, οὐκ Ὀσφρήσει, οὐ Γεύσει, οὐδ' Ἁφῇ. Δῆλον δ' ὅτι καὶ ἀμετάβατον. Ἀμετάβατον δέ φημι τὸ μὴ ἔχον ἐν ἑαυτῷ δύναμιν μεταβατικὴν ἐκ τόπου εἰς τόπον· ὥσπερ μεταβατικὸν τὸ ἔνδοθεν ἀφ' ἑαυτοῦ κινεῖσθαι κατὰ τόπον δυνάμενον. Ἔστι μὲν οὖν τὸ Φυτὸν Οὐσία Ἔμψυχος Ἀναίσθητος.

Οὐσία δ' ἔμψυχος αἰσθητικὴ, τὸ Ζῶον ὁμοῦ καὶ Ζωόφυτον. Ἵνα γοῦν ἀπ' ἀλλήλων ταῦτα διακριθείη, προσθετέον τῷ μὲν ὅρῳ τοῦ ζώου, τὸ Μεταβατικόν· τῷ δὲ τοῦ ζωοφύτου, τὸ Ἀμετάβατον. Μεταβατικὸν δὲ λέγομεν τὸ ζῶον, καὶ οὐχ ἁπλῶς κίνησιν ἔχον· ἐπείπερ ἐκ τῶν ὅλων κινήσεων, τὴν μετάβασιν ἔχει πλείονα παρὰ τὸ ζωόφυτον, ἤγουν τὴν κατὰ τόπον μεταβολήν· Πᾶσα γὰρ ἄλλη κίνησις, καὶ τῷ ζωοφύτῳ ἔνεστι, καὶ αὐτῷ τῷ φυτῷ· γίνονται γὰρ καὶ ταῦτα καὶ φθείρονται καὶ αὔξονται, καὶ μειοῦνται, καὶ ἀλλοιοῦνται, θερμαινόμενα καὶ ψυχόμενα· καὶ καθ' ἕτερα πάθη διάφορα τὴν ἀλλοίωσιν ὑπομένοντα τῇ οἰκείᾳ φύσει καταλλήλως ἑκάτερον. Ἔστι μὲν οὖν τὸ Ζῶον, Οὐσία Ἔμψυχος Αἰσθητικὴ Μεταβατική· τὸ δὲ Ζωόφυτον, Οὐσία Ἔμψυχος Αἰσθητικὴ Ἀμετάβατος. καὶ κατὰ μὲν τὴν ἁπτικὴν αἴσθησιν τὸ ζωόφυτον πλεονεκτεῖ τοῦ φυτοῦ· διὰ δὲ τὸ μὴ μεταβαίνειν, ὑστερεῖται τοῦ ζώου. Καὶ οὕτω μὲν ἔχει τὸ Ζῶον καὶ τὸ Ζωόφυτον.

Ὁ δὲ Ἄνθρωπος, ζῶόν ἐστι λογικὸν, ἤγουν Οὐσία Ἔμψυχος Αἰσθητικὴ Μεταβατικὴ Λογική. Ἀλλ' εἰ μὲν οὕτως ὁ τοῦ ἀνθρώπου ὁρισμὸς ἀπεδίδοτο, λεγόντων ἡμῶν· ἄνθρωπός ἐστιν οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατικὴ λογική·

οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἂν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ προσέκειτο τὸ θνητὸν, ὡς τῇ ἐμψύχῳ οὐσίᾳ συνεισαγόμενον. Πᾶν γὰρ ἔμψυχον, καὶ θνητόν· ὥσπερ καὶ πᾶν σύνθετον, διαλυτόν. Σύνθεσις γὰρ ἀρχὴ μάχης· μάχη δὲ διαστάσεως· διάστασις δὲ λύσεως. Ἐπεὶ δὲ τὸ οὕτως ὁρίζεσθαι, ἀδολεσχίας ἐστὶ μὴ πρεπούσης τοῖς ὁρισμοῖς (τί γὰρ ἐν ὅροις· λόγοις συντόμοις, χρὴ πολυλογεῖν, ἐνὸν μιᾷ λέξει τὰ πλεῖστα περιλαβεῖν καὶ διὰ τοῦ ζῶον εἰπεῖν, τὴν οὐσίαν δηλῶσαι, καὶ τὸ ἔμψυχον, καὶ τὸ αἰσθητικὸν, καὶ τὸ μεταβατικόν;) διὰ τοῦτο ζῶον λέγοντες τὸν ἄνθρωπον λογικὸν, προστίθεμεν τῷ ὅρῳ καὶ τὸ θνητόν. Δηλοῖ γὰρ τὸ τοῦ ζώου ὄνομα καὶ τὸν Ἄγγελον ὡς ζωῆς μετέχοντα καὶ αὐτὸν, εἰ καὶ τῆς ἀθανάτου καὶ ὑπὲρ αἴσθησιν· ὃς δὴ καὶ λογικός ἐστι, καὶ ἡ λογικότης αὐτοῦ πάσης ἀλογίας ἀνεπιμιγὴς, καὶ πάμπαν ἀμέθεκτος. Ἵνα γοῦν μήτις ἀκούων ζῶον λογικὸν, ὑπολάβῃ τυχὸν τὸν Ἄγγελον λέγεσθαι, τὸ θνητὸν ἐπεισήχθη τῷ ὅρῳ διὰ σαφήνειαν ἔξωθεν· οὐ μὴν ἀπὸ τῆς κατὰ τὴν οὐσίαν τομῆς καὶ ὑποδιαιρέσεως. Οὐ δὲ γάρ ἐστιν αὐτὸ τὸ ζῶον, τουτέστι, τὴν οὐσίαν τὴν ἔμψυχον τὴν αἰσθητικὴν καὶ μεταβατικὴν, εἰς λογικὸν διαιρήσαντας, ὑποδιελεῖν αὖθις τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον. Οὕτω γὰρ ποιήσαντες, ἢ τὸν ἑλληνικὸν Ὕθλον συστήσομεν, καὶ τὰ οὐράνια σώματα ζῷα τερατευσόμεθα καὶ αὐτοὶ, καὶ λογικὰ καὶ ἀθάνατα, ἢ τοὺς Ἀγγέλους ζῷα εἰπόντες ἀθάνατα, δοξάσομεν αὐτοὺς ἐμψύχους τε καὶ αἰσθητικούς· εἰ τοῦτο δὲ, καὶ σεσωματωμένους· καὶ οὕτως ἀθανάτους ὁμολογοῦντες αὐτοὺς, τοὐναντίον μᾶλλον θνητοὺς εἶναι κατασκευάσομεν ἐξ ὧν λέγομεν. Πάλιν εἴπερ ἐκ τοῦ θνητοῦ τὸν ἄνθρωπον διέλοιμεν, καὶ τὸν βοῦν, καὶ τὸν ἵππον, καὶ τὰ λοιπὰ ζῷα· πᾶν τὸ θνητὸν ἔσται καὶ λογικόν· (τὰ γὰρ ἐπάνω τῶν ὑποκάτω κατηγοροῦνται) κἀντεῦθεν ἁρμόσει καὶ τοῖς ἀλόγοις τὸ λογικόν· ὅπερ ἐστὶν ἀτοπώτατον. Τμηθήσεται γοῦν τὸ λογικὸν ζῶον εὐθὺς, εἴτουν ὁ ἄνθρωπος, εἰς τὰ ἄτομα· Πέτρον, Παῦλον καὶ τὰς λοιπὰς ὑποστάσεις· ἃς φησιν ὁ Ἀριστοτέλης οὐσίας λέγεσθαι κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα. Τὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ ἄτομα πρώτως αἰσθητῶς [καὶ] κυρίως δοκοῦσιν οὐσίαι λέγεσθαι, διὰ τὸ αἰσθητῶς ὑπάρχειν, καὶ πρώτως καταλαμβάνεσθαι. Διὰ τῶν αἰσθητῶν γὰρ ἡ διάνοια ἡμῶν ἀνάγεται πρὸς τὰ νοητά, καὶ μάλιστα φαίνονται οὐσίαι εἶναι, διὰ τὸ ἐνεργείᾳ ἔχειν ἐν ἑαυτοῖς τὰ συμβεβηκότα ὑπάρχοντα. Καὶ οὕτω μὲν ὁ πολὺς ἄνθρωπος ἔχει δόξης περὶ αὐτῶν. Οἱ δ' ἐξετασικώτερον περὶ τούτων διασκεψάμενοι, κυριώτατα καὶ πρώτως καὶ μάλιστα κατ' ἀλήθειαν οὐσίας οὔσας οὐ λεγομένας τὰ εἰδικώτατα ἔφασαν εἴδη· κυριώτατα μέν, διὰ τὸ νοητῶς ὑπάρχειν καὶ ὑπερβαίνειν τὴν αἴσθησιν· (κρείττω γὰρ καὶ κυριώτερα τῶν αἰσθητῶν τὰ νοητά.) πρώτας δέ, ὡς πρώτως ἐπιδεδειγμένα πάσας τὰς οὐσιώδεις διαφορὰς καὶ τὰ ἴδια, καὶ τούτων πάντων μεταδιδόντα τοῖς ἀτόμοις ὑστέρως ἀφ' ἑαυτῶν· (ἐκ γὰρ τοῦ καθόλου ἀνθρώπου, καὶ ὁ Πέτρος ἄνθρωπος λέγεται, καὶ ζῶον λογικὸν θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν.) μάλιστα δὲ ὡς ἀναλλοίωτα καὶ στάσιμα καὶ ἀεὶ ὄντα, τῶν ἀτόμων παντοίως ἀλλοιουμένων καὶ ἀστατούντων, καὶ ἄλλοτε ἄλλων γιγνομένων καὶ φθειρομένων. Ὅθεν καὶ οἱ τὴν ἀληθῆ φιλοσοφίαν ζητήσαντες, ἓν ἕκαστον τῶν εἰδικωτάτων εἰδῶν, Οὐσίαν καὶ Φύσιν ἐκάλεσαν ὁμοῦ καὶ Μορφήν· Οὐσίαν, ὡς οὖσαν ἀεί, καὶ μηδέ ποτε φθειρομένην· Φύσιν ὡς φύουσαν τὰς ὑποστάσεις, καὶ ἀρχὴν καὶ αἰτίαν καὶ δύναμιν ἀμετάβλητον πάσαις ταῖς ὑπ' αὐτὴν ὑποστάσεσιν ὑπάρχουσαν, καὶ τὸ κινεῖσθαι τοιῶσδε τούτων ἑκάστῃ παρέχουσαν· Μορφὴν δέ, διὰ τὸ εἰδοποιηθῆναι καὶ μορφωθῆναι ταῖς οὐσιώδεσι Διαφοραῖς, καὶ τοῖς Ἰδίοις ὡς ἐντελέστατα, καὶ τῶν ὅλων μορφωμάτων τῶν ὑπ' αὐτήν, ἤτοι τῶν χαρακτήρων εἶναι συλληπτικήν. Τὰ δ' ἄτομα καθὸ μέρη οὐσιῶν, κατὰ τοῦτο καὶ οὐσίαι κληθήσονται. Καὶ Πλάτων γὰρ τοὺς κατὰ μέρος ἀνθρώπους, ἀνθρώπου κέρματά φησιν· ὅθεν καὶ Πέτρος μὲν οὐσία ἐστί, καὶ Παῦλος οὐσία ἐστίν, ἀλλ' οὐσίας μιᾶς καὶ ἀμφότεροι.

ἡ Οὐσία {
- Ἡ ἁπλῶς Ὕπαρξις.
- Κυρίως δὲ ἡ ἀντιδιαιρουμένη τοῖς Συμβεβηκόσιν.

Ἡ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ
ΟΥ
ΣΙΑ
διαιρεῖται
εἰς

Σῶμα — Ἀσώματον

Ἔμψυχον — Ἄψυχον

Αἰσθητικὸν — Ἀναίσθητον

Μεταβατικὸν — Ἀμετάβατον

Λογικὸν — Ἄλογον

Τὸν Ἄνον, καὶ τὰ παρὰ τὸν Ἄνον Ζῷα.

## ΚΕΦΑΛΑΙΟΝ Κ΄.

### Ἔτι περὶ Οὐσίας.

Τῆς κυρίως Οὐσίας ἀποδιΐσταται πρεπόντως, ἡ Ὕλη τε καὶ τὸ Εἶδος. οὐσιώδη γὰρ ταῦτα μᾶλλον, ἤπερ οὐσίαι. Περὶ μὲν [οὖν] τούτων, ὑπομνηθήσεται, κατὰ τὸ τοῦ δευτέρου Βιβλίου πρῶτον κεφάλαιον. Τῇ δέ γε κυρίως οὐσίᾳ, πράγματι αὐθυπάρκτῳ,

θυπάρκτῳ, μὴ δεομένῳ τινὸς ἑτέρου πρὸς σύστασιν ὡμολογημένη, πρόσεστιν οἰκειότατα, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. Ἐν ὑποκειμένῳ δὲ λέγεται, ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον, ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι, καὶ ὃ τοῦ ἐν ᾧ ἐστιν ἐπινοίᾳ χωριζόμενον, οὐ φθείρει αὐτό· τοῦτο δέ ἐστι τὸ Συμβεβηκός.

Πάσῃ μὲν οὖν τῇ κυρίως οὐσίᾳ πρόσεστι τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. Οὐ μόνῃ δὲ τῇ οὐσίᾳ, ἀλλὰ καὶ τῇ οὐσιώδει διαφορᾷ· καὶ αὕτη γὰρ οὐκ ἐν ὑποκειμένῳ ἐστίν· οὐδὲ γὰρ ὡς ἐν ὑποκειμένῳ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ λογικὸν, ἀλλ' ὡς μέρος· εἰ γὰρ ὡς ἐν ὑποκειμένῳ ὑπῆρχε, δυνατὸν ἦν ἂν χωρίζεσθαι τοῦ ἀνθρώπου, καὶ μηδὲν ἧττον ἄνθρωπον μένειν τὸν ἄνθρωπον· νῦν δὲ τοῦτο οὐκ ἔστιν· εἰ γὰρ ἀφαιρεθείη τοῦ ἀνθρώπου τὸ λογικὸν, ὁ ἄνθρωπος φθείρεται.

Κοινὸν οὐσίας καὶ διαφορᾶς καὶ τὸ, συνωνύμως λέγεσθαι πάντα τὰ ὑπ' αὐτῶν. ὁ Πέτρος γὰρ καὶ τὸ ὄνομα τοῦ ἀνθρώπου καὶ τὸν ὁρισμὸν ἐπιδέχεται. Καὶ Λογικὸν δὲ, καλεῖται μὲν καὶ ἡ διαφορὰ, τουτέστιν, ἡ Λογικότης αὕτη· καλεῖται δὲ καὶ ὁ Πέτρος λογικὸν, καθὸ ζῷον μετέχον τῆς λογικότητος. Εἰ δὲ καὶ τὸν ὅρον τῆς λογικότητος ἀπαραλλάκτως ὁ Πέτρος οὐκ ἐπιδέχεται· (Λογικότης μὲν γάρ ἐστι, δύναμις χρήσεως λόγου· ὁ δὲ Πέτρος ζῷόν ἐστι χρώμενον λόγῳ.) θαυμαστὸν οὐδέν. Συνώνυμον γὰρ λέγεται μὲν καὶ ὅπερ ὀνόματός τε καὶ ὁρισμοῦ μεταδίδωσι· λέγεται δὲ καὶ ὅπερ συντελεῖ μόνον πρὸς ὕπαρξιν. Οὕτω γὰρ καὶ ὁ Ἀριστοτέλης τὴν ψυχὴν συνωνύμως κατηγορεῖσθαι τοῦ ζώου φησὶν, ἐπειδὴ πρὸς τὴν ὕπαρξιν αὐτοῦ συντελεῖ, κἂν μήτε τοῦ ὀνόματος μεταδιδοίη τῷ ζώῳ, μήτε τοῦ ὁρισμοῦ. Εἴη δ' ἂν συνωνύμως κατηγορουμένη τῶν ὑπ' αὐτὴν ἡ Διαφορά. Καὶ κατὰ τοῦτον τὸν λόγον ἡ διαφορὰ κἂν ποιότης φαίνηται εἶναι, ἀλλ' οὐχ ἁπλῶς ποιότης ἐστὶν, ἀλλ' οὐσιώδης ποιότης, μηδεμιᾷ ἐπινοίᾳ δυναμένη χωρίζεσθαι τοῦ ἐν ᾧ ἐστιν· οἷον ἡ Λογικότης· πρὸ μὲν γὰρ τοῦ συνελθεῖν τῷ ζώῳ καὶ ἀποτελέσαι τὸν ἄνθρωπον σκοποῦσιν ἡμῖν, ἴσως ἂν μόνη ποιότης νοηθείη, πλὴν καὶ τότε με-

γάλην

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γάλην ἔχουσα δύναμιν· συνελθοῦσα δὲ τῷ ζώῳ, καὶ τὸν ἄνθρωπον ἐκτελέσασα, οὐσίωται δὴ ἐν τῷ ἀνθρώπῳ, καὶ οὐδὲν ἄλλο ἐστὶ κατ' οὐσίαν ὁ ἄνθρωπος, ἢ ζῶον μετὰ λογικότητος. Ἐπεὶ γοῦν ἡ λογικότης ἀχώριστος τοῦ ἀνθρώπου πάντῃ καὶ κατ' αὐτήν ἐστι τὴν ἐπίνοιαν· ὁ δὲ Ἄνθρωπος κατηγορεῖται τοῦ Πέτρου συνωνύμως· καὶ ἡ τοῦ ἀνθρώπου λογικότης ἄρα συνωνύμως κατὰ τοῦ Πέτρου ῥηθήσεται. Ὥσπερ γὰρ τὸ Εἶδος κατηγορεῖταί τινος· οὕτως αὐτοῦ συγκατηγορεῖται τῷ εἴδει καὶ ἡ Διαφορά· συμφυεστάτη γὰρ ὑπάρχει τῷ εἴδει καὶ παντελῶς αὐτοῦ ἀδιάσπαστος, καὶ χωρὶς αὐτῆς οὐδαμῶς τὸ εἶδος ὑφέστηκεν, οὐδὲ πρὸς βραχύ. Πρώτως μὲν οὖν τῆς οὐσίας καὶ τῆς διαφορᾶς ἐστι, τὸ συνωνύμως λέγεσθαι πάντα τὰ ἀπ' αὐτῶν. Κἂν τοῖς Συμβεβηκόσι δὲ, τὰ Γένη τῶν οἰκείων εἰδῶν, καὶ τὰ εἴδη τῶν οἰκείων ἀτόμων, καὶ ἁπλῶς τὰ ἐπάνω τῶν ὑποκάτω, συνωνύμως κατηγοροῦνται.

Ὅτι καὶ οὐσιωδῶς πρόσεστι τῇ Οὐσίᾳ, καὶ τὸ μηδὲν Ἐναντίον εἶναι αὐτῇ. Τὰ γὰρ Ἐναντία, περί τι ὑποκείμενον μάχονται, καὶ σπεύδει τούτων ἑκάτερον νικῆσαι τὸ ἕτερον, ὅπως ἂν τοῦ ὑποκειμένου γένηται ἐγκρατές· οὐδὲ γὰρ ἰσχύει τὸ ὑποκείμενον ἐν τῷ αὐτῷ νῦν, τἀναντία δέξασθαι ὁλικῶς· ὥστε τἀναντία τῶν ἐν ὑποκειμένῳ ἐστίν· ἡ δέ γε οὐσία τῶν ἐν ὑποκειμένῳ μὴ οὖσα, ἐναντίον ἕξει οὐδέν· οὐδὲ γὰρ ἐναντίον τῇ οὐσίᾳ θείη τις ἂν τὸ μὴ ὄν· ὃ γὰρ οὐδαμῶς ὑφέστηκεν, οὐδεμίαν σχέσιν ἔχει πρὸς ἕτερον. Εἰ δὲ τὸ πῦρ καὶ τὸ ὕδωρ ἀλλήλοις ἐναντία δοκεῖ· ἀλλ' οὐ καθὸ οὐσίαι, τὸ ἐναντιοῦσθαι φέρουσιν, ἀλλ' ᾗ πεποίωνται· Ἀντίκειται γὰρ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ.

Καὶ ἄλλοις δὲ πολλοῖς ἐστι τὸ μηδὲν ἔχειν ἐναντίον· ὡς τοῖς σχήμασι, καὶ τῶν χρωμάτων τοῖς μέσοις· τῷ ἐρυθρῷ, τῷ ξανθῷ, τῷ φαιῷ, καὶ τοῖς ὁμοίοις· καὶ τοῖς ἀφωρισμένοις ποσοῖς. Οὐκ ἔστι δ' αὐτοῖς ἐναντίον, ἵνα μὴ ἄδικος ἡ φύσις εὑρεθῇ, πολλὰ ἐναντία ἑνὶ ἀντιτάξασα. Ἀφωρισμένα δὲ ποσὰ λέγεται, ὅσαπερ ὡρισμένην τινὰ ποσότητα ἔχουσιν, ὡς δύο, πέντε, δέκα, καὶ δίπη-

χυ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χυ, πεντάπηχυ, δεκάπηχυ, καὶ τὰ παραπλήσια, καὶ μὴ τῇ πρὸς ἕτερον σχέσει λέγονται, καθάπερ τὸ μέγα καὶ μικρὸν, καὶ τὸ πολὺ καὶ ὀλίγον· πρός τι γὰρ ταῦτα, καὶ οὐ ποσά· καὶ ἀντίκεινται ἀλλήλοις, οὐχ ὡς ἐναντία, ἀλλ᾽ ὡς πρός τι· τὸ γὰρ μέγα πρὸς μικρὸν λέγεται μέγα, καὶ τὸ πολὺ πρὸς ὀλίγον λέγεται πολύ· καὶ εἴπερ ἐστὶν ἐναντία τὰ τοιαῦτα, ἐπεὶ τὸ αὐτὸ καὶ ἓν δύναται εἶναι καὶ μέγα καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον πρὸς ἄλλο καὶ ἄλλο παραλαμβανόμενον, ἔσοιντ᾽ ἂν ἐν ἑνὶ ὑποκειμένῳ τἀναντία κατὰ ταυτὸν, ἢ μᾶλλον ἐναντίον ἔσοιτο ἑαυτοῦ τὸ αὐτό· Λέγεται δέποτε καὶ τὸ μέγα καὶ πολὺ ἀσχέτως ἐπὶ ἀορίστου ποσοῦ λαμβανόμενον· ὡς λέγομεν· ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε· καὶ, ὅτι τὸ ἔλεός σου μέγα ἐπ᾽ ἐμέ.

Πρόσεστι τῇ Οὐσίᾳ καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, κατὰ τὰ ἑαυτῆς ἄτομα δηλαδή· οἷον ἕκαστον τῶν τῆς οὐσίας ἀτόμων οὐ λέγεται μᾶλλον καὶ ἧττον, ἐκεῖνο ὅπερ ὠνόμασται. ὁ Πέτρος γὰρ καὶ ὁ Παῦλος οὐσίας ὄντες ἄτομα, ὠνομάσθησαν ἄνθρωποι κατὰ τὸ εἶδος τὸ ἀνθρώπειον, ᾧ περιέχονται καὶ οὐ λέγονται μᾶλλον καὶ ἧττον ἄνθρωποι· οὔτε γὰρ ὁ Πέτρος μᾶλλον ἄνθρωπος λέγεται, ἢ ὁ Παῦλος ἧττον ἄνθρωπος, ἤτις ἑαυτοῦ ποτὲ μὲν, μᾶλλον ἄνθρωπος· ποτὲ δὲ, ἧττον ἄνθρωπος. Τοῦτο καὶ ἐπὶ τῶν Ἵππων, καὶ ἐπὶ τῶν Λίθων, καὶ τῶν λοιπῶν τῆς οὐσίας ἀτόμων. Ἐπεί τοί γε ἁπλῶς ἡ οὐσία κατὰ τὸ μᾶλλον καὶ ἧττον λεχθείη ἄν· Διὰ τὸ, οὐσίαν ἄλλης οὐσίας μᾶλλον οὐσίαν, καὶ ἑτέρας ἧττον γινώσκεσθαι· οἷον ἡ μὲν ἄϋλος Οὐσία καὶ ὑπερκόσμιος τῆς ἐγκοσμίου ταύτης καὶ ὑλικῆς, ὁμολογουμένως ἐστὶ μᾶλλον οὐσία· μᾶλλον γὰρ τὸ εἶναι τοῖς ἐν στάσει διὰ τὴν ἀϋλίαν, ἢ τοῖς ἐν ἀστάτῳ τῆς ὕλης ῥοῇ. Αὕτη δὲ πάλιν ἡ ὕλη, καθάπερ δὴ καὶ τὸ εἶδος ἧττον οὐσίαι, τῆς ἐξ αὐτῶν συντεθειμένης φαίνονται εἶναι· διὰ τὸ, μήτε τὴν ὕλην καθ᾽ αὐτὴν, μήτε τὸ εἶδος καθ᾽ ἑαυτὸ τελείας μετέχειν ὀντότητος, ἀλλὰ σὺν ἀλλήλοις δύνασθαι θεωρεῖσθαι ὑπαρκτικῶς· καὶ καθὸ μόνον οὐσίας στοιχεῖα, κατὰ τοῦτο τοῦ τῆς οὐσίας μετέχειν ὀνόματος. Αὐτῆς δὲ πάλιν τῆς συνθέτου οὐσίας, τὰ ἄτομα ὁ Ἀριστο-

τέλης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέλης μᾶλλον ἐσίας φησὶ, καὶ ἧττον ἐσίας τὰ εἴδη, καὶ τέτων ἧττον ἔτι τὰ γένη. καὶ περὶ τέτε φθάσαντες εἴπομεν.

Πρόσεσι τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον κατὰ τὸν εἰρημένον τρόπον, καὶ πᾶσιν οἷς ὑπάρχει τὸ μὴ ἔχειν τι ἐναντίον. Τὸ γὰρ μᾶλλον καὶ ἧττον, ὁδός ἐςιν ἐπὶ τἀναντία· οἷον ἐπὶ τῆς ἐκ ψυχρᾶ μεταβολῆς εἰς θερμὸν, ἧττον ψυχρὸν γίνεται πρότερον τὸ ψυχρὸν, καὶ τότε θερμὸν ὁπωσῦν, εἶτα μᾶλλον θερμόν.

Ἴδιον δὲ μάλιστα τῆς συνθέτε ἐσίας, τὸ ἕκαςον τῶν ἑαυτῆς ἀτόμων ὑποπίπτειν τε δείξει, καὶ τόδε τι λέγεσθαι. καὶ κατὰ τὴν ἑαυτῆ μεταβολὴν τῶν ἐναντίων εἶναι δεκτικὴν παρὰ μέρος· Ἀδύνατον γὰρ ἐν τῷ αὐτῷ ὑποκειμένῳ δύω ἐναντία συςῆναι κατὰ ταυτόν· εἰ γὰρ τἀναντία συμβεβηκότα ἐςὶ, παρὰ μέρος ἐν τοῖς ἀτόμοις τῆς συνθέτε ἐσίας ἐνεργείᾳ θεωρηθήσεται. Πλὴν ἐκ ἐν παντὶ ἀτόμῳ τὰ πάντα· ἐδὲ γὰρ τὸ Πῦρ γένοιτ' ἄν ποτε ψυχρὸν, μένον πῦρ· ἢ τὸ Ὕδωρ, ξηρόν. Ἡ γὰρ τῦ πυρὸς θερμότης, καὶ ἡ τῦ ὕδατος ὑγρότης, ἐχ ἁπλῶς ποιότητες τέτοις εἰσὶν, ἀλλ' ἐσιώδεις διαφοραὶ, συμπληρωτικαὶ τῆς ἐσίας αὐτῶν· καὶ ἐκ ἂν μένοντα τὸ πῦρ καὶ τὸ ὕδωρ ἅπερ ἐςι, τῶν κατ' ἐσίαν αὐτοῖς ὑπαρχόντων ἐκςαῖεν ὅλως ἐδὲ κατὰ μόνην ἐπίνοιαν. Οἷς γὰρ μὴ φύσει καὶ ἀχωρίςως θάτερον ὑπάρχει τῶν ἐναντίων, ταῦθ' ἑκατέρων τῶν ἐναντίων παρὰ μέρος ἐςὶ δεκτικά. διὸ καὶ ὁ Κόραξ, ἐπινοηθήσεται μὲν ἴσως λευκὸς διὰ τὸ μὴ ἐσιωδῶς προσεῖναι τὸ μέλαν αὐτῷ· πρακτικῶς δὲ λευκὸς ἐκ ἄν ποτε γένοιτο, διότι καὶ τέτῳ τὸ μέλαν, εἰ καὶ μὴ ἐσιωδῶς, ἀλλ' ἄλλως ὑπάρχει ἀχώριςον. Ψυχρὸν μὲν ἂν τὸ πῦρ, ἢ τὸ ὕδωρ ξηρὸν ἐδ' ἐπινοηθήσεται· ὑγρᾷ δὲ τρεφόμενον ὕλῃ τὸ πῦρ, ἔςαι ὑγρὸν ὡς πρὸς αἴσθησιν· ὥσπερ καὶ ὑπὸ πυρώδες ἐσίας θερμανθὲν τὸ ὕδωρ, θερμόν. Δέξεται δὲ τὸ πῦρ καὶ τὴν ἐπὶ τὰ κάτω φορὰν ὠθέμενον διὰ τῆς ἐκθλίψεως, ὡς ὁ κεραυνὸς, καὶ τὸ ὕδωρ ὁλκῇ πνεύματος ἔσεται μετέωρον, κἀπὶ τῶν ἄλλων ὁμοίως τἀναντία θεωρηθήσεται κατά γε τὸ πεφυκός.

Τὰ

Τὰ δ' οὐράνια σώματα ὡς μοναδικὰ, τινῶν οὐχ ὑπάρχουσιν ἄτομα· οὔτε γὰρ γένος, οὔτε εἶδός ἐστιν ἐν αὐτοῖς, καὶ διὰ τοῦτο τἀναντία οὐκ ἐπιδέχονται· μᾶλλον δ' ἐν τῇ κυκλοφορίᾳ τὸ εἶναι ἔχοντα, οὐκ ἂν ἔχοιέν τινα τοῦ ἐναντίου παραδοχὴν, εἰ μήτις λάβῃ τὰς ἀντικειμένας κινήσεις ἐν πλάνησιν. Οὗτοι γὰρ φέρονται μὲν, καὶ ἀπὸ δυσμῶν εἰς ἀνατολὰς οἰκείαν φορὰν· συμφέρονται δὲ καὶ τῷ παντὶ πρὸς δυσμὰς ἐξ ἀνατολῶν, συνόδους τε ποιοῦνται καὶ ἀποστάσεις, καὶ ταπεινώματα καὶ ὑψώματα, καὶ προποδίζουσι καὶ ἀναποδίζουσι, καὶ βορείοις καὶ νοτίοις τοῦ ζωδιακοῦ πελάζουσι μέρεσι· τοῦ Ἡλίου μόνου πάντοτε τὴν μέσην φερομένου καὶ ὁμαλῶς. Ἡ δὲ Σελήνη, καὶ ποικίλως τοῖς φωτισμοῖς τε καὶ σκοτασμοῖς σχηματίζεται καὶ τέλειον ἀμαυροῦται, μόνης τῶν ὅλων τῆς ἀπλανοῦς Σφαίρας μηδεμίαν ἐπιδεχομένης ἐναντιότητα, εἰ μήπω λέγει τις καινοτέρας ἐναντιότητας, τήν τ' ἐξ ἀνατολῶν εἰς δυσμὰς φορὰν κατὰ τὸ ὑπὲρ γῆν λεγόμενον ἡμισφαίριον, καὶ τὴν ἐκ δυσμῶν εἰς ἀνατολὰς κατὰ τὸ δοκοῦν ὑπὸ γῆν, διὰ τῆς μιᾶς καὶ τῆς αὐτῆς κυκλοφορικῆς ἀπαρτιζομένας κινήσεως, καὶ ξένως καὶ θαυμαστῶς συλληπτικὰς ἀλλήλων οὔσας καὶ συντελεστικάς. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Φαίνεται δὲ καὶ ὁ Λόγος καὶ ἡ Δόξα, τῶν ἐναντίων εἶναί πως δεκτικά. Καὶ ὁ μὲν λόγος, δηλοῖ τὸν προφορικὸν, καὶ ἔστι Ποσόν· ἡ δόξα δὲ λόγος ἐνδιάθετος οὖσα, τάττεται ὑπὸ τὸ Ποιόν. Δοκοῦσι δὲ καὶ ἄμφω τυγχάνειν τῶν ἐναντίων, ὡς εἴρηται, δεκτικά· ἐὰν γὰρ καθημένου τοῦ Σωκράτους, λέγῃ τις αὐτὸν ἢ δοξάζῃ καθῆσθαι, ἀληθεύει· τούτου δ' ἀναστάντος, ψεύδεται. Ἀλλ' οὐχ οὕτω τὰ τῆς Οὐσίας ἄτομα, δεκτικὰ τῶν ἐναντίων ὑπάρχειν ἐλέγετο· κατὰ δὲ τὴν μεταβολὴν ἑαυτῶν. Ὁ λόγος δὲ, καὶ ἡ δόξα μένουσιν ὅπερ εἰσὶ, τοῦ πράγματος μεταβάλλοντος. Ἄλλως τε οὐδὲ τἀναντία λόγος ἢ δόξα δύναται δέξασθαι· πάσχει γὰρ τὸ τἀναντία δεχόμενον· ἡ γὰρ εἰς τἀναντία μεταβολὴ πάθος ἐστίν· ἡ δόξα δὲ καὶ ὁ λόγος, ἀκίνητα μένει καὶ ἀμετάβλητα· μᾶλλον δὲ εἰπεῖν οὐδὲ μένει· ἀλλ' ἅμα τῷ δοξασθῆναι τὸ πρᾶγμα ἡ δόξα πέπαυται,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἅμα τῷ ῥηθῆναι ὁ λόγος ἔφθαρται. καὶ ἄλλος μὲν λόγος ὁ εἰπὼν τὸ πρότερον τὸν Σωκράτην καθῆσθαι, καὶ ἄλλος ὁ μετ᾽ ἐκεῖνον λεχθείς. Τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ τῆς δόξης. Ἦ οὐδὲ τῆς δόξης ἐστὶ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι, ἀλλὰ τῆς Ψυχῆς; οὐ γὰρ ἡ δόξα δοξάζει καθ᾽ ἑαυτήν, ἀλλ᾽ ἡ ψυχὴ δοξάζει τῇ δόξῃ· οὐδὲ ὁ λόγος ἀληθεύει μόνος ἢ ψεύδεται, ἀλλ᾽ ἡ τούτου καὶ τοῦ πράγματος συμπλοκή. καὶ ἡ μὲν συμφωνία τῶν δύω, ποιεῖ τὸ ἀληθές· ἡ δὲ διαφωνία, τὸ ψεῦδος.

Τῇ Οὐσίᾳ Πρόσεσι
- Τὸ μὴ Ἐν ὑποκειμένῳ εἶναι· ὃ καὶ τῇ οὐσιώδει Διαφορᾷ· ὧν κοινόν,
  - Τὸ Συνωνύμως λέγεσθαι πάντα τὰ ὑπ᾽ αὐτῶν· ὃ κἀν τοῖς Συμβεβηκόσι κοινόν.
- Τὸ μηδὲν Ἐναντίον εἶναι αὐτῇ· τοῦτο δέ,
  - Καὶ τοῖς Σχήμασι πρόσεστι·
  - Καὶ τοῖς τῶν Χρωμάτων μέσοις,
  - Καὶ τοῖς ἀφωρισμένοις Ποσοῖς.
- Τὸ μὴ ἐπιδέχεσθαι τὸ Μᾶλλον καὶ τὸ Ἧττον.
- Τὸ ὑποπίπτειν τῇ δείξει,
- Καὶ τὸ τῶν ἐναντίων εἶναι δεκτικὴν παρὰ μέρος· ὅπερ
  - Τῶν μὲν οὐρανίων Σωμάτων ἄπεστι·
  - Τῷ Λόγῳ δὲ καὶ τῇ Δόξῃ προσεῖναι δοκεῖπως.

# ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

## Περὶ Ποσοῦ, ἐν ᾧ καὶ περὶ Κινήσεως.

Τοῦ ποσοῦ τὸ μὲν ἐστι Συνεχές· τὸ δὲ Διωρισμένον. καὶ Συνεχὲς μὲν ἐστιν, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. Διωρισμένον δέ ἐστιν, οὗ τὰ μόρια οὐ συνάπτει πρός τινα κοινὸν ὅρον. Διωρισμένα οὖν ποσά ἐστιν, ὅ,τε Ἀριθμὸς καὶ ὁ Λόγος.

Ἀριθμὸν δὲ, μὴ τὸν ἁπλῶς λεγόμενον ἐκληπτέον, ἀλλὰ τὸν τοῖς αἰσθητοῖς μερικῶς μετεχόμενον, ἤτοι αὐτὰ τὰ ἀριθμούμενα, οὐ καθὸ ὕλαι, ἀλλὰ καθὸ ἀριθμητά· Λόγον δὲ τὸν διὰ Φωνῆς ἐνεργούμενον· καθ᾽ ὃν καὶ ἡ μία λέξις λέγοιτο λόγος. Ἂν γοῦν ὁ ἓξ τυχὸν ἀριθμὸς, ὡς εἰς μέρη διαιροῖτο, εἰς τρία, καὶ τρία, ἢ τέσσαρα καὶ δύω,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ πέντε καὶ ἕν, ἢ δύω, καὶ δύω, καὶ δύω γενομένης τῆς διαιρέσεως, οὐκ ἔστι που τοῖς αὐτοῦ μέρεσιν ὅρος κοινὸς. πρὸς ὃν ἀλλήλοις ταῦτα συνάπτοιντο. Καὶ ὁ προφορικὸς δὲ λόγος διαιρούμενος κατὰ λέξεις, ἢ καὶ κατὰ συλλαβὰς, πρὸς οὐδένα κοινὸν ὅρον ἔχοι ἂν τὰ οἰκεῖα μέρη συναπτόμενά τε καὶ συνενούμενα. Διὰ τοῦτο γοῦν Ἀριθμὸς καὶ Λόγος, διωρισμένα καλοῦνται Ποσὰ, διὰ τὸ ἕκαστον αὐτῶν ἔχειν τὰ οἰκεῖα μέρη ἀπ' ἀλλήλων διακεκριμένα καὶ διακεχωρισμένα.

Συνεχῆ δὲ Ποσά ἐστι, τὸ Σῶμα, ἡ Ἐπιφάνεια, καὶ ἡ Γραμμὴ, ὁ Τόπος τε καὶ ὁ Χρόνος. Ἂν τοίνυν ἑκάστου τούτων τὰ μέρη τις ἐκζητοίη, δυνάμει ταῦτα διαιρῶν καὶ ἐπισκεπτόμενος, ἀλλήλοις εὑρήσει συνημμένα καὶ ἀδιάκριτα. Τὰ μὲν γὰρ τοῦ Σώματος μόρια, Ἐπιφανείᾳ συνάπτεται· τὰ δὲ τῆς Ἐπιφανείας, Γραμμῇ· Σημείῳ δὲ τὰ τῆς Γραμμῆς· καὶ τὰ τοῦ Τόπου δὲ μέρη, γραμμῇ συνάπτει πρὸς ἄλληλα. Ἐπιφάνεια γάρ τίς ἐστι καὶ ὁ Τόπος, πέρας ὑπάρχων τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον· ἤγουν τέλος τοῦ περιέχοντός τι, καθὸ τέλος περιέχει τὸ περιέχον, ἐκεῖνο τὸ πρᾶγμα τὸ περιεχόμενον ὑπ' αὐτοῦ δὴ τοῦ περιέχοντος.

Τοῦ Χρόνου δὲ διαιρουμένου, εἰς παρεληλυθότα καὶ μέλλοντα, συνάπτει τὰ μέρη τούτου τὸ Νῦν. Ὃ δέ ἐστι Σημεῖον ἐν Γραμμῇ, τοῦτο Μονὰς ἐν Ἀριθμῷ, καὶ ἐν Χρόνῳ τὸ Νῦν· ἄποσα γὰρ τὰ τρία καὶ ἀμερῆ. Ἀλλ' ἡ μὲν Μονὰς εἰ καὶ ἀριθμὸς οὐκ ἔστιν, ὅμως γίνεται μέρος τοῦ ἀριθμοῦ, διὸ καὶ προστιθεμένη, αὔξει αὐτόν· ὁ γὰρ Ἀριθμὸς, ἐκ μονάδων ὑπάρχει συγκείμενος· ἐπεὶ καὶ σωρεία μονάδων ἐστί. Τὸ δὲ Σημεῖον τῇ Γραμμῇ προστιθέμενον, οὐκ αὔξει αὐτὴν, ὅτι μηδ' ἐκ σημείων συνέστηκεν ἡ Γραμμή. Καὶ τὸ Νῦν δὲ προστιθέμενον τῷ Χρόνῳ, οὐδεμίαν αὔξησιν δίδωσιν, ὅτι μηδὲ μέρος αὐτοῦ, μηδὲ τὸ τυχόν. Ἀλλὰ δὴ καὶ ἡ Γραμμὴ προστιθεμένη τῇ Ἐπιφανείᾳ, οὐκ αὔξει αὐτήν· ἐπεὶ μόριον οὐκ ἔστιν αὐτῆς, οὐδὲ τοὐλάχιστον· ἡ μὲν γὰρ Ἐπιφάνεια μῆκος ἔχει καὶ πλάτος· ἡ Γραμμὴ δὲ μῆκός ἐστιν ἀπλατές. Οὕτω δὲ καὶ τὸ Σῶμα τρεῖς

διαστά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διαστάσεις ἔχον, Μῆκος, Πλάτος, καὶ Βάθος, εἴτουν πάχος, ὑπὸ τῆς ἐπιφανείας οὐκ αὔξεται. Εἰ δὲ τὸ Σῶμα Οὐσία ἐστὶ, λέγεται δὲ καὶ Ποσὸν, οὐδὲν θαυμαστόν. Καθόσον μὲν γὰρ ὑποκείμενόν ἐστι, καὶ ταυτὸ καὶ ἓν μόνον τῷ ἀριθμῷ, τῶν ἐναντίων ἐστὶ δεκτικὸν, ἀναμφιλέκτως Οὐσία ἐστί· καθόσον δὲ τριχῇ διαστατὸν, καὶ μετρεῖσθαι πέφυκε, κατὰ τοῦτο μόνον ὑπάρχει Ποσόν.

Τὸ Συνεχὲς δὲ τοῦ Ποσοῦ, καὶ τὸ Διωρισμένον, κἂν τῷ Κόσμῳ θεωρεῖται παντί· τοῦ μὲν Συνεχοῦς ἡ φύσις, ἥτις καλεῖται Μέγεθος ᾧ ἀκολουθεῖ τὸ Πηλίκον, καθ' ἕνωσιν καὶ ἀλληλουχίαν· τοῦ δὲ Διωρισμένου, ἥτις καλεῖται Πλῆθος, ᾧ ἀκολουθεῖ τὸ Ποσὸν, κατὰ σωρείαν τε καὶ παράθεσιν. Καὶ κατὰ μὲν τὴν τοῦ Μεγέθους οὐσίαν, εἷς ὁ Κόσμος ἐστί τε καὶ νοεῖται σφαιρικὸς καὶ συμπεφυκὼς ἑαυτῷ, διατεταμένος τε καὶ ἀλληλουχούμενος· κατὰ δὲ τὸ Πλῆθος, ἥ,τε σύνταξις θεωρεῖται καὶ ἡ διακόσμησις, ἡ ἐκ τοσῶνδε φέρε εἰπεῖν στοιχείων καὶ ζώων ἢ φυτῶν, καὶ ἐναντιοτήτων ἢ ὁμοιοτήτων τόσων καὶ τόσων.

Ἔτι τῶν ἀπηριθμημένων Ποσῶν, τὰ μὲν ἔχει Θέσιν τῶν ἐν αὐτοῖς μορίων πρὸς ἄλληλα, τὰ δ' οὐκ ἔχει. Θέσιν μὲν [οὖν] ἔχει πρὸς ἄλληλα τὰ μόρια τῆς Γραμμῆς· ὥσπερ δὴ καὶ τὰ τῆς Ἐπιφανείας καὶ τὰ τοῦ Σώματος, καὶ τοῦ Τόπου· θέσιν δὲ οὐκ ἔχει πρὸς ἄλληλα τὰ μόρια τοῦ Ἀριθμοῦ, ὥσπερ δὲ καὶ τὰ τοῦ Λόγου, καὶ τὰ τοῦ Χρόνου· ταῦτα γὰρ τάξιν μὲν ἔχει, τί πρῶτον καὶ τί δεύτερον· θέσιν δ' οὐκ ἔχει. Τὸ γὰρ Θέσιν ἔχειν, χαρακτηριστικόν ἐστι τοῦ τὰ μόρια συνέχεσθαί τε καὶ ὑπομένειν· ὧν ὁ μὲν Λόγος, οὐδέτερον ἔχει· ὁ δὲ Χρόνος, συνεχὴς μέν ἐστιν· οὐχ ὑπομένει δ' αὐτοῦ τὰ μόρια· Χρόνος γάρ ἐστιν ἀριθμὸς κινήσεως· καὶ τὸ μὲν παρεληλυθὸς αὐτοῦ διέῤῥευσε· τὸ δὲ μέλλον, οὔπω ἐστίν. Ἐπὶ δὲ τοῦ Ἀριθμοῦ, συμβέβηκε τὸ ἀνάπαλιν· οὗτος γὰρ μονὴν μὲν ἔχει τῶν μορίων αὐτοῦ· τῆς δὲ Συνεχείας ἐστέρηται.

Τίθενταί τινες καὶ τὴν Ῥοπὴν ὑπὸ τὸ Ποσόν· καὶ ἴσως οὐ σφαλερῶς. Οὐ γάρ ἐστιν ἡ Ῥοπὴ βαρύτης καὶ κουφότης, ὥς τινες ἐνιστάμενοι λέγουσιν, ἵν' ᾖ Ποιότης· ἀλ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λὰ μέτρον βαρύτητος καὶ κουφότητος. Ταῦτα μὲν οὕτως.

Λέγεται δὲ καὶ κατὰ συμβεβηκὸς Ποσόν· ὡς πολὺ Λευκὸν, καὶ μακρὰ Πρᾶξις, καὶ Κίνησις πολλή. Τὸ μὲν γὰρ Λευκὸν, διὰ τὸ πολλὴν εἶναι τὴν Ἐπιφάνειαν ἐν ᾗ ἐστι, λέγεται διὰ τοῦτο πολύ· ἡ δὲ Πρᾶξις μακρὰ, διὰ τὸν Χρόνον· καὶ ἡ Κίνησις πολλὴ, διά τε τὸν Χρόνον, καὶ διὰ τὸν Τόπον.

Πρόσεστι τῷ Ποσῷ, τὸ μὴ ἐπιδέχεσθαι τὸ Μᾶλλον καὶ ἧττον, καὶ τὸ μηδὲν ἔχειν ἐναντίον· εἰ μήτις λέγοι περὶ τὸν τόπον εἶναι τὴν ἐναντιότητα τοῦ ποσοῦ, ὡς τὸ Ἄνω καὶ Κάτω. Ἀλλὰ τὸ ἄνω καὶ κάτω, εἰ μὲν κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν λέγοιντο, τῶν Πρός τι ἐστι· τὴν γὰρ Σελήνην πρὸς ἡμᾶς ἄνω φαμὲν, κατωτέρω τῶν ἄλλων Πλανήτων πάντων ὑπάρχουσαν· εἰ δὲ πρὸς τὴν Φύσιν λέγοιντο τὸ ἄνω καὶ τὸ κάτω, τῆς Ποῦ κατηγορίας ἐστίν· ὡς ὅταν λέγωμεν, τὸ μὲν Πῦρ εἶναι Ἄνω, τὴν δὲ Γῆν Κάτω.

Ἔδοξε δέ τισι καὶ τὴν Κίνησιν εἶναι Ποσόν. Ἀλλ' οὐκ ἔστι ποσὸν ἡ κίνησις· ἐν τῷ Ποσῷ δὲ θεωρεῖται, καθάπερ καὶ ἐν τῇ Οὐσίᾳ καὶ ἐν τῷ Ποιῷ, καὶ τῷ Ποῦ· ἐν μὲν τῇ Οὐσίᾳ, ὡς ἡ Γένεσις καὶ Φθορά· Μεταβολαὶ δὲ μᾶλλον αὗται· κινήσεις δὲ λέγονται καταχρηστικῶς. Ἐν τῷ Ποσῷ δὲ, καὶ τῷ Ποιῷ, καὶ τῷ Ποῦ, κυρίως Κινήσεις εὑρίσκονται· ἐν τῷ Ποσῷ μὲν, Αὔξησις καὶ Μείωσις· ἐν τῷ Ποιῷ Ἀλλοίωσις· ἐν τῷ Ποῦ δὲ, ἡ κατὰ τόπον Μεταβολὴ, ἥτις καλεῖται Φορά. Διαιρεῖται δ' αὕτη εἴς τε τὴν κύκλῳ Κίνησιν, ἣν καλοῦμεν Περιφοράν, καὶ εἰς τὴν ἐπ' εὐθείας. Τῆς ἐπ' εὐθείας δὲ κινήσεως, διαφοραί εἰσιν ἕξ· Ἡ ἐπὶ τὸ ἄνω· Ἡ ἐπὶ τὸ κάτω· Ἡ ἐπὶ τὸ ἔσω· τουτέστι, τὸ ἔμπροσθεν· ἢ ἐπὶ τὸ ἔξω, τουτέστι τὸ ὄπισθεν· Ἡ ἐπὶ τὰ δεξιὰ, καὶ Ἡ ἐπὶ τὰ ἀριστερά. Τὸ γὰρ ἐπὶ τὸ μέσον καὶ ἐπὶ τὸ κάτω κινεῖσθαι κατὰ τὸν Κόσμον, ταυτόν ἐστιν. Ὅθεν μετὰ τῆς Περιφορᾶς, ἑπτὰ τοπικαὶ κινήσεις εἰσίν.

Ἐπεὶ τοίνυν τὸ Μεταβάλλον, Ἢ καθ' ἑαυτὸ μεταβάλλει, Ἢ κατά τι τῶν ἐν αὐτῷ, Ἢ περὶ αὐτό· εἰ μὲν Καθ' ἑαυτὸ μεταβάλλει, ποιεῖ Γένεσιν καὶ Φθοράν·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρὰν· εἰ δὲ κατά τι τῶν ἐν αὐτῷ, εἰ μὲν κατὰ τὸ Ποσὸν, ποιεῖ Αὔξησιν καὶ Μείωσιν· εἰ δὲ κατὰ τὸ Ποιὸν, ποιεῖ Ἀλλοίωσιν· κατὰ δὲ τὸ Περὶ αὐτὸ μεταβάλλον, ποιεῖ τὴν κατὰ τόπον μεταβολήν· ὁ γὰρ Τόπος, οὔτ᾽ αὐτό ἐστι τὸ κινούμενον, οὔτε τι τῶν ἐν αὐτῷ· ἀλλὰ τοῖς κινουμένοις παρέπεται, καὶ περὶ τὰ κινούμενά ἐστιν. Ἐνταῦθα δὲ κίνησιν λέγομεν, οὐ τὴν νοερὰν, οὐ τὴν ψυχικὴν αὐτοκίνητον, ἀλλὰ τὴν Φυσικὴν καὶ σωματικὴν, ἥτις λέγεται κυρίως Μεταβολή.

Ἐπεὶ δὲ τὴν Γένεσιν καὶ Φθορὰν, Μεταβολὰς εἶναι μᾶλλον, ἀλλ᾽ οὐ κινήσεις φθάσαντες εἴπομεν· οὐ χρὴ ἀγνοεῖν, ὅτι τὸ κινούμενον ἐνεργείᾳ ὂν καὶ ὑπομένον, οὕτω κινεῖται· τὸ δὲ μὴ ὂν ἐνεργείᾳ, μηδ᾽ ὑπομένον, οὐδὲ κινεῖται. Ἐπεὶ γοῦν ἡ Γένεσις, ἐκ τοῦ μὴ ὄντος ἐστὶν εἰς τὸ εἶναι Μεταβολὴ, διὰ τοῦτο κίνησις οὐκ ἔστι· τὸ γὰρ μὴ ὂν, οὐ κινεῖται. Πάλιν ἐπεὶ ἡ Φθορὰ ἐκ τοῦ ὄντος ἐστὶν εἰς τὸ μὴ εἶναι Μεταβολὴ, διὰ τοῦτο κίνησις οὐκ ἔστι· μὴ γὰρ ὑπομένον τὸ ὂν κατὰ τὴν τοιαύτην μεταβολὴν, ἀλλὰ τῆς οἰκείας Φύσεως ἐκπίπτον καὶ διαλυόμενον, πῶς ἂν κυρίως κινεῖσθαι λέγοιτο; Τὴν δ᾽ Ἀλλοίωσίν τινες, οὐκ εἶδος εἶναι κινήσεως ἔφασαν, ἀλλὰ τοῖς λοιποῖς ταύτης συμπίπτειν εἴδεσι. Τοῦτο δ᾽ οὐκ ἔστι· δυνατὸν γὰρ ἀλλοίωσιν γίνεσθαι χωρὶς ἄλλου τινὸς εἴδους κινήσεως· τὸ γὰρ κατὰ πάθος κινούμενον, οὐκ ἀναγκαῖον ἤδη καὶ αὔξεσθαι, ἢ μειοῦσθαι· οὔτε δὲ τὸ αὐξόμενον ἢ μειούμενον ὁπωσοῦν, ἀνάγκη καὶ ἀλλοιοῦσθαι· τὸ γὰρ Τετράγωνον αὔξεται μὲν περιτεθέντος αὐτῷ Γνώμονος, οὐκ ἀλλοιοῦται δέ· (μένει γὰρ καὶ αὖθις τετράγωνον.) καὶ τοῦ Γνώμονος περιαιρεθέντος, μειοῦται καὶ μένει πάλιν Τετράγωνον· καὶ ὁ Οἶνος ἀλλοιοῦται μήτ᾽ αὐξόμενος, μήτε μειούμενος. Ὥστε ἡ ἀλλοίωσις, δύναται θεωρεῖσθαι καθ᾽ ἑαυτὴν, ἀμιγὴς ταῖς ἄλλαις κινήσεσι.

Πάσῃ δὲ Κινήσει, καὶ Ἠρεμία τις ἀντίκειται· τῇ ἁπλῶς Κινήσει, ἡ ἁπλῶς Ἠρεμία, εἴτουν ἀκινησία, ἥ, τε πρὸ τῆς κινήσεως, καὶ ἡ μετὰ τὴν κίνησιν· τάχα δὲ καὶ ἡ ἐν αὐτῇ τῇ κινήσει. Ἐπεὶ γὰρ πᾶσα κίνησις καὶ μεταβολὴ ἔκ τινος εἴς τι γίνεται, οἷον ἐπὶ Γεννέσεως, ἐκ τῶν Στοι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χείων εἰς τὸ σύνθετον Σῶμα· ἐπὶ δὲ τῆς Φθορᾶς, ἐκ τοῦ Σώματος αὖθις εἰς τὰ Στοιχεῖα· κἀπὶ μὲν τῆς Αὐξήσεως ἐκ τοῦ Ἐλάττονος εἰς τὸ Μεῖζον· ἐπὶ δὲ τῆς Μειώσεως ἔμπαλιν, ἐκ τοῦ Μείζονος εἰς τὸ Ἔλαττον· ἐπὶ δὲ τῆς Ἀλλοιώσεως, ἐκ τῶν ἀντικειμένων ποιοτήτων εἰς τὰς ἀντικειμένας, ὡς ἐκ Θερμότητος εἰς Ψυχρότητα, καὶ Μέλανος εἰς Λευκόν· ἐπὶ δὲ τῆς κατὰ τόπον Μεταβολῆς, ἐκ τῶν ἀντικειμένων τόπων, εἰς τοὺς ἀντικειμένους, ἤγουν Ἄνωθεν Κάτω. καὶ Κάτωθεν Ἄνω· κἀπὶ τῶν ἄλλων ὁμοίως· ἐπεὶ ταῦθ' οὕτως ἔχει· καθὸ μὲν Ἔκ τινος ἡ Κίνησις, τῇ πρὸ αὐτῆς Ἠρεμίᾳ λέγοιτ' ἂν ἀντικεῖσθαι· καθὸ δὲ Εἴς τι, τῇ μετ' αὐτήν· Καθὸ δ' οὐκ ἀχρόνως ἐπιτελεῖται, ἀλλὰ καὶ ἡ δοκοῦσα ἀθρουστάτη μεταβολή, ὡς ἡ πῆξις τοῦ γάλακτος, ἐν χρόνῳ γίνεται, κατὰ τοῦτο συνεπομένην ἔχει τάχα καὶ ἠρεμίαν νοουμένην τινὰ ἐξ ὑφέσεως εἰς ἐπίτασιν προοδεύουσα, κἀκ τοῦ ἧττον εἰς τὸ μᾶλλον φερομένη, μέχρις ἂν φθάσῃ τελέως αὐτὸ δὴ τὸ Κατάντημα· κἄν τε τῶν Ἄκρων εἴη τοῦτο, κἄν τε τῶν Μεταξύ· (ἔστι γὰρ κἀν τοῖς Μεταξὺ, καὶ ὕφεσις καὶ ἐπίτασις, καὶ τὸ ἧττον καὶ τὸ μᾶλλον.) καὶ Ἄκρα μὲν, οἷον τὸ Θερμὸν καὶ τὸ Ψυχρόν· τὸ μὲν ὡς καῖον, τὸ δὲ ὡς νεκροῦν· Μεταξὺ δὲ τούτων, Ὑφέσεις οὐκ ὀλίγαι καὶ Ἐπιτάσεις. Τῇ μὲν οὖν ἁπλῶς Κινήσει, ἡ ἁπλῶς Ἠρεμία ἀντίκειται· ταῖς δὲ καθ' ἕκαστα κινήσεσιν, αἱ καθ' ἕκαστα Κινήσεις, καὶ αἱ καθ' ἕκαστα Ἠρεμίαι καταλλήλως ἀντίκεινται. τῇ Γενέσει, ὡς μὲν Γενέσει, ἡ Φθορά· ὡς δὲ Κινήσει, ἡ κατ' αὐτὴν Ἠρεμία· τῇ Αὐξήσει ἡ Μείωσις, καὶ ἡ κατ' αὔξησιν Ἠρεμία· (οὐδὲ γὰρ εἰς ἄπειρον αὔξεται τὸ αὐξόμενον, ἢ τὸ μειούμενον μειοῦται ἀεί.) τῇ κατὰ τόπον Μεταβολῇ, ὡς μὲν Κινήσει, ἡ κατὰ τόπον Ἠρεμία· ὡς δὲ κατὰ τόπον Μεταβολῇ, ἡ εἰς τὸν ἀντικείμενον τόπον μεταβολή· οἷον, τῇ ἐπὶ τὰ Κάτω, ἡ ἐπὶ τὰ Ἄνω· καὶ τῇ ἐπὶ τὰ Ἄνω, ἡ ἐπὶ τὰ Κάτω· τῇ εἰς Δεξιὰ, ἡ εἰς Ἀριστερὰ, καὶ τῇ εἰς Ἀριστερὰ, ἡ εἰς Δεξιά· τῇ ἐπὶ τὰ Ἔσω, τουτέστι τὰ ἔμπροσθεν, ἡ ἐπὶ τὰ Ἔξω, τὰ ὄπισθεν· καὶ ἀνάπαλιν. Μόνῃ δὲ τῇ οὐρανίῳ Κινήσει, οὐκ ἔστιν ἐναντία τις Κίνησις, εἰ μή τις τὰς ἐξ Ἀνα-

τολῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τολῶν εἰς Δυσμὰς, καὶ πάλιν ἐκ Δυσμῶν εἰς Ἀνατολὰς Περιόδους τῆς Σφαίρας, ἐναντίας εἶναι κινήσεις βιάσοιτο. Καὶ ἡ Ἀλλοίωσις δὲ, ὡς μὲν Μεταβολὴ κατὰ τὸ Ποιὸν, ἐναντίαν ἕξει τὴν εἰς τοὐναντίον τοῦ ποιοῦ μεταβολήν· ὡς ἡ Λεύκανσις τὴν Μέλανσιν, καὶ ἡ Ψύξις τὴν Θέρμανσιν· ὡς Κίνησις δὲ, πρὸς τὴν κατὰ τὸ ποιὸν Ἠρεμίαν ἐναντιωθήσεται. περὶ Κινήσεως δὲ καὶ Ἠρεμίας ἐξεταστικώτερον ἐν τῷ δευτέρῳ Βιβλίῳ κατὰ τὸ τέταρτον κεφάλαιον, καί γε τὸ πέμπτον ὑπομνησθήσεται.

- Ἄποσα
  - Στιγμή.
  - Νῦν.
  - Μονάς.

- Τοῦ Ποσοῦ
  - Τὸ μὲν Συνεχὲς, ὅ ἐστι Μέγεθος· οἷον,
    - Σῶμα.
    - Ἐπιφάνεια.
    - Γραμμή.
    - Τόπος.
    - Χρόνος.
  - Τὸ δὲ Διωρισμένον, ὅ ἐστι Πλῆθος· οἷον,
    - Ἀριθμός.
    - Λόγος.

- Τῶν Ποσῶν
  - Τὰ μὲν ἔχει Θέσιν τῶν μορίων· οἷον,
    - Σῶμα.
    - Ἐπιφάνεια.
    - Γραμμή.
    - Τόπος.
  - Τὰ δ' οὐκ ἔχει Θέσιν μορίων· οἷον,
    - Ἀριθμός.
    - Λόγος.
    - Χρόνος.

- ἡ Κίνησις
  - Ἐν Οὐσίᾳ,
    - Ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, Γένεσις.
    - Ἐκ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι, Φθορά.
  - Ἐν Ποσῷ,
    - Αὔξησις.
    - Μείωσις.
  - Ἐν Ποιῷ, Ἀλλοίωσις.
  - Ἐν τῷ Ποῦ, ἡ κατὰ τόπον Μεταβολή· ἥτις καλεῖται Φορά.
    - Ἐπ' εὐθείας
      - Ἡ ἐπὶ τὸ Ἄνω.
      - Ἐπὶ τὸ Κάτω.
      - Ἐπὶ τὰ Δεξιά.
      - Ἐπὶ τὰ Ἀριστερά.
      - Ἐπὶ τὸ Ἔμπροσθεν, ὅ ἐστιν Ἔσω.
      - Ἐπὶ τὸ Ὄπισθεν, ὅ ἐστιν Ἔξω.
    - Κύκλῳ, ἥτις ἐστὶ Περιφορά.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

- ἡ Κίνησις
  - Γένεσις.
  - Φθορά.
  - Αὔξησις.
  - Μείωσις.
  - Ἀλλοίωσις.
  - Κατὰ τόπον Μεταβολή.

- Τὸ Μεταβάλλον
  - Ἢ καθ' ἑαυτὸ μεταβάλλει καὶ ποιεῖ
    - Γένεσιν.
    - Φθοράν.
  - Ἢ κατά τι τῶν ἐν αὐτῷ· οἷον,
    - Ἢ κατὰ Ποσὸν καὶ ποιεῖ.
      - Αὔξησιν.
      - Μείωσιν.
    - Ἢ κατὰ Ποιὸν, καὶ ποιεῖ Ἀλλοίωσιν.
  - Ἢ περὶ αὐτὸ, καὶ ποιεῖ τὴν κατὰ τόπον μεταβολήν.

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

### Περὶ Ποιοῦ καὶ Ποιότητος.

Ποιότης ἐστὶ, καθ' ἣν ποιοί τινες [εἶναι] λέγονται. Ποιὸν δὲ λέγεται μὲν καὶ αὐτὴ ἡ ποιότης· λέγεται δὲ καὶ τὸ ἐπιδεδεγμένον τὴν ποιότητα, τουτέστιν, αὐτὸ τὸ πεποιωμένον. Διαιρεῖται δὲ ἡ Ποιότης εἰς Ἕξιν καὶ Διάθεσιν· εἰς Δύναμιν καὶ Ἀδυναμίαν· εἰς Πάθος καὶ παθητικὴν Ποιότητα· καὶ εἰς Σχῆμα καὶ Μορφήν.

Ἕξεως μὲν οὖν καὶ Διαθέσεως ὄνομα κοινὸν ἡ Διάθεσις. Διαιρεῖται γὰρ ἡ Διάθεσις εἴς τε τὴν ἕξιν, καὶ τὴν ὁμωνύμως τῷ κοινῷ καλουμένην διάθεσιν· αἳ καὶ διαφέρουσιν ἀλλήλων, τῷ τὴν μὲν, ἤτοι τὴν ἕξιν πολυχρόνιον καὶ δυσκίνητον εἶναι· τὴν δὲ, τὴν διάθεσιν, ὀλιγοχρόνιον καὶ εὐκίνητον· ἡ μὲν γὰρ διάθεσις, οἷον ἕξις ἐστὶν ἀπαγής· ἡ δ' ἕξις, πεπηγυῖα διάθεσις, καὶ δυσμόχλευτος. Ἕξις τοιγαροῦν ἐστὶ, ποιότης δυσαπάλλακτος, τελειωτικὴ μὲν, ὡς Ἐπιστήμη καὶ Ἀρετὴ, καὶ ἀσφαλὴς Ὑγιεία· κακωτικὴ δὲ, ὡς ὁ ἑκτικὸς Πυρετός· αὐτίκα γὰρ ἡ Ἐπιστήμη οὐ κἂν ἀποβληθείη, χωρὶς μεγάλης μεταβολῆς, εἴθ' ὑπὸ νόσου γεγονυίας, εἴθ' ὑπὸ συνεχοῦς ῥαθυμίας, εἴθ' ὑπό τινος ἄλλου τοιαύτου αἰτίου· τὸν αὐτὸν τρόπον καὶ Ἀρετὴ, Σωφροσύνη, Δικαιοσύνη, καὶ ἄλλη πᾶσα, οὐκ ἔστιν εὐαπόβλητος,

βλητος, οὐδ' εὐκίνητος· ὡσαύτως καὶ ἡ μόνιμος Ὑγιεία, καὶ ἡ πολλῷ χρόνῳ οἱονεὶ πεφυσιωμένη Νόσος. Διάθεσις δέ ἐστιν, ἡ εἰς ἕξιν ὁδὸς· ἢ καὶ διὰ τὸ μήπω στάσιν ἐσχηκέναι τῶν Εὐκινήτων ἐστὶ καὶ τῶν Εὐμεταβλήτων, ὡς ἡ ἐπίκλητος θέρμη καὶ ψύξις, καὶ ἡ ἀβέβαιος ὑγιεία καὶ ἡ νόσος.

Ἕτερον εἶδος Ποιότητος, Δύναμις καὶ Ἀδυναμία. Δύναμιν δέ γέ φαμεν, οὐ τὴν κοινὴν ἐπιτηδειότητα, καθ' ἣν πρὸς πάσας τὰς τέχνας δύναμιν ἔχειν πάντες ἄνθρωποι λέγονται φυσικήν· ἀλλὰ τὴν ἰδίως προσοῦσαν Εὐφυΐαν ἑκάστῳ τινὶ πρὸς τόδε τι· ἥτις Εὐφυΐα καὶ αὐτὴ φυσικῶς προσεῖναι λέγεται· καὶ ἡ Κρᾶσις γὰρ Φύσις ὀνομάζεται μερική. Κατὰ τὴν τοιαύτην δύναμιν τὴν ἐπὶ μέρους, λέγομέν τινας πυκτικοὺς, ἢ δρομικοὺς, ἢ ὑγιεινοὺς, ἢ νοσώδεις, τῷ τοὺς μὲν, ἔχειν ἀφορμὰς φυσικὰς εἰς τὸ καλῶς ἐξασκῆσαι τὴν Πυκτικήν· τοὺς δὲ πάλιν τὴν Δρομικήν· καὶ τοὺς μὲν, κεκλῆσθαι δύναμιν φυσικὴν, εἰς τὸ μὴ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων καὶ παραβλάπτεσθαι· τοὺς δὲ, τῆς τοιαύτης ἐστερῆσθαι δυνάμεως. Οὕτω λέγεται καὶ τὸ Σκληρὸν, καὶ τὸ Μαλακόν· τὸ μὲν, δύναμιν ἔχειν τοῦ μὴ τέμνεσθαι ῥᾳδίως· τὸ δὲ μαλακὸν, πρὸς τοῦτο ἀδυνατεῖν.

Τρίτον εἶδος Ποιότητος, παθητικὴ Ποιότης καὶ Πάθος, ἃ καὶ διαφέρουσιν ἀλλήλων· τῷ τὴν μὲν παθητικὴν ποιότητα συνεζευγμένην εἶναι πάθει τινί· τὸ δὲ πάθος, ὁδὸν εἶναι πρὸς τὴν τοιαύτην ποιότητα· καὶ τὴν μὲν ἐν τῷ γεγονέναι τὸ εἶναι ἔχειν· τὸ δ', ἐν τῷ γίνεσθαι. Ἡ μὲν οὖν παθητικὴ Ποιότης, Ἕξει ἀναλογεῖ· Διαθέσει δέ γε τὸ Πάθος.

Θεωροῦνται δ' ἄμφω, μὴ μόνον ἐν Ἐμψύχοις, ὥσπερ ἡ Ἕξις καὶ ἡ Διάθεσις, ἀλλὰ καὶ ἐν Ἀψύχοις. Ἡ μὲν οὖν ἐν ἀψύχοις παθητικὴ ποιότης ὑπάρχει τριττή. Ἡ γὰρ ἀπὸ πάθους μὲν οὐκ ἐγένετο, πάθος δ' ἡμῖν ἐμποιεῖ· ὡς ἡ τοῦ Πυρὸς θερμότης. αὕτη γὰρ ἀπό τινος οὐκ ἐγένετο πάθους· ἐπεὶ φυσικῶς καὶ οὐσιωδῶς ἔνεστι τῷ Πυρί· φέρει δ' ἡμῖν πάθος τὴν θέρμανσιν· Ἡ καὶ ἀπὸ πάθους γέγονε, καὶ πάθους αἰτία γίνεται, καθάπερ ἡ τοῦ Ζωμοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡδύτης. αὕτη γὰρ καὶ ἀπὸ πάθους τῆς καρυκείας ἐγένετο, καὶ τὴν γεῦσιν ἡδύνει μετεχομένη. Ἢ γέγονε μὲν ἀπὸ πάθους· ἐμεταδίδωσι δὲ τοῦ πάθους ἡμῖν· ὡς ἔχει τὰ Χρώματα· καὶ γὰρ ἐκ πάθους γεγονότα, τῆς κράσεως· οὐ συγχρωματίζει ἑαυτοῖς καὶ ἡμᾶς. Εἰ δὲ τὸ Λευκὸν λέγεται διακρίνειν καὶ διαχέειν τὴν Ὄψιν, συγκρίνειν δὲ καὶ συνάγειν τὸ Μέλαν· ἀλλ᾽ οὐ ποιοῦσι πάθος παρώνυμον· οὐ λευκαίνει τὸ λευκὸν, οὐ μελαίνει τὸ μέλαν· καθὰ τὸ Πῦρ θερμαίνει καὶ τὸ Μέλι γλυκαίνει, τὸ μὲν, θερμὸν ὑπάρχον, τὸ δὲ, γλυκύ. Οὕτω μὲν οὖν ἐν Ἀψύχοις, αἱ παθητικαὶ θεωροῦνται Ποιότητες. Ἐν δὲ τοῖς Ἐμψύχοις, ἢ κατὰ Ψυχὴν ἢ κατὰ Σῶμα γινώσκονται. Κατὰ Σῶμα μὲν, ὡς ἡ φυσικῶς προσοῦσα Μελανία τοῖς Αἰθίοψι καὶ τοῖς Κόραξι· καὶ αὕτη γὰρ ἐκ ποιᾶς κράσεως γέγονε τῶν Χυμῶν, ὥσπερ καὶ ἡ ἐκ γενετῆς ὠχρότης, καὶ ἐρυθρότης· καθ᾽ ἃς Ὠχρίαι καὶ Ἐρυθρίαι κέκληνταί τινες· ἢ καὶ ὅσαι διὰ νόσον μακρὰν, ἢ συνέχειαν καύματος, Ὠχρότητες καὶ Μελανότητες παραμόνιμοι καὶ δυσκίνητοι γίνονται. Παθητικαὶ δὲ κατὰ Ψυχὴν Ποιότητες, ὡς ἡ Μανία καὶ ἡ Ὀργὴ, καὶ ὅσαι ἄλλαι ἐκστάσεις μὴ φυσικῶς, ἀλλ᾽ ἀπό τινων συμπτωμάτων γεγένηνται, δυσαπάλλακτοι οὖσαι, ἢ καὶ ὅλως ἀκίνητοι.

Πάθη δὲ λέγονται, ὁπόσα ῥαδίως τε διαλύονται καὶ ταχὺ μεταβάλλουσι. Καὶ ὡς μὲν ἐν Ἀψύχοις, ἡ ἐν Ὕδατι ἐπίκτητος Θέρμη, Πάθος ἐστίν. Ὡς δ᾽ ἐν Ἐμψύχοις, κατὰ μὲν Ψυχὴν, ἡ κατά τινα τύχην Ὀργή· οἷον εἴπερ τις ὀργισθείη, διά τι τῶν αὐτῷ δεξάντων ἀτόπων παροξυνθείς· πάλιν γὰρ ταχέως εἰς τὴν προτέραν φθάνει κατάστασιν· ὅθεν οὐδ᾽ ὀργίλος ὁ τοιοῦτος καλεῖται, ἀλλ᾽ ὅτι ὠργίσθη λέγεται. Κατὰ Σῶμα δὲ πάθη λέγονται, ἥ, τε διὰ φόβον Ὠχρίασις, καὶ ἡ δι᾽ αἰδῶ Ἐρυθρίασις. Ἡ μὲν γὰρ διὰ φόβον Ὠχρίασις γίνεται, τοῦ Αἵματος ἐπὶ τὴν Καρδίαν, ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν ἀνατρέχοντος, καὶ μηκέτι τῇ ἐπιφανείᾳ διαφαινομένου· ὅπερ συμβαίνει καὶ τοῖς ἄλλως αἵματος κεκενωμένοις. Ἡ δὲ δι᾽ αἰσχύνην Ἐρυθρίασις γίνεται, τοῦ Αἵματος ἀπὸ τῆς Καρδίας ἐπὶ

τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἐπιφάνειαν προϊόντος, καὶ ὥσπερ ἐπιπροσθοῦντος τοῦ ἡγεμονικοῦ, καὶ ἐπισκοτοῦντος τοῦ ὑπελθόντι κατὰ τὴν διάνοιαν αἰσχρῷ δι' αἰδῶ.

Φασὶ γοῦν ὅτι καὶ Κισσουμένοις εἴπερ αἱ τοιαῦται γένοιντο συνδρομαὶ, δι' αἰτίας ὁποίας δήτινας, τοιαῦτα φυσικὰ γίνεσθαι χρώματα. Καί τις Γυνὴ λέγεται τῷ καιρῷ τῆς συλλήψεως Αἰθίοπα φαντασθεῖσα, [καὶ] μήτ' αἰθίοψ οὖσα, μήτ' αἰθίοπι συγγινομένη, τεκεῖν αἰθίοπα. Τοίνυν ἡ διὰ φόβον ὠχρίασις, καὶ ἡ δι' αἰδῶ ἐρυθρίασις, Πάθη λέγονται διὰ τὸ εὐκίνητόν τε καὶ εὐαπόβλητον· διὸ οὐδὲ ἐξ αὐτῶν παρωνύμως Ὠχρίας ἢ Ἐρυθρίας καλοῦσι τοὺς πάσχοντας.

Τέταρτον εἶδος ποιότητος, Σχῆμα, καὶ ἡ περὶ ἕκαστον ἐνυπάρχουσα Μορφή. Ἔτι δὲ πρὸς τούτοις, Εὐθύτης καὶ Καμπυλότης, καὶ τὰ τούτοις ὅμοια· οἷα τὰ Κωνοειδῆ καὶ Ἑλικοειδῆ καὶ Φακοειδῆ· ταῦτα γὰρ πάντα τῷ τετάρτῳ τῆς ποιότητος εἴδει συνάγονται. Σχῆμα δὲ καὶ Μορφὴ διαλλάττουσι. Καὶ σχῆμα μέν ἐστι, τὸ ὑπό τινος ἤ τινων ὅρων περιεχόμενον· ληπτέον δὲ τοῦτο, κατὰ τὴν ποιὰν τῆς ἐπιφανείας ἀποπεράτωσιν. Ἡ δὲ μορφὴ, διχῶς λέγεται. Μορφὴ γάρ ἐστι καὶ τὸ εἰδικώτατον Εἶδος, περὶ οὗ νῦν οὐκ ἔστιν ὁ λόγος. Μορφὴ λέγεται καὶ τὸ περὶ τὴν ἐπιφάνειαν ἐπιφαινόμενον ποιὸν τύπωμα, τουτέστιν, ἡ Ἰδέα καὶ ὁ Χαρακτήρ· καθὸ καλάτινα καὶ εὔμορφα λέγομεν, ἢ δυσειδῆ καὶ δύσμορφα· περὶ τούτου νῦν ὁ λόγος. Ἐπὶ μὲν οὖν τῶν Φυσικῶν τάττουσι τὸ σχῆμα καὶ τὴν μορφήν· τὸ σχῆμα δὲ μόνον ἐπὶ τῶν Μαθηματικῶν, τριγώνου, τετραγώνου, καὶ τῶν λοιπῶν. Εὐθύτης δὲ λέγεται ἡ ὀρθότης, καὶ Καμπυλότης ἡ στρεβλότης· ἀφ' ὧν εὐθεῖα λέγεται καὶ καμπύλη Γραμμή. Τὸ τραχὺ καὶ τὸ λεῖον ἔφασάν τινες Ποιότητας εἶναι· Θέσεις δὲ μᾶλλον δοκοῦσιν, οὐχὶ ποιότητες. Λεῖον μὲν γάρ ἐστιν, οὗ τὰ μόρια ἐπ' εὐθείας ἐπίσης κεῖται· ὡς ἐπὶ τῶν ἀποτεταμένων Μαρμάρων. Τραχὺ δὲ, οὗ μὴ ἐπίσης κεῖται, ἀλλὰ τὰ μὲν ὑπερέχει, τὰ δ' ἐλλείπει· ὡς ἐπὶ τοῦ Πρίονος. Τὸ Μανὸν δὲ καὶ τὸ Πυκνὸν, ἐπὶ μὲν τῶν Στοιχείων θεωρούμενα, Ποιότητες



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τητές εἰσιν οὐσιώδεις καὶ φυσικαί· τοῦ γὰρ Ἀέρος καὶ τοῦ Πυρὸς ἡ μανότης, ὅλη δι' ὅλων αὐτῶν διακεχώρηκεν οὐσιωδῶς τε καὶ φυσικῶς· ὥσπερ καὶ ἡ πυκνότης τοῦ Ὕδατος καὶ τῆς Γῆς· ἐπὶ δὲ τῶν ἄλλων σωμάτων Θέσεις ὑπάρχουσι τὸ μανόν τε καὶ τὸ πυκνόν. Καὶ Πυκνὸν μέν ἐστιν, οὗ τὰ μόρια σύνεγγυς κεῖται μὴ δυναμένου παρεμπίπτειν μεταξὺ τούτων ἑτέρου σώματος· ὡς ἔχει Χαλκός τε καὶ Σίδηρος. Μανὸν δὲ, τὸ οἷον μὴ ἓν ὂν, ἀλλ' ἔχον ἀπ' ἀλλήλων διεστηκότα τὰ μόρια, καὶ πρὸς ὑποδοχὴν ἑτέρου σώματος ἐπιτήδεια· καθάπερ ἔχει Σπόγγος καὶ Κίσηρις. Περὶ μὲν οὖν ποιοτήτων τοσαῦτα εἰρήσθω.

Ποιὰ δέ ἐστι, τὰ ἀπὸ τῶν Ποιοτήτων παρωνύμως λεγόμενα, ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν. Τετραχῶς λαμβάνονται τὰ ποιά· Ἢ παρωνύμως· καὶ τοῦθ' ὡς ἐπὶ τὸ πλεῖστον· ὡς ἀπὸ τῆς Λευκότητος, τὸ λευκὸν σῶμα, καὶ ἀπὸ τῆς Γλυκύτητος, τὸ γλυκύ· Ἢ ὁμωνύμως, ὡς τὸ Τρίγωνον, τὸ Τετράγωνον, καὶ τὰ τοιαῦτα, καὶ ἡ μουσικὴ Γυνὴ, καὶ ἡ γραμματική. καὶ γὰρ ἐπὶ τούτων ταῖς Ποιότησι ταυτωνυμοῦνται καὶ τὰ Ποιά· Ἢ ἑτερωνύμως, ὡς ὁ τῆς Ἀρετῆς μετέχων, Σπουδαῖος λέγεται· Ἢ ἀκατονομάστως, ὡς ἐπὶ τοῦ δευτέρου τῆς Ποιότητος εἴδους ἔχει ποτὲ, τοῦ κατὰ δύναμιν καὶ ἀδυναμίαν φημί· ἐπὶ τούτου γὰρ τοῦ εἴδους, ἐνίοτε μὲν μόνον τὸ Ποιὸν ὀνόματος ἔτυχεν· ὡς λέγομεν πυκτικὸν, τὸν ἐπιτηδείως πρὸς πυκτικὴν διακείμενον, καὶ γενέσθαι πύκτην δυνάμενον· ἡ δὲ δύναμις, ἤγουν ἡ ἐπιτηδειότης, ἀνώνυμος ἔμεινε· τὸ γὰρ ὄνομα κατ' ἐνέργειαν ἔχει ἡ πυκτικὴ, καὶ οὐ κατὰ δύναμιν. Ἐνίοτε δὲ καὶ τὸ Ποιὸν καὶ ἡ Ποιότης, ἀκατονόμαστα μεμενήκασιν· ὥσπερ ὁ πρὸς γραμματικὴν εὐφυῶς ἔχων, καὶ ἡ πρὸς αὐτὴν τὴν γραμματικὴν ἐπιτηδειότης· καὶ τῇ γραμματικῇ γὰρ τέχνῃ τὸ ὄνομα, πρὸς τῆς ἐνεργείας κεκληροδότηται.

Πρόσεστι τῷ Ποιῷ καὶ μάλιστα συγγενῶς τὸ Ἐναντίωσιν ἐπιδέχεσθαι. Κἀν ταῖς ἄλλαις γὰρ κατηγορίαις, τἀναντία κατὰ τὸ ἐν ἑκάστῃ ποιὸν ἐγγίνεσθαι δοκεῖ. Πλὴν οὐδὲ τῷ ποιῷ παντὶ τοὐναντίον ἀκολουθεῖ· τοῖς Σχήμασι γὰρ, τοῖς εὐθυγράμμοις καὶ κυκλικοῖς, ἐναντίον οὐδέν.

Ἀλλ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀλλ᾽ οὐδὲ τῷ ἐρυθρῷ καὶ φαιῷ, καὶ ξανθῷ, καὶ τοῖς ἄλλοις τῶν Χρωμάτων μέσοις, ἐναντιότης τις ἀντιτάττεται. Εἰ γὰρ τὰ πλεῖστον ἀλλήλων διεστηκότα ἐναντία εἰσὶ, τοῖς μέσοις εἰκότως μὴ πλεῖστον τῶν ἄκρων διεστηκόσιν, ἐναντίον οὐδὲν ἀντιστήσεται. Πῶς δὲ καὶ πλείω ἐναντία ἔσοιντο τῷ ἑνί;

Καὶ τὸ Μᾶλλον δὲ καὶ Ἧττον πρόσεσι τῷ Ποιῷ. Ἔνθα γὰρ Ἐναντίωσις, ἐκεῖ καὶ τὸ μᾶλλον καὶ ἧττον ὡς ἐπίπαν εὑρίσκεται. Καὶ εἴπερ ἐν πᾶσι θεωροῖτο τοῖς ἐναντίοις τὸ ἔμμεσον, ἐξ ἀνάγκης καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον θεωρηθήσεται. εἰδ᾽ ἐστί που σπανιάκις Ἐναντίωσις ἄμεσος, ὡς ἡ τοῦ ἁπλῶς ἀρτίου καὶ περιττοῦ, τὸ μᾶλλον καὶ ἧττον ἐκεῖθεν ἄπεστιν.

Ἴδιον δὲ μάλιστα τῷ Ποιῷ, τὸ ὅμοιον ἢ ἀνόμοιον. Ὁμοιότης δέ ἐστιν ἡ τοῦ αὐτοῦ εἴδους ἐπεισοδιώδης μέθεξις· ὅθεν ὁμοίους Χρόᾳ τοὺς ἔχοντας τὸ αὐτὸ χρῶμα φαμέν· ὁμοίους τε Χαρακτῆρι, τοὺς τὴν αὐτὴν κεκτημένους Ἰδέαν. Ὥσπερ τῷ Ποιῷ, τὸ Ὅμοιον ἢ Ἀνόμοιον· οὕτω καὶ τῷ Ποσῷ, τὸ Ἶσον ἢ Ἄνισον· καὶ Σῶμα γὰρ ἴσον σώματί ἐστιν, ἢ μὴν ἄνισον· καὶ Ἀριθμὸς Ἀριθμῷ ἴσος ἢ ἄνισος, καὶ τόπος τόπῳ, καὶ Χρόνος χρόνῳ, καὶ Λόγος λόγῳ, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως τῶν κυρίως καὶ μὴ κατὰ συμβεβηκὸς λεγομένων Ποσῶν. Ἡ γὰρ πρᾶξις τῇ πράξει, οὐκ ἂν λέγοιτο ἴση ἢ ἄνισος· ἀλλ᾽ ὁμοία μᾶλλον ἢ ἀνομοία, καὶ λευκῷ λευκὸν ὅμοιον ἢ ἀνόμοιον.

Λέγουσι δὲ τὴν Ποσότητα καὶ τὰς ἄλλας Κατηγορίας, πλὴν τῆς οὐσίας, διαιρεῖσθαι εἰς τὰ ἐξ αὐτῶν, ὡς τὰ Ἀφ᾽ ἑνὸς καὶ πρὸς ἓν, διὰ τὸ μηδὲ κυρίως εἶναι Γένη· τὰ γὰρ ἔχοντα τάξιν, τί Πρῶτον καὶ τί Δεύτερον ἐν τοῖς ἀπ᾽ αὐτῶν, τὸ τοῦ γένους γνήσιον οὐ διασώζουσιν.

ἡ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

**Ἡ Ποιότης διαιρεῖται** εἰς

- Ἕξιν, ὡς Ἐπιστήμη καὶ Ἀρετή· καὶ Διάθεσιν, ὡς Ψύξιν καὶ Θέρμανσιν.
- Δύναμιν, ὡς Ὑγιεινὸν καὶ Σκληρόν· καὶ Ἀδυναμίαν, ὡς Νοσῶδες καὶ Μαλακόν.
- Πάθος, ὡς Ὠχρίασις ἢ Ἐρυθρίασις· καὶ παθητικὴν Ποιότητα, ὡς Γλυκύτης καὶ Πικρότης.
- Σχῆμα, ὡς Τρίγωνον, Τετράγωνον· καὶ Μορφὴν, ὡς Εὐειδὴς καὶ Δυσειδής.

**Τὰ Ποιὰ λαμβάνεται**

- Ἢ Παρωνύμως, ὡς ἀπὸ τῆς Γραμματικῆς γραμματικός.
- Ἢ Ὁμωνύμως, ὡς τὸ Τρίγωνον, καὶ ἡ μουσικὴ Γυνή.
- Ἢ ἑτερωνύμως, ὡς ἐκ τῆς Ἀρετῆς ὁ Σπουδαῖος.
- Ἢ ἀκατονομάστως, ὡς ἐπὶ τοῦ δευτέρου τῆς ποιότητος εἴδους.

**Πρόσεστι δὲ τῷ Ποιῷ**

- Τὸ Ἐναντίωσιν ἐπιδέχεσθαι.
- Τὸ Μᾶλλον καὶ Ἧττον, καὶ τὸ Ὅμοιον καὶ ἀνόμοιον.

## ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

### Περὶ τῶν Πρός τι.

Πρός τί εἰσιν, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον· ἐν γὰρ τῷ Σχέσεις εἶναι, τὰ πρός τι τὴν ὕπαρξιν ἔχουσι· διὸ καὶ καθ᾽ ἑτέραν ὑπογραφὴν, Πρός τί εἰσιν, οἷς τὸ εἶναι ταυτόν ἐστι, τῷ πρός τί πως ἔχειν. Ὅταν μὲν οὖν θεωρῆταί τι Καθ᾽ αὐτὸ, πρός τι οὐκ ἔστιν· ἡνίκα δὲ Σχέσιν πρὸς ἕτερον σχῇ, τότε δὴ πρός τί ἐστιν· οἷον, ὁ Σωκράτης, καθὸ μὲν ἄνθρωπος, ἢ Φιλόσοφος, ἤτι τοιοῦτον, καθ᾽ αὐτὸ λέγεται· καὶ οὐδ᾽ ὅλως πρὸς ἕτερον ἀναφέρεται· καθὸ δὲ Πατὴρ, Ἢ Διδάσκαλος, κατὰ τοῦτο πρὸς ἕτερον ἀναφέρεται, καὶ ἅπερ ἐστὶν αὐτὸς, ἑτέρων εἶναι λέγεται· Πατὴρ γὰρ ὢν, Υἱοῦ λέγεται Πατήρ· καὶ Διδάσκαλος ὢν, Μαθητοῦ Διδάσκαλος λέγεται. Ἐπεὶ δὲ πολυειδὴς ἡ πρὸς ἕτερον τῶν πρός τι ἀναφορὰ, καὶ οὐ λέγεται πάντα ἑτέρων, διατοῦτο πρόσκειται τὸ, ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον. Τὰ μὲν γὰρ τῶν πρός τι πρὸς γενικὴν φέρεται πτῶσιν· ὡς Υἱὸς καὶ Πατὴρ, Μαθητὴς καὶ Διδάσκαλος· Τὰ δὲ πρὸς δοτικὴν, ὡς τὸ Ἴσον καὶ

Ὅμοιον·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅμοιον· τὸ γὰρ ἴσον ἴσῳ ἴσον, καὶ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον· Τὰ δὲ πρὸς γενικὴν ὁμοῦ καὶ δοτικήν· ὡς τὸ ὑπερέχον τοῦ ὑπερεχομένου ὑπερέχει, καὶ τὸ ὑπερεχόμενον ὑπερέχοντι ὑπερέχεται· καὶ πάλιν τὸ ὑπερέχον ὑπεροχῇ ὑπερέχει· οἷον ὁ δέκα τοῦ ἓξ ὑπερέχει τῷ τέσσαρα. Τινὰ δὲ καὶ μετὰ προθέσεως λέγεται· ὡς τὸ μέγα πρὸς μικρὸν μέγα, καὶ τὸ μικρὸν πρὸς μέγα μικρόν. Τινὰ δὲ καὶ μετά τινος περὶ τὴν λέξιν ὑπαλλαγῆς· ὡς τὸ τέμνον τεμνόμενον τέμνει, καὶ τὸ τεμνόμενον ὑπὸ τέμνοντος τέμνεται. Ἐπεὶ οὖν οὕτω τὰ Πρός τι πολυειδῶς σχηματίζεται, διὰ τοῦτο πρόσκειται τῇ τούτων ὑπογραφῇ, τό, ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον.

Πρόσεστί τισι τῶν Πρός τι, καὶ Ἐναντιότης, καὶ τὸ Μᾶλλον καὶ τὸ Ἧττον· πλὴν οὐ κατὰ τὸν λόγον τῶν πρός τι· ἀλλ' ἐπεὶ χωρὶς ἑτέρας κατηγορίας οὐδ' ἐπινοηθῆναι δύναται τὰ πρός τι καθ' ἑαυτά, (ταῖς ἄλλαις γὰρ κατηγορίαις ἀεὶ συνυφίσταται·) διὰ τοῦθ' ὅταν μὲν ἐπὶ κατηγορίας ληφθείη ἐχούσης ἐναντίωσιν, ἕξει καὶ αὐτὰ ἐναντίωσιν· ὅταν δ' ἐπὶ κατηγορίας οὐκ ἐχούσης ἐναντίωσιν, οὐδ' αὐτὰ ἕξει τινὰ ἐναντίωσιν. Ἐν ᾗ δὲ κατηγορίᾳ ἡ Ἐναντίωσις, ἐν ἐκείνῃ καὶ τὸ Μᾶλλον καὶ τὸ Ἧττόν ἐστιν, εἴπερ ἡ ἐναντίωσις ἔχει τὸ ἔμμεσον, ὡς προείρηται. Τῇ γοῦν ἐπὶ μέρους Ἐπιστήμῃ, δηλονότι τῇ ἐν ἀνθρώπῳ τῷ δέτινι, ἐναντίον ἐστὶν ἡ Ἄγνοια· καὶ Μᾶλλον ἐπιστήμη λέγοιτ' ἂν αὕτη καὶ Ἧττον ἐπιστήμη, καθάπερ καὶ τῇ ἐνεργουμένῃ παρά τινων Ἀρετῇ, ἐναντίον ἐστὶν ἡ Κακία· καὶ Μᾶλλον ἀρετὴ λέγοιτ' ἂν αὕτη καὶ Ἧττον ἀρετή. Τῇ καθόλου δ' Ἐπιστήμῃ ἐναντίον μὲν καὶ ταύτῃ κατὰ τὸν καθόλου λόγον ἡ Ἄγνοια· τὸ μᾶλλον δὲ καὶ ἧττον οὐκ ἔστιν ἐν αὐτῇ· οὐδὲ γὰρ τῆς καθόλου Ἐπιστήμης μᾶλλον γένοιτ' ἂν ἐπιστήμη· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς καθόλου Ἀρετῆς· ἀτελῶν γὰρ τὸ μᾶλλον καὶ ἧττον, ἀλλ' οὐ τελείων καὶ ἀκροτήτων. Ἀλλ' οὐδὲ τὸ Ἴσον ἐπιδεκτικόν ἐστι τοῦ μᾶλλον καὶ ἧττον· ὥρισται γὰρ τὸ ἴσον· τὸ δὲ μᾶλλον καὶ ἧττον, κατὰ τὸ ἀόριστον τῆς ὕλης ὑφέστηκε. Τὸ δ' Ἄνισον καὶ τὸ Ἀνόμοιον, καὶ τὸ Ὅμοιον ἐπιδεκτικὰ τοῦ Μᾶλλον καὶ Ἧττον

πέφυκεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέφυκεν εἶναι· ἑτέρου γὰρ ἕτερον, Μᾶλλον καὶ Ἧττον ὅμοιον καὶ ἀνόμοιον καὶ ἄνισόν ἐστί τε καὶ λέγεται. Οὐ διδόασι δ' αὐτοῖς Ἐναντίωσιν, ἵνα μή, ἐπεὶ τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο λαμβανόμενον, εὑρίσκεται ἴσον καὶ ἄνισον, ὅμοιόν τε καὶ ἀνόμοιον, διὰ τοῦτο καὶ τἀναντία ὁμοῦ ἐπιδέχηται τὸ αὐτό. Εἰ δὲ τὸ Ἄνισον ἴδιον ὂν τοῦ ποσοῦ, τὸ μᾶλλον καὶ ἧττον ἔφαμεν ἐπιδέχεσθαι, διαπορεῖσθαι οὐ χρή· τὸ μὲν γὰρ Ποσόν, ᾗ ποσόν, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον· τὸ δὲ συμβεβηκὸς τῷ Ποσῷ, τὸ Μᾶλλον ἐπιδέξαιτο καὶ τὸ Ἧττον οὐ καθὸ Ποσόν, ἀλλὰ καθὸ Ποιόν. Πάλιν εἰ τῶν πρός τι εὑρίσκονται ἀρετὴ καὶ ἐπιστήμη ποιότητες οὖσαι, δέον ἀναλογίζεσθαι, ὡς τὸ αὐτὸ κατ' ἄλλον καὶ ἄλλον λόγον, ὑπ' ἄλλην καὶ ἄλλην τάττεσθαι κατηγορίαν οὐκ ἀπεικός. Ἐπιστήμη τοίνυν καὶ Ἀρετὴ ὡς μὲν ποιοὺς παρεχόμεναι, Ποιότητές εἰσιν· ὅτι δὲ πρὸς ἕτερον σχέσιν ἐμφαίνουσι, τοῖς Πρός τι συνάγονται· καὶ γὰρ Ἐπιστήμη, ἐπιστητοῦ ἐπιστήμη· καὶ Ἀρετή, σπουδαίου ἀρετή.

Πάντα δὲ τὰ Πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενα πράγματος, καὶ εἰς τὸ αὐτὸ καταλήγοντα, κἂν ἐνίοτε τῇ προφορᾷ τῆς λέξεως διαλλάττωσιν· ὡς ὁ Φίλος, φίλου φίλος, καὶ τὸ δῶρον, παρὰ τοῦ δωρουμένου δωρεῖται. Χρὴ δὲ πρὸς ὃ λέγεται κατὰ φύσιν τὸ πρᾶγμα, πρὸς τοῦτο ποιεῖσθαι καὶ τὴν ἀπόδοσιν, κἂν μὴ εἴη ὄνομα κείμενον, ἀπὸ τοῦ πρώτου παρονομάζειν τὸ δεύτερον. Ἰδοὺ γὰρ [ὁ] Ὄρνις ἔχει πτερόν, ἀλλ' οὐχ ᾗ ὄρνις ἔχει πτερόν, ἀλλ' ᾗ πτερωτόν. Τῶν γὰρ Πτερωτῶν, τὰ μέν ἐστιν Ὑμενόπτερα, ὡς αἱ Μέλισσαι· τὰ δὲ Κολεόπτερα, ὡς οἱ Κάνθαροι· τὰ δὲ Σαρκόπτερα, ὡς αἱ Νυκτερίδες· τὰ δὲ Σχιζόπτερα, ὡς οἱ Ὄρνιθες. Οὐ πᾶν τοίνυν τὸ ἔχον πτερόν, ἤδη καὶ ὄρνις ἐστίν, ἀλλὰ πτερωτόν. Οὕτω γοῦν ἀποδοτέον· τὸ Πτερόν, πτερωτοῦ πτερόν· καὶ τὸ Πτερωτόν, πτερῷ πτερωτόν. Πάλιν ἐπείπερ οὐ πάντα τὰ Πλοῖα Πηδάλιον ἔχει (τὰ γὰρ Ἀκάτια Κώπαις ἐρέττονται, ἅμα δὲ καὶ ἰθύνονται.) τὸ πηδάλιον οὐκ ἀποδοτέον πρὸς τὸ πλοῖον, ἀλλὰ πρὸς τὸ πηδαλιωτόν· ἵνα γένηται

καλῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλῶς ἡ ἀντιστροφή· τὸ γὰρ Πηδάλιον, πηδαλιωτοῦ πηδάλιον· καὶ τὸ Πηδαλιωτὸν, πηδαλίῳ πηδαλιωτόν. Δῆλον οὖν ἐκ τούτων ὅτι μὴ γινομένης οἰκείως τῆς ἀποδόσεως, οὐδὲ ἐπὶ τῶν ὁμολογουμένως λεγομένων πρὸς ἀντιστρέφοντα, καὶ ἐχόντων ὀνόματα κείμενα, γένοιτ᾽ ἂν ἡ ἀντιστροφή. Ἂν γὰρ τὸν Δοῦλον, ἀνθρώπου δοῦλον εἴποι τις, καὶ οὐ Δεσπότου, ποιῆσαι ἀντιστροφὴν οὐκ ἂν δύναιτο. Ἀληθὲς μὲν γὰρ καὶ τὸ, τὸν δοῦλον, ἀνθρώπου εἶναι δοῦλον, ἀλλ᾽ οὐχ ᾗ ἄνθρωπος ἔχει τις δοῦλον, ἀλλ᾽ ᾗ δεσπότης· ἢ γὰρ ἂν δούλους εἶχον ἅπαντες ἄνθρωποι. Εἰ δὲ τὸ Πηδάλιον καὶ τὸ Πτερὸν, οὐσίαι ὄντα, πρός τι λαμβάνονται· οὐ καθ᾽ ὃ οὐσίαι γίνονται πρός τι, ἀλλὰ καθ᾽ ὃ σχέσιν ἔχει πρὸς ἄλληλα. Καὶ τὸ Μέρος γὰρ σχέσιν ἔχον πρὸς τὸ Ὅλον, μέρος ὅλου λέγεται· καὶ τὸ ὅλον, ἐν μέρεσιν ὅλον. Καὶ τὰ γένη τῶν Οὐσιῶν καὶ τὰ εἴδη, κατὰ τὸν τῆς σχέσεως λέγεται λόγον Πρός τι. Τὸ γὰρ Γένος, Εἴδους γένος, καὶ τὸ Εἶδος, Γένους εἶδος.

Ἔτι τὰ Πρός τι, ἅμα τῇ Φύσει ἐστίν· ὅθεν καὶ συναναιροῦσι καὶ συνεισφέρονται· Υἱοῦ γὰρ μὴ ὄντος, οὐκ ἔσται Πατήρ· ὄντος δὲ Υἱοῦ, ἔσται δὴ καὶ Πατήρ· καὶ πάλιν Πατρὸς μὲν ὄντος, καὶ Υἱὸς ἔσται· μὴ ὄντος δὲ Πατρὸς, οὐκ ἔσται Υἱός· εἰ γὰρ λέγομεν Υἱὸν τοῦ τετελευτηκότος, κατ᾽ ἀναφορὰν τὴν, ὅτ᾽ ἔζη τοῦτό φαμεν· ἢ καὶ ὅτι θανὼν οὐκ ἀπώλετο· ὥστε τὰ Πρός τί, καὶ συναναιροῦσι καὶ συνυπάρχουσι. Τὸ Συνυπάρχειν δὲ καὶ Συναναιρεῖν ἐπὶ τῶν Πρός τι, κατὰ σχέσιν ἐκληπτέον, οὐ κατ᾽ οὐσίαν· ἐν ᾧ γάρ ἐστι τοῖς πρός τι τοὐπάρχειν, ἐν τούτῳ καὶ τὸ συνυπάρχειν, καὶ τὸ συναναιρεῖν. Πάλιν Ἐπιστήμης οὔσης, ἔστιν Ἐπιστητόν· καὶ Αἰσθήσεως, Αἰσθητόν· Ἐπιστήμης δὲ μὴ οὔσης καὶ Αἰσθήσεως, ἀνῄρηται καὶ τὸ Ἐπιστητὸν καὶ τὸ Αἰσθητὸν· καὶ ἀνάπαλιν. Εἰ δὲ καὶ προγενέστερα τὰ ἐπιστητὰ καὶ τὰ αἰσθητὰ, τῆς ἐπιστήμης καὶ τῆς αἰσθήσεως, ἀλλ᾽ οὐ καθ᾽ ὃ ἐπιστητὰ καὶ αἰσθητά· ὥσπερ οὐδ᾽ ὁ Πατὴρ, ᾗ πατὴρ, πρεσβύτερός ἐστι τοῦ Υἱοῦ, κἂν τῷ χρόνῳ πρότερος εἴη· πρὸ τοῦ γεννῆσαι γὰρ υἱὸν, οὐκ ἦν πατήρ· ὅτε δὲ γεγέννηκεν υἱὸν, τότε ἤρξατο τοῦ εἶναι πατήρ· οὕτως ἔχει κἀπὶ τῶν ἐπιστητῶν τε καὶ αἰσθητῶν.

Ἔτι τὰ Πρός τι, Ἢ ἐν τοῖς Αὐθεδράστοις, ἤτοι ταῖς Οὐσίαις, ἔχει τὴν σχέσιν, Ἢ οὐκ ἐν τοῖς Αὐθεδράστοις, ἅπερ ἐστὶ τὰ Συμβεβηκότα. Εἰ μὲν οὖν ἐν τοῖς αὐθεδράστοις, Ἢ Φυσικὴν ἔχει τὴν σχέσιν, ὡς Πατὴρ καὶ Υἱός· Ἢ οὐ φυσικήν. Εἰ δ᾽ οὐ φυσικὴν, Ἢ τυχικὴν, ὡς Δοῦλος καὶ Δεσπότης· Ἢ τεχνικὴν, ὡς Μαθητὴς καὶ Διδάσκαλος· Ἢ προαιρετικὴν, ὡς Φίλος καὶ Φίλος. Εἰ δ᾽ οὐκ ἐν τοῖς αὐθεδράστοις, Ἢ φυσικὴν, ὡς Διπλάσιον καὶ Ἥμισυ· Ἢ οὐ φυσικὴν, ὡς Μέγα καὶ Μικρόν· τοῦτο γὰρ τύχης μᾶλλον ἢ φύσεως. Τέχνη δὲ καὶ Προαίρεσις ἐν τοῖς οὐκ αὐθεδράστοις χώραν οὐκ ἔχουσιν, εἰ μήτι που φανείη πρὸς ἄλλο τὴν ἀναφορὰν ἔχον αὐθέδραστον, καὶ κατὰ συμβεβηκὸς ἴσως λεγόμενον. Ἀλλ᾽ ἐν τοῖς εἰρημένοις μὲν, ἅπαντα τὰ πρός τι συνάγεται.

Πλατύτερον δέ τινες καὶ σαφέστερον, εἰς εἴδη δέκα διαιροῦσι τὰ Πρός τι· Ταυτότητα, Ἀνισότητα, Γένεσιν, Μέθεξιν, Ὕφεσιν, Πεῖσιν, Κρίσιν, Θέσιν, Ἀσυμμετρίαν, καὶ τὴν πρὸς τὸ γένος Ἀναφοράν. Ταυτότης μὲν οὖν ἐστιν, ὅταν πρὸς συνώνυμον ἡ κρίσις γένηται· ὡς ὁ Φίλος, φίλου φίλος· καὶ ὁ Ἐχθρὸς, ἐχθροῦ ἐχθρός· καὶ τὸ Ἴσον, ἴσῳ ἴσον· καὶ τὸ Ὅμοιον, ὁμοίῳ ὅμοιον. Ἀνισότης, ὡς τὸ Μεῖζον, τὸ Διπλάσιον, τὸ Πολλαπλάσιον. Γένεσις, ὡς Πατὴρ, Υἱός. Μέθεξις, ὡς τὸ Μετέχον καὶ Μετεχόμενον. Ὕφεσις, ὡς Δοῦλος καὶ Μαθητής. Πεῖσις, ὡς Τυπτόμενος, Καιόμενος. Κρίσις, ὡς Μέτρον, Αἴσθησις, Ἐπιστήμη· κρίνει γὰρ καὶ ἡ ἐπιστήμη τὸ ἐπιστητὸν, καὶ ἡ αἴσθησις τὸ αἰσθητὸν, καὶ πᾶσα γνῶσις τὸ γνωστὸν, καὶ τὸ μέτρον τὸ μετρητόν· καὶ τὰ ὅμοια τούτοις ὡς κρίνοντά ἐστι πρὸς κρινόμενα. Θέσις, ὡς Δεξιὸν, Ἀριστερὸν, Καθέδρα, Στάσις, Ἀνάκλισις· ταῦτα πάντα πρὸς ἀντιστρέφοντα λέγεται. Ἀσυμμετρία, ἤτοι ἀδυναμία, οἷον τὸ ἀδύνατον ὑφ᾽ ἡμῶν ὁρᾶσθαι, τοῦτο καὶ ἡμεῖς ἀδυνατοῦμεν ὁρᾶν, ὡς τὴν ἄναστρον σφαῖραν, τὸ ἐν βυθῷ ὄστρακον, τὸν ἀέρα ὡς ἀχρωμάτιστον. Ἡ πρὸς τὸ γένος ἀναφορά· ὡς ὅταν ἡ Γεωμετρία λέγοιτο πρός τι, κατὰ τὴν πρὸς τὴν ἐπιστήμην ἀναφοράν· Ἐπιστήμη γὰρ ἐπιστητοῦ ἐπιστήμη, καὶ τὸ ἐπιστητὸν Ἐπιστήμῃ ἐπιστητόν.

Τῶν

**Τῶν Πρός τι Φέρεται**
- Τὰ μὲν πρὸς Γενικὴν, ὡς Πατὴρ Υἱοῦ Πατήρ.
- Τὰ δὲ πρὸς Δοτικὴν, ὡς τὸ Ἴσον Ἴσῳ Ἴσον.
- Τὰ δὲ πρὸς Γενικὴν ὁμοῦ καὶ Δοτικὴν, ὡς τὸ Ὑπερέχον ὑπερεχομένου ὑπερέχει, καὶ τὸ Ὑπερεχόμενον ὑπερέχοντι ὑπερέχεται.
- Τὰ δὲ μετὰ Προθέσεως, ὡς τὸ Μέγα πρὸς Μικρὸν Μέγα.
- Τὰ δὲ καὶ Μετά τινος περὶ τὴν λέξιν ὑπαλλαγῆς, ὡς ὁ Τέμνων τεμνόμενον τέμνει, καὶ τὸ Τεμνόμενον ὑπὸ τέμνοντος τέμνεται.

**Τὰ Πρός τι ἔχει Σχέσιν,**
- Ἢ ἐν τοῖς Αὐθεδράσοις, ἤτοι ταῖς Οὐσίαις· ἃ σχέσιν ἔχει,
  - Φυσικὴν, ὡς Πατὴρ καὶ Υἱός.
  - Τυχικὴν, ὡς Δοῦλος καὶ Δεσπότης.
  - Τεχνικὴν, ὡς Μαθητὴς καὶ Διδάσκαλος.
  - Προαιρετικὴν, ὡς Φίλος καὶ Φίλος.
- Ἢ οὐκ ἐν τοῖς Αὐθεδράσοις, ἤτοι Συμβεβηκόσιν· ἃ σχέσιν ἔχει.
  - Φυσικὴν, ὡς Διπλάσιον καὶ Ἥμισυ.
  - Τυχικὴν, ὡς Μέγα καὶ Μικρόν.

**Ἔτι τῶν Πρός τι**
- Ταυτότης.
- Ἀνισότης.
- Γένεσις.
- Μέθεξις.
- Ὕφεσις.
- Πᾶσις.
- Κρίσις.
- Θέσις.
- Ἀσυμμετρία.
- Καὶ πρὸς τὸ γένος Ἀναφορά.

# ΚΕΦΑΛΑΙΟΝ. ΚΔ΄.

## Περὶ τοῦ Ποιεῖν, καὶ Πάσχειν, καὶ Ἔχειν.

Ποιεῖν ἐστι τὸ δρᾷν περί τι· Πάσχειν δὲ, τὸ ὑφ᾽ ἑτέρου ἀλλοιοῦσθαι. Τὸ μὲν οὖν Ποιεῖν, ἐν ἑαυτῷ τὴν αἰτίαν ἔχει· τὸ δὲ Πάσχειν, ἐν ἑαυτῷ τε καὶ ἐν ἄλλῳ· ἐν ἑαυτῷ μὲν, τῷ πεφυκέναι ἀλλοιοῦσθαι· ἐν ἄλλῳ δὲ, τῷ ὑπό τινος ἀλλοιοῦσθαι. Δεῖ δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ ἀφορῶντας εἰς μόνον τὸ σχῆμα τῆς λέξεως, οὕτω κρίνειν, τί ἐστι ποιεῖν καὶ τί ἐστι πάσχειν, ἀλλ᾽ εἰς αὐτὰ τὰ πράγματα μᾶλλον. Τινὰ μὲν γὰρ καὶ τῷ πράγματι, καὶ τῷ σχηματισμῷ τῆς λέξεως ἔχουσι τὸ ποιεῖν, ὡς τὸ Ἰατρεύειν. Τινὰ δὲ, τῷ μὲν τῆς λέξεως σχήματι ποιητικά ἐστιν ἐνεργητικῶς προφερόμενα· τῷ πράγματι δὲ, παθητικά· τοιοῦτόν ἐστι τὸ Ἀδημονεῖν, καὶ αὐτὸ τὸ Πάσχειν πάθος δηλοῦντα, κἂν ἐνέργειαν τῇ προφορᾷ σχηματίζωνται. Τινὰ δὲ παθητικῶς προαγόμενα, παριστῶσιν ἐνέργειαν· οἷον τὸ ἔρχεσθαι καὶ [τὸ] ἀγωνίζεσθαι.

Διαιρεῖται δὲ τὸ Ποιεῖν, εἴς τε τὸ Θεωρεῖν, καὶ εἰς τὸ ὁμώνυμον τῷ γένει Ποιεῖν, καὶ εἰς τὸ Πράττειν. Τὸ μὲν οὖν Θεωρεῖν, Ἡ περὶ τὴν τῶν νοητῶν καὶ ἀμερίστων οὐσιῶν ἐπίσκεψιν, νοήσεσιν ἁπλαῖς ἐνεργεῖ· ὅπερ ἐστὶ καὶ κυρίως Θεωρεῖν· (ἔργον δὲ τοῦτο μόνου Νοός.) Ἡ περὶ τὰ ἀκίνητα μαθηματικὰ, ποιεῖται διανόησιν· οἷον ἐστὶ τὸ Γεωμετρεῖν· ὡρισμέναις μὲν, οὐ μὴν ἁπλαῖς ἔτι χρώμενον ταῖς ἐπιβολαῖς, ἀλλὰ συνθέτοις καὶ κατὰ διέξοδον· οἷαί εἰσιν αἱ τῆς καθαρᾶς διανοίας Ἐνέργειαι. Ἡ περὶ τὰς ἀεικινήτους αἰσθητὰς οὐσίας ποιεῖται τὴν θεωρίαν, αἰσθήσει μετὰ λογισμοῦ χρώμενον· οἷον ἐστὶ τὸ Ἀστρονομεῖν, συμφώνους τοῖς φαινομένοις τοὺς λόγους ἐπιδεικνύμενον· καὶ οὕτως ἡ ὅλη τῆς θεωρίας ἐνέργεια, ἄνωθεν ἀπὸ τῶν καθαρῶν νοήσεων, ἐπὶ τοὺς μετ᾽ αἰσθήσεως λογισμοὺς προχωρεῖ. Τὸ μὲν οὖν Θεωρεῖν, οὕτως ἔχον ἐστί. Τὸ δ᾽ ὁμωνυμοῦν τῷ γένει Ποιεῖν, ἐν τῷ τὰ μηδέπω τοῦ εἶναι μετέχοντα, εἰς τὸ εἶναι ἄγειν ὑφέστηκε. Τοῦτο δὲ κυρίως καὶ ἀληθῶς, ἐν μόνῳ τῷ Θεῷ ἐστι, τῷ πάντα τὰ ὄντα ἐκ μὴ ὄντων παραγαγόντι τὸ πρῶτον, καὶ αὖθις ἐξ ὄντων τὰ μὴ ὄντα παράγοντι. Λέγονται δὲ καὶ αἱ Τέχναι ποιεῖν, τὰ χρήσιμα πρὸς τὴν αὐτάρκειαν τοῦ βίου παρασκευάζουσαι. Τὸ δὲ Πράττειν, ἐπὶ τοῦ προαιρεῖσθαι καὶ βουλεύεσθαι καὶ δογματίζειν καὶ τῶν ὁμοίων λαμβάνεται. Τινὲς δὲ Ποιητικὰς μὲν λέγουσι τέχνας, ὧν τὰ ἀποτελέσματα παραμένει μετὰ τὴν ποίησιν· ὡς ἔχει ἡ Οἰκοδομικὴ καὶ Ναυπηγική· Πρακτικὰς δὲ, ὧν τὰ ἀποτελέσματα ἐν τῷ γίνεσθαι τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶναι ἔχοντα, οὐ παραμένει· ὡς ἐπὶ τῆς Αὐλητικῆς ἐστιν ὁρᾶν καὶ Ὀρχηστικῆς.

Θεωρεῖται δὲ καὶ ἐν ἀψύχοις τὸ Ποιεῖν, ὥσπερ δὴ καὶ τὸ Πάσχειν· οἷον τὸ Πῦρ θερμαίνει, καὶ ὁ Κρύσταλλος ψύχει, καὶ τὸ Ξύλον τέμνεται, καὶ ὁ Λίθος θερμαίνεται, καὶ αὖθις ψύχεται. Τοῦ Πάσχειν δὲ, τὸ μὲν ἐστι φθαρτικὸν, ὡς τὸ καίεσθαι· τὸ δὲ τελειωτικὸν, ὡς τὸ μανθάνειν, καὶ γινώσκειν, καὶ αἰσθάνεσθαι. Εἰ δὲ τὸ Ποιεῖν καὶ Πάσχειν σχέσιν ἔχει πρὸς ἄλληλα, ὡς τὸ θερμαίνειν καὶ τὸ θερμαίνεσθαι· ἀλλ᾽ ἕκαστον χρὴ, καθὸ λέγεται, κατὰ τοῦτο καὶ ἀνάγειν ἐπὶ [τὸ] γένος. Ἔστι τοίνυν καὶ τὸ ποιεῖν καθ᾽ αὑτὸ κεχωρισμένον τῶν πρός τι, καὶ τὸ πάσχειν ὡσαύτως. Καθάπερ δ᾽ ἐν Οὐσίᾳ τὸ Πρός τι ἐφαίνετο, κατὰ τὸ πατὴρ καὶ υἱὸς· κἀν τῷ Ποσῷ, κατὰ τὸ ἴσον καὶ ἄνισον· κἀν τῷ Ποιῷ, κατὰ τὸ ὅμοιον καὶ ἀνόμοιον· οὕτω δὴ κἀν τῷ Ποιεῖν καὶ τῷ Πάσχειν· καὶ οὐδὲν ἄτοπον τὸ αὐτὸ καὶ ἓν ὑπὸ δύω κατηγορίας τελεῖν, κατά τε τὴν καθ᾽ αὑτὸ ὑπόστασιν, καὶ κατὰ τὴν πρὸς ἕτερον σχέσιν νοούμενον.

Ἀλλ᾽ οὐδ᾽ ἐναντίωσιν ἔχει τὸ Ποιεῖν καὶ τὸ Πάσχειν πρὸς ἄλληλα, κἂν ἀντιθέτοις χρῶνται φωναῖς. Ἐναντίωσιν μέντοι καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἕκαστον [αὐτῶν] ἐπιδέχεται. τὸ γὰρ θερμαίνειν, ἐναντίον τῷ ψύχειν· καὶ μᾶλλόν ἐστι θερμαίνειν, καὶ ἧττον. Καὶ πάλιν τὸ θερμαίνεσθαι, ἐναντίον τῷ ψύχεσθαι· καὶ μᾶλλον θερμαίνεσθαι δυνατὸν, καὶ ἧττον θερμαίνεσθαι. τὸ δέ γε θερμαίνειν, οὐκ ἠναντίωται τῷ θερμαίνεσθαι· οὔτε τὸ ψύχειν, τῷ ψύχεσθαι· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Περὶ μὲν οὖν τοῦ Ποιεῖν καὶ Πάσχειν, ἐπὶ τοσοῦτον εἰρήσθω.

Τὸ δ᾽ Ἔχειν ἁπλῶς μὲν λεγόμενον, ὁμώνυμος φωνή ἐστι. Περιέχει μὲν γὰρ καὶ τὴν κατηγορίαν αὐτὴν· δηλοῖ δὲ καὶ ἄλλα τινά. Λέγεται γὰρ ἔχειν, ὡς ἕξιν καὶ διάθεσιν, ἢ ἄλλην τινὰ ποιότητα· οὕτω λέγομεν ἔχειν τινὰ, Ἐπιστήμην καὶ Ἀρετὴν, ἢ λευκότητα, ἢ ὠχρότητα· ὡς Ποσὸν, καθὸ λέγεταί τις ἔχειν Μέγεθος, τετράπηχυ τυχὸν ἢ πεντάπηχυ· ὡς τὰ περὶ Σῶμα, οἷον Ἱμάτιον ἔχειν ἢ Χιτῶνα· ὡς ἐν Μορίῳ, οἷον Δακτύλιον ἔχειν ἐν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χειρί· ὡς Μέρος, οἷον Πόδας ἔχειν, καὶ Χεῖρας, καὶ Κεφαλήν· ὡς ἐν Ἀγγείῳ, καθάπερ ὁ Μέδιμνος ἔχειν λέγεται τοὺς Πυροὺς, καὶ ὁ Ἀμφορεὺς τὸ Ὕδωρ· ὡς Κτῆμα· λέγομεν γὰρ Οἰκίαν ἔχειν ἢ Ἀγρόν. Λέγεται δὲ καὶ γυναῖκα ἔχειν ὁ Ἀνὴρ, καὶ ἡ Γυνὴ ἄνδρα. Οὗτος δ᾽ ὁ τρόπος ἀλλοτριώτατος ἔοικεν εἶναι τοῦ ἔχειν· οὐδὲ γὰρ ἄλλο τὸ ἔχειν ἐνταῦθα, ἢ τὸ συνοικεῖν δηλοῖ. Ταῦτα μὲν περὶ τῆς τοῦ ἔχειν ὁμωνύμου φωνῆς.

Ὅθεν ἀποδιαιροῦντες τὴν κατηγορίαν τοῦ Ἔχειν οἱ Φιλόσοφοι τῶν ἄλλων σημαινομένων, οὕτω φασίν. Ἔχειν ἐστὶν, οὐσίας περὶ οὐσίαν περίθεσις. Εἴτι γοῦν σῶμα ἐπίκλητον, ὡς ἕτερον ἐν ἑτέρῳ περίκειται, πᾶν τὸ τοιοῦτον τῇ ἔχειν κατηγορίᾳ περιλαμβάνουσι· διὸ οὐδὲ Κτήματα, ἢ Ἀνδράποδα, ἢ Φίλους, ἢ Πατέρας, ἢ Υἱοὺς, ἢ τὰ μέρη τοῦ σώματος, κατὰ τοῦτο τὸ γένος ἔχειν φασίν· ὅτι μηδ᾽ ἐν περιθέσει ταῦτά ἐστιν. Ἐνθεντοι καὶ τὸ Ἔχειν, καὶ τὸ Κεκτῆσθαι, διαλλάττουσι κατὰ Πλάτωνα· οἷον εἴτις Ἱμάτιον πριάμενος, καὶ ἐγκρατὴς ὢν μὴ φοροίη, κεκτῆσθαι μὲν λεχθείη ἄν· ἔχειν δ᾽ οὐδαμῶς. Τὰ τοίνυν κατὰ τὸ κατηγορικὸν Ἔχειν ἐχόμενα, ἢ κατὰ Πόλεμον ἔχεται, ἢ ἐν Εἰρήνῃ. Καὶ τῶν κατὰ Πόλεμον, τὰ μὲν Περικείμενά ἐστι, τὰ δὲ Κατεχόμενα· καὶ τὰ μὲν Φυλάγματα, τὰ δ᾽ Ἀμυντήρια· Φυλάγματα μὲν, ὡς Θώραξ, Κράνος, Ἀσπὶς· Ἀμυντήρια δὲ, ὡς Δόρυ, Ξίφος, Τόξον. Τῶν δ᾽ ἐν Εἰρήνῃ, τὰ μὲν διὰ Κόσμον κατὰ διάφορα μέρη τοῦ σώματος ἔχεται· ὡς Στέφανος, Περιδέραιον, Δακτύλιος· τὰ δὲ διὰ Σκέπην· καὶ τούτων, τὰ μὲν περὶ τὸ Πολὺ τοῦ σώματος, ὡς Ἱμάτιον· τὰ δὲ περὶ Μέρος, ὡς Ὑποδήματα· τινὰ δὲ, καὶ ὡς Ὄργανα· οἷον τὸ Σκέπαρνον· τινὰ καὶ ἄλλως· ὡς Κτήματα, ὡς Ἀργύριον, ἢ ἄλλο τι, ὃ πολλάκις κατέχομεν. Δεῖ δὲ πᾶν τὸ κυρίως ἔχον, κατὰ προαίρεσιν ἔχειν. Ὅθεν οὐδὲ κυρίως λέγοιντ᾽ ἂν ἔχειν τὰ ἄψυχα, κατὰ τὸ σημαινόμενον τῆς κατηγορικῆς τοῦ ἔχειν φωνῆς. Ἀντίκειται δὲ τῷ Ἔχειν Στέρησίς τις· ὡς λέγομεν, Γυμνὸς, Ἀνυπόδητος, Ἄοπλος. τοσαῦτα καὶ περὶ τοῦ Ἔχειν. Περὶ δὲ τῶν λοιπῶν κατηγοριῶν, ὡς προδή-

λων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λων καὶ ἀποικίλων, ἱκανὰ καὶ ἅπερ ἐν τοῖς προηγησαμένοις ἐῤῥέθησαν.

**Τὸ Ποιεῖν**
- Εἰς τὸ Θεωρεῖν, ἤτοι Νοεῖν.
- Καὶ τὸ Ποιεῖν, ἤτοι Οἰκοδομεῖν.
- Καὶ τὸ Πράττειν, οἷον Προαιρεῖσθαι, Βελεύεσθαι.

**Τὸ Πάσχειν**
- Τὸ μὲν Φθαρτικὸν, ὡς τὸ Καίεσθαι.
- Τὸ δὲ Τελειωτικὸν, ὡς τὸ Μανθάνειν ἢ Αἰσθάνεσθαι.

**Τὸ Ἔχειν**
- Ὡς Ἕξιν καὶ Διάθεσιν, ἢ ἄλλην Ποιότητα.
- Ὡς Ποσὸν, οἷον ἔχειν Μέγεθος.
- Ὡς τὰ περὶ τὸ Σῶμα, οἷον Ἱμάτιον.
- Ὡς ἐν Μορίῳ, ὡς Δακτύλιον.
- Ὡς Μέρος, ὡς Χεῖρα, ἢ Πόδα.
- Ὡς ἐν Ἀγγείῳ, οἷον ὁ Μέδιμνος τὰς Πυρὰς.
- Ὡς Κτῆμα, οἷον Ἀγρόν.
- Ὡς Γυναῖκα, ἢ Ἄνδρα, ὃ ἐστι συνοικεῖν.

**Τὸ κατηγορικὸν Ἔχειν**
- Τὰ μὲν κατὰ Πόλεμον.
  - Τὰ μὲν Περικείμενά εἰσιν, ὡς τὰ Φυλάγματα, οἷον Ἀσπίς.
  - Τὰ δὲ Κατεχόμενα, ὡς τὰ Ἀμυντήρια, οἷον Ξίφος.
- Τὰ δὲ ἐν Εἰρήνῃ.
  - Τὰ μὲν διὰ Κόσμον, ὡς Στέφανος, Περιδέραιον.
  - Τὰ δὲ διὰ Σκέπην· ὧν
    - Τὰ μὲν περὶ τὸ Πολὺ τοῦ σώματος, ὡς Ἱμάτιον.
    - Τὰ δὲ περὶ Μέρος, ὡς Ὑποδήματα.

# ΚΕΦΑΛΑΙΟΝ ΚΕ.

## Περὶ Ἀντικειμένων.

Ἀντικείμενά ἐστιν, ὅσα περὶ τὸ αὐτὸ ἅμα καὶ κατὰ τὸ αὐτὸ τοῦ πράγματος, ἢ πρὸς τὸ αὐτὸ ἔξωθεν ἐξεταζόμενα, συνυπάρξαι οὐ δύναται. Ταῦτα δὲ, Ἢ ἐν λόγοις ἀντίκειται, Ἢ ἐν πράγμασι. Καὶ εἰ μὲν ἐν Λόγοις, Κατάφασίς ἐστι καὶ Ἀπόφασις. Εἰ δ' ἐν Πράγμασιν, Ἢ κατὰ σχέσιν λέγεται, Ἢ οὐ κατὰ σχέσιν. Καὶ κατὰ Σχέσιν μέν ἐστι τὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρός τι. Τὰ δὲ μὴ κατὰ Σχέσιν λεγόμενα, Ἢ μεταβάλλει εἰς ἄλληλα, τοῦ δεκτικοῦ δηλονότι ὑπάρχοντος, καὶ εἰσὶν Ἐναντία· Ἢ οὐ μεταβάλλει εἰς ἄλληλα, καὶ ἔστιν Ἕξις καὶ Στέρησις. Ἡ μὲν γὰρ Ἕξις, μεταβάλλει εἰς Στέρησιν· Ἡ στέρησις δὲ εἰς Ἕξιν οὐ μεταβάλλει.

Τετραχῶς τοίνυν τὰ Ἀντικείμενα λέγεται, Ἢ ὡς τὰ Πρός τι, οἷον Διπλάσιον, Ἥμισυ· Ἢ ὡς τ᾽ Ἀναντία, οἷον Λευκὸν Μέλαν· Ἢ ὡς Ἕξις καὶ Στέρησις, οἷον Ὄψις καὶ Τυφλότης· Ἢ ὡς Κατάφασις καὶ Ἀπόφασις· οἷον Ἄνθρωπος κάθηται, Ἄνθρωπος οὐ κάθηται.

Τὰ μὲν οὖν Πρός τι [καὶ] συνεισάγουσιν ἄλληλα καὶ συναναιροῦσι, καὶ αὐτὰ ἅπερ ἐστὶ, τῶν Ἀντικειμένων αὐτοῖς εἶναι λέγεται· ἢ ὁπωσοῦν ἄλλως πρὸς αὐτά.

Τὰ δ᾽ Ἐναντία, Ἢ εἴδη καὶ ἄμφω εἰσὶν, ὡς Λευκὸν καὶ Μέλαν, Ψυχρόν τε καὶ Θερμὸν καὶ τὰ ὅμοια· Ἢ θάτερον θατέρου ἐσχάτη ἀπόπτωσίς ἐστιν, ὡς Δειλία, καὶ Ἀδικία. ἡ μὲν γὰρ τῆς Ἀνδρείας, ἡ δὲ τῆς Δικαιοσύνης τελέως ἐξέπεσεν· καὶ ὅλως τὸ Κακὸν, εἶδος μὲν καὶ ὅρος οὐκ ἔστιν· ἔκπτωσις δὲ τελεία τοῦ Ἀγαθοῦ. Ὅταν μὲν οὖν αὐτὸ σκοπῶμεν ὡς πεφυκὸς ἀνακάμπτειν πρὸς τὸ εἶδος, Ἐναντίον ἐστίν. ὅταν δὲ μηδαμῶς ἀνακάμπτειν δύνηται, τότε λέγεται Στέρησις.

Ἔτι τῶν ἐναντίων, τὰ μέν ἐστιν Ἄμεσα, τὰ δὲ Μεσωτὰ, εἴτουν ἔμμεσα. Καὶ Ἄμεσα μέν ἐστιν, ὧν ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ. Ἔμμεσα δὲ, ὧν οὐκ ἐξ ἀνάγκης ὑπάρχει θάτερον.

Τῶν δ᾽ ἀμέσων Ἐναντίων, τὰ μέν ἐστιν Οὐσιώδη, τὰ δ᾽ Ἐπουσιώδη. [καὶ] Οὐσιώδη μὲν, ὡς ἐπ᾽ Ἀριθμοῦ, τὸ Ἄρτιόν τε καὶ Περιττόν· οὐδὲ γὰρ δυνατὸν ἐπινοῆσαι κεχωρισμένον τοῦ ἀρτίου τὸν ἐξ ἀριθμὸν, ἢ τοῦ περιττοῦ τὸν ἑπτὰ, διὰ τοῦτο καὶ οὐσιώδη λέγεται. Ἄρτιος δέ ἐστιν ὁ δίχα διαιρούμενος Ἀριθμός· ὁ δὲ μὴ διαιρούμενος δίχα, λέγεται Περιττός. Τὰ μὲν οὖν οὐσιώδη τῶν ἀμέσων ἐναντίων, τοιαῦτα. Τὰ δ᾽ ἐπουσιώδη εἰσὶ, ὅσα δύναται χωρὶς τῆς φθορᾶς τοῦ δεκτικοῦ γίνεσθαί τε καὶ ἀπογίνεσθαι· οἷον Ὑγιεία καὶ Νόσος. ἐν ταῦθα δὲ νόσον ἐκληπτέον, τὴν ὁπωσοῦν δή

τινα τῆς Φύσεως ὑποπίπλουσαν αἰσθήσει παρατροπήν. Οὕτω μὲν οὖν τῶν Ἐναντίων τὰ ἄμεσα.

Τῶν δ᾿ Ἐμμέσων λεγομένων καὶ μεσωτῶν, Ἢ ἀμφότερα δύναται ἀπεῖναι τοῦ ὑποκειμένου· ὡς τὸ λευκὸν καὶ τὸ μέλαν τοῦ Σωκράτους· (δυνατὸν γὰρ εἶναι τὸν Σωκράτην, μήτε μέλανα, μήτε λευκὸν, ἀλλ᾿ ὠχρὸν ἢ φαιὸν.) Ἢ θάτερον μὲν τῶν ἐναντίων ἄπεστι, τὸ δὲ λοιπὸν πάντως ὑπάρχει, διὰ τὸ προκατειλῆφθαι τὸ εἶδος ὑπ᾿ ἐκείνου· οἷον τὸ μὲν Λευκὸν ὑπάρχει Κύκνῳ, καὶ Χιόνι καὶ Τιτάνῳ, ἄπεστι δὲ τὸ Μέλαν· Κόρακι δὲ καὶ Ἐβένῳ καὶ Πίσσῃ τὸ Μέλαν ὑπάρχει, ἄπεστι δὲ τὸ Λευκόν. Τὸ μέσον δὲ τῶν ἐμμέσων ἐναντίων, Ἢ καὶ ἀμφοτέρων μετέχει τῶν ἄκρων, ὅτε καὶ κατωνόμασται, ὡς τὸ Χλιαρόν· Ἢ οὐδετέρου τῶν ἄκρων, ὅτε καὶ ἀκατονόμαστόν ἐστι, μόνῃ τῇ τῶν ἄκρων ἀποφάσει δηλούμενον· ὡς τὸ Μέσον τοῦ Δικαίου καὶ Ἀδίκου· λέγεται γὰρ τοῦτο, οὐδὲ δίκαιον, οὐδὲ ἄδικον· τοιοῦτον τὸ Βρέφος, οὔτε δίκαιον οὔτε ἄδικον. Τινὲς δὲ τῶν νεωτέρων, τὸ μέσον ἀγαθοῦ καὶ κακοῦ θεωρούμενον ὁπωσοῦν, ἐκάλεσαν, Ἀδιάφορον. Ἀρχύτας δὲ καὶ τοῖς Πρός τι, μεσότητας δείκνυσι· μεταξὺ γὰρ Δεσπότου καὶ Δούλου, τίθησι τὸ Ἐλεύθερον· καὶ Μείζονος καὶ Ἐλάττονος, τὸ Ἴσον· καὶ Πλατέος καὶ Στενοῦ, τὸ ἐφαρμόζον. Ἐπιστητέον δ᾿ ὅτι τῶν Ἐναντίων αἱ περιοχαὶ πρός τι εἰσι· τὸ γὰρ ἐναντίον ἐναντίῳ ἐναντίον· τὰ δὲ περιεχόμενα, οὐ κοινωνοῦσι τοῖς πρός τι. Ἔτι τῶν ἐμμέσων Ἐναντίων, τὰ μὲν ἓν ἔχει μέσον· τὰ δὲ πολλά. Θερμὸν γὰρ καὶ ψυχρὸν, [ἓν] ἔχει μέσον μόνον τὸ Χλιαρόν· Λευκὸν δὲ καὶ Μέλαν, ἔχει τὸ Φαιὸν, τὸ Ὠχρὸν, τὸ Ξανθὸν, τὸ Ἐρυθρὸν, τὸ Πυῤῥὸν καὶ ἕτερα.

Τρία δέ τινα τοῖς Ἐναντίοις παρέπεται. Πρῶτον, ὅτι τὸ μὲν Ἀγαθὸν, ἐναντίον τῷ Κακῷ· τὸ δὲ Κακὸν τῷ τε Ἀγαθῷ καὶ ἄλλῳ Κακῷ· οἷον ἐναντία μὲν ἡ Σωφροσύνη τῇ τε Ἀκολασίᾳ καὶ Ἠλιθιότητι· (κακίαι γὰρ καὶ ἄμφω.) ἡ δ᾿ Ἀκολασία ἐναντιοῦται μὲν καὶ τῇ Σωφροσύνῃ, ἐναντιοῦται δὲ καὶ τῇ Ἠλιθιότητι· καὶ οὐκ ἔστιν ἄδικος ἡ Φύσις, δύω ἐναντία ἑνὶ ἀντιτάξασα· ἓν γὰρ ἀντιτέτα-



ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κται τῷ ἑνὶ, ἡ Συμμετρία, τῇ Ἀσυμμετρίᾳ. Ἡ μὲν γὰρ Σωφροσύνη μεσότης οὖσα, Συμμετρία ἐστίν· ἡ δ' Ἠλιθιότης καὶ ἡ Ἀκολασία ἄκρα οὖσαι, Ἀσυμμετρίαι εἰσίν· ἡ μὲν γάρ ἐστιν Ὑπερβολὴ, ἡ δ' Ἔλλειψις· ἐναντιοῦται γοῦν ἡ Συμμετρία τῇ Ἀσυμμετρίᾳ, ὡς Ἀγαθὸν Κακῷ. Τὰ δ' ἄκρα, ἐναντιοῦται ἀλλήλοις, ὅτι πλεῖστον ἀπ' ἀλλήλων διέστηκε. Καὶ τῷ μὲν Κακῷ, ἐναντιοῦται Κακὸν· τὸ δ' Ἀγαθὸν, οὐκ ἔστιν ἐναντίον τινὶ Ἀγαθῷ· ἓν γάρ ἐστι τὸ ἀγαθὸν καὶ ἁπλοῦν· τὸ δὲ Κακὸν, ποικίλον τε καὶ πολυειδές.

Δεύτερον τῶν Ἐναντίων παρακολούθημα, ὅτι τἀναντία δύναται συνυπάρχειν ἀλλήλοις, ἐν Γένει καὶ Εἴδει· Γένει μὲν, ὡς τῷ Ζώῳ· εἴδει δὲ, ὡς τῷ Ἀνθρώπῳ. λέγομεν γὰρ τῶν Ζώων τὰ μὲν εἶναι λευκὰ, τὰ δὲ μέλανα· καὶ τῶν Ἀνθρώπων τοὺς μὲν ὑγιαίνειν, τοὺς δὲ νοσεῖν. Ἐν ἀτόμῳ δὲ τἀναντία συνυπάρχειν ἀλλήλοις καθ' ἕνα τρόπον οὐ δύναται· καὶ γὰρ οὐκ ἔστι τὸν Σωκράτην ὑγιαίνειν καὶ νοσεῖν ἅμα· ἢ καθ' ἓν μόριον, ἐν ταυτῷ, θερμαίνεσθαί τε καὶ ψύχεσθαι.

Τρίτον, ὅτι Τἀναντία, Ἢ ὑπὸ τὸ αὐτὸ Γένος εἰσὶν, ὡς τὸ Λευκὸν καὶ τὸ Μέλαν ὑπὸ τὸ Χρῶμα· Ἢ ὑπὸ τἀναντία Γένη, ὡς Δικαιοσύνη καὶ Ἀδικία, ὑπὸ τὴν Ἀρετὴν, καὶ ὑπὸ τὴν Κακίαν· Ἢ αὐτὰ δὴ Τἀναντία, Γένη εἰσὶν, ὡς τὸ καθόλου Ἀγαθὸν, καὶ τὸ καθόλου Κακόν· ταῦτα γὰρ ἐναντία ὄντα Γένη εἰσίν.

Εἰδέναι δὲ δεῖ, ὅτι τῶν ἀλλήλοις Ἐναντίων, ἓν τὸ ἀνωτάτω γένος ἐστίν· οὔτε γὰρ ἡ Ἀρετὴ καὶ ἡ Κακία, πρῶτα γένη εἰσίν, (ἄνω γὰρ αὐτῶν ἕξις τε καὶ διάθεσις.) οὔτε τὸ καθόλου Ἀγαθὸν, καὶ τὸ καθόλου Κακόν· ἀλλὰ καὶ ταῦτα συνάπτονται ἢ συνάγονται τῷ Ποιῷ· καὶ ἔστι τὸ Ποιὸν Γένος πάντων αὐτῶν γενικώτατον. Τοσαῦτα περὶ Ἐναντίων.

Ἕξις δὲ καὶ Στέρησις, λέγεται πολλαχῶς. Καθ' ἕνα μὲν γὰρ τρόπον, Ἕξις λέγεται, ἡ τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου ἐνέργεια. Ἕξις γὰρ ἱματίου λέγεται, ὅταν ὁ μὲν ἔχῃ, τὸ δ' ἔχηται ὑπὸ τοῦ ἔχοντος· καὶ ἕξιν ὅπλων εἶπέ που Πλάτων, ἐπὶ τοῦ ἔχοντος ὅπλα. Καθ' ἕτερον δὲ τρόπον Ἕξεις λέγομεν, τὰς ἐπικτήτους ποιότητας, ἐμμό-

νους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νους γεγονυίας· τάς τε φυσικὰς, καὶ τὰς κατ' Ἐπιστήμην ἢ Τέχνην, καθ' ἃς οἱ ἐν αὐταῖς, ἑκτικοὶ λέγονται· κατὰ τοῦτο δὲ καὶ τὰς τελείας Ἀρετὰς ὀνομάζομεν ἕξεις. Ἕξις καλεῖται καὶ ἡ Φυσικὴ κατασκευὴ, ὅταν ἔμμονος ᾖ, ὥσπερ σωματικάς τινας ἕξεις καὶ ψυχικὰς νοοῦμεν ἐπί τινων, καὶ ἀρετὰς ἢ κακίας ἐκ Φύσεως, εἴτουν κράσεως. Λέγουσί τινες ἕξιν, καὶ τὴν τῆς Φύσεως ἐπιτηδειότητα· Λέγουσι καὶ τὴν Φυσικὴν δύναμιν· ὡς τοῦ Πυρὸς τὸ θερμαίνειν, ὅτε μὴ θερμαίνοι, καὶ τὴν Ὄψιν τοῦ καθεύδοντος. Ἔτι δὲ μᾶλλον ἡ τελικὴ ἐνέργεια Ἕξις ἐστίν· ὡς ἡ Ὅρασις ἡ ἤδη ὁρῶσα, καὶ ἡ Θερμότης ἡ ἤδη θερμαίνουσα.

Πολλαχῶς οὖν τῆς ἕξεως λεγομένης, πολλαχῶς καὶ ἡ Στέρησις λέγεται καταλλήλως τῇ ἕξει λαμβανομένη. ἡ μὲν γὰρ Ἕξις, ἀπὸ τοῦ ἔχειν εἴληπται· ἡ δὲ Στέρησις, ἀέχειά τίς ἐστιν. Ἀντίκειται γοῦν τῷ Πρώτῳ σημαινομένῳ τῆς ἕξεως, ἡ στέρησις τοῦ ἱματίου καὶ τοῦ ὅπλου· τῷ Δευτέρῳ, ἡ τῶν ἐπικτήτων ποιοτήτων ἀποβολή· τῷ Τρίτῳ, τῆς Φυσικῆς κατασκευῆς ἡ μετατροπή· τῷ Τετάρτῳ, Ἢ ὅπερ οὐδόλως πέφυκεν ἔχειν τὸ Γένος, ὡς λέγομεν τὸ μὲν Βρέφος ἔχειν ἐπιτηδειότητα πρὸς τὸ δέξασθαι τὴν Γραμματικήν· ἐστερῆσθαι δὲ τῆς ἐπιτηδειότητος ταύτης τὴν Πλάτανον, ὅτι καὶ τὸ ἅπαν Φυτόν· Ἢ ὅπερ τὸ Γένος μὲν πέφυκεν ἔχειν, τί δὲ τῶν εἰδῶν οὐκ ἔχει· ὡς τὸ Ζῶον μὲν ἔχει ἐπιτηδειότητα τοῦ ὁρᾶν, ὁ δ' Ἀσπάλαξ ταύτης ἐστέρηται· τῷ Πέμπτῳ, ἡ ἀποβολὴ τῆς καθ' ἕξιν δυνάμεως· τῷ Ἕκτῳ καὶ τελευταίῳ, τῆς τελικῆς ἐνεργείας ἡ Στέρησις.

Κυρίως δὲ καθ' Ἕξιν καὶ Στέρησιν Ἀντίθεσις, ἐπὶ μόνων λαμβάνεται τῶν κατὰ Φύσιν προσόντων τῷ εἴδει παντί. Αὕτη δὲ χαρακτηρίζεται τοῖς τρισὶ τούτοις, ὅπερ πέφυκεν ἔχειν, καὶ ὅτε πέφυκεν ἔχειν, καὶ ἔνθα πέφυκεν ἔχειν. οὔτε γὰρ ἂν τὸν Λίθον εἴποιμεν εἶναι τυφλὸν, ἐπείπερ οὐ πέφυκεν ἔχειν ὅρασιν, οὔτε τὸ ἀρτιγενὲς Βρέφος κυρίως νωδὸν, διὰ τὸ μὴ πεφυκέναι κατὰ τὸν καιρὸν τοῦτον ἔχειν ὀδόντας, οὔτέ τις λέγοιτο τυφλὸς, ὅτι μὴ ὁρᾷ τῷ ποδί· καὶ γὰρ ὁ ποὺς, ἀνεπίδεκτος ὄψεως. Τότε τοιγαροῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ οὖν κυρίως Στέρησις λέγεται, ὅτε φύσις δεκτικὴ τῆς ἕξεως, κατὰ τὸν ἐπιτήδειον χρόνον, ἐν μορίῳ τῷ πρέποντι, τῆς ἕξεως ταύτης ἐστέρηται· ὡς ὁ ἐκ γενετῆς Τυφλός, ἢ ὁ διά τι πάθος ὑποστὰς ἀβλεψίαν ἐνιαυτόν. Αὕτη δὲ ἡ Στέρησις, καὶ τοῦ δυνάμει ἐστίν· εἰ γὰρ οὐκ ἦν τοῦ δυνάμει, ἤγετ' ἂν εἰς τὸ ἐνεργείᾳ ποτέ. Οὐ λέγεται δέ ποτε Στέρησις τοῦ κακοῦ τε καὶ βλαβεροῦ, ἀλλὰ τοῦ ἀγαθοῦ καὶ χρησίμου.

Χρὴ δὲ μὴ πρὸς τὴν λέξιν ἀφορῶντας, κρίνειν τὴν στέρησιν. Τινὰ μὲν γὰρ καὶ τοὔνομα καὶ τὸ πρᾶγμα στερητικὸν ἔχει· ὥσπερ τὸ Ἀναίσθητον ἐπὶ τοῦ ἀποπλήκτου λεγόμενον. Τινὰ δὲ τὸ μὲν ὄνομα στερητικὸν ἔχει, τὸ πρᾶγμα δὲ οὐδαμῶς· ὡς τὸ Ἀσώματον καὶ Ἀθάνατον. Τινὰ δὲ τὸ πρᾶγμα μὲν ἔχει στερητικόν, οὐ μὴν ἤδη καὶ τοὔνομα· ὡς Τυφλὸς καὶ Κωφός. Ταῦτα περὶ Ἕξεως καὶ Στερήσεως.

Κατάφασις δὲ καὶ Ἀπόφασις τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος ἀπαρτίζουσι τὴν Ἀντίφασιν. Ἀντίφασις δέ ἐστιν, ἡ ἀντικειμένη φάσις. Κατάφασις μὲν οὖν ἐστι, τὸ εἰπεῖν τί τινι ὑπάρχει· οἷον Πέτρος περιπατεῖ· ἤγουν ὑπάρχει τῷ Πέτρῳ τὸ περιπατεῖν. Ἀπόφασις δέ, τὸ εἰπεῖν τί τινι οὐχ ὑπάρχει· οἷον Πέτρος οὐ περιπατεῖ· ἤγουν, τῷ Πέτρῳ οὐχ ὑπάρχει τὸ περιπατεῖν. Κατάφασις [μὲν] οὖν καὶ Ἀπόφασις, διαιρεῖν δύνανται τὸ Ψεῦδος καὶ τὴν Ἀλήθειαν. Τὰ δ' ἄλλως ἀντικείμενα τοῦτο οὐ δύνανται· φωναὶ γάρ εἰσιν ἁπλαῖ, καὶ οὔτε ἀληθεύουσιν, οὔτε ψεύδονται, καθ' αὑτὰ δηλαδὴ προφερόμενα· συμπλακέντα δὲ δύναταί ποτε, καθὸ καταφάσεις (καὶ ἀποφάσεις) διαιρῆσαι τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος, ἐπί τινων ὄντων· ἐπὶ μὴ ὄντων δὲ οὐδαμῶς· οἷον Σωκράτης ὑγιαίνει, Σωκράτης νοσεῖ· ὄντος μὲν γὰρ τοῦ Σωκράτους, ἔσται τὸ μέν, ἀληθές· τὸ δέ, ψευδές· μὴ ὄντος δέ, ἀμφότερα ψευδῆ· μὴ ὢν γὰρ ὁ Σωκράτης, οὔθ' ὑγιαίνει οὔτε νοσεῖ. Καὶ οὕτω δὲ μετὰ συμπλοκῆς, τὰ τοιαῦτα τῶν ἀντικειμένων προφερόμενα, οὐδ' ἐπὶ πάντων τῶν ὄντων, τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος διαχωρίζουσιν· οὐδὲ γὰρ ἂν ἡ Ψυχὴ δεξιὰ ἢ ἀρι-

στερὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στερχὲ λεχθείη ποτὲ, οὐδὲ τὸ ἀρτιγέννητον παιδίον, νωδὸν ἢ ὀδόντας ἔχον, οὐδὲ μέλας ἢ λευκὸς ὁ Ἀήρ. Ἡ δὲ Κατάφασις καὶ [ἡ] Ἀπόφασις, ἐπὶ πάντων τῶν ὄντων τε καὶ μὴ ὄντων διαιροῦσι τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος ἀεί. Ἐὰν γὰρ εἴπωμεν, ὁ ἀὴρ μέλας ἐστὶν, ὁ ἀὴρ μέλας οὐκ ἔστι, διείλομεν τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος. Ψεῦδος μὲν γὰρ, ὅτι μέλας ἐστὶν ὁ ἀὴρ, ἐπείπερ καὶ ἀχρωμάτιστος· Ἀληθὲς δὲ ὅτι οὐκ ἔστι μέλας· εἰ γὰρ χρῶμα τὸ μέλαν, ὁ μὴ ἔχων χρῶμα, μέλας οὐκ ἔστιν· ὥσπερ οὐδὲ λευκὸς ἢ κεχρωσμένος ὅλως. Οὕτω δὴ κἂν εἴπωμεν Σωκράτης νοσεῖ, Σωκράτης οὐ νοσεῖ, διαιροῦμεν τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος· κἄν τε εἴη ὁ σωκράτης, κἄν τε μὴ εἴη. Εἰ μὲν γάρ ἐστιν, ἢ νοσεῖ, ἢ οὐ νοσεῖ· εἰδ' οὐκ ἔστι, πάντως οὐδὲ νοσεῖ. Κἀπὶ τῶν μηδὲ τὴν ἀρχὴν ὑποστάντων, ὡσαύτως· οἷον Κένταυρός ἐστι, Κένταυρος οὐκ ἔστι· τὸ μὲν γὰρ ἓν ἐξ αὐτῶν, ἀληθές· τὸ δὲ ἕτερον, ψεῦδος ἐξ ἀνάγκης.

**Τὰ Ἀντικείμενα**
- Ἢ ἐν Λόγοις, καὶ ποιεῖ Κατάφασιν καὶ Ἀπόφασιν, οἷον κάθηται, οὐ κάθηται.
- Ἢ ἐν Πράγμασιν
  - Ἢ κατὰ Σχέσιν, καὶ ποιεῖ τὰ Πρός τι, ὡς Πατὴρ Υἱός.
  - Ἢ οὐ κατὰ Σχέσιν
    - Ἢ μεταβάλλει εἰς ἄλληλα τοῦ δεκτικοῦ ὑπάρχοντος, καὶ ποιεῖ τὰ Ἐναντία, ὡς Θερμὸν καὶ Ψυχρόν.
    - Ἢ οὐ μεταβάλλει εἰς ἄλληλα, καὶ ἔστιν Ἕξις καὶ Στέρησις, ὡς Ὄψις καὶ Τυφλότης.

**Τὰ Ἀντικείμενα**
- Ἢ ὡς Κατάφασις καὶ Ἀπόφασις.
- Ἢ ὡς τὰ Πρός τι.
- Ἢ ὡς τὰ Ἐναντία.
- Ἢ ὡς Ἕξις καὶ Στέρησις.

**Τὰ Ἐναντία**
- Ἢ εἴδη καὶ ἄμφω εἰσὶν, ὡς Ψυχρὸν καὶ Θερμόν.
- Ἢ θάτερον θατέρου ἐσχάτη ἀπόπτωσις, ὡς Δικαιοσύνη καὶ Ἀδικία.

Τῶν

**Τῶν Ἐναντίων**
- Τὰ μὲν ἐστιν Ἄμεσα· ἤγουν τούτων
  - Τὰ μὲν Οὐσιώδη, ὡς Περιττὸς καὶ Ἄρτιος.
  - Τὰ δ' Ἐπουσιώδη, ὡς Νόσος καὶ Ὑγιεία.
- Τὰ δὲ Μεσολαβούμενα, ἤγουν Ἔμμεσα· καὶ ταῦτα,
  - Ἢ ἀμφότερα δύναται ἀπεῖναι τοῦ ὑποκειμένου, ὡς τὸ λευκὸν καὶ μέλαν τοῦ Σωκράτους.
  - Ἢ θάτερον μὲν τῶν Ἐναντίων ἄπεστι, τὸ δὲ λοιπὸν πάντως ὑπάρχει, διὰ τὸ προκαταλῆφθαι τὸ εἶδος ὑπ' ἐκείνου, ὡς τῷ Πυρὶ ἡ θερμότης.

**Τῶν Ἐμμέσων Ἐναντίων**
- Τῶν μέν, τὸ μέσον ἑκατέρου μετέχει τῶν ἄκρων, ὡς τὸ Χλιαρόν.
- Τῶν δέ, τὸ Μέσον οὐδετέρου μετέχει τῶν ἄκρων, ὡς τὸ Μέσον τοῦ Δικαίου καὶ τοῦ Ἀδίκου, οὔτε δίκαιον οὔτε ἄδικον.

**Ἔτι τῶν Ἐμμέσων Ἐναντίων.**
- Τὰ μὲν ἓν ἔχει Μέσον, ὡς τὸ Θερμὸν καὶ τὸ Ψυχρόν, τὸ Χλιαρόν.
- Τὰ δέ, πλείω· ὡς μέσον Λευκοῦ καὶ Μέλανος, τὸ Φαιόν, τὸ Πυῤῥόν, τὸ Ξανθόν, καὶ ἄλλα.

**Ἡ Ἕξις**
- Ἡ τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου Ἐνέργεια, ὡς Ἕξις ἱματίου ἢ ὅπλου.
- Ἡ ἐπίκτητος ποιότης, ὅταν ἔμμονος ᾖ, ὡς Ἐπιστήμη καὶ Ἀρετή.
- Ἡ φυσικὴ κατασκευή, ἤτουν κρᾶσις, ὅταν ἔμμονος ᾖ.
- Ἡ τῆς Φύσεως ἐπιτηδειότης.
- Ἡ φυσικὴ δύναμις, ὡς τοῦ Πυρὸς τὸ θερμαίνειν, ὅτε μὴ θερμαίνοι, καὶ ἡ Ὄψις τοῦ καθεύδοντος.
- Ἡ τελικὴ ἐνέργεια, ὡς ἡ Ὅρασις ἡ ἤδη ὁρῶσα.

**Ἡ Στέρησις**
- Ἡ στέρησις τοῦ ἱματίου καὶ τοῦ ὅπλου.
- Ἡ ἀποβολὴ τῶν ἐπικτήτων ποιοτήτων.
- Ἡ μετατροπὴ τῆς φυσικῆς κατασκευῆς.
- Ἡ ὅπερ οὐδόλως πέφυκεν ἔχειν τὸ Γένος, ὡς ἡ Πλάτανος δυνάμει γραμματικήν· ἢ ὅπερ πέφυκεν ἔχειν τὸ Γένος, τὶ δὲ τῶν εἰδῶν οὐκ ἔχει, ὡς ὁ Ἀσπάλαξ τὴν ὅρασιν.
- Ἡ ἀποβολὴ τῆς καθ' ἕξιν δυνάμεως.
- Ἡ στέρησις τῆς τελικῆς ἐνεργείας.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ ΚϚ´.

## Περὶ Ὀνόματος καὶ Ῥήματος.

Ὄνομά ἐστι Φωνὴ σημαντικὴ κατὰ Συνθήκην ἄνευ Χρόνου, ἧς οὐδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον. Ῥῆμά δέ ἐστι Φωνὴ σημαντικὴ κατὰ Συνθήκην προσσημαίνουσα Χρόνον, ἧς οὐδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον. Ὅτι μὲν οὖν ἔναρθροι Φωναὶ τὸ Ὄνομα καὶ τὸ Ῥῆμα, παντίπου δῆλον. Ἔναρθρος δὲ λέγεται πᾶσα τῶν ἀνθρώπων Διάλεκτος, διὰ τὸ τὰς συμπληρούσας αὐτὴν Συλλαβὰς ἄρθροις ἐοικέναι Ζώου, δυναμένοις ἀπ᾽ ἀλλήλων διακρίνεσθαι κατ᾽ ἐνέργειαν. Ὅτι δὲ καὶ σημαντικαὶ, φανερὸν καὶ αὐτό· καὶ γὰρ τὸ, Ἄνθρωπος, καὶ Ἵππος, καὶ τρέχει, καὶ διαλέγεται, καὶ τὰ τοιαῦτα, δύναμιν ἔχει σημαντικήν. Ἀλλὰ καὶ κατὰ Συνθήκην ἐστὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα· συνέθεντο γὰρ Ἕλληνες μὲν, τοῖς δε τοῖς ὀνόμασι τὰ πράγματα καλεῖν· Ἰνδοὶ δ᾽ ἑτέροις καὶ ἄλλοις Αἰγύπτιοι· καὶ οἱ αὐτοὶ δὲ τὰ αὐτὰ πράγματα, ποτὲ μὲν ἄλλοις, ποτὲ δ᾽ ἑτέροις σημαίνειν ὀνόμασιν, ὥσπερ καὶ τὰς τοιάσδε ἐνεργείας, καὶ τὰ τοιάδε πάθη, διὰ τῶνδε καὶ τῶνδε τῶν ῥημάτων ἐκφαίνειν ἐκύρωσαν. Ὅθεν οὐδὲ Φύσει τοῖς Ἀνθρώποις, τὰ Ὀνοματά ἐστι καὶ τὰ Ῥήματα· διότι τὰ φύσει παρὰ πᾶσι τὰ αὐτά. Κἂν αἱ Φωναὶ δὲ φύσει· (Φωνητικὸν γὰρ ζῶον ὁ ἄνθρωπος.) ἀλλ᾽ οὐχ ἁπλῶς φωναὶ, τὰ Ὀνόματα καὶ τὰ Ῥήματα· φωναὶ δὲ τοιῶσδε μεμορφωμέναι. Θέσει τὸ λοιπὸν εἰσὶ τὰ Ὀνόματα καὶ τὰ Ῥήματα· τέθειντα γὰρ ὑπό τινων. Εἰ μήτις λέγοι, Φύσει τρόπον ἄλλον ὑπάρχειν αὐτὰ, διὰ τὸ οἰκείως ἔχειν πρὸς τὰ πράγματα, οἷς ἐτέθησαν, καὶ τῇ τῶν πραγμάτων Φύσει καταλλήλως τεθεῖναι καὶ ἁρμοζόντως. Λέγοιντο δ᾽ ἂν κατὰ Συνθήκην Φωναὶ σημαντικαὶ, τὰ ὀνόματα καὶ τὰ ῥήματα, καὶ πρὸς ἀντιδιαστολὴν τῶν ἀνάρθρων Φωνῶν, τῶν σημαντικῶν οὐσῶν καὶ αὐτῶν· ὡς ὁ στεναγμὸς καὶ ὁ θρῆνος, Ὀδύνην σημαίνουσι· καὶ ὁ γέλως καὶ ὁ καγχασμὸς Χαρὰν, καὶ ψυχῆς διάθεσιν ὑπερβάλλουσαν. Καὶ ἄλλαι Φωναὶ

μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ κατὰ συνθήκην οὖσαι, Συλλαβῶν δηλαδὴ, πράγματα δηλοῦσι διάφορα. Λέγοιντο κατὰ Συνθήκην τὰ εἰρημένα, καὶ διὰ τὸ μὴ τὰς αὐτὰς ἐν αὐτοῖς συλλαβὰς, εἰ καὶ φύσει διωρισμέναι εἰσὶν, ἀποκεκομμένας ἀπ' ἀλλήλων εἶναι, καὶ καθ' ἑαυτὰς δῆτα προφέρεσθαι, ἀλλὰ κατὰ τὴν μετ' ἀλλήλων συνθήκην συλληπτικῶς· ὡς ἑνὸς οἱονεὶ Σώματος θεωρουμένου τοῦ Ὀνόματος ἢ τοῦ Ῥήματος, ἐκ διαφόρων ἀπαρτιζομένου μερῶν.

Τὰ μέρη δὲ τοῦ Ὀνόματος καὶ τοῦ Ῥήματος ἀπ' ἀλλήλων κεχωρισμένα, μένει ἀσήμαντα· συσσημαίνειν μὲν γὰρ ἀλλήλοις λέγεται· σημαίνειν δέ τι τῶν μερῶν ἕκαστον καθ' αὑτὸ, οὐδαμῶς. Καὶ τὰ μὲν τῶν Ἁπλῶν ὀνομάτων ἢ ῥημάτων μέρη, οὐδὲ κἂν γοῦν δόκησιν ἔχει, τοῦ καθ' αὑτὰ εἶναι σημαντικά· τὰ δὲ τῶν Συνθέτων, φαντασίαν μὲν παρέχει τινὰ τοῦ σημαίνειν, οὐ μέντοι σημαίνει κατά γε τὸ ἀληθές· τοῦ γὰρ Κάλλιππος ὀνόματος, μέρος ὂν τὸ Ἵππος, οὐδὲν σημαίνει· μόνον μὲν γὰρ ὡς ὄνομα τὸ Ἵππος ῥηθὲν, σημαίνει τόδε τὸ ζῶον· ὁπόταν δ' ὡς μέρος ληφθείη τοῦ Κάλλιππος, ἀποσπασθὲν τῆς οἰκείας ὁλότητος, νεκρόν τι κατὰ τὸ σημαινόμενον γίνεται. Τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ μέρη τοῦ ῥήματος ἀπ' ἀλλήλων διακρινόμενα, καὶ τῆς σημασίας χωρίζονται· τὰ πάντα γὰρ κοινὰ τῷ τε Ὀνόματι καὶ τῷ Ῥήματι. Πλὴν ὅτι τὸ ῥῆμα μὲν, προσσημαίνει Χρόνον· ἄνευ δὲ Χρόνου τοὔνομά ἐστι. Τὸ δὲ ἄνευ Χρόνου φαμὲν, οὐ τὸ μὴ σημαῖνον χρόνον ποτὲ μηδαμῶς, ἀλλὰ τὸ μὴ προσσημαῖνον χρόνον· ἰδοὺ γὰρ τὸ χθεσινὸν, τὸ σημερινὸν, καὶ τὰ τοιαῦτα, σημαίνουσι μὲν χρόνον, οὐ μὴν δὲ καὶ προσσημαίνουσιν, ὡς τὰ ῥήματα. Διότι τὰ Ῥήματα προηγουμένως μὲν, ἐνέργειαν ἢ πάθος σημαίνουσι· πρὸς τούτοις δὲ κατὰ δεύτερον λόγον, καὶ τὸν χρόνον δηλοῦσιν αὐτὸν, καθ' ὃν ἡ ἐνέργεια, καθ' ὃν τὸ πάθος, τὸν ἐνεστῶτα τυχὸν πλατυκῶς, ἢ τὸν παρεληλυθότα, ἢ καὶ τὸν μέλλοντα. Διαφέροι δ' ἂν τὰ Ὀνόματα τῶν Ῥημάτων, κἂν τῷ μηδεμίαν ἐνέργειαν ἢ πάθος δηλοῦν, ὡς ἔχει τὰ ῥήματα. Ταύτην μὲν οὖν τὴν ἀπ' ἀλλήλων διάκρισιν, ἔχον τὰ Ὀνόματα καὶ τὰ Ῥήματα.

Χρὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χρὴ δὲ γινώσκειν ὅτι τὰ Φύσεων, ἢ προσώπων, ἢ ἐνεργειῶν, ἢ παθῶν, ἢ ποιᾶς συμπλοκῆς πρὸς ἐνέργειαν, πρὸς πάθος δηλωτικά, ταῦτα πάντα κατὰ τοὺς διαλεκτικοὺς, εἰς Ὀνόματα διαιροῦνται καὶ Ῥήματα. Καὶ τὰ μὲν κατὰ Χρόνον λεγόμενα, ἢ ὁπωσοῦν ἐν ταῖς Προτάσεσι κατηγορούμενα, προσαγορεύονται Ῥήματα· Τὰ δ' ἄνευ Χρόνου λεγόμενα, ἢ τὴν τῶν ὑποκειμένων πληροῦντα χρείαν, Ὀνόματα· Τὰ δ' ἐν μηδετέρᾳ τούτων χώρᾳ παραλαμβανόμενα, τὰ Ἄρθρα δηλαδὴ, αἱ Προθέσεις, οἱ Σύνδεσμοι, καὶ τὰ Ἐπιῤῥήματα, κἂν ἄλλως συνεκφέρωνται ταῖς Προτάσεσιν, ἀλλ' οὐ μέρη λόγου κυρίως εἰσὶν, ἀλλὰ τῶν μερῶν τοῦ λόγου συνεκτικὰ καὶ συνδετικά· μέρη μέντοι Λέξεως ὑπάρχουσι καὶ αὐτά. Καὶ ὁ Λόγος δὲ κατὰ Φιλοσόφους τῆς Λέξεως μέρος ἐστίν· ὁ μὲν γὰρ πλήρωμα προηγουμένως τῶν πράγματα σημαινουσῶν ὑπάρχει Φωνῶν· ἡ δὲ Λέξις πλήρωμα πασῶν ἁπλῶς τῶν Φωνῶν, τῶν παραλαμβανομένων πρὸς τὴν διάλεκτον.

Τὰ μὲν οὖν Ὀνόματα καὶ τὰ Ῥήματα, καθ' ἑαυτὰ προφερόμενα, οὔτε Ἀλήθειαν, οὔτε Ψεῦδος ἐμφαίνουσι. κἂν γὰρ μυριάκις εἴπῃ τις, τὸ, Σωκράτης, ἢ τὸ, φιλοσοφεῖ, ἤ τι τῶν τοιούτων, ἀσυνδυάστως καὶ καθ' αὐτὸ, οὔτ' ἀλήθειαν, οὔτε ψεῦδος ἐρεῖ. Εἰ δ' ἀληθεύειν ἢ ψεύδεσθαι, καθ' ἑαυτὰ τῶν ῥημάτων τὰ πρῶτα πρόσωπα δοκεῖ καὶ τὰ δεύτερα, καὶ ὅσα τῶν τρίτων ἐπὶ ὡρισμένου λέγεται πράγματος· ἀλλὰ καὶ τούτοις ἡ ἀλήθεια καὶ τὸ ψεῦδος, ἐκ τῆς κατὰ δύναμιν ἀκολουθεῖ συμπλοκῆς· ἐπεὶ καὶ ταῦτα δυνάμει συμπεπλεγμένα καὶ λέγεται, καὶ ἐστί· τῷ μὲν γὰρ πρώτῳ προσώπῳ, συνεξακούεται τὸ ἐγώ· τῷ δὲ δευτέρῳ, τὸ σύ· τὸ δ' ἐγὼ, καὶ τὸ σὺ, ἀντωνυμίαι ὄντα, ἀντὶ ὀνομάτων παραλαμβάνονται. Τοῖς δὲ τρίτοις προσώποις, τοῖς ἐπί τινος πράγματος ὡρισμένου λεγομένοις, ἐκεῖνο συνεκφαίνεται καθ' οὗ λέγονται· ὡς ἐπὶ τοῦ ὕει, καὶ βροντᾷ, καὶ ἀστράπτει, τοὔνομα τῆς προνοίας ἔξωθεν ὑπακούεται. Τὰ τοίνυν Ὀνόματα καὶ τὰ Ῥήματα καθ' αὐτὰ προβαλλόμενα, οὔτ' Ἀληθείας οὔτε Ψεύδους τυγχάνει δηλωτικά· συμπλακέντα δ' ἀλλήλοις, ποτὲ μὲν Ἀλήθειαν, ποτὲ δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψεῦδος σημαίνουσι. Προηγουμένως μὲν γὰρ δηλοῦσι τὰ Νοήματα τῆς Ψυχῆς· διὰ μέσων δὲ τῶν Νοημάτων τὰ Πράγματα. Τὰ γὰρ Νοήματα, τῶν Πραγμάτων εἰσὶν εἰκόνες ἐν τῇ ψυχῇ, καὶ οὐδὲν ἄλλο τί ἐστι τὸ νοεῖν, ἢ τὸ δέξασθαι τοῦ νοουμένου τὸ εἶδος. Ὅταν μὲν οὖν ἀκριβῶς ὁμοιωθῇ τοῖς Πράγμασι τὰ Νοήματα, καὶ ὥσπερ τούτοις ἐφαρμοσθῇ, τότε καὶ ἀληθῆ νοήματα λέγεται· ὅτε δὲ μὴ οὕτως ἔχει, ψευδῆ. Τὸ δ' αὐτὸ κἀπὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐστίν. ὅταν μὲν γὰρ καὶ ταῦτα, τῇ τῶν πραγμάτων ὑποστάσει συνᾴδωσι, τότε τὸ Ἀληθὲς ὑφίστασθαι περὶ ταῦτα φαμέν· ὅτε δ' οὐχ οὕτως ἔχει, συμβαίνειν τὸ Ψεῦδος.

Τίνα μὲν οὖν τὰ Ὀνόματα, καὶ τίνα τὰ Ῥήματα, καθ' ὅσον οἷόν τε, δέδεικται. Ταῦτα δὲ προσλαβόντα Μόριον ἀρνητικὸν, οὐκ ἔτι καλοῦνται ὀνόματα καὶ ῥήματα, μόνως καὶ ἁπλῶς· ἀλλὰ ἀόριστα ὀνόματα, καὶ ἀόριστα ῥήματα· οἷον τὸ μὲν οὐκ Ἄνθρωπος, καὶ τὸ, οὐ Σωκράτης, ἀόριστα Ὀνόματα· τὸ δ' οὐ τρέχει, καὶ τὸ, οὐ φιλοσοφεῖ, ἀόριστα Ῥήματα. Ταύτην δ' ἔχουν τὴν κλῆσιν, διὰ τὸ μὴ ἐπί τινος ὡρισμένου λαμβάνεσθαι.

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι ἁπλῆ Φωνὴ, καὶ Φάσις, καὶ Ὅρος, καὶ Ὄνομα, καὶ Ῥῆμα, τῷ μὲν ὑποκειμένῳ ταυτά ἐστιν ἀλλήλοις· κατὰ μόνην δὲ τὴν σχέσιν ἔχουσι τὴν διαφοράν· οἷον τὸ, ἄνθρωπος, ὡς μὲν σημαντικόν τινος, ἁπλῆ καλεῖται Φωνή· ὡς δὲ μέρος Καταφάσεως ἢ Ἀποφάσεως, Φάσις· ὡς δ' ἐν Συλλογισμῷ παραλαμβανόμενον, καὶ Προτάσεως μόριον λεγόμενον, Ὅρος· ὡς δ' Ὑποκείμενον, Ὄνομα· ὡς δὲ τάξιν ἐπέχον Κατηγορουμένου, Ῥῆμα.

Ῥήματα δὲ παρὰ τοῖς διαλεκτικοῖς καὶ τὰ Ὀνόματα λέγονται· καὶ τὰ Ῥήματα πάλιν Ὀνόματα· πᾶσαν γὰρ οὗτοι Φωνὴν σημαντικὴν, ὡς μὲν Ὑποκείμενον ἐν Προτάσει λαμβάνοντες, προσαγορεύουσιν Ὄνομα· Κατηγορούμενον δὲ ποιοῦντες, Ῥῆμα κατονομάζουσιν. Ἐπεὶ γὰρ διπλῆν σημασίαν τὰ Ῥήματα φέρουσι· τὴν μὲν Ὑπαρκτικὴν, καθ' ἣν ἐνέργειαν ἢ πάθος σημαίνουσι· τὴν δὲ Χρονικὴν, καθ' ἣν καὶ χρόνον τινὰ προσσημαίνουσιν· ὅταν μὲν

κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατὰ τὴν ὑπαρκτικὴν μόνην σημασίαν ταῦτα λαμβάνωσιν, ὑποκείμενά τε ποιῶσι, καὶ καλῶσιν Ὀνόματα· ὅταν δὲ κατὰ τὴν χρονικὴν, τότε Κατηγορούμενα τιθέντες, λέγουσι Ῥήματα. Τὰ δ' Ὀνόματα σημασίαν ἁπλῆν τῆς ὑπάρξεως ἔχοντα, ὅταν μὲν καθαρὰ ταῦτα λαμβάνωσιν, Ὑποκείμενά τε ποιῶσι, καὶ ὅπερ εἰσὶν, Ὀνόματα λέγουσιν· ὅταν δὲ Κατηγορούμενα ταῦτα ποιήσωσιν, οὐκ ἐῶσιν αὐτὰ καθαρά· προστιθέασι δὲ τούτοις, καὶ τὸ ἐστὶν, ἢ τὸ ἦν, ἢ τὸ ἔσται· ὡς ἂν ἐντεῦθεν διπλῆν καὶ ταῦτα τὴν σημασίαν ἔχοντα, τὴν οἰκείαν δὴ τὴν ὑπαρκτικὴν, καὶ τὴν ἐκ τῆς προσθήκης τοῦ ἐστὶν, ἢ τοῦ ἦν, ἢ τοῦ ἔσται, ἥτις ὑπάρχει χρονική· τὴν τῶν Ῥημάτων χρείαν ἀποπληρῶσι.

Τὸ Ἐστὶ δὲ, καὶ Ἦν, καὶ Ἔσται, καθ' αὐτὰ μὲν ὄντα, διπλῆν ἔχει τὴν σημασίαν ὡς ῥήματα, τὴν ὑπαρκτικὴν, καὶ τὴν χρονικήν· ὡς ὅταν εἴπωμεν, ἄνθρωπός ἐστιν, ἢ ἄνθρωπος ἦν, ἢ ἄνθρωπος ἔσται. Ὅταν δὲ προστιθέμενα τοῖς ὀνόμασιν ὁμοῦ μετ' αὐτῶν ἐξετάζωνται, μόνην ἔχει τὴν χρονικήν· ὡς ὅταν εἴπωμεν, Σωκράτης σοφός ἐστιν, ἢ Σωκράτης σοφὸς ἦν, ἢ Σωκράτης σοφὸς ἔσται. Τὴν δ' ὑπαρκτικὴν σημασίαν κέκτηνται τὰ Ὀνόματα, οἷς προστίθενται· ὥστε μετὰ τῶν τοιούτων ὀνομάτων, ὕπαρξίν τε καὶ χρόνον σημαίνοντα, τὴν τῶν ἐντελῶν ῥημάτων σώζουσιν ἰδιότητα.

Πᾶσα τοίνυν Πρότασις, ἐξ Ὀνόματος καὶ Ῥήματος ἔχει τὴν γένεσιν· οἷον, τὸ φιλοσοφεῖν, ἀγαθόν ἐστιν· ἰδοὺ τὸ φιλοσοφεῖν, Ὄνομα λέγεται· τὸ δὲ ἀγαθόν ἐστι, Ῥῆμα. Καὶ ἁπλῶς ἔνθα τὸ Ἄρθρον ἢ δυνάμει, ἢ ἐνεργείᾳ θεωρεῖται, ἐκεῖνο καὶ Ὄνομα ὑπάρχει, καὶ Ὑποκείμενον· ἔνθα δὲ τὸ ἐστὶν, ἢ δυνάμει, ἢ ἐνεργείᾳ, ἐκεῖνο καὶ Ῥῆμα καὶ Κατηγορούμενον λέγεται. Ἐνεργείᾳ μὲν οὖν καὶ τὸ Ἄρθρον, καὶ τὸ ἐστὶν ἐπὶ τῆς εἰρημένης προτάσεως φαίνεται τῆς λεγούσης, τὸ φιλοσοφεῖν ἀγαθόν ἐστι. Δυνάμει δὲ καὶ ἀμφότερα, ὡς ὅταν εἴπωμεν, ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον· οὐδὲν γὰρ ἕτερον λέγομεν, ἢ, ὅτι τὸ πεποιθέναι ἐπὶ Κύριον ἀγαθόν ἐστι. Καὶ πάλιν, Παῦλος ἐπέστελλεν, ἤγουν ὁ Παῦλος ἐπιστέλλων ἦν· καὶ Ἰωάννης βασιλεύει, τουτέστιν ὁ Ἰωάννης βασιλεύων ἐστί· καὶ βασιλεύσει Κύριος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς τὸν Αἰῶνα· ταυτὸν δ' εἰπεῖν, ὅτι ὁ Κύριος βασιλεύσων ἔςαι εἰς τὸν Αἰῶνα. Τὸ Ἐςὶ δὲ, καὶ Ἦν, καὶ Ἔςαι, ῥήματα λέγονται ἀρχοειδῆ, διὰ τὸ τἆλλα πάντα ῥήματα, εἰς τὰς μετοχὰς καὶ εἰς αὐτὰ ἀναλύεσθαι.

**Ὀνόματα, καὶ Ῥήματα,**
- Ἢ Θέσει εἰσὶν, ὡς ὑπό τινων κατὰ Συνθήκην τεθέντα.
- Ἢ Φύσει, ὡς οἰκείως τοῖς πράγμασιν ἔχοντα.

**Ὀνόματα καὶ Ῥήματα.**
- Ἡνωμένα μὲν ὁμοῦ, σημαντικά εἰσι.
- Χωριζόμενα δὲ, οὐδαμῶς.

**Ῥῆμα Ὀνόματος διαφέρει.**
- Τὸ μὲν γὰρ Ῥῆμα προσσημαίνει χρόνον, καὶ Ἐνέργειαν ἢ Πάθος δηλοῖ.
- Τὸ δ' Ὄνομα τοὐναντίον, εἰμὴ ὡς τὸ χθεσινόν.

**Ἐπὶ τῶν Προτάσεων**
- Τὰ μὲν Ὑποκείμενα, καλοῦνται Ὀνόματα·
- Τὰ δὲ Κατηγορούμενα, Ῥήματα.
- Ἑκάτερα δὲ μετὰ τοῦ ἀρνητικοῦ Μορίου, Ἀόριςα.

**Ῥήματος σημασία**
- Ἡ Ὑπαρκτική ἐςιν, Ἐνέργειαν ἢ Πάθος δηλοῦσα, καὶ ποιοῦσα τὰ Ὑποκείμενα· ἃ καὶ Ὀνόματα καλεῖται.
- Ἡ Χρονική, καὶ ποιεῖ τὰ Κατηγορούμενα· ἃ καὶ τοῦθ' ὅπερ ἐςὶ Ῥήματα καλεῖται.

**Ὀνόματος σημασία.**
- Ἁπλῆ μὲν ὑπαρκτική ἐςι, καὶ τοῦθ' ὅπερ ἐςὶν Ὄνομα καλεῖται, Ὑποκείμενον οὖσα.
- Οὐ καθαρὰ δὲ, Χρονική, ἀλλὰ διὰ τοῦ Ἐςὶν, ἢ Ἦν, ἢ Ἔςαι ὑπαρκτικοῦ Ῥήματος, ὅτε καὶ Κατηγορούμενον οὖσα, Ῥῆμα καλεῖται.

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

### Περὶ Λόγου, καὶ Προτάσεων.

Λόγος ἐςὶν, ἐκ πλειόνων ἢ μιᾶς Φωνῆς σημαντικῆς συνεςώς, οὗ τὰ κυρίως μέρη κεχωρισμένα σημαντικά ἐςιν. ὁ γὰρ Λόγος, ἐκ δύω Φωνῶν σημαντικῶν τοὐλάχιςον ἔχει τὴν σύςασιν. μία γὰρ Φωνὴ σημαντικὴ, Λόγος οὐκ ἔςι.

Πέντε δὲ τὰ εἴδη τοῦ Λόγου· τὸ Κλητικὸν, ὡς τὸ, Ἄνδρες ἀδελφοὶ καὶ συμπένητες· τὸ δὲ, ἄνδρες, μόνον, οὐ λό-

γος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γος κλητικός, ἀλλὰ κλῆσις. Τὸ τοῦ λόγου δὲ Κλητικόν, οἱ Στωϊκοὶ καλοῦσι Προσαγορευτικόν. Δεύτερον εἶδος τοῦ Λόγου, τὸ Προστακτικόν, ὡς τό, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. Τρίτον τὸ Πυσματικόν, εἴτουν τὸ Ἐρωτηματικόν· ὡς τό, τίς ἡ πατρίς σου; τί σοι τὸ ἐπιτήδευμα; Τέταρτον, τὸ Εὐκτικόν, ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς λέγουσιν Ἀρατικόν· ὡς τό, γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Πέμπτον, τὸ Ἀποφαντικόν, ἤτοι τὸ παρὰ τοῖς στωϊκοῖς Ἀξίωμα· περὶ ὃ τῇ Λογικῇ Πραγματείᾳ ἡ σκέψις ἐστίν, ὅπερ ἐκ τοῦ ἀποφαίνεσθαι εἴρηται· κατ' αὐτὸ γὰρ περὶ οὑτινοσοῦν τῶν πραγμάτων ἀποφαινόμεθα· οἷον ὁ Θεὸς ἀγαθός ἐστιν· ὁ Ἄνθρωπος οὐκ ἔστιν ἀθάνατος.

Διττῶν δ' οὐσῶν ἐν ἡμῖν Δυνάμεων ψυχικῶν, τῶν μέν, γνωστικῶν, καθ' ἃς ἕκαστον τῶν ὄντων γινώσκομεν· τῶν δὲ ζωτικῶν καὶ ὀρεκτικῶν καλουμένων, καθ' ἃς ἢ τῶν ὄντων ἀγαθῶν, ἢ τῶν δοκούντων ἀγαθῶν ἐφιέμεθα, τὰ μὲν παρὰ τὸ ἀποφαντικὸν εἴδη τοῦ λόγου τὰ τέσσαρα, ἐκ τῶν ὀρεκτικῶν δυνάμεων προέρχεται τῆς Ψυχῆς, οὐκ αὐτῆς καθ' αὑτὴν ἐνεργούσης, ἀλλὰ πρὸς ἕτερον ἀποτεινομένης, τὸν συμβάλλεσθαι δοκοῦντα πρὸς τὸ τυχεῖν τῆς ἐφέσεως, καὶ ἤτοι λόγον παρὰ αὐτοῦ ζητούσης, ὡς ἐπὶ τοῦ Πυσματικοῦ, ἢ πρᾶγμα· καὶ εἰ πρᾶγμα, ἤτοι αὐτοῦ ἐκείνου ἐφιεμένης τυχεῖν, πρὸς ὃν ὁ λόγος, ὥσπερ ἐπὶ τοῦ Κλητικοῦ· [ἢ Πυσματικοῦ.] ἤ τινος παρ' αὐτοῦ πράξεως, καὶ ταύτης, ἢ ὡς παρὰ κρείττονος καθάπερ ἐπὶ τῆς Εὐχῆς, ἢ ὡς παρὰ χείρονος, καθάπερ ἐπὶ τῆς κυρίως καλουμένης Προστάξεως. Μόνον δὲ τὸ Ἀποφαντικόν, ἀπὸ τῶν γνωστικῶν Δυνάμεων προέρχεται τῆς Ψυχῆς, ἐξαγγελτικὸν ὑπάρχον τῆς ἀληθῶς ἢ φαινομένως γενομένης τῶν πραγμάτων γνώσεως ἐν ἡμῖν· διὸ καὶ μόνον τῶν ἄλλων τοῦ λόγου εἰδῶν, ἀληθείας καὶ ψεύδους ἐστὶ δεκτικόν.

Ἔστι τοίνυν ἀποφαντικὸς Λόγος, ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. Εἴδη δὲ αὐτοῦ Κατάφασις καὶ Ἀπόφασις. Καὶ Κατάφασις μέν ἐστιν, Ἀπόφανσίς τινος κατά τινος, ἤγουν τὸ ἀποφήνασθαι καὶ εἰπεῖν, τί τινι ὑπάρχει·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀπόφασις δέ ἐστιν, Ἀπόφανσίς τινος ἀπό τινος, ἤγουν τὸ ἀποφήνασθαι καὶ εἰπεῖν, τί τινι οὐχ ὑπάρχει. Ταῦτα δὲ ποιοῦσιν Ἀντίφασιν. Εἴρηται δ᾽ Ἀντίφασις, ἀπὸ τοῦ τὰ μόρια ἔχειν ἀλλήλοις ἀντιφάσκοντα, κατὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. Ἔστι γὰρ Ἀντίφασις, μάχη Καταφάσεως καὶ Ἀποφάσεως, τῶν, κατὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἀντικειμένων, τῷ αὐτῷ τε ὑποκειμένῳ χρωμένων, καὶ τὸν αὐτὸν κατηγορούμενον αὐτοῦ κατηγορουσῶν, μήτε καθ᾽ ὁμωνυμίαν, μήτε κατά τι τῶν ἄλλων, ὅσα πρὸς τὰς ἐνοχλήσεις τῶν σοφιστῶν προσδιοριζόμεθα.

Τετραχῶς δὲ προαγομένης τῆς Ἀποφάνσεως· (Ἢ γὰρ τὸ ὑπάρχον ὡς μὴ ὑπάρχον ἀποφαίνεταί τις, οἷον τὸ ἁμαρτάνειν οὐκ ἔστι κακόν· Ἢ τὸ ὑπάρχον, ὡς ὑπάρχον, οἷον τὸ ἁμαρτάνειν κακόν ἐστιν· Ἢ τὸ μὴ ὑπάρχον ὡς ὑπάρχον, οἷον τὸ ἁμαρτάνειν ἀγαθόν ἐστιν· Ἢ τὸ μὴ ὑπάρχον ὡς μὴ ὑπάρχον, οἷον τὸ ἁμαρτάνειν οὐκ ἔστιν ἀγαθόν.) ἐντεῦθεν ἀντιθέσεις γίνονται δύω· μία μὲν, ψευδοῦς Ἀποφάσεως, πρὸς ἀληθῆ Κατάφασιν· ἑτέρα δὲ, καταφάσεως ψευδοῦς, πρὸς Ἀπόφασιν ἀληθῆ· καὶ παρὰ ταύτας τὰς δύω Ἀντιθέσεις, οὐδ᾽ ἐπινοῆσαι ἄλλην ἐνδέχεται. Πᾶσα δὲ Κατάφασις, Λόγος ἐστὶν ἀποφαντικός· ὡσαύτως καὶ πᾶσα Ἀπόφασις. Ὀνομάζονται δὲ καὶ ἄμφω Προτάσεις, ὡς ὑπὸ τῶν συλλογίσασθαι βουλομένων προτεινόμεναι τοῖς κοινοῖς τῶν λόγων. Ἔστι τοίνυν Πρότασις, Λόγος ἀποφαντικός, ἢ τινὸς κατὰ τινος, ἢ τινὸς ἀπό τινος· καὶ ἄλλως· Πρότασίς ἐστιν, ἀντιφάσεως μιᾶς μόριον.

Τῶν δὲ προτάσεων, αἱ μὲν ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου σύγκεινται μόνον· καὶ ὑποκείμενος Ὅρος ἐστὶ περὶ οὗ ὁ λόγος· κατηγορούμενος δὲ, ὁ περὶ τοῦ ὑποκειμένου λεγόμενος· οἷον Γρηγόριος θεολογεῖ· τὸ μὲν Γρηγόριος, ὑπόκειται· περὶ αὐτοῦ γὰρ ὁ λόγος· τὸ δὲ θεολογεῖ, κατηγορεῖται· κατὰ τοῦ Γρηγορίου γὰρ λέγεται τὸ θεολογεῖν.

Τῶν οὖν προτάσεων, αἱ μὲν Ὑποκείμενον καὶ Κατηγορούμενον ἔχουσι, καὶ οὐδὲν πλέον· αἱ δὲ καὶ τρίτον Προσκατηγορούμενον, τὸ Ἐστίν, ὅσαι γὰρ καθ᾽ ἑνὸς ὑποκειμέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ου λέγεται κατὰ μίαν πρότασιν, εἰς τὰ πάντα κατηγορούμενος Ὀνομάζεται· τὸ δὲ Ἐστὶ προσαγορεύεται Προσκατηγορούμενον· οἷον, Γρηγόριος Θεολόγος, καὶ Φυσιολόγος, καὶ πάντων τῶν ὄντων Ἐπιστήμων ἐστίν. ὑποκείμενος μὲν γὰρ Ὅρος, τὸ Γρηγόριος· τὸ δὲ Θεολόγος, καὶ Φυσιολόγος, καὶ πάντων τῶν ὄντων ἐπιστήμων, κατηγορούμενος εἷς· καὶ πρὸς τούτῳ κατηγορούμενον τὸ ἐστίν.

Αἱ δὲ τῶν Προτάσεων καὶ τρόπον προσκείμενον ἔχουσιν, τὸν ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ σημαίνοντα· Τρόποι δέ εἰσι, τὸ Ἀναγκαῖον, τὸ Ἀδύνατον, τὸ Ἐνδεχόμενον, τὸ καλῶς, τὸ σαφῶς, καὶ ἕτερα· ὧν ὁ ἀριθμὸς, φύσει μὲν περιληπτὸς, ἡμῖν δ' ἀπερίληπτος· οἷον, Ἀναγκαῖον τὸν Ἄνθρωπον ἀναπνεῖν, Ἀδύνατον εἶναι τὸν Ἵππον πτερωτὸν, Βασίλειον ἐνδέχεται γονυκλιτεῖν, Ἀθανάσιος καλῶς διδάσκει, Ἰωάννης σαφῶς ἐξηγεῖται. Τούτων δὲ τῶν τεσσάρων ὅρων, ἤγουν τοῦ Ὑποκειμένου, τοῦ Κατηγορουμένου, τοῦ Προσκατηγορουμένου, καὶ τοῦ Τρόπου, πλείονας οὐκ ἔστιν ἐπινοῆσαι πρὸς μιᾶς Προτάσεως γένεσιν.

Ἐπὶ πάσης δὲ Προτάσεως ὁ Κατηγορούμενος, Ἢ ῥῆμα ὑπάρχειν ὀφείλει, Ἢ πτῶσις ῥήματος, Ἢ ἀόριστον ῥῆμα· ὁ δ' Ὑποκείμενος, Ἢ ὄνομα, Ἢ πτῶσις ὀνόματος, Ἢ ἀόριστον ὄνομα, Ἢ λόγος ἐκ πλειόνων ὀνομάτων συγκείμενος. Διαφέρει δὲ τὸ Ὄνομα τῆς τοῦ ὀνόματος Πτώσεως, ὅτι τὸ μὲν κατ' Εὐθεῖαν φερόμενον, Ὄνομα λέγεται· οἷον ὁ Ἰούδας προδότης ἐστίν· ἡ δὲ κατὰ τὰς ἄλλας πλαγίας προφορὰ τοῦ ὀνόματος, Γενικὴν, Δοτικὴν, καὶ Αἰτιατικὴν, Πτῶσις καλεῖται Ὀνόματος, ὡς ἐκ τῆς ὀρθῆς εἴτουν εὐθείας πεπτωκυῖα· οἷον τῆς Ἀρετῆς ἐξέχεσθαι δίκαιον· τῷ Χριστῷ συμπάσχειν ὠφέλιμον· τὸν καιρὸν τῆς ἀνταποδόσεως ἀναγκαῖον καταλαβεῖν. Διενήνοχε δὲ καὶ Ῥῆμα, πτώσεως ῥήματος· τῷ, τὸ μὲν Ῥῆμα, τὸν ἐνεστῶτα χρόνον δηλοῦν· ὡς τὸ, Παῦλος δημηγορεῖ· τὴν δὲ τοῦ ῥήματος πτῶσιν, τὸν παρεληλυθότα τε καὶ τὸν μέλλοντα. οἷον, Πέτρος ἠρνήσατο, Διάβολος κολασθήσεται.

Ἔνθα μὲν οὖν ἑκάτερος Ὅρος τῶν συμπληρούντων τὴν Πρότασιν, μιᾶς τινος φύσεώς ἐστι δηλωτικὸς, ὁ Ὑπο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κείμενος καὶ ὁ Κατηγορούμενος, μίαν λέγομεν εἶναι ταύτην τὴν Πρότασιν, κἂν ὁρισμὸν ὅλον λάβωμεν, ὑποκείμενον ἢ κατηγορούμενον, ἢ καὶ ἀμφότερα ὁμοίως· ὡς ἐὰν εἴπῃ τις, τὸ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατική ἐστιν· ἐνταῦθα γὰρ τὸ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὑποκείμενόν ἐστιν, ὡς ἓν λογιζόμενον ὄνομα, κἂν ἐκ πολλῶν φωνῶν σημαντικῶν ὑπάρχῃ συγκείμενον· τὸ δὲ οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατικὴ, τοῦτο σύμπαν κατηγορούμενον· ὃ δὴ μετὰ τοῦ ἐστι προσκατηγορουμένου ῥῆμα γίνεται ἕν.

Ἔνθα δὲ πλειόνων πραγμάτων, ὁποτεροσοῦν τῶν Ὅρων σημαντικός ἐστι, πλείους εἶναι τὰς Προτάσεις φαμέν· καὶ τοσαύτας, ὅσον τὸ τῶν σημαινομένων πλῆθός ἐστι· κἂν ὑφ' ἑνὸς ὀνόματος ταῦτα σημαίνηται· ὡς ὅταν εἴπῃ τις, Αἴας ἐμονομάχησεν Ἕκτορι, μὴ προσδιορισάμενος, περὶ ποτέρου τῶν Αἰάντων ὁ λόγος αὐτῷ. ταύτην γὰρ τὴν πρότασιν οὐδεὶς οἶμαι τῶν ἐξεταστικῶν μίαν ἐρεῖ, τὴν καὶ ψευδομένην ἅμα καὶ ἀληθεύουσαν διὰ τὴν ὁμωνυμίαν.

Πρότασις δὲ καὶ Πρόβλημα, καὶ Ἀπόφανσις, καὶ Ἔνστασις, καὶ Συμπέρασμα, κατὰ μὲν τὸ ὑποκείμενον, οὐδὲν διαφέρει· κατὰ σχέσιν δὲ διενήνοχεν· οἷον, ἡ Ψυχὴ ἀθάνατός ἐστιν, ὅταν μὲν ὡς συλλογισμοῦ μέρος λαμβάνηται, Πρότασις ὀνομάζεται· ὅταν δ' εἰς ζήτησιν προβάλληταί τις αὐτὸ λέγων, ἆρά γε ἀθάνατός ἐστιν ἡ Ψυχή; Πρόβλημα· ὁπόταν δέ τις ἁπλῶς ἀποφαίνηται λέγων, ἡ Ψυχὴ ἀθάνατός ἐστιν, Ἀπόφανσις· ἐνισταμένου δέ τινος, πόθεν δῆλον, ὡς ἡ Ψυχὴ ἀθάνατός ἐστιν; Ἔνστασις λέγεται· ὁπηνίκα δ' ἐκ προτάσεων συναχθείη, ὡς ὅταν εἴπωμεν· ἡ ψυχὴ ἀεικίνητος· τὸ ἀεικίνητον, ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος· τότε τυγχάνει Συμπέρασμα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

**Τοῦ Λόγου**

- Τὸ μὲν Κλητικὸν· ὡς τὸ, Ἄνδρες ἀδελφοὶ καὶ συμπένητες.
- Τὸ δὲ Προστακτικὸν· ὡς τὸ, ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν.
- Τὸ δὲ Πυσματικὸν, ὡς τὸ, τίς ἡ Πατρίς σου;
- Τὸ δὲ Εὐκτικὸν, ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς λέγουσιν Ἀρατικόν· ὡς τὸ, γένοιτο Κύριε τὸ ἔλεός σου.
- Τὸ δὲ Ἀποφαντικόν· οἷον ἡ Ψυχὴ ἀθάνατος.

**Ὁ Λόγος**

- Ἢ ἀπὸ τῶν ὀρεκτικῶν Δυνάμεων προέρχεται τῆς Ψυχῆς· ἥτις,
  - Ἢ Λόγον ἀπό τινος ζητεῖ, καὶ ποιεῖ τὸν Πυσματικόν.
  - Ἢ πρᾶγμα, δι' ὅ,
    - Ἢ αὐτοῦ πρὸς ὃν ὁ λόγος ἐφίεται τυχεῖν, καὶ ποιεῖ τὸν Κλητικόν.
    - Ἤ τινος παρ' αὐτοῦ πράξεως
      - Ἢ ὡς παρὰ κρείττονος, καὶ ποιεῖ τὸν Εὐκτικόν.
      - Ἢ παρὰ χείρονος, καὶ ποιεῖ τὸν Προστακτικόν.
- Ἢ ἀπὸ τῶν γνωστικῶν, καὶ γεννᾶται ὁ Ἀποφαντικὸς· οὗ εἴδη,
  - Κατάφασις, ὡς Σωκράτης περιπατεῖ.
  - Ἀπόφασις, ὡς, Σωκράτης οὐ περιπατεῖ.

## Πᾶσα Ἀπόφαντις δείκνυσιν.






ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

| | |
|---|---|
| Τῶν Προτάσεων | Αἱ μὲν ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου μόνον, οἷον Γρηγόριος θεολογεῖ. |
| | Αἱ δὲ καὶ ἐκ τρίτου Προσκατηγορουμένου τοῦ ἐστίν, οἷον Σωκράτης Φιλόσοφός ἐστιν. |
| | Αἱ δὲ ἐκ Τρόπου, τοῦ δηλοῦντος ὅπως ὑπάρχει τῷ Ὑποκειμένῳ ὁ Κατηγορούμενος, οἷον δυνατόν ἐστι τὸν Σωκράτην φιλοσοφεῖν. |

## ΚΕΦΑΛΑΙΟΝ ΚΗʹ.

### Περὶ τῶν ἐν ταῖς Προτάσεσι θεωρουμένων Ὑλῶν, καὶ περὶ Προσδιορισμοῦ.

Τρεῖς Ὕλαι τῶν Προτάσεων φαίνονται· Ἀναγκαία, Ἐνδεχομένη, Ἀδύνατος. Ἐπεὶ γὰρ πάσῃ Προτάσει, καὶ Ὑποκείμενος ἔνεστι καὶ Κατηγορούμενος, ἡ σχέσις τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον, τὰς τοιαύτας Ὕλας ἀπογεννᾷ. Καὶ γὰρ ὁ Κατηγορούμενος, ἢ ἀεὶ ὑπάρχει τῷ Ὑποκειμένῳ, ἢ οὐδέποτε· ἢ ποτὲ μὲν ὑπάρχει, ποτὲ δ' οὐχ ὑπάρχει. Εἰ μὲν οὖν ἀεὶ ὑπάρχει τῷ ὑποκειμένῳ, τὴν Ἀναγκαίαν Ὕλην ποιεῖ· εἰ δὲ οὐδέποτε, τὴν Ἀδύνατον· εἰ δὲ ποτὲ μὲν ὑπάρχει, ποτὲ δ' οὐχ ὑπάρχει, τὴν Ἐνδεχομένην. Ἀναγκαίας μὲν οὖν Ὕλης τὸ εἰπεῖν, ὁ ἄνθρωπος ἀναπνεῖ· ἀεὶ γὰρ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ἀναπνεῖν. Ἀδυνάτου δὲ τὸ εἰπεῖν, ὁ ἄνθρωπος ἵπταται· οὐδέποτε γὰρ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ἵπτασθαι. Ἐνδεχομένης δὲ τὸ εἰπεῖν, Παῦλος δημηγορεῖ· ποτὲ μὲν γὰρ ὑπάρχει τῷ Παύλῳ τὸ δημηγορεῖν, ποτὲ δ' οὐχ ὑπάρχει. τὰς τοιαύτας δὲ σχέσεις, Ὕλας οἱ Φιλόσοφοι προσηγόρευσαν· ὡς μὴ λαμβανομένας ἐκ τῆς ἡμετέρας ὑπολήψεως ἢ κατηγορίας, ἀλλ' ἀπὸ τῆς φύσεως τῶν πραγμάτων αὐτῆς.

Διαφέρουσι δὲ τῶν Τρόπων, τοῦ Ἀναγκαίου δηλαδή, καὶ Ἀδυνάτου, καὶ Ἐνδεχομένου· τῷ τοὺς μὲν Τρόπους ἐν τῷ ἐκφωνεῖσθαι μόνον, καὶ τοῖς ὅροις προστίθεσθαι τῶν προτάσεων ἔχειν τὴν ὑπόστασιν· τὰς δέ γε Ὕλας, ἐν αὐτῇ θεωρεῖσθαι τῶν πραγμάτων τῇ φύσει, τῶν παραλαμβανομένων ἐν ταῖς προτάσεσι.

Τριῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τριῶν οὖν οὐσῶν, ὡς εἴρηται, τῶν Ὕλων, Ἀναγκαίας, Ἀδυνάτου καὶ Ἐνδεχομένης, τὴν Ἐνδεχομένην Ἀριστοτέλης εἰς δύω διαιρεῖ· εἴς τε τὴν ἐκβεβηκυῖαν, ἣν ὀνομάζει Ὑπάρχουσαν· καὶ εἰς τὴν μέλλουσαν, ἣν καὶ κυρίως Ἐνδεχομένην φησί.

Τῶν δὲ Προτάσεων, αἱ μὲν εἰσι χωρὶς διορισμῶν, εἴτουν Προσδιορισμῶν, ὅθεν καὶ ἀδιόριστοι καὶ Ἀπροσδιόριστοι λέγονται· αἱ δὲ, μετὰ διορισμῶν, τῶν καὶ Προσδιορισμῶν· διὸ καὶ διωρισμένας καὶ προσδιωρισμένας ταύτας φαμέν. Τέσσαρες δέ εἰσιν οἱ διορισμοὶ οὗτοι καὶ Προσδιορισμοί· Πᾶς, Οὐδεὶς, Τὶς, Οὐ πᾶς. Καὶ πᾶς μὲν καὶ οὐδεὶς, Καθόλου εἰσί· τὶς δὲ καὶ οὐ πᾶς, Μερικοί. Πάλιν, πᾶς καὶ τὶς, Καταφατικοί· οὐδεὶς δὲ καὶ οὐ πᾶς, Ἀποφατικοί. Πάντοτε δὲ τοῖς ὑποκειμένοις συντάττονται, πρὸ τῶν ὑποκειμένων τιθέμενοι· οἷον, Πᾶς ἄνθρωπος ἀναπνεῖ· τουτέστι, πάντα τὰ ὑπὸ τὸ εἶδος τοῦ ἀνθρώπου ἄτομα, τὸ ἀναπνεῖν ἔχουσι. Τὸ γὰρ πᾶς, οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου· τουτέστι τὸ εἰπεῖν, πᾶς ἄνθρωπος, ἢ πᾶν ζῶον, οὐ σημαίνει τὴν τοῦ εἴδους ἢ τὴν τοῦ γένους φύσιν τὴν συλληπτικὴν καὶ ἑνοποιὸν πάντων τῶν ὑπ' αὐτὰ, ἀλλ' ὅτι καθόλου φέρεται τὸ κατηγορούμενον, κατὰ πάντων τῶν μερικωτέρων, ἃ περιλαμβάνει τὸ ὑποκείμενον. Οὐδεὶς ἄνθρωπος ἵπταται· τουτέστιν, οὐδενὶ τῶν ὑπὸ τὸν ἄνθρωπον ἀτόμων ὑπάρχει τὸ ἵπτασθαι· ἤγουν οὐδενὶ τῶν ὑπὸ τὸ ὑποκείμενον ὑπάρχει τὸ κατηγορούμενον. Τὶς ἄνθρωπος φιλοσοφεῖ· τουτέστι, τινὶ τῶν ὑπὸ τὸ ὑποκείμενον, ἤτοι τὸν ἄνθρωπον, ἀτόμων, ὑπάρχει τὸ κατηγορούμενον, τὸ φιλοσοφεῖν δηλονότι. Οὐ πᾶς ἄνθρωπος γεωμετρεῖ· τουτέστιν, οὐ παντὶ τῶν ὑπὸ τὸ ὑποκείμενον ἀτόμων ὑπάρχει τὸ κατηγορούμενον, ὅπερ ἐστὶ τὸ γεωμετρεῖν. Ἔργον τοίνυν τῶν Προσδιορισμῶν, τὸ μόνην σημαίνειν τὴν κατὰ [τὸ] πλῆθος διαφορὰν, τῶν ὑπὸ τὸ ὑποκείμενον ἀναφερομένων, ἢ ὡς μετεχόντων, ἢ ὡς μὴ μετεχόντων τοῦ κατηγορουμένου.

Καλοῦσι δὲ τὰς καθόλου Προτάσεις, ἤτοι τὰς ἐχούσας τοὺς καθόλου Προσδιορισμοὺς, καὶ Καθόλου ὡς καθόλου· διό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τι ἐπὶ τούτων τοῖς καθόλου ὑποκειμένοις, οἱ καθόλου συντάττονται Προσδιορισμοί· τὰς δὲ μερικὰς Προτάσεις, ἤγουν τὰς ἐχούσας τοὺς μερικοὺς Προσδιορισμοὺς, ὀνομάζουσι [καὶ] καθόλου ὡς Μερικάς· ἐπὶ τούτων γὰρ οἱ μερικοὶ Προσδιορισμοὶ τοῖς καθόλου ὑποκειμένοις συντάττονται. καθόλου μὲν γὰρ ὑποκείμενον ὁ Ἄνθρωπος, ὡς περιέχον πάντα τὰ ὑπ' αὐτὸν ἄτομα, τὸ δὲ Τὶς, καὶ τὸ Οὐ πᾶς, μερικοὶ Προσδιορισμοί.

Διαφέρουσι δὲ τῶν καθ' ἕκαστα Προτάσεων αἱ Μερικαὶ, τῷ τὰς μὲν καθ' ἕκαστα ποιεῖσθαι τὴν Ἀπόφανσιν ἐπί τινος ὡρισμένου ἑνὸς, τοῦ Πέτρου τυχόν· οἷον Πέτρος θαυματουργεῖ· τὰς δὲ μερικὰς, μηδὲν ὡρισμένον σημαίνειν, ἀλλ' ἐπί τινος τοῦ τυχόντος ποιεῖσθαι τὴν Ἀπόφανσιν· οἷον τὶς ἄνθρωπος δίκαιός ἐστι.

Τῶν δὲ προσδιωρισμένων Προτάσεων, ὅσαι μὲν ἔχουσι τὸν Πᾶς προσδιορισμὸν, καθόλου καταφατικαὶ Προτάσεις καὶ Καταφάσεις εἰσίν. ὅσαι δὲ τὸν Οὐδεὶς, καθόλου Ἀποφατικαὶ καὶ Ἀποφάσεις· ὅσαι δὲ τὸν Τὶς, μερικαὶ Καταφατικαὶ, καὶ Καταφάσεις· ὅσαι δὲ τὸν Οὐ πᾶς, μερικαὶ Ἀποφατικαὶ, καὶ Ἀποφάσεις. Ἐκφέρονται δὲ ἀπολύτως οἱ ῥηθέντες προσδιορισμοὶ ὀνόματι θηλυκῷ. οἷον ἡ Πᾶς, καὶ ἡ Οὐδεὶς, καὶ ἡ Τὶς, καὶ ἡ Οὐ πᾶς.

Ἡ μὲν οὖν καθόλου καταφατικὴ Πρότασις, καὶ ἡ καθόλου Ἀποφατικὴ, ἤγουν ἡ Πᾶς, ἡ Οὐδεὶς (κατὰ γὰρ τὴν εἰς τὰς Προτάσεις ἀναφορὰν, τὸ θηλυκὸν οἱ Προσδιορισμοὶ προσέλαβον ὄνομα) αὗται δὴ αἱ καθόλου, Ἐναντίαι εἰσὶ, τῶν αὐτῶν ὅρων κατὰ τὴν αὐτὴν τάξιν φυλαττομένων· δηλονότι κατὰ πᾶσαν ἀντίθεσιν τῶν προτάσεων, μόνων δ' ἐναλλαττομένων τῶν προσδιορισμῶν. Ἐναντίαι δὲ λέγονται, διὰ τὸ τἀναντία μιμεῖσθαι· πλεῖστόν τε γὰρ διεστήκασιν ἀπ' ἀλλήλων· εἴ γε ἡ μὲν, καταφάσκει καθόλου· ἡ δὲ, ἀποφάσκει καθόλου· καὶ τοῖς ἀμέσοις καὶ τοῖς ἐμμέσοις Ἐναντίοις ἐοίκασι· τοῖς μὲν Ἀμέσοις, ἐπὶ τῆς ἀναγκαίας Ὕλης καὶ ἀδυνάτου· τῶν τε γὰρ ἀμέσων Ἐναντίων, ἐξ ἀνάγκης τῷ ὑποκειμένῳ πάρεστι θάτερον· καὶ τῶν τοιούτων προτάσεων, ἐξ ἀνάγκης

ἡ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ ἑτέρα καθέστηκεν ἀληθὴς ἐπὶ τῶν εἰρημένων Ὑλῶν· ἐπὶ μὲν τῆς Ἀναγκαίας, ἡ Καταφατική· οἷον Πᾶς ἄνθρωπος ἀναπνεῖ· ἐπὶ δὲ τῆς Ἀδυνάτου, ἡ Ἀποφατική· οἷον Οὐδεὶς ἄνθρωπος ἵπταται. Πάντως δὲ τῇ μὲν ὑπάρξει, τὸ ἀληθὲς ἀναλογεῖ· τῇ δ' ἀνυπαρξίᾳ, τὸ ψεῦδος. Κατὰ μὲν οὖν ταύτας τὰς Ὕλας, ἡ Πᾶς, καὶ ἡ Οὐδείς, τοῖς ἀμέσοις Ἐναντίοις ἐοίκασι· κατὰ δὲ τὴν Ἐνδεχομένην, τοῖς Ἐμμέσοις· ὧν δυνατὸν μηδ' ἕτερον παρεῖναι τῷ ὑποκειμένῳ· καὶ ἄμφω αἱ προτάσεις κατὰ τὴν ἐνδεχομένην Ὕλην, συμψεύδονται· οἷον Πᾶς ἄνθρωπος δίκαιός ἐστιν· Οὐδεὶς ἄνθρωπος δίκαιός ἐστιν. Ἢ καὶ ὅτι αἱ δηλωθεῖσαι Προτάσεις, οὐδέποτε μὲν συναληθεύουσι, ποτὲ δὲ καὶ συμψεύδονται· καὶ κατὰ τοῦτ' ἂν εἰκότως Ἐναντίαι κατονομάζοιντο. Τὰ γὰρ Ἐναντία συνυπάρχειν μὲν ἀλλήλοις κατ' ἐνέργειαν ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου, ἀδύνατον· ἅμα δ' ἀπεῖναι αὐτοῦ δυνατόν. Καὶ ὅτι μὲν αἱ ῥηθεῖσαι Προτάσεις, Ἐναντίαι, καὶ διότι δεδήλωται.

Ἡ δὲ μερικὴ Καταφατική, καὶ ἡ μερικὴ Ἀποφατική, καλοῦνται Ὑπεναντίαι· ὡς ὑπὸ ταῖς ἐναντίαις τεταγμέναι, κἀκείναις ἑπόμεναι. Καὶ γὰρ ὅταν ἡ ἑτέρα τῶν καθόλου ἀληθεύῃ, τότε συναληθεύσει καὶ ἡ ὑπ' αὐτὴν μερική· ὡς οἷον μέρος αὐτῆς οὖσα, καὶ ὑπ' αὐτῆς περιεχομένη.

Διὸ καὶ τὰς καταφατικὰς Προτάσεις, τὴν καθόλου λέγω δὴ καὶ τὴν μερικήν, τὴν Πᾶς καὶ τὴν Τίς, καὶ αὖθις τὰς Ἀποφατικάς, τὴν Οὐδεὶς καὶ Οὐ πᾶς, Ὑπαλλήλους καλοῦσιν, οὐχ ὅτιπερ ὡς ἡ Τὶς ὑπὸ τὴν Πᾶς, οὕτω δὴ καὶ ἡ Πᾶς ὑπὸ τὴν Τίς· καὶ ὡς ἡ Οὐ πᾶς ὑπὸ τὴν Οὐδείς, οὕτω καὶ ἡ Οὐδεὶς ὑπὸ τὴν Οὐ πᾶς· (τοῦτο γὰρ ψεῦδος ὁμοῦ καὶ ἀδύνατον·) ἀλλ' ὅτι τὸ ὑπὸ τὴν Πᾶς εἶναι τὴν Τίς, καὶ συναληθεύειν αὐτῇ, δίδωσι μὲν ἡ Πᾶς, ὡς καθόλου· λαμβάνει δὲ ἡ Τίς, ὡς μέρος τῆς Πᾶς. καὶ οὕτως ἐκ τῆς Πᾶς τῇ Τὶς ὄντος τοῦ ὑποκεῖσθαι, ὡς τῆς ὑπό, ἐν ἀλλήλοις θεωρουμένης· ἐν μὲν τῇ Πᾶς, ἐνεργητικῶς· ἐν δὲ τῇ Τὶς παθητικῶς, ἤγουν τῆς μὲν Πᾶς, παρεχούσης τῇ Τίς, τὸ ὑποκεῖσθαι· τῆς δὲ Τὶς δεχομένης αὐτὸ διὰ τὴν ἀλληλουχίαν, καὶ ἄμφω ὑπάλληλοι κέκληνται.

Κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κατὰ τοὺς αὐτοὺς λόγους Ὑπάλληλοι, καὶ ἡ Οὐδεὶς καὶ ἡ Οὐ πᾶς. Εἰ δὲ καὶ τοῖς ὑπαλλήλοις γένεσιν οἱ παρόντες ἁρμόζουσι λόγοι, σκοπείτω ὁ ἐξεταστικῶς ζητῶν. Ἡ μὲν οὖν Πᾶς καὶ ἡ Οὐδείς, Ἐναντίαι· ἡ Τὶς καὶ Οὐ πᾶς, Ὑπεναντίαι· ἡ Πᾶς καὶ Τὶς, καὶ αὖθις ἡ Οὐδεὶς καὶ ἡ Οὐ πᾶς, Ὑπάλληλοι.

Μόναι δὲ τῶν ὅλων Προτάσεων ἀντιφατικῶς ἀλλήλαις ἀντίκεινται, καὶ διαιροῦσιν ἀεὶ τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος. ἡ καθόλου καταφατικὴ, καὶ ἡ μερικὴ ἀποφατική· καὶ πάλιν, ἡ μερικὴ καταφατικὴ, καὶ ἡ καθόλου ἀποφατική· ἤγουν, ἡ Πᾶς, καὶ Οὐ πᾶς· καὶ ἡ Τὶς καὶ Οὐδείς. Καὶ τοῦτο εἰκότως· αἱ μὲν γὰρ Ἐναντίαι κατὰ τὸ Ποιὸν διαφέρουσαι, (καταφατικὴ γὰρ ἡ μία, καὶ ἡ ἑτέρα ἀποφατική.) Ποσὸν ἔχουσι τὸ αὐτό· (καὶ ἄμφω γὰρ καθόλου.) αἱ Ὑπεναντίαι ὡσαύτως τῷ Ποιῷ διαφέρουσαι, τὸ αὐτὸ Ποσὸν ἔχουσι· (μερικαὶ γὰρ καὶ ἄμφω.) αἱ Ὑπάλληλοι τοὐναντίον, κατὰ τὸ Ποσὸν διαφέρουσαι, Ποιὸν ἔχουσι τὸ αὐτό. ἡ μὲν γὰρ μία Συζυγία, τὸ καταφατικὸν ἔχει· ἡ δ' ἑτέρα τὸ ἀποφατικόν. ἐν ἑκατέρᾳ δὲ τῶν Συζυγιῶν, τὸ Ποσὸν μόνον διάφορον. ἡ Πᾶς γὰρ καθόλου, καὶ ἡ Τὶς μερική. καὶ αὖθις ἡ Οὐδεὶς καθόλου, καὶ ἡ Οὐ πᾶς, μερική. Ποιὸν μὲν οὖν ἐστι, τὸ Καταφατικὸν ἢ Ἀποφατικόν· Ποσὸν δὲ, τὸ Καθόλου, ἢ Μερικόν. Πᾶσαι τοίνυν αἱ Συζυγίαι τῶν Προτάσεων, ἐν αἷς τὸ Ἐναντίον, ἐν αἷς τὸ Ὑπεναντίον, ἐν αἷς τὸ Ὑπάλληλον, κατά τι μὲν κοινωνοῦσι, κατά τι δὲ διαφέρουσιν.

Ἡ δὲ καθόλου Καταφατικὴ, καὶ ἡ μερικὴ Ἀποφατικὴ, καὶ κατὰ τὸ Ποιὸν, καὶ κατὰ τὸ Ποσὸν μαχόμεναι, τελείαν ἔχουσι τὴν πρὸς ἀλλήλας διαφοράν· ὥσπερ δὴ καὶ ἡ μερικὴ Καταφατικὴ, καὶ ἡ καθόλου Ἀποφατική· διὸ καὶ ἀδύνατον συναληθεύειν αὐτὰς ἢ συμψεύδεσθαι πώποτε. Ἐπὶ μὲν γὰρ τῆς ἀναγκαίας Ὕλης ἀληθευουσῶν τῶν Καταφάσεων, αἱ Ἀποφάσεις ψευδεῖς εἰσιν· ἐπὶ τῆς Ἀδυνάτου δὲ, τὸ ἔμπαλιν· ἐπὶ τῆς Ἐνδεχομένης, μία Κατάφασις ψευδὴς ἡ καθόλου, καὶ ἡ ἀντιφάσκουσα ταύτῃ Ἀπόφασις ἡ μερικὴ, ἀληθής· καὶ μία Κατάφασις ἀληθής,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θής, ἡ μερικὴ, καὶ ἡ ἀντιφάσκουσα ταύτῃ Ἀπόφασις ἡ καθόλου ψευδής.

Οὐ χρὴ δ' ὑπολαμβάνειν τὴν μερικὴν Ἀπόφασιν ἐπὶ τῆς ἀδυνάτου Ὕλης, τῇ καθόλου Καταφάσει συμψεύδεσθαι· οἷον τῇ Πᾶς ἄνθρωπος ἵπταται, τὴν, Οὐ πᾶς ἄνθρωπος ἵπταται. οὐδὲ γὰρ ἡ Οὐ πᾶς ἐξ ἀνάγκης συνεισάγει τὴν Τὶς, ὥστε τὴν, οὐ πᾶς ἄνθρωπος ἵπταται, ταυτὸ λέγειν τῇ, τὶς ἄνθρωπος ἵπταται. Τὸ γὰρ Οὐ πᾶς αὐτὸ καθ' αὑτὸ λαμβάνομεν μόνον, ὡς ἰδίαν ἔχον δύναμιν, καθ' ἣν τὸν Πᾶς προσδιορισμὸν ἀναιρεῖ, μηδὲν ἐπισυρόμενον ἕτερον. Ἐφ' ὧν οὖν πραγμάτων τὸ Πᾶς ψεύδεται, ἐπ' ἐκείνων ἀληθεύει τὸ Οὐ πᾶς, ὡς τοῦ Πᾶς ἀναιρετικόν· οὐδὲν γὰρ ἕτερόν φησιν ὁ λέγων, ὅτι Οὐ πᾶς ἄνθρωπος ἵπταται, ἢ ὅτι οὐκ ἔστι τοῦτο ὅτι Πᾶς ἄνθρωπος ἵπταται.

Ἔτι ὥσπερ ἡ μερικὴ Κατάφασις τῆς καθόλου Καταφάσεως μέρος ἐστίν· οὕτω καὶ ἡ μερικὴ Ἀπόφασις, τῆς καθόλου Ἀποφάσεως μέρος ἐστίν. Ἐπεὶ γοῦν ἡ μερικὴ Κατάφασις, πῇ μὲν δι' ἑαυτὴν ἀληθεύει, καθάπερ ἐπὶ τῆς ἐνδεχομένης Ὕλης· πῇ δὲ διὰ τὴν καθόλου Κατάφασιν, ἧς μέρος ἐστὶ, καθάπερ ἐπὶ τῆς ἀναγκαίας Ὕλης. (εἰ γὰρ Πᾶς ἄθρωπος ἀναπνεῖ, καὶ Τὶς ἄνθρωπος ἀναπνεῖ.) τοῦτ' ἔσται καὶ ἐπὶ τῆς μερικῆς Ἀποφάσεως. καὶ αὕτη γὰρ, πῇ μὲν ἀληθεύει δι' ἑαυτὴν, ὡς ἐπὶ τῆς ἐνδεχομένης Ὕλης· πῇ δὲ διὰ τὴν καθόλου ἀπόφασιν· ὥσπερ ἐπὶ τῆς Ἀδυνάτου· εἰ γὰρ Οὐδεὶς ἄνθρωπος ἵπταται, καὶ Οὐ πᾶς ἄνθρωπος ἵπταται. ἀληθεύει ἄρα ἡ Οὐ πᾶς ἐπὶ τῆς Ἀδυνάτου, διὰ τὴν Οὐδείς· ὥσπερ καὶ ἡ Τὶς ἐπὶ τῆς Ἀναγκαίας, διὰ τὴν Πᾶς.

Διττὸν δὲ τὸ Ἀναγκαῖον· τὸ μὲν κυρίως, ὅπερ τῷ ὑποκειμένῳ ὑπάρχει ἀεί· ὡς τῷ Ἡλίῳ τὸ κινεῖσθαι, καὶ τῷ Ἀνθρώπῳ τὸ ἀναπνεῖν· τὸ δὲ μὴ κυρίως, ὅπερ ἐστὶν ἐξ ἀνάγκης, ἕως ἂν τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον ᾖ· οἷον τὸ ἐπιπροσθεῖσθαι τὸν Ἥλιον ὑπὸ τῆς Σελήνης ἢ τοῦ Νέφους, ἕως ἂν ἐπιπροσθῆται, ἀναγκαῖόν ἐστιν, ἁπλῶς δ' Α-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναγκαῖον οὐκ ἔστι. Τοιοῦτόν ἐστι καὶ τὸ τὸν βαδίζοντα, βαδίζειν ἐξ ἀνάγκης· καὶ τὸ, τὸν ἱστάμενον, ἵστασθαι.

Διττὸν δὲ καὶ τὸ ἐξ ἀνάγκης μὴ ὄν, ὅπερ ἐστὶ τὸ Ἀδύνατον· τὸ μὲν, κυρίως· ὡς τῷ Πυρὶ τὸ ψύχειν, καὶ τῷ ἀνθρώπῳ τὸ ἵπτασθαι· τὸ δὲ, μὴ κυρίως· ἀλλ' ἕως ἂν μὴ ᾖ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον· ὡς τὸ βαδίζειν τῷ μὴ βαδίζοντι, καὶ τῷ μὴ ἱσταμένῳ τὸ ἵστασθαι. Τὸ μὲν οὖν κυρίως ἐξ ἀνάγκης ὄν, τῆς ἀναγκαίας Ὕλης ἐστί· Τὸ δὲ κυρίως ἐξ ἀνάγκης μὴ ὄν, τῆς Ἀδυνάτου· Τὸ δ' ἕως ἂν ᾖ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, Ὄν· ἕως ἂν δὲ μὴ ᾖ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, μὴ Ὄν· τῆς ἐνδεχομένης Ὕλης ἐστίν.

Εἰς τρία δὲ διαιρεῖται τὸ Ἐνδεχόμενον· εἰς τὸ Ἐπὶ πολὺ, τὸ Ἐπίσης, καὶ τὸ Ἐπ' ἔλαττον. Ἐπὶ πολὺ μὲν, ὡς τὸ, τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι. Ἐπίσης, ὡς τὸ, ἀναγνῶναι καὶ μὴ ἀναγνῶναι. Ἐπ' ἔλαττον, ὡς τὸ, τὸν σκάπτοντα θησαυρῷ περιτυχεῖν. Τὸ μὲν οὖν ἐπὶ πολὺ Ἐνδεχόμενον, Φύσεως καὶ Τέχνης ἐστὶν, ἐπείπερ ἥ τε Φύσις ἐν τοῖς οἰκείοις ἀποτελέσμασιν ὡς ἐπὶ πολὺ κατορθοῖ· σπάνια γὰρ τὰ τέρατα· καὶ ἡ Τέχνη τοῦ οἰκείου τέλους τυγχάνει ὡς ἐπὶ πολύ. Τὸ δ' ἐπίσης Ἐνδεχόμενον, Προαιρέσεως ἔργον ἐστίν· ἐφ' ἡμῖν γὰρ καὶ ἀναγνῶναι καὶ μὴ ἀναγνῶναι, καὶ λούσασθαι καὶ μὴ λούσασθαι. Τοῦτο δὲ τοῦ ἐνδεχομένου τὸ εἶδος καλεῖται, καὶ ὁπότερον ἔτυχε· διότι κατὰ τοῦτο οὐδὲν πλέον τῆς ἀνυπαρξίας ἡ ὕπαρξις ἔχει, οὔτ' ἔλαττον· ἀλλ' ὁμοίως ἐκβῆναι δυνατὸν, ὁπότερον ἔτυχε τῆς Ἀντιφάσεως μόριον. Τὸ δ' ἐπ' ἔλαττον Ἐνδεχόμενον, Τύχης καὶ Αὐτομάτου ἐστί. Καὶ κατὰ Τύχην μὲν λέγομεν, ἃ τοῖς κατὰ Προαίρεσιν γινομένοις παρυφίσταται· καθὰ τῷ σκάπτοντι, ἡ εὕρεσις τοῦ θησαυροῦ. Τύχη γάρ ἐστιν αἴτιον κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ Προαίρεσιν. Κατὰ δὲ τὸ Αὐτόματον λέγομεν, ἃ τοῖς κατὰ Φύσιν γινομένοις καὶ μὴ κατὰ Προαίρεσιν παρυφίσταται· ὡς τὸ, σεισμοῦ γεγονότος, καί τινος διαστάντος μέρους τῆς γῆς, ὕδατος ἀναῤῥαγῆναι πηγήν. αὐτόματον γάρ ἐστιν αἴτιον κατὰ συμβεβηκὸς ἐν τοῖς μὴ κατὰ Προαίρεσιν.

Ὕλαι

**Ὕλαι τῶν Προτάσεων**
- Ἀναγκαία, οἷον Ἄνθρωπος ἀναπνεῖ.
- Ἐνδεχομένη, οἷον Παῦλος δημηγορεῖ.
- Ἀδύνατος, οἷον Ἄνθρωπος ἵπταται.

Προσδιορισμοί.




**Τῶν Προτάσεων**
- Αἱ μὲν Προσδιωρισμέναι· οἷον Πᾶς Ἄνθρωπος ἀναπνεῖ.
- Αἱ δὲ Ἀπροσδιόριστοι· οἷον Ἵππος τρέχει.

**Τὸ Ἀναγκαῖον**
- Ἢ κυρίως, ὡς τῷ Ἀνθρώπῳ τὸ ἀναπνεῖν.
- Ἢ μὴ κυρίως, ὡς τὸ, τὸν βαδίζοντα βαδίζειν ἐξ ἀνάγκης.

**Τὸ Ἀδύνατον**
- Ἢ κυρίως, ὡς τῷ Ἀνθρώπῳ ἵπτασθαι.
- Ἢ μὴ κυρίως, ἀλλ' ἕως ἂν μὴ ᾖ τὸ κατηγορούμενον, ὡς τὸ βαδίζειν τῷ μὴ βαδίζοντι.

**Τὸ Ἐνδεχόμενον διαιρεῖται**
- Εἰς τὸ Ἐπὶ πολὺ, ὡς τὸ τὸν Ἄνθρωπον πενταδάκτυλον εἶναι.
- Εἰς τὸ Ἐπίσης, ὡς τὸ ἀναγνῶναι καὶ μὴ ἀναγνῶναι.
- Εἰς τὸ Ἐπ' ἔλαττον, ὡς τὸ, τὸν σκάπτοντα θησαυρῷ περιτυχεῖν.

## ΚΕΦΑΛΑΙΟΝ. ΚΘ΄.

### Περὶ ἀπροσδιορίστων Προτάσεων.

Ἀπροσδιόριστοι Προτάσεις εἰσὶν, ὅσαι καθόλου ἔχουσαι τοὺς Ὑποκειμένους, χωρίς τε Προσδιορισμοῦ καὶ χωρὶς Ἄρθρου προφέρονται. τὸ γὰρ Ἄρθρον δηλοῖ μὲν καὶ τὴν τοῦ ὑποκειμένου μεθ' οὗ τάττεται φύσιν· δηλοῖ δὲ καὶ τὰ ὑπὸ τὸ τοιοῦτον ὑποκείμενον μερικὰ, ὅτε καὶ τὴν δύναμιν ἔχει τοῦ Πᾶς προσδιο-

ρισμοῦ· οἷον, εἰ μὲν εἴπωμεν ὁ Ἄνθρωπος εἶδός ἐστι, τὸ ἑνιαῖον τοῦ καθόλου ἀνθρώπου σημαίνομεν, τὸ πάντων τῶν κατὰ μέρος ἀνθρώπων συλληπτικόν· εἰ δέ γε φήσωμεν, ὁ ἄνθρωπος Ζῶόν ἐστι, τότε δηλοῦμεν πάντα τὰ ὑπὸ τὸν ἄνθρωπον, ἤτοι τὸ ἀνθρώπειον εἶδος, ἄτομα· καὶ οὐδὲν ἄλλο φαμὲν, ἢ ὅτι Πᾶς ἄνθρωπος ζῶόν ἐστιν. Ἐπεὶ γοῦν τὸ Ἄρθρον, καὶ πολλὰ συνεμφαίνει, καὶ ἕν, διὰ τοῦτο καὶ πρὸς τὴν τῶν καθολικῶν πραγμάτων συμπαραλαμβάνεται δήλωσιν· ὡς ὅταν λέγωμεν, ὁ Ἄνθρωπος, τὸ Ζῶον, ἡ Αἴσθησις. Ἀλλὰ καὶ πρὸς τὴν τῶν μοναδικῶν· ὡς ὅταν λέγωμεν, ὁ Ἥλιος, ἡ Σελήνη, καὶ ὁ Πέτρος, καὶ ὁ Παῦλος. Ἐνίοτε δὲ κἀπὶ τοῦ ὑπερέχοντος τῶν ὁμοστοίχων λαμβάνεται· καθὸ τὸν Παῦλον δηλῶσαι βουλόμενοι, φαμὲν ὁ Ἀπόστολος· καὶ τὸν Δαβὶδ, ὁ Προφήτης.

Ὅσαι τοίνυν τῶν Προτάσεων ἔχουσαι καθόλου τοὺς Ὑποκειμένους, ἄνευ Προσδιορισμοῦ ἢ Ἄρθρου προτείνονται, καλοῦνται Ἀπροσδιόριστοι, ἢ ἀδιόριστοι· οἷον ἄνθρωπος περιπατεῖ, ἄνθρωπος οὐ περιπατεῖ. Ταύτας δέ φησιν ὁ Ἀριστοτέλης ταῖς προσδιωρισμέναις μερικαῖς ἰσοδυναμεῖν. Ἀλλ' αἱ μὲν Καταφάσεις ἀναμφιλέκτως ἰσοδυναμοῦσι ταῖς διωρισμέναις μερικαῖς Καταφάσεσιν· αἱ δ' Ἀποφάσεις, ποτὲ μὲν ἰσοδυναμοῦσι ταῖς μετὰ προσδιορισμοῦ μερικαῖς Ἀποφάσεσι. ποτὲ δὲ ταῖς καθόλου, καὶ μάλιστα ταῖς Καθόλου· σχεδὸν γὰρ οὐδεὶς τῶν παλαιῶν, ἀντὶ τῆς μερικῆς διωρισμένης ἀποφάσεως, τῇ ἀδιορίστῳ χρησάμενος φαίνεται. Ὅμως ταῖς διαφόροις τῶν ἀποφαινομένων ἐννοίαις ἀκολουθεῖ καὶ ἡ μὴ διωρισμένη ἀπόφασις· ὅθεν ἐπὶ τῆς ἐνδεχομένης Ὕλης, ἐφ' ἧς αἱ μερικαὶ προσδιωρισμέναι συναληθεύουσιν, ἡ Τὶς δηλονότι καὶ ἡ Οὐ πᾶς· ἐπὶ ταύτης καὶ αἱ μὴ προσδιωρισμέναι συναληθεύουσι, καὶ πάλιν ἀντιφατικῶς ἀντικείσονται. Ἡ μὲν οὖν ἀδιόριστος Κατάφασις, ἰσοδυναμεῖ τῇ διωρισμένῃ μερικῇ Καταφάσει χωρὶς ἀμφιβολίας, ὡς εἴρηται. οἷον ἡ, ἄνθρωπος δίκαιός ἐστι, τῇ, Τὶς ἄνθρωπος δίκαιός ἐστιν.

Ὥσπερ οὖν ἐπὶ τῆς Διωρισμένης μερικῆς Καταφάσεως, εἴγε τεθῇ τὸ ἀρνητικὸν μόριον, ποτὲ μὲν μερικὴν

ἀπό-

κὴν ἀπόφασιν, ποτὲ δὲ καθόλου ποιεῖ· (οἷον τὸ, Τὶς ἄνθρωπος δίκαιος οὐκ ἔστιν ἀκούσαντες· εἰ μὲν πρὸς τὸ τὶς τὴν ἄρνησιν ἐξακούσαιμεν, ταυτὸν οἰόμεθα σημαίνειν τῷ Οὔτις, εἴτουν Οὐδείς· (ὅπερ φαίνεται σαφέστερον, εἰ τὸ οὐκ ἔστι τεθῇ πρὸ τοῦ τὶς· ὡς τὸ, οὐκ ἔστι τὶς ἄνθρωπος ἀθάνατος.) εἰ δὲ Πρὸς τὸν Κατηγορούμενον τὴν ἄρνησιν ἐξακούσαιμεν, ταυτὸν οἰόμεθα σημαίνειν τῷ Οὐ πᾶς, ἤγουν, Οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστιν.) Οὕτω κἀπὶ τῆς ἀδιορίστου Ἀποφάσεως, κατὰ τὴν τῶν ἀποφαινομένων διάνοιαν, καὶ τὸ μερικὸν καὶ τὸ καθόλου σημαίνεται, τῆς ἀρνήσεως συντατ{τ}ομένης, ὡς πρὸς τὸ τὶς τὸ δυνάμει περιεχόμενον ἐν τῇ ἀδιορίστῳ καταφάσει, ἢ ὡς πρὸς τὸ κατηγορούμενον. Μᾶλλον μὲν οὖν ἀποκλίνει καὶ αὕτη πρὸς τὸ καθόλου, ὅταν ἀπὸ τῆς ἀρνήσεως ποιώμεθα τῆς ἀποφάσεως τὴν ἀρχήν· οὐκ ἔστιν ἄνθρωπος δίκαιος λέγοντες. Οὕτω δὲ κἂν τῇ καθόλου Καταφάσει, τῆς ἀρνήσεως τιθεμένης πρὸ τοῦ ἐστι, καὶ δυναμένης ἢ πρὸς τὸ πᾶς ἢ πρὸς τὸ κατηγορούμενον ἐξακούεσθαι, συμβαίνει τὴν πρότασιν, ὡς μὲν ἀναιροῦσαν τὴν πᾶς, τῇ κατὰ μέρος ἀποφάσει ταυτὸν ἰσχύειν· ὅπερ σαφέστερον φαίνεται, τιθεμένου τοῦ οὐκ ἔστι, κατ' ἀρχὰς τῆς Προτάσεως· οἷον οὐκ ἔστι πᾶς ἄνθρωπος σοφός· ὡς δὲ τὸ κατηγορούμενον ἀναιροῦσαν, τῇ καθόλου ἀποφάσει ἰσοσθενεῖν· οἷον Πᾶς ἄνθρωπος σοφὸς οὐκ ἔστιν· ὅπερ ταυτόν ἐστι τῷ, Οὐδεὶς ἄνθρωπος σοφός ἐστι.

Τριῶν δ' ὄντων εἰδῶν τῶν Προτάσεων, ἤτοι τῶν Προσδιωρισμένων, τῶν Ἀπροσδιορίστων, καὶ τῶν Καθ' ἕκαστα· αἱ μὲν Προσδιωρισμέναι καὶ Ἀπροσδιόριστοι, κατὰ πάντα χρόνον ὁμοίως ἔχουσι πρὸς τὸ διαιρεῖν τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· Αἱ δὲ Καθ' ἕκαστα, κατὰ πάντα μὲν χρόνον ἐπὶ τῆς Ἀναγκαίας ὕλης καὶ Ἀδυνάτου, διαιροῦσιν ὡρισμένως τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν. Ἐπὶ δὲ τῆς Ἐνδεχομένης, κατὰ πάντα μὲν τὸν Ἐνεστῶτα καὶ τὸν Παρεληλυθότα ὡρισμένως· κατὰ δὲ τὸν Μέλλοντα, ἀορίστως· οἷον Σωκράτης διαλέξεται, ἢ Σωκράτης οὐ διαλέξεται. ὅτι μὲν γὰρ ἢ διαλέξεται, ἢ οὐ διαλέξεται, δῆλον. ὁπότερον δὲ τῆς ἀντιφάσεως ἀληθεύει μόριον, εἴτε ἡ κατά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φασις, εἴτε ἡ ἀπόφασις, ὡρισμένως οὐκ ἔστιν εἰπεῖν ἐπὶ μέλλοντος.

Διενήνοχε δὲ τὸ Μέλλον, καὶ τὸ Ἐσόμενον. Ἐσόμενον μὲν γάρ ἐστι, τὸ ἐξάπαντος ἐκβησόμενον· οἷον ἔσται Θέρος, ἔσται Χειμών· Μέλλον δέ, τὸ ἐκβῆναι καὶ μὴ ἐκβῆναι δυνάμενον· οἷον τόδε τὸ Βρέφος, ἔσται γραμματικόν. δυνατὸν γὰρ γενέσθαι καὶ μὴ γενέσθαι τὸ Βρέφος γραμματικόν.

| | |
|---|---|
| Τῶν Προτάσεων | Αἱ μὲν Προσδιωρισμέναι, οἷον Πᾶς ἄνθρωπος λογικός. |
| | Αἱ δὲ Ἀπροσδιόριστοι, οἷον Ἵππος τρέχει. |
| | Αἱ δὲ Καθ' ἕκαστα, οἷον Παῦλος δημηγορεῖ. |

## ΚΕΦΑΛΑΙΟΝ Λ'.

### Περὶ Καταφάσεως καὶ Ἀποφάσεως.

Κατάφασίς ἐστιν, ὡς προείρηται, τὸ εἰπεῖν, τί τινι ὑπάρχει· εἴτε κατ' Οὐσίαν, οἷον ὁ ἄνθρωπος Ζῶόν ἐστιν. (κατ' οὐσίαν γὰρ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ζῶον εἶναι.) εἴτε κατὰ Συμβεβηκός· ὡς Πλάτων διαλέγεται. δυνατὸν γὰρ αὐτὸν καὶ διαλέγεσθαι καὶ μὴ διαλέγεσθαι· τὸν ἄνθρωπον δὲ μὴ εἶναι ζῶον, ἀδύνατον. Ἀπόφασις δέ ἐστιν, ἀναίρεσις Καταφάσεως. ἡ Κατάφασις γὰρ τὸ ἀρνητικὸν προσλαβοῦσα μόριον, Ἀπόφασις γίνεται.

Χρὴ δὲ τὸ τοιοῦτον ἀρνητικὸν Μόριον, ἐπὶ μὲν τῶν ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου Προτάσεων, τῷ κατηγορουμένῳ συνάπτεσθαι, ἤγουν τῷ Ῥήματι. Τῆς γάρ, Πλάτων διαλέγεται, Καταφάσεως, Ἀπόφασίς ἐστιν, οὐχ ἡ λέγουσα, οὐ Πλάτων διαλέγεται· (κατάφασις γάρ ἐστι καὶ αὕτη, τὸν ὑποκείμενον ἀόριστον ἔχουσα·) ἀλλ' ἡ λέγουσα, Πλάτων οὐ διαλέγεται· τὸ δέ, οὐ διαλέγεται, καθ' αὑτὸ μὲν ὡς ἕν τι θεωρούμενον, λέγεται ἀόριστον ῥῆμα, διὰ τὸ μηδενὸς ὡρισμένου εἶναι σημαντικόν· ἐν δὲ τῇ Προτάσει παραλαμβανόμενον, ὡς τοῦ ὑποκειμένου ἀποφασκόμενον, ὡρισμένον ἐστίν· οὐκέτι γὰρ ὡς ἕν, ἀλλ' ὡς δύο λαμβάνεται, τοῦ ἀρνητικοῦ Μορίου τὸ διακεκρίσθαι τὸ κατηγορούμε-

νον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νου ὑπὸ τȣ͂ ὑποκειμένȣ ἐμφαίνοντος. Ἐπὶ μὲν ȣ̓͂ν τῶν ἐξ Ὑποκειμένȣ καὶ Κατηγορȣμένȣ Προτάσεων, γινομένης τῆς Ἀποφάσεως, τῷ Κατηγορȣμένῳ συναπτέον τὸ τῆς ἀρνήσεως Μόριον.

Ἐπὶ δὲ τῶν ἐκ τρίτȣ Προσκατηγορȣμένȣ Προτάσεων τῷ Προσκατηγορȣμένῳ συναπτέον τὸ τοιȣ͂τον τῆς ἀρνήσεως Μόριον, τῷ ἐστὶ δηλονότι καὶ ȣ̓κ ἄλλῳ τινί. Τῆς γὰρ ὁ ἄνθρωπος ζῶόν ἐστι Καταφάσεως, ȣ̓κ Ἀπόφασίς ἐστιν ἡ λέγȣσα, ὁ ἄνθρωπος ȣ̓ ζῶόν ἐστιν· αὕτη γὰρ ἐκ μεταθέσεως Κατάφασις λέγεται, διὰ τὸ μετατεθέντος τȣ͂ ἀρνητικȣ͂ μορίȣ, ἐκ τȣ͂ Προσκατηγορȣμένȣ εἰς τὸν Κατηγορȣμενον, ἐκ τῆς τοιαύτης μεταθέσεως, τὴν Ἀπόφασιν γενέσθαι Κατάφασιν· ἢ καὶ ἀντὶ τȣ͂ ὡρισμένȣ κατηγορȣμένȣ μετατεθέντος ἀορίστȣ, ἀρθέντος δηλονότι τȣ͂ ὡρισμένȣ, ἐκ τῆς τοιαύτης μεταθέσεως τȣ͂ κατηγορȣμένȣ, τὴν δηλωθεῖσαν γενέσθαι κατάφασιν. Ἡ τοίνυν, ὁ ἄνθρωπος ȣ̓ ζῶόν ἐστι, Πρότασις, Κατάφασίς ἐστιν, ȣ̓κ ἀπόφασις· ὁ γὰρ εἰπὼν, ὁ ἄνθρωπος ȣ̓ ζῶόν ἐστιν, ἔφησε τὸν ἄνθρωπον εἶναι μὴ ζῶον, ἀλλ᾽ ἕτερόν τι παρὰ τὸ ζῶον· ὁ δὲ εἰπὼν, ὁ ἄνθρωπος ζῶον ȣ̓κ ἐστιν, ἐκεῖνος ἀπέφησε τȣ͂ ἀνθρώπȣ, τὸ εἶναι ζῶον αὐτὸν, καὶ ἐδήλωσεν ὅτι ȣ̓χ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ζῶον εἶναι. Εἴρηται δ᾽ ὅτι τῶν ἀποφαντικῶν Λόγων, ὁ μὲν τινὶ ὑπάρχειν τι λέγων, Κατάφασίς ἐστιν· ὁ δὲ μὴ ὑπάρχειν, Ἀπόφασις. Κατάφασις ἄρα ἐστὶ, τὸ, ὁ ἄνθρωπος ȣ̓ ζῶόν ἐστιν· Ἀπόφασις δὲ τȣ́τȣ, τὸ, ὁ ἄνθρωπος ȣ̓ ζῶον ȣ̓κ ἐστιν. Ὡσαύτως καὶ τῆς, Σωκράτης δίκαιός ἐστι, Καταφάσεως, Ἀπόφασίς ἐστιν, ἡ, Σωκράτης δίκαιος ȣ̓κ ἐστιν· ȣ̓ μὴν, ἡ, Σωκράτης ȣ̓ δίκαιός ἐστιν· αὕτη γὰρ ἐκ μεταθέσεως ὑπάρχει Κατάφασις. Ἀπόφασις δὲ ταύτης, ἡ, Σωκράτης ȣ̓ δίκαιος ȣ̓κ ἐστιν. Ὁμοίως καὶ τȣ͂, Ἀριστοτέλης φιλοσοφῶν ἐστιν, Ἀπόφασις, τὸ, Ἀριστοτέλης φιλοσοφῶν ȣ̓κ ἐστι. τὸ δὲ, Ἀριστοτέλης ȣ̓ φιλοσοφῶν ἐστιν, ἐκ μεταθέσεως Κατάφασίς ἐστιν, Ἀπόφασις δὲ τȣ́τȣ, τὸ, Ἀριστοτέλης ȣ̓ φιλοσοφῶν ȣ̓κ ἐστιν. Ἐπὶ γὰρ τῶν ἐκ τρίτȣ Προσκατηγορȣμένȣ καταφάσεων, ἁπλῶς τὸ ἀρνητικὸν Μόριον προστιθέμενον τῷ κατηγορȣμένῳ,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένῳ, τὰς ἐκ μεταθέσεως καταφάσεις ποιεῖ· κἂν ἐκ πλειόνων δὲ σύνθετον εἴη τὸ κατηγορούμενον, εἴτε πάντων ἐξ ὧν συντέθειται τὸ τοιοῦτον, κατὰ τοῦ ὑποκειμένου λεγομένων οὐσιωδῶς. καθάπερ ἐπὶ τῶν ὁρισμῶν, εἴτε καί τινος ἐκ τούτων κατὰ συμβεβηκὸς· ὡς ὅταν εἴπωμεν, ὁ Σωκράτης ἄνθρωπος λευκός ἐστι, χρὴ τὸ ἀρνητικὸν Μόριον προτίθεσθαι τοῦ κατηγορουμένου παντὸς, ἵνα τὴν ἐκ μεταθέσεως κατάφασιν ποιήσωμεν· οἷον ὁ ἄνθρωπος, ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστι· τοῦτο ἁπλῆ Κατάφασις. ἐκ μεταθέσεως δὲ Κατάφασις, ὁ ἄνθρωπος οὐ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστι. Καὶ πάλιν, Σωκράτης ἄνθρωπος φιλόσοφος λευκός ἐστιν, ἁπλῆ Κατάφασις· ἐκ μεταθέσεως δὲ Κατάφασις, Σωκράτης οὐκ ἄνθρωπος φιλόσοφος λευκός ἐστι. Πῶς μὲν οὖν γίνεται ἡ Ἀπόφασις ἐν ταῖς ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου προτάσεσιν· ἀλλὰ δὴ κἂν ταῖς ἐκ τρίτου Προσκατηγορουμένου, διείληπται.

Ἵνα δὲ κἂν ταῖς μετὰ τρόπου προτάσεσιν, ὡς δέον ἡ ἀπόφασις γίνηται, τῷ Τρόπῳ συντακτέον τὴν ἄρνησιν. τοῦ γὰρ, ἐνδέχεται Σωκράτην βαδίζειν, Ἀπόφασίς ἐστι, τὸ, οὐκ ἐνδέχεται Σωκράτην βαδίζειν. τὸ δὲ ἐνδέχεται Σωκράτην μὴ βαδίζειν, ἐκ μεταθέσεώς ἐστι Κατάφασις· Ἀπόφασις δὲ τούτου, τὸ, οὐκ ἐνδέχεται Σωκράτην μὴ βαδίζειν. Γίνεται μὲν γὰρ Ἀπόφασις ἐπὶ τῶν τοιούτων Προτάσεων, καὶ τῷ ἐστὶ συμπλεκομένης τῆς ἀρνήσεως, ὅταν αὐτὸ δὴ τὸ ἐστὶ λαμβάνωμεν κατ' ἐνέργειαν ἐν ταῖς τοιαύταις Προτάσεσι τιθέντες πραγματικῶς, μὴ μέντοι μόνον συννοοῦντες αὐτό· οἷον ὅταν οὐ λέγωμεν, δυνατὸν τὸν σωκράτην φιλοσοφεῖν, ἀλλ' ὅταν, δυνατόν ἐστι τὸν Σωκράτην φιλοσοφεῖν. ταύτης γὰρ τῆς καταφάσεως, ἀπόφασις, καὶ ἡ, οὐ δυνατόν ἐστι τὸν Σωκράτην φιλοσοφεῖν· καὶ ἡ, δυνατὸν οὐκ ἔστι τὸν σωκράτην φιλοσοφεῖν. Ἀλλὰ κρεῖττον καὶ ἀσφαλέστερον, τὸ κατὰ πάσας τὰς Ἀποφάσεις ἐν ταῖς μετὰ τρόπου Προτάσεσι, προτιθέναι τοῦ τρόπου τὴν ἄρνησιν· εἴτ' ἔχουσιν, εἴτ' οὐκ ἔχουσι τὸ ἐστὶ προσκείμενον· καὶ τῆς, δυνατόν ἐστι Σωκράτην φιλοσοφεῖν, Καταφάσεως, Ἀπό-

φασιν

φασιν τιθέναι, τήν, οὐ δυνατόν ἐστι Σωκράτην φιλοσοφεῖν. ὡσαύτως δὲ κἀπὶ τῶν ἄλλων τῶν ὁμοίων ποιεῖν.

Ἐν δὲ ταῖς Προτάσεσι τὰ Ὀνόματα μετατιθέμενα καὶ τὰ Ῥήματα, ταυτὸ σημαίνει διὰ παντός. περὶ μὲν γὰρ τὸ εὔρυθμον καὶ σαφὲς τῆς ἀπαγγελίας, οὐκ ὀλίγην διαφορὰν ἡ τοιάδε τάξις τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐργάζεται· περὶ δὲ τὸ σημαινόμενον, οὐδὲ μίαν ποιεῖ τὴν ἐναλλαγήν· ταυτὸ γὰρ σημαίνει τὸ εἰπεῖν, ἔστιν ἄνθρωπος δίκαιος, καὶ ἔστι δίκαιος ἄνθρωπος, καὶ δίκαιος ἄνθρωπός ἐστι, καὶ ἄνθρωπός ἐστι δίκαιος. Οὕτω δὲ καὶ τὸ ἀρνητικὸν Μόριον μετὰ τοῦ ὅρου, ᾧ συνέζευκται, μετατιθέμενον, ταυτὸ σημαίνει· ταυτὸ γάρ ἐστιν εἰπεῖν, οὐκ ἔστιν ἄνθρωπος δίκαιος, καὶ οὐκ ἔστι δίκαιος ἄνθρωπος, καὶ δίκαιος ἄνθρωπος οὐκ ἔστι, καὶ ἄνθρωπος οὐκ ἔστι δίκαιος.

Αὐτὸ μέντοι τὸ ἀρνητικὸν Μόριον μετατιθέμενον καθ' αὑτό, παντάπασιν ἐξαλλάττει τὰς προτάσεις· καὶ τῷ μὲν Ὑποκειμένῳ συμπλεκόμενον ποιεῖ Κατάφασιν ἐξ ἀορίστου ὑποκειμένου, οἷον, οὐκ ἄνθρωπος δίκαιός ἐστι· τῷ δὲ Κατηγορουμένῳ, Κατάφασιν ἐκ μεταθέσεως, οἷον, ἄνθρωπος οὐ δίκαιός ἐστι· τῷ δὲ Προσκατηγορουμένῳ, Ἀπόφασιν· οἷον, ἄνθρωπος δίκαιος οὐκ ἔστιν. Ὁμοίως δὲ καί τισι προσδιορισμοῖς συμπλεκόμενον. ἐπὶ γὰρ τοῦ, πᾶς ἄνθρωπος δίκαιός ἐστι, τὸ τῆς ἀρνήσεως Μόριον, τῷ πᾶς προσδιορισμῷ συμπλεκόμενον, Ἀπόφασιν ποιεῖ τήν, Οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστι. τῷ δέ, τὶς ἄνθρωπος δίκαιός ἐστι, κατὰ τὸν τὶς προσδιορισμὸν συντιθέμενον, Ἀπόφασιν ποιεῖ, τὴν Οὐ τὶς ἄνθρωπος δίκαιός ἐστιν. Ἀλλ' ἐπεὶ τὸ Οὔτις ποιητικώτερον, ἀντ' αὐτοῦ παραλαμβάνεται τὸ τῇ κοινῇ χρήσει σύνηθες, τὸ οὐδείς, ὅπερ ἔχει τὴν ἴσην τῷ οὔτις ἰσχύν· διὸ καὶ ἡ Ἀπόφασις, οὐδεὶς ἄνθρωπος δίκαιός ἐστι. Ὀξυτόνως μέντοι τό, οὐτίς προφερόμενον, πρῶτον μὲν τῇ ἑλληνικωτέρᾳ χρήσει οὐκ ἔγνωσται, πλὴν καὶ καταχρηστικώτερον λεγόμενον τὸ Οὔτις, οὐδὲν ὡρισμένον σημαίνει κατὰ Ποσόν· ἀληθὲς γὰρ τό, Οὔτις ἄνθρωπος δίκαιός ἐστι, καὶ πλειόνων ὄντων δικαίων, καὶ μηδενὸς δικαίου ὑπάρχοντος·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅθεν καὶ διὰ τὴν τοιαύτην ἀοριστίαν, οὐδ᾽ ὅλως ἐν χρήσει τὸ τοιοῦτον ὀξύτονον οὔτις, γίνεται.

Καθάπερ δὲ τὸ ἀποφατικὸν Μόριον, καθ᾽ αὑτὸ μὲν μετατιθέμενον, ἄλλας ἐξ ἄλλων τὰς προτάσεις ποιεῖ· μετὰ δέ γε τοῦ μορίου τῆς προτάσεως, ᾧ τινι συμπεπλεγμένον ἦν ἐξ ἀρχῆς, παντοδαπῶς μετατιθέμενον, τὴν αὐτὴν τηρεῖ πρότασιν· οὕτω δὴ καὶ οἱ Προσδιορισμοὶ καθ᾽ αὑτοὺς μὲν μεταταττόμενοι, τὰς Προτάσεις ἐνίοτε ἀναστρέφουσι, καὶ ψευδεῖς ποιοῦσιν ἐξ ἀληθῶν. μετὰ μέντοι τῶν ὅρων οἷς ἐξ ἀρχῆς συνεπλάκησαν μεταβιβαζόμενοι, τὰς αὐτὰς προτάσεις φυλάττουσιν, οἷον Πᾶς ἄνθρωπος ζῶόν ἐστιν, ἔστι ζῶον Πᾶς ἄνθρωπος. ἄνθρωπος Πᾶς ζῶόν ἐστι, ζῶον Πᾶς ἄνθρωπός ἐστι, καὶ ὁσαχῶς ἄλλως ἐνδέχεται διαπλέκειν αὐτά.

Εἰ μέλλοιμεν δὲ καὶ τὰς συνακολουθούσας, εἴτουν συναληθευούσας ἢ καὶ συμψευδομένας εὑρίσκειν πασῶν τῶν προτάσεων, κανόνι τοιούτῳ χρησόμεθα. Πάσης Προτάσεως, ἢ ὡρισμένον ἐχούσης τὸν Ὑποκείμενον, ἢ ἀόριστον· καὶ ἢ ἁπλῆς οὔσης ἢ ἐκ μεταθέσεως· καὶ κατὰ μὲν τὸ Ποσόν, ἢ καθόλου οὔσης ἢ μερικῆς, ἢ ἀδιορίστου ἢ καὶ καθ᾽ ἕκαστα· κατὰ δὲ τὸ Ποιόν, ἢ καταφατικῆς ἢ ἀποφατικῆς· χρὴ τὸν μὲν ὑποκείμενον Ὅρον φυλάττεσθαι τὸν αὐτὸν ἐπὶ τῶν συνακολουθουσῶν ἀλλήλαις Προτάσεων, ἀλλὰ δὴ καὶ τὸ Ποσόν· πάντα δὲ τὰ λοιπὰ ἐναλλάττεσθαι. Προσεκτέον δὲ, μὴ τελείαν λαμβάνειν Πρότασιν τὸν Κατηγορούμενον, ἀλλὰ μέρος Προτάσεως. ἔστω γὰρ ὡς ἐν ὑποθέσει Πρότασις, ἡ, ἄνθρωπος δίκαιός ἐστι· δεῖ τὸ μὲν ἄνθρωπος, Ὑποκείμενον λαβεῖν· τὸ δὲ, δίκαιός ἐστι, Κατηγορούμενον· καὶ μὴ ὅλον, τὸ, ἄνθρωπος δίκαιός ἐστι, κατηγορούμενον. Τούτῳ τῷ κανόνι προσέχοντες, τὰς συνακολουθούσας Προτάσεις ἁπάσας εὑρήσομεν· οἷον, ἐπὶ τῶν προσδιωρισμένων, τῇ, Πᾶς ἄνθρωπος ζῶόν ἐστιν, ἁπλῇ οὔσῃ Καταφάσει καθόλου, ἡ ἐκ μεταθέσεως καθόλου Ἀπόφασις συνακολουθεῖ, ἡ, Οὐδεὶς ἄνθρωπος οὐ ζῶόν ἐστι· καὶ τῇ, Τὶς ἄνθρωπος Φιλόσοφός ἐστιν, ἁπλῇ οὔσῃ Καταφάσει μερικῇ, ἡ ἐκ μεταθέσεως μερικὴ Ἀπόφασις συνακολουθεῖ, ἡ, Οὐ πᾶς ἄν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρωπος οὐ φιλόσοφός ἐστι. Χρὴ γὰρ τὴν μὲν Κατάφασιν, γίνεσθαι Ἀπόφασιν ἐπὶ τῶν συνακολουθουσῶν· καὶ τὴν Ἀπόφασιν, Κατάφασιν· τὴν Ἁπλῆν, Ἐκ μεταθέσεως· καὶ τὴν Ἐκ μεταθέσεως, Ἁπλῆν· τἆλλα δὲ πάντα φυλάττεσθαι ἀπαράλλακτα· οἷον τὸ Καθόλου, μένειν καθόλου· καὶ τὸ Μερικὸν, μερικόν· τὸ Προσδιωρισμένον, προσδιωρισμένον· καὶ τὸ Ἀδιόριστον, ἀδιόριστον· καὶ τὸ Καθ᾽ ἕκαστα, καθ᾽ ἕκαστα· καὶ τὸν Ὑποκείμενον τὸν αὐτόν. Ὅθεν, τῇ, Σωκράτης δίκαιός ἐστι, συνακολουθήσει, ἡ, Σωκράτης οὐ δίκαιος οὐκ ἐστι· καὶ ἀνάπαλιν, τῇ, ἄνθρωπος πολυμαθής ἐστιν, ἡ, ἄνθρωπος οὐ πολυμαθής οὐκ ἐστιν. Ἀλλὰ δεῖ ἐνταῦθα, ἤγουν ἐν ταῖς ἀδιορίστοις προτάσεσι, μεμνῆσθαι οὗπερ εἰρήκαμεν πρότερον· ὅτι αἱ Ἀποφάσεις αὗται, οὐκ ἰσοδυναμοῦσιν ἀναμφιλέκτως ταῖς μερικαῖς. ὥστε, ἡ, ἄνθρωπος οὐ πολυμαθὴς οὐκ ἐστιν, ἀπόφασις, οὐκ ἐναργῶς συνακολουθήσει τῇ, ἄνθρωπος πολυμαθής ἐστιν· ἐν τῷ Ποσῷ θεωρουμένης ἐξαλλαγῆς· εἴ γε τῶν ἀπροσδιορίστων προτάσεων, αἱ μὲν Καταφάσεις ἰσοσθενοῦσιν ὁμολογουμένως ταῖς μερικαῖς, αἱ δ᾽ Ἀποφάσεις οὐχ οὕτως ἔχουσαι φαίνονται.

**Ἡ Κατάφασις,**
- Ἡ κατ᾽ Οὐσίαν, οἷον Ἄνος Ζῷόν ἐστιν·
- Ἡ κατὰ Συμβεβηκὸς, ὡς Πλάτων διαλέγεται.

**Τὸ τῆς Ἀποφάσεως Μόριον.**
- Ἐπὶ μὲν τῶν ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου Προτάσεων τῷ Κατηγορουμένῳ συνάπτον, οἷον Πλάτων οὐ διαλέγεται.
- Ἐπὶ δὲ τῶν ἐκ τρίτου Προσκατηγορουμένων, τῷ Προσκατηγορουμένῳ, οἷον Ἄνος Ἄλογον οὐκ ἐστιν.
- Ἐπὶ δὲ τῶν ἐκ Μεταθέσεως, τῷ Κατηγορουμένῳ· οἷον Ἄνος οὐ κἄλογόν ἐστιν. οὐκ Ἀπόφασις δ᾽ αὕτη, ἀλλὰ Κατάφασις.
- Ἐπὶ τῶν μετὰ Τρόπου δὲ, τῷ Τρόπῳ· οἷον οὐκ ἐνδέχεται Σωκράτην βαδίζειν.
- Ἐπὶ δὲ τῶν τῶν ἐξ Ἀορίστου Ὑποκειμένου, τῷ Ὑποκειμένῳ, οἷον, οὐκ Ἄνος δίκαιός ἐστιν· ἢ καὶ ἐξ Ἀορίστου Κατάφασις λέγεται.
- Καὶ ἐπὶ τῶν Καθόλου δὲ ἢ μερικῶν Προσδιορισμῶν συνάπτον, Καθόλου ἢ κατὰ μέρος Ἀποφατικὴν βουλομένους ποιῆσαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πᾶσα Πρότασις:
- Ἡ Ὁρισμένη·
- Ἡ Ἀόριστος·
- Ἡ Ἁπλῆ·
- Ἡ Ἐκ Μεταθέσεως· ἢ
  - Ἡ Καθόλου Ἀποφατική· οἷον, Οὐδεὶς Ἄνθρωπος οὐ Ζῶόν ἐστιν.
  - Ἡ Μερική· οἷον, Οὐ πᾶς Ἄνθρωπος οὐ Φιλόσοφός ἐστι.
- Ἡ Καθόλου·
- Ἡ Μερική·
- Ἡ Καταφατική·
- Ἡ Ἀποφατική·

# ΚΕΦΑΛΑΙΟΝ. ΛΑʹ.

## Περὶ Συλλογισμοῦ καὶ Ἀντιστροφῆς.

Συλλογισμός ἐστι Λόγος, ἐν ᾧ, τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. Λόγος γάρ ἐστιν ὁ Συλλογισμὸς, ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος· ἐν ᾧ οὖν τῷ Λόγῳ τεθέντων, εἴτουν ὁμολογηθέντων τινῶν, (ταῦτα δέ εἰσιν αἱ Προτάσεις.) κατὰ πᾶσαν ἀνάγκην συμβαίνει, διὰ τὸ εἶναι ταύτας δὴ τὰς Προτάσεις ἕτερόν τι τῶν τοιούτων προτάσεων, ἓν δηλονότι καὶ ὡρισμένον, ὅπερ ἐστὶ τὸ Συμπέρασμα. Τεθέντος δὲ τοῦ ἐξ ἀνάγκης ἐν τῷ λόγῳ τοῦ Συλλογισμοῦ, ἵνα μήτις ἴσως ἐπὶ μόνης ὑπολάβοι τῆς ἀναγκαίας Ὕλης ἕπεσθαι τὸ Συμπέρασμα ταῖς Προτάσεσι, τὸ συμβαίνει προσέθεται· τοῦτο δὲ δηλοῖ, τὸ συντρέχειν Φυσικῶς ταῖς προτάσεσιν, ἤγουν σὺν αὐταῖς βαίνειν, ὡς ἂν εἴποι τις ἐτυμολογῶν.

Πᾶς τοίνυν ἁπλοῦς Συλλογισμὸς, ἐκ Προτάσεων συνίσταται δύω, καὶ Συμπεράσματος ἑτέρου παρὰ τὰς προτάσεις ὄντος, ἑνός τε καὶ ὡρισμένου, Καταφατικοῦ τουτέστιν ἢ Ἀποφατικοῦ, Καθόλου ἢ Μερικοῦ. Ἠναγκασμένως δὲ καὶ ἀπαραιτήτως, ἐπὶ πάσης Ὕλης συμβαίνει· ταυτὸν δ' εἰπεῖν, συνακολουθεῖ τὸ Συμπέρασμα ταῖς προτάσεσιν, οὐ διὰ τὴν Φύσιν τῶν πραγμάτων, ἀλλὰ διὰ τὴν θέσιν τῶν προτάσεων. Αἱ δὴ Προτάσεις αὐτάρκεις εἰσὶ πρὸς τὸ συναγαγεῖν τὸ Συμπέρασμα, μηδεμιᾶς ἄλλης προτάσεως πρὸς τοῦτο δεόμεναι. Τοῦτο δ' ὅλον, αἱ δύω Προτάσεις δηλαδὴ μετὰ καὶ τοῦ Συμπεράσματος, καλεῖται Συλλογισμός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σμός· ὅτιπερ ἐκ τῶν τοιούτων Προτάσεων διὰ τοῦ Συμπεράσματος συλλογιζόμεθα· τουτέστι συνάγομεν λογικῶς τὸ εἰς δεῖξιν προκείμενον. Συλλογὴ γὰρ λόγων ἐστὶν ὁ Συλλογισμός. Πρόκειται γοῦν ἡμῖν ἴσως δεῖξαι τὴν λογικὴν Ψυχὴν ἀεικίνητον, καὶ λέγομεν οὕτως· ἡ λογικὴ ψυχὴ αὐτοκίνητος, τοῦτο Πρότασις· τὸ αὐτοκίνητον, ἀεικίνητον· ἑτέρα Πρότασις· ταύταις οὖν ταῖς δυσὶ προτάσεσιν, ἐξ ἀνάγκης συνέπεται [τὸ] Συμπέρασμα, ὅτι ἡ λογικὴ Ψυχὴ ἀεικίνητος· τοῦτο δὲ ἦν τὸ εἰς δεῖξιν προκείμενον. Ἄλλος πάλιν συλλογισμός, δι᾽ οὗ τὴν λογικὴν Ψυχὴν ἀθάνατον δείκνυμεν· ἡ λογικὴ ψυχὴ ἀεικίνητος· τὸ ἀεικίνητον, ἀθάνατον· ἡ λογικὴ ψυχὴ ἄρα ἀθάνατος. μία Πρότασις, ἡ λογικὴ ψυχὴ ἀεικίνητος· ἑτέρα Πρότασις, τὸ ἀεικίνητον ἀθάνατον· Συμπέρασμα δέ, ἡ λογικὴ Ψυχὴ ἀθάνατος· ὅπερ ἐξ ἀνάγκης συνηκολούθησε ταῖς ληφθείσαις προτάσεσιν, ἕτερον ὂν παρ᾽ αὐτάς. Ποτὲ δὲ καὶ αὐτὸ τὸ Συμπέρασμα καλεῖται Συλλογισμός, ὡς τὰ διεστῶτα ἐν τοῖς λόγοις, εἴτουν ἐν ταῖς προτάσεσι, τοὺς ἄκρους Ὅρους φημί, συνάγον ὁμοῦ, καὶ ὡς συλλέγον τὴν ἐν πᾶσι τοῖς ὅροις διεσπαρμένην ἀπόδειξιν. Ὁ τοίνυν κυρίως Συλλογισμὸς ὁ ἁπλοῦς, ἐκ Προτάσεων συνίσταται δύω, καὶ τοῦ Συμπεράσματος.

Οἱ δὲ σύνθετοι Συλλογισμοὶ ἐκ πλειόνων Προτάσεων σύγκεινται. δυνατὸν γὰρ ἐκ τῶν εἰρημένων συλλογισμῶν, ἕνα συνθέντας εἰπεῖν. ἡ λογικὴ Ψυχή, αὐτοκίνητος· τὸ αὐτοκίνητον, ἀεικίνητον· τὸ ἀεικίνητον, ἀθάνατον· ἡ λογικὴ ψυχὴ ἄρα ἀθάνατος.

Πᾶσα δὲ Πρότασις, ἐξ Ὑποκειμένου καὶ Κατηγορουμένου συνίσταται· οἱ μόνοι καὶ ὅροι κυρίως εἰσίν· εἰς αὐτοὺς γὰρ ἀναλύεται ἡ Πρότασις, ὡς εἴς τινα Στοιχεῖα καὶ πρώτας Ἀρχάς. Καὶ ὁ μὲν Κατηγορούμενος, ἢ μείζων ὀφείλει εἶναι τοῦ Ὑποκειμένου, ἢ ἴσος· ἐλάττων δέ, οὐδαμῶς· ὁ δέ γε Ὑποκείμενος, ἢ ἐλάττων ἢ ἴσος· μείζων δέ, οὐδαμῶς. Ὅταν μὲν οὖν ἐκ τοῦ Ὑποκειμένου πρὸς τὸν Κατηγορούμενον ἐρχώμεθα, λέγεται Ἐν ὅλῳ· ὡς ὅταν εἴπωμεν· ἡ λογικὴ ψυχή, αὐτοκίνητος· ἤγουν, ἡ λογικὴ ψυχὴ

ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν παντὶ τῷ αὐτοκινήτῳ· ἢ ἐν ὅλῳ τῷ αὐτοκινήτῳ· ἐν ὅλῳ γὰρ τῷ αὐτοκινήτῳ ἡ λογικὴ ψυχὴ ὡς μέρος ἐστί. ταυτὸν δέ ἐστιν εἰπεῖν, ἡ λογικὴ ψυχὴ, ἐν ὅλῳ τῷ αὐτοκινήτῳ· καὶ ἡ λογικὴ ψυχὴ, αὐτοκίνητος. Ὅταν δὲ πρὸς τὸν Ὑποκείμενον ἐκ τοῦ Κατηγορουμένου ἐρχώμεθα, τότε λέγεται Κατὰ παντός· ὡς ὅταν εἴπωμεν, τὸ αὐτοκίνητον κατὰ πάσης ψυχῆς λογικῆς· ἢ οὕτως, τὸ αὐτοκίνητον πάσῃ ψυχῇ λογικῇ ὑπάρχει, τοῦτο λέγοντες, ὅτι τὰ ἄτομα πάντα τῆς λογικῆς ψυχῆς ἔχει τὸ εἶναι καὶ λέγεσθαι αὐτοκίνητα.

Ὥσπερ δὲ τὸ Ἐν ὅλῳ, καὶ τὸ Κατὰ παντὸς ἐν ταῖς καταφατικαῖς Προτάσεσιν, οὕτως ἐν ταῖς Ἀποφατικαῖς τὸ Οὐκ ἐν ὅλῳ καὶ τὸ Κατ' οὐδενός. Ὅταν μὲν γὰρ ἐπὶ τῶν Ἀποφατικῶν Προτάσεων ἐκ τοῦ Ὑποκειμένου πρὸς τὸν Κατηγορούμενον ἐρχώμεθα, τότε λέγεται Οὐκ ἐν ὅλῳ· οἷον ὁ ἄνθρωπος, ἄψυχον οὐκ ἔστιν· ἢ, ὁ ἄνθρωπος οὐκ ἐν ὅλῳ τῷ ἀψύχῳ ἐστίν· ἀντὶ τοῦ, μέρος οὐκ ἔστι τοῦ ἀψύχου ὁ ἄνθρωπος. Ὅταν δὲ πρὸς τὸν Ὑποκείμενον ἐκ τοῦ Κατηγορουμένου ἐρχώμεθα, τότε λέγεται Κατ' οὐδενός· οἷον τὸ ἄψυχον κατ' οὐδενὸς ἀνθρώπου ἐστίν· ἢ τὸ ἄψυχον οὐδενὶ ἀνθρώπῳ ὑπάρχει· τουτέστιν, οὐδὲν τῶν τοῦ ἀνθρωπείου εἴδους ἀτόμων ἔχον εὑρεθήσεται τὸ εἶναι ἢ λέγεσθαι ἄψυχον.

Δύο μὲν οὖν Προτάσεις ὁ κυρίως ἔχει Συλλογισμὸς ὁ ἁπλοῦς. Ἀλλ' ἡ μὲν αὐτῶν καλεῖται Μείζων, ἡ δ' Ἐλάττων. καὶ Μείζων μὲν, ἡ τὸν Ὅρον ἐκεῖνον ἔχουσα κατηγορούμενον, ὅνπερ καὶ τὸ συμπέρασμα· Ἐλάττων δέ ἐστιν ἡ λοιπή· οἷον ἐπὶ τοῦδε τοῦ συλλογισμοῦ· ἡ ψυχὴ, ἀεικίνητος· τὸ ἀεικίνητον, ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος· μείζων Πρότασίς ἐστιν ἡ λέγουσα, τὸ ἀεικίνητον, ἀθάνατον. ἔχει γὰρ τὸ ἀθάνατον, κατηγορούμενον· ὅπερ ἐστὶ καὶ τῷ συμπεράσματι ὁμοίως κατηγορούμενον. τὸ συμπέρασμα γὰρ, ἡ ψυχὴ ἀθάνατος. ἐλάττων δὲ Πρότασίς ἐστιν ἡ λέγουσα, ὅτι ἡ ψυχὴ, ἀεικίνητος.

Ἐπὶ δὲ τῶν συνθέτων Συλλογισμῶν ἀναλόγως, Μείζων μέν ἐστι πασῶν Προτάσεων ἡ ἔχουσα κατηγορούμενον τὸν

αὐτὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτὸν Ὅρον, ὅπερ καὶ τὸ συμπέρασμα· Ἐλάττων δὲ ἡ τὸν τοιοῦτον Ὅρον μὴ ἔχουσα· καὶ ἔτι ἐλάττων, ἡ ἔχουσα τὸν αὐτὸν ὑποκείμενον, ὅνπερ καὶ τὸ συμπέρασμα.

Λέγεται δὲ καὶ χείρων Πρότασις, ἐν Συλλογισμῷ, καὶ κρείττων. ἐπεὶ γὰρ πᾶσα Πρότασις, καὶ Ποσὸν ἔχει· (ἢ γὰρ Καθόλου ἢ Μερική). καὶ Ποιόν· (ἢ γὰρ Καταφατική, ἢ Ἀποφατική.) χείρων μέν ἐστι κατὰ [τὸ] Ποσόν, τῆς Καθόλου ἡ Μερική· χείρων δὲ καὶ κατὰ τὸ Ποιὸν τῆς Καταφατικῆς ἡ Ἀποφατική. λοιπὸν κρείττους ἡ Καθόλου τῆς Μερικῆς, καὶ ἡ Καταφατικὴ τῆς Ἀποφατικῆς· τῇ χείρονι δὲ τῶν προτάσεων ἕπεται τὸ Συμπέρασμα. Εἰ μὲν οὖν ἐκ δύω Καταφατικῶν συσταίη ὁ Συλλογισμὸς, καὶ ἀμφοῖν καθόλου, οὐδεμία Πρότασις ἐν τούτῳ χείρων ἐστί· καὶ ἔσται τὸ Συμπέρασμα, καὶ καταφατικὸν, καὶ καθόλου. Ἂν δ᾽ ἐκ δύω καταφατικῶν εἴη Προτάσεων ὁ Συλλογισμὸς, τῆς μὲν μιᾶς καθόλου, τῆς ἑτέρας δὲ μερικῆς· ἐπεὶ χείρων ἐστὶν, ὡς εἴρηται, τῆς καθόλου ἡ μερική· ταύτῃ δὴ τῇ χείρονι ἑπόμενον τὸ Συμπέρασμα, ἔσται μερικὸν καταφατικόν. Ἂν δ᾽ ἐκ μιᾶς μὲν Καταφατικῆς, ἑτέρας δὲ Ἀποφατικῆς, καὶ ἀμφοῖν δὲ καθόλου συμπλακείη Συλλογισμὸς, ἔσται τὸ Συμπέρασμα καθόλου μὲν, (ἐπείπερ οὐδεμία πρότασις μερική.) ἀποφατικὸν δὲ, τῇ χείρονι κατὰ τὸ Ποιὸν προτάσει ἑπόμενον. Ἂν δ᾽ ἐκ μερικῆς Καταφατικῆς, καὶ καθόλου Ἀποφατικῆς ἀπαρτισθείη Συλλογισμὸς, ἀκολουθήσει τὸ Συμπέρασμα, τῇ καταφατικῇ μὲν κατὰ τὸ Ποσόν, τῇ ἀποφατικῇ δὲ κατὰ τὸ Ποιόν· καὶ ἔσται μερικὸν ἀποφατικὸν ἐξ ἀμφοτέρων τῶν προτάσεων τὸ χείριστον ἐκλεξάμενον. Ἐκ δύω δὲ ἀποφατικῶν Προτάσεων, κἂν καθόλου εἶεν· ἢ ἐκ δύω μερικῶν, κἂν καταφατικαὶ εἶεν, οὐδέποτε δύναται γενέσθαι Συλλογισμός.

Ἡ δ᾽ Ἀντιστροφὴ, οἱονεὶ στροφή τίς ἐστιν εἰς τοὔπισω καὶ παλινδρόμησις. Αὕτη ἡ Ἀντιστροφὴ, καὶ ἐν Ὅροις θεωρεῖται, καὶ ἐν Προτάσεσι, καὶ ἐν Συλλογισμοῖς. Ἀλλὰ περὶ μὲν τῆς ἐν Ὅροις ἀντιστροφῆς, ἐν τῷ περὶ τῶν Πρός τι κεφαλαίῳ διείληπται· ὅτι ὁ Πατὴρ, Υἱοῦ Πατήρ· καὶ ὁ Υἱὸς, Πατρὸς Υἱός, καὶ τὰ ἑξῆς.



ΠΑΝΕΠΙΣΤΗΜ… ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν Συλλογισμοῖς δὲ γίνεται Ἀντιστροφὴ, ὅταν τὸ Συμπέρασμα λαβόντες, καὶ προσθέντες τὴν μείζω τῶν Προτάσεων, τὴν ἐλάττω κατασκευάσωμεν· οἷον κείσθω Συλλογισμὸς ὁ λέγων, ἡ λογικὴ ψυχὴ, αὐτοκίνητος· τὸ αὐτοκίνητον, ἀεικίνητον· τὸ ἀεικίνητον, ἀθάνατον· ἡ λογικὴ ψυχὴ, ἀθάνατος· ἔχομεν ἓν τὸ αὐτὸ Συμπέρασμα, ὅτι ἡ λογικὴ ψυχὴ ἀθάνατος· τοῦτο λαβόντες καὶ ποιήσαντες ἐλάττω Πρότασιν, εἶτα προσθέντες τὰς λοιπὰς, ποιοῦμεν Συμπέρασμα, τὴν πρὶν οὖσαν ἐλάττω Πρότασιν, λέγοντες οὕτως. ἡ λογικὴ ψυχὴ, ἀθάνατος· τὸ ἀθάνατον, ἀεικίνητον· τὸ ἀεικίνητον, αὐτοκίνητον· ἡ λογικὴ ψυχὴ ἄρα αὐτοκίνητος. Ἐνδέχεται δὲ καὶ τὴν ἐλάττω Πρότασιν τῷ συμπεράσματι συμπλέξαντας, ποιῆσαι Συμπέρασμα τὴν ἐν τῷ προτέρῳ Συλλογισμῷ μείζω Πρότασιν· οἷον ἡ λογικὴ ψυχὴ, ἀθάνατος· τὸ ἀθάνατον, αὐτοκίνητον· τὸ αὐτοκίνητον, ἀεικίνητον· ἡ λογικὴ ψυχὴ ἄρα ἀεικίνητος. Οὕτω μὲν οὖν γίνεται ἡ ἐν Συλλογισμοῖς Ἀντιστροφή.

Ἡ δ᾽ ἐν Προτάσεσι γινομένη Ἀντιστροφὴ, ἡ τὴν μὲν τάξιν τῶν Ὅρων φυλάττει, τὸν αὐτὸν τηροῦσα κατηγορούμενον, καὶ τὸν αὐτὸν ὑποκείμενον· μόνην δὲ τὴν ποιότητα μεταβάλλει, ποιοῦσα τὴν ἀποφατικὴν Πρότασιν, καταφατικὴν· καὶ τὴν καταφατικὴν, ἀποφατικήν. Καὶ λέγεται αὕτη ἐνδεχομένη Ἀντιστροφὴ, ὡς ἐπὶ μόνης τῆς ἐνδεχομένης Ὕλης συνισταμένη· οἷον, Τὶς ἄνθρωπος λούεται, Τὶς ἄνθρωπος οὐ λούεται· αὕτη δ᾽ οὐκ ἂν εἴη κυρίως Ἀντιστροφή. Εἰ δὲ μήτε τῶν Ὅρων ἡ τάξις φυλάττοιτο, μήτε μὴν ἡ ποιότης, γίνεται ἡ καλουμένη σὺν ἀντιθέσει Ἀντιστροφή. Καλεῖται δ᾽ οὕτως, διὰ τὸ ἀντιστρέφειν ἡμᾶς ἐκ τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον, λαμβάνοντας τοὺς ἀντικειμένους τῶν Ὅρων. ἀντὶ καταφατικῶν, ἀποφατικοὺς, καὶ ἀντὶ ἀποφατικῶν, καταφατικούς. οἷον, εἰ ὁ ἄνθρωπος, ζῶον· τὸ μὴ ζῶον, οὐδὲ ἄνθρωπος· καὶ εἰ τὸ πῦρ, οὐ ψυχρόν· τὸ ψυχρὸν, οὐχὶ πῦρ. Ἀναγκαιοτάτη δὲ ἐστιν ἐπὶ πάσης Ὕλης ἡ τοιαύτη Ἀντιστροφή. Εἰ δ᾽ ἡ μὲν Ποιότης ἡ αὐτὴ μένει τῶν Προτάσεων, ἡ τάξις δὲ μόνη

νη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νη τῶν Ὅρων ἐναλλάττοιτο, καὶ ὁ μὲν ὑποκείμενος γίνεται κατηγορούμενος, ὁ δὲ κατηγορούμενος ὑποκείμενος, γίνεται ἡ ἁπλῆ ἀντιστροφή· ἁπλῆ γὰρ Ἀντιστροφή ἐστι κοινωνία δύω Προτάσεων, κατ᾽ ἀμφοτέρους τοὺς ὅρους· τῆς μὲν τάξεως τῶν Ὅρων ἀμειβομένης, τοῦ δὲ ποιοῦ φυλαττομένου μετὰ τοῦ συναληθεύειν.

Ἐπεὶ δὲ κατ᾽ εἶδος τέσσαρες αἱ Προτάσεις εἰσὶ, καθόλου καταφατικὴ, καθόλου ἀποφατικὴ, μερικὴ καταφατικὴ, μερικὴ ἀποφατικὴ· ἡ μὲν καθόλου Καταφατικὴ, πρὸς τὴν μερικὴν Καταφατικὴν ἀντιστρέψει, κατὰ τὴν ῥηθεῖσαν Ἀντιστροφὴν τὴν ἁπλῆν· οἷον Πᾶς ἄνθρωπος, ζῶον· καὶ Τὶ ζῶον, ἄνθρωπος· ἡ δὲ καθόλου Ἀποφατικὴ πρὸς ἑαυτὴν· οἷον, Οὐδεὶς ἄνθρωπος, ἄλογός ἐστι· καὶ Οὐδὲν ἄλογον, ἄνθρωπός ἐστι. Καὶ ἡ μερικὴ δὲ Καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει, οἷον, Τὶς ἄνθρωπος λευκὸς, καὶ Τὶ λευκὸν ἄνθρωπος. Ἡ δέ γε μερικὴ Ἀποφατικὴ, ἐπὶ μόνων τῶν ἐνδεχομένων πραγμάτων ἀντιστρέφει πρὸς ἑαυτὴν, οἷον, Οὐ πᾶς ἄνθρωπος πενταδάκτυλος· καὶ Οὐ πᾶν πενταδάκτυλον, ἄνθρωπος. Ἐπὶ δὲ τῶν ἄλλων, οὔτε πρὸς ἑαυτὴν ἀντιστρέφει, οὔτε πρὸς τὴν καθόλου ἀποφατικήν. εἰ γὰρ εἴπωμεν, Οὐ πᾶν ζῶον ἵππος, οὐ δυνάμεθα εἰπεῖν, καὶ, Οὐ πᾶς ἵππος, ζῶον· ἢ, Οὐδεὶς ἵππος, ζῶον· Πᾶς γὰρ ἵππος, ζῶόν ἐστιν. ὅθεν καὶ ἀποδοκιμάζεται ἡ ἀντιστροφὴ τῆς Οὐ πᾶς. Ἀλλ᾽ οὐδ᾽ ἡ καθόλου Ἀποφατικὴ, ἐπί γε τῶν ἐνδεχομένων ἀντιστρέφει πρὸς ἑαυτήν. ἔστι μὲν γὰρ εἰπεῖν, ὡς ἐνδέχεται μηδένα ἄνθρωπον λούσασθαι. οὐκ ἔστι δὲ καὶ ἀντιστρέψαντας εἰπεῖν, ὅτι ἐνδέχεται μηδὲν λουόμενον, ἄνθρωπον εἶναι. λούεται γὰρ καὶ Ἵππος καὶ Βοῦς, καὶ οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν τὸν ἵππον ἢ τὸν βοῦν ἐνδέχεσθαι μὴ εἶναι ἄνθρωπον. ἀνάγκη γὰρ μᾶλλον ταῦτα μὴ εἶναι ἄνθρωπον· τουτέστιν, ἀδύνατον εἶναι τὸν Ἵππον ἢ τὸν Βοῦν, ἄνθρωπον. ὃ γὰρ ἀνάγκη μὴ εἶναι, τοῦτ᾽ ἀδύνατον εἶναι· ὃ δὲ δύναται καὶ εἶναι καὶ μὴ εἶναι, τοῦτ᾽ ἐνδέχεσθαι λέγομεν.

Πᾶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

**Πᾶς Συλλογισμός,**
- Ἡ Ἁπλοῦς ἐστιν· ὅστις,
  - Ἐκ δύω μὲν συνέστη Προτάσεων· ὧν,
    - Ἡ μὲν Μείζων, ἡ τὸν Ὅρον ἐκεῖνον ἔχουσα Κατηγορούμενον, ὃν καὶ τὸ Συμπέρασμα·
    - Ἡ δὲ Ἐλάττων.
  - Ἐξ ἑνὸς δὲ Συμπεράσματος.
- Ἡ Σύνθετος· ὃς
  - Ἐκ πλειόνων συνέστη Προτάσεων· ὧν,
    - Ἡ μὲν Μείζων, ἡ τὸν αὐτὸν ἔχουσα Ὅρον Κατηγορούμενον, ὃν καὶ τὸ Συμπέρασμα·
    - Ἡ δὲ Ἐλάττων. ἡ τὸν τοιοῦτον Ὅρον οὐκ ἔχουσα·
    - Ἡ δ᾽ ἔτι Ἐλάττων, ἡ τὸν αὐτὸν ὃν καὶ τὸ Συμπέρασμα ἔχουσα Ὑποκείμενον.
  - Καὶ Ἑνὸς Συμπεράσματος.

**Πᾶσα Πρότασις,**
- Ἐξ Ὑποκειμένου συνίσταται. ὅπερ,
  - Ἢ Ἔλαττον ὀφείλει τοῦ Κατηγορουμένου εἶναι,
  - Ἢ Ἴσον· μεῖζον δὲ οὐδαμῶς· λέγεται δέ,
    - Ἐν Ὅλῳ μὲν εἶναι τῷ Κατηγορουμένῳ Καταφατικῶς·
    - Οὐκ Ἐν Ὅλῳ δ᾽ Ἀποφατικῶς.
- Καὶ Κατηγορουμένου· ὅπερ,
  - Ἢ Μεῖζον ὀφείλει εἶναι τοῦ Ὑποκειμένου,
  - Ἢ Ἴσον· Ἔλαττον δὲ οὐδαμῶς· λέγεται δέ,
    - Κατὰ παντὸς μὲν εἶναι τοῦ Ὑποκειμένου Καταφατικῶς.
    - Οὐ Κατὰ παντὸς δ᾽ Ἀποφατικῶς.

**Πᾶσα Πρότασις,**
- Ἔχει μὲν Ποσόν, τὸ Καθόλου ἢ Μερικόν.
- Ἔχει δὲ καὶ Ποιόν, τὸ Καταφατικόν, ἢ ἀποφατικόν· τούτων δέ,
  - Τοῦ μὲν Ποσοῦ, Κρεῖττον μέν, τὸ Καθόλου· Χεῖρον δέ, τὸ Μερικόν.
  - Τοῦ δὲ Ποιοῦ, Κρεῖττον μὲν τὸ Καταφατικόν· Χεῖρον δὲ τὸ Ἀποφατικόν· Ἀεὶ δὲ ἐν τούτοις, μὴ ὄντος Καθόλου καταφατικοῦ τοῦ Συλλογισμοῦ, τῇ χείρονι τῶν Προτάσεων ἕπεται τὸ Συμπέρασμα.

**Ἡ Ἀντιστροφή,**
- Ἡ Ἐν Ὅροις θεωρεῖται,
- Ἡ Ἐν Συλλογισμοῖς,
- Ἡ Ἐν Προτάσεσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΕΦΑ-

# ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

## Περὶ τῶν τριῶν Σχημάτων.

Ἐν τῷ ἁπλῷ Συλλογισμῷ, τρεῖς κυρίως Ὅροι εἰσί· δύω γὰρ Προτάσεις ὁ ἁπλοῦς ἔχει Συλλογισμὸς, ὧν ἑκάστη δύω κέκτηται Ὅρους· ἕνα Ὑποκείμενον, καὶ ἕνα Κατηγορούμενον. Ἀλλ' Ἴδιον μὲν ἔχει τὸν ἕνα τῶν ὅρων, τὸν δὲ λοιπὸν τῇ ἑτέρᾳ προτάσει Κοινόν. Ὥστε τρεῖς Ὅροι τὸν ἁπλοῦν συνιστῶσι συλλογισμόν· οἱ δύω Ἴδιοι, καὶ ὁ Κοινός· οἱ μὲν οὖν ἴδιοι, Ἄκροι· ὁ δὲ κοινὸς, Μέσος· οἷον, ἔστω Πρότασις, ὁ ἄνθρωπος Ζῶον· ἑτέρα Πρότασις, τὸ ζῶον, Οὐσία· ταύταις δὴ ταῖς δυσὶ Προτάσεσι, τὸ ζῶον, Ὅρος κοινός· ὁ δὲ αὐτὸς ὅρος καὶ μέσος ἐστίν· Ἴδιος δὲ καὶ ἄκρος Ὅρος, τῇ μὲν τῶν Προτάσεων, ὁ Ἄνθρωπος· τῇ δὲ, ἡ Οὐσία· συναγόμενοι δὲ οἱ ἄκροι τῶν ὅρων εἰς ταυτὸ, καὶ οἷον ἑνούμενοι, συμπέρασμα γίνονται· εἰ γὰρ ὁ Ἄνθρωπος Ζῶον, καὶ τὸ ζῶον Οὐσία, ὁ ἄνθρωπος οὐσία ἐστίν. Ὁ τοίνυν κοινὸς καὶ μέσος Ὅρος, ὁ δὶς ἐν τῇ συνθήκῃ τῶν Προτάσεων λαμβανόμενος, ἢ κατὰ μὲν τὴν μίαν τῶν Προτάσεων ὑπόκειται, τουτέστιν, Ὑποκείμενός ἐστι· κατὰ δὲ τὴν ἄλλην κατηγορεῖται, τουτέστι Κατηγορούμενός ἐστιν, ἢ καὶ κατ' ἄμφω τὰς Προτάσεις κατηγορεῖται, ἢ καὶ κατ' ἄμφω ὑπόκειται· καὶ οὕτω τρία Σχήματα Συλλογισμῶν ἀναφαίνεται. Εἰ μὲν γὰρ ὁ κοινὸς καὶ μέσος Ὅρος, κατὰ μὲν τὴν μίαν τῶν προτάσεων τῷ ἄκρῳ ὑπόκειται· κατὰ δὲ τὴν ἑτέραν τοῦ λοιποῦ ἄκρου κατηγορεῖται, τὸ πρῶτον γίνεται Σχῆμα· οἷον ὁ Ἄνθρωπος, Ζῶον· τὸ ζῶον, Οὐσία· ὁ ἄνθρωπος, οὐσία. Εἰ δὲ καὶ καθ' ἑκατέραν τῶν Προτάσεων, ὁ αὐτὸς κοινὸς καὶ μέσος Ὅρος κατηγορεῖται καὶ ἀμφοτέρων τῶν ἄκρων, τὸ δεύτερον γίνεται Σχῆμα· οἷον ὁ Ἄνθρωπος, Ζῶον· ὁ Λίθος, οὐ ζῶον· ὁ ἄνθρωπος, οὐ λίθος. Εἰ δὲ καὶ καθ' ἄμφω τὰς προτάσεις, ὁ αὐτὸς κοινὸς καὶ μέσος Ὅρος, καὶ τοῖς δυσὶν ἄκροις ὑπόκειται, τὸ τρίτον γίνεται Σχῆμα. οἷον ὁ Ἄνθρωπος, Ζῶον· ὁ ἄνθρωπος, Λογικόν· τὸ ζῶον, λογικόν. Τὸ μὲν οὖν πρῶτον Σχῆμα, συλλογιστικοὺς Τρόπους κέκτη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται τέσσαρας· τοσούτους δὲ καὶ τὸ Δεύτερον. τὸ δὲ τρίτον Σχῆμα, τρόπους ἔχει συλλογιστικοὺς, ἕξ. Συλλογιστικοὶ δὲ τρόποι, καὶ συλλογιστικαὶ Συζυγίαι κατονομάζονται· δύω γὰρ προτάσεις καθ' ἕνα ὅρον συνεζευγμέναι, τῶν τοιούτων τρόπων ἕκαστον ἀπεργάζονται. Πᾶσαι τοίνυν Συζυγίαι συλλογιστικαὶ τῶν τριῶν σχημάτων, εἴτουν τρόποι συλλογιστικοὶ, ποσοῦνται τέσσαρες καὶ δέκα.

Κοινὰ μὲν οὖν τῶν τριῶν σχημάτων εἰσὶ, τὸ, μίαν τῶν Προτάσεων ἔχειν ἕκαστον αὐτῶν καταφατικὴν ἐξ ἀνάγκης, καὶ μίαν καθόλου. ἐν οὐδενὶ γὰρ τῶν σχημάτων συσταίη ποτὲ Συλλογισμὸς, ἢ ἐκ δύω ἀποφατικῶν προτάσεων, ἢ ἐκ δύω μερικῶν. Ταῦτα μὲν οὖν τῶν τριῶν σχημάτων κοινά.

Ἴδια δὲ, τοῦ μὲν πρώτου σχήματος· τὸ τὴν ἐλάττονα Πρότασιν ἔχειν ἀεὶ καταφατικήν· εἴτε καθόλου, εἴτε μερικήν· καὶ τὸ, τὴν μείζονα καθόλου διαπαντὸς, εἴτε καταφατικὴν, εἴτε ἀποφατικήν. Συνάγει δὲ τὸ τοιοῦτον σχῆμα καὶ καταφατικὰ, καὶ ἀποφατικὰ συμπεράσματα, καὶ καθόλου, καὶ μερικά.

Τοῦ δευτέρου Σχήματος Ἴδια, τὸ ἔχειν ἀεὶ καθόλου τὴν μείζονα πρότασιν, εἴτε καταφατικὴν εἴτε ἀποφατικήν· μᾶλλον δὲ τοῦτο κοινὸν, τῷ πρώτῳ τε καὶ δευτέρῳ Σχήματι. Κυρίως δὲ τοῦ δευτέρου Σχήματος Ἴδια, τὸ, τὴν ἐλάττω πρότασιν, εἴτε καταφατικὴν ἔχειν, εἴτε ἀποφατικήν· ἢ καθόλου οὖσαν, ἢ μερικήν· καὶ τὸ τηρεῖν πάντοτε τὰς προτάσεις ἀνομοιοσχήμονας, εἴτουν ἀνομοίους κατὰ τὸ Ποιόν· ἤγουν, τὴν μίαν μὲν καταφατικὴν οἵαν δήτινα, τὴν δὲ λοιπὴν ἀποφατικήν. Συνάγει δὲ τοῦτο τὸ σχῆμα καὶ καθόλου καὶ μερικὰ συμπεράσματα, πλὴν ἀποφατικὰ πάντα, καὶ οὐδὲν οὐδέποτε καταφατικόν.

Τοῦ τρίτου Σχήματος Ἴδιον, τὸ ἔχειν ἀεὶ τὴν ἐλάττω πρότασιν καταφατικὴν, εἴτε καθόλου, εἴτε μερικήν. μᾶλλον δὲ τοῦτο κοινὸν τῷ πρώτῳ καὶ τρίτῳ σχήματι. Κυρίως δὲ τοῦ τρίτου σχήματος Ἴδιον, τὸ ἔχειν τὴν μείζω πρότασιν κατὰ τὸ ποσὸν ἀδιάφορον, ἢ καθόλου δηλονότι, ἢ μερικὴν, ἢ καταφατικὴν οὖσαν, ἢ ἀποφατικήν. Συνάγει δὲ

τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ τρίτον Σχῆμα καὶ καταφατικὰ καὶ ἀποφατικὰ συμπεράσματα· πλὴν τὰ πάντα μερικὰ, καὶ ἐδὲν καθόλε ποτέ.

Παρατηρητέον δὲ τὰ Κοινὰ τῶν τριῶν Σχημάτων ἁπανταχε· τὸ μήτε μερικὰς εἶναι καὶ ἄμφω τὰς προτάσεις ἐν ἐδενὶ τῶν σχημάτων, μήτε μὴν ἄμφω ἀποφατικάς. Πρώτην μὲν ἔν Τάξιν ἐκεῖνο τῶν Σχημάτων εἰκότως ἀπείληφεν, ὃ πάντα συνάγειν δύναται τὰ συμπεράσματα· τὰ Καταφατικὰ, τὰ Ἀποφατικὰ, τὰ Καθόλε, τὰ Μερικά. Τὴν δευτέραν δὲ Τάξιν, ὃ καταφατικὸν μὲν ἐ συνάγει Συμπέρασμα· τέως δ' ἔν συμπεραίνει καὶ Καθόλε, καὶ Μερικά. Τὴν τρίτην δὲ καὶ ὑςάτην ἔλαχε Τάξιν, ὃ καταφατικὰ μὲν καὶ ἀποφατικὰ συλλογίζεται, πλὴν ἅπαντα Μερικά. Κρεῖτλον γὰρ σχῆμα, καὶ εἰς ἀπόδειξιν χρησιμώτερον, ὅπερ ἁπλῶς καθόλε συνάγει, τε μηδὲν καθόλε συνάγοντος. Πάλιν κρεῖτλόν ἐςιν, ὃ καταφατικὸν καθόλε συνάγειν δύναται. Τῇ γὰρ ἀποδεικτικῇ Ἐπιςήμῃ, διαφερόντως μὲν ἐσπέδαςαι τὸ καθόλε καταφατικὸν, μᾶλλον τε ἀποφατικε· τὸ μὲν γὰρ, τὰ ὄντα κατασκευάζει· τὸ δ' ἀποφατικὸν, τὰ μὴ ὄντα· πολλῷ δὲ κρεῖτλον καὶ τιμιώτερον τε μὴ ὄντος, τὸ ὄν. Κατὰ δεύτερον δὲ λόγον, καὶ τε καθόλε ἀποφατικε ἐφρόντισεν ἡ ἀπόδειξις· ἠμέλησε δὲ τῶν μερικῶν· ἐπεὶ τὰ καθόλε ζητεῖ, καὶ περὶ αὐτὰ καταγίνεται. Τρόποι δὲ συλλογιςικοὶ τε πρώτε Σχήματος τέσσαρες, καὶ τε δευτέρε τέσσαρες· ἓξ δὲ τε τρίτε. Κατὰ μὲν γὰρ τὸ πρῶτον Σχῆμα, δύω τινὰ παραφυλασσόμεθα· τὸ, μηδέποτε τὴν ἐλάτλω πρότασιν ἀποφατικὴν εἶναι, μήτε τὴν μείζω μερικήν. Ὡσαύτως δὲ κατὰ τὸ δεύτερον, δύω· τὸ, μηδαμῶς εἶναι τὰς Προτάσεις ὁμοιοσχήμονας, μήτε τὴν μείζω ποτὲ μερικήν. Κατὰ δὲ τὸ τρίτον, ἓν μόνον ὑπάρχει τὸ παρατήρημα· τὸ, μηδέποτε τὴν ἐλάτλω πρότασιν ἀποφατικὴν εἶναι. ὅθεν εὐλόγως τῶν ἄλλων δύω σχημάτων ἀνὰ τέσσαρας ἐχόντων συλλογιςικὰς Συζυγίας, τὸ τρίτον ἓξ ἐκληρώσατο.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

- **Ὁ Ἁπλοῦς Συλλογισμός,**
  - Ἐκ δύω Ἰδίων συνίσταται ἄκρων Ὅρων,
  - Καὶ ἑνὸς Κοινοῦ Μέσου· ὅς,
    - Εἰ τῇ μὲν ὑπόκειται τῶν Προτάσεων· τῇ δὲ κατηγορεῖται, Σχῆμα γίνεται Συλλογισμοῦ Πρῶτον, διὰ τεσσάρων Τρόπων· οὗ Ἴδια,
      - Τὸ τὴν μὲν Ἐλάττω ἔχειν ἀεὶ Καταφατικήν.
      - Τὴν δὲ Μείζω Ἀποφατικήν,
      - Καὶ συνάγειν Καθόλου καὶ Μερικά, Καταφατικῶς τε καὶ Ἀποφατικῶς.
    - Εἰ δὲ κατ᾽ ἄμφω τὰς Προτάσεις κατηγορεῖται, Δεύτερον ἐπίσης διὰ τεσσάρων· οὗ Ἴδια,
      - Τὸ οὐδέποτε μερικὴν εἶναι τὴν Μείζω,
      - Οὔτε τὰς Προτάσεις ὁμοιοσχήμους ἔχειν,
      - Καὶ συνάγειν ἀεὶ Ἀποφατικῶς Καθόλου καὶ Μερικά.
    - Εἰ δ᾽ αὖ κατ᾽ ἄμφω ὑπόκειται, Τρίτον δι᾽ ἕξ· οὗ Ἴδια,
      - Τὸ τὴν Μείζω μὲν ἔχειν ἀεὶ ἀδιάφορον κατὰ τὸ ποσόν.
      - Τὴν δ᾽ Ἐλάττω οὐδέ ποτε Ἀποφατικήν,
      - Καὶ συνάγειν Μερικά, Καταφατικῶς τε καὶ Ἀποφατικῶς.

## ΚΕΦΑΛΑΙΟΝ ΛΓ.

### Περὶ τοῦ πρώτου Σχήματος.

Ὅταν ὁ κοινὸς καὶ μέσος Ὅρος, τῷ μὲν, ὑποκείμενος εἴη τῶν ἄκρων· τοῦ δὲ, κατηγορούμενος· (δῆλον δ᾽ ὅτι κατηγορεῖται τοῦ ἐλάττονος, ὑπόκειται δὲ τῷ μείζονι.) τότε τὸ πρῶτον γίνεται Σχῆμα. Τούτου δὲ τοῦ σχήματος Τρόποι συλλογιστικοὶ, καθὼς προείρηται, τέσσαρες. 35 καὶ πρῶτος μέν ἐστι Τρόπος,

ὅστις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔστις ἐκ δύω συνίσταται καταφατικῶν καθόλου Προτάσεων, καταφατικὸν καθόλου συνάγων Συμπέρασμα· οἷον ἐκ τοῦ Ἐν ὅλῳ· Πᾶς ἄνθρωπος, Ζῶον· Πᾶν ζῶον, Οὐσία· [ἄρα] Πᾶς ἄνθρωπος Οὐσία.




Καὶ οὕτω· Πᾶς ἄνθρωπος ἐν ὅλῳ τῷ Ζώῳ· Πᾶν ζῶον ἐν ὅλῃ τῇ Οὐσίᾳ· Πᾶς ἄνθρωπος ἐν ὅλῃ τῇ Οὐσίᾳ. Ἐκ τοῦ Κατὰ παντός· Ἡ οὐσία, κατὰ παντὸς ζώου· τὸ ζῶον, κατὰ παντὸς ἀνθρώπου· Ἡ οὐσία, κατὰ παντὸς ἀνθρώπου. Καὶ οὕτως. Ἡ οὐσία, παντὶ ζώῳ ὑπάρχει. Τὸ ζῶον, παντὶ ἀνθρώπῳ. Ἡ οὐσία, παντὶ ἀνθρώπῳ ὑπάρχει.




Δεύτερος Τρόπος τοῦ πρώτου Σχήματος, ὃς ἐκ καθόλου καταφατικῆς τῆς Ἐλάττονος, καὶ καθόλου ἀποφατικῆς τῆς Μείζονος, ἀποφατικὸν καθόλου συνάγει Συμπέρασμα· οἷον ἐκ τοῦ Ἐν ὅλῳ καὶ Οὐκ ἐν ὅλῳ. Πᾶς ἄνθρωπος, ζῶον· Οὐδὲν ζῶον, λίθος· Οὐδεὶς ἄνθρωπος, λίθος. Καὶ οὕτως· Ὁ ἄνθρωπος, ἐν ὅλῳ τῷ ζώῳ· Τὸ ζῶον, οὐκ ἐν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅλῳ τῷ λίθῳ· Ὁ ἄνθρωπος ἐν ὅλῳ τῷ λίθῳ οὐκ ἔστιν· ἤγουν οὐχ ὑπάρχει μέρος τοῦ λίθου ὁ ἄνθρωπος, ὡς εἶναι τὸν λίθον μὲν ὅλον, αὐτοῦ δέ τι μέρος τὸν ἄνθρωπον. Ἐκ τοῦ Κατὰ μηδενὸς καὶ κατὰ παντός· Ὁ λίθος κατ' οὐδενὸς ζώου· Τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου· Ὁ λίθος κατ' οὐδενὸς ἀνθρώπου. ταυτὸ δέ ἐστι κατὰ μηδενὸς καὶ κατ' οὐδενός· καὶ οὕτως· Ὁ λίθος οὐδενὶ ζῴῳ ὑπάρχει· Τὸ ζῷον, παντὶ ἀνθρώπῳ· Ὁ λίθος ἄρα οὐδενὶ ἀνθρώπῳ ὑπάρχει.




Τρίτος Τρόπος τοῦ πρώτου Σχήματος, ὁ ἐκ καταφατικῆς μερικῆς τῆς Ἐλάττονος, καὶ καθόλου καταφατικῆς τῆς Μείζονος, μερικὸν καταφατικὸν συνάγων Συμπέρασμα· οἷον ἐκ τοῦ Ἐν ὅλῳ Τὶ ζῷον, ἄνθρωπος· Πᾶς ἄνθρωπος, γελαστικόν· Τὶ ζῷον, γελαστικόν. Καὶ οὕτω· Τὶ ζῷον ἐν ὅλῳ τῷ ἀνθρώπῳ· Πᾶς ἄνθρωπος ἐν ὅλῳ τῷ γελαστικῷ· Τὶ ζῷον ἐν ὅλῳ τῷ γελαστικῷ. Ἐκ τοῦ Κατὰ παντὸς καὶ Κατά τινος. Τὸ γελαστικὸν κατὰ παντὸς ἀνθρώπου· Ὁ ἄνθρωπος κατά τινος ζῴου· Τὸ γελαστικὸν κατά τινος ζῴου. Καὶ οὕτω· Τὸ γελαστικόν, παντὶ ἀνθρώπῳ. Ὁ ἄνθρωπός τινι ζῴῳ· Τὸ γελαστικόν τινι ζῴῳ. Δυνατὸν δὲ καὶ ἀντὶ τοῦ Τὶς προσδιορισμοῦ προσλαβεῖν ὡρισμένον τι πρόσωπον τῶν καθ' ἕκαστα, καὶ τὰ αὐτὰ πάλιν συναγαγεῖν. οἷον ὁ Σωκράτης, ἄνθρωπος· Πᾶς ἄνθρωπος, γελαστικόν· ὁ Σωκράτης ἄρα γελαστικόν. καὶ πάλιν· Τὸ γελαστικὸν κατὰ παντὸς ἀνθρώπου· Ὁ ἄνθρωπος κατὰ τοῦ Σωκράτους· Τὸ γελαστικὸν ἄρα κατὰ τοῦ Σωκράτους.

Τέταρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




Τέταρτος Τρόπος τοῦ πρώτου Σχήματος, ὃς ἐξ ἀποφατικῆς καθόλου τῆς Μείζονος, καὶ καταφατικῆς μερικῆς τῆς Ἐλάττονος συμπεραίνει μερικὸν ἀποφατικόν, οἷον, ἐκ τοῦ Κατὰ μηδενός, καὶ Κατά τινος. Τὸ σολοικίζειν κατ᾽ οὐδενὸς γραμματικοῦ. Τὸ γραμματικὸν κατά τινος αἰθίοπος· Τὸ σολοικίζειν κατ᾽ οὐ παντὸς αἰθίοπος. Καὶ οὕτω· Τὸ σολοικίζειν οὐδενὶ γραμματικῷ· Τὸ γραμματικόν, τινὶ αἰθίοπι· Τὸ σολοικίζειν τινὶ αἰθίοπι οὐχ ὑπάρχει, τουτέστιν, οὐ παντὶ αἰθίοπι ὑπάρχει. Ἐκ τοῦ Ἐν ὅλῳ, καὶ Οὐκ ἐν ὅλῳ. Τὶς αἰθίοψ, γραμματικός· Οὐδεὶς γραμματικός, σολοιστικής· Οὐ πᾶς αἰθίοψ σολοικιστής. Καὶ οὕτω. Τὶς αἰθίοψ ἐν ὅλῳ τῷ γραμματικῷ· Οὐδεὶς γραμματικὸς ἐν ὅλῳ τῷ σολοικιστῇ· (οὐδὲ γάρ ἐστι μέρος τοῦ σολοικιστοῦ ὁ γραμματικός· ἀπηλλοτριωμένος δὲ μᾶλλον αὐτοῦ.) Τὶς ἄρα αἰθίοψ, οὐκ ἐν ὅλῳ τῷ σολοικιστῇ· τουτέστιν, Οὐ πᾶς αἰθίοψ ἐν ὅλῳ τῷ σολοικιστῇ.

Οὗτοι μὲν οὖν οἱ τέσσαρες Τρόποι τοῦ πρώτου Σχήματος, ἐξ ἀληθῶν προτάσεων, ἀληθὲς ἀεὶ συμπεραίνουσιν. ὅθεν καὶ συλλογιστικοὶ ὀνομάζονται. οἱ δὲ παρ᾽ αὐτοὺς ἅπαντες, ἀσυλλόγιστοί εἰσι, διὰ τὸ συνάγειν καὶ ἀληθῆ καὶ ψευδῆ, τῶν προτάσεων οὐσῶν ἀληθῶν. Ἰδοὺ γὰρ ἐκ καθόλου καταφατικῆς τῆς Μείζονος, καὶ καθόλου ἀποφατικῆς τῆς Ἐλάττονος, καὶ ἀληθὲς καὶ ψευδὲς ἐν πρώτῳ συνάγεται σχήματι. Ἀληθὲς μὲν· Οὐδεὶς λίθος ἄνθρωπος. Πᾶς ἄνθρωπος ζῷον· Οὐδεὶς λίθος ζῷον· Ψευδὲς δέ· Οὐδεὶς λίθος ἄνθρωπος· Πᾶς ἄνθρωπος, οὐσία· Οὐδεὶς

λίθος, οὐσία. Τοιαῦτα συμβαίνει καὶ τοῖς ἄλλοις τρόποις τοῦ τοιούτου σχήματος, τοῖς μὴ παραδεδομένοις ἡμῖν. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων ἐστὶν εὑρεῖν·

## ΚΕΦΑΛΑΙΟΝ ΛΔʹ.

### Περὶ τοῦ δευτέρου Σχήματος καὶ τρίτου.

Ὅταν ὁ κοινὸς καὶ μέσος Ὅρος κατηγορῆται καὶ ἀμφοτέρων τῶν ἄκρων· τότε τὸ δεύτερον γίνεται Σχῆμα. Τρόποι δὲ συλλογιστικοὶ καὶ τοῦδε τοῦ Σχήματος, τέσσαρες. Πρῶτος μὲν οὖν ἐκ καθόλου κατηγορικῆς, ἤγουν καταφατικῆς τῆς Ἐλάττονος· καὶ καθόλου στερητικῆς, ταυτὸν δ' εἰπεῖν, ἀποφατικῆς τῆς Μείζονος. Συνάγει δὲ Συμπέρασμα καθόλου στερητικόν. οἷον. Ὁ ἄνθρωπος ζῶον. Ὁ λίθος, οὐ ζῶον· Ὁ ἄνθρωπος, οὐ λίθος.

Οὐδ. Π. Οὐδ.
Ἔ γρα ψε.




Καὶ πάλιν· Τὸ ζῶον κατ' οὐδενὸς λίθου· Τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· Ὁ λίθος ἄρα κατ' οὐδενὸς ἀνθρώπου.

Δεύτερος τρόπος τοῦδε τοῦ σχήματος, ἐκ καθόλου στερητικῆς τῆς Ἐλάττονος, καὶ κατηγορικῆς καθόλου τῆς Μείζονος· Συνάγει δὲ καὶ αὐτὸς καθόλου στερητικόν· οἷον·

Οὐδεὶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐδεὶς λίθος, ζῶον· Πᾶς ἄνθρωπος, ζῶον· Οὐδεὶς λίθος, ἄνθρωπος.







Τρίτος Τρόπος ἐστὶν, ὃς ἐκ μερικῆς καταφατικῆς τῆς Ἐλάττονος, καὶ στερητικῆς καθόλου τῆς Μείζονος, ἀποφατικὸν μερικὸν συλλογίζεται· οἷον· Τὶ ζῶον, λογικόν· Οὐδὲν ἄλογον, λογικόν· Οὐ πᾶν ζῶον, ἄλογον.






Τέταρτος δὲ Τρόπος ἐστὶν, ὅστις ἐξ ἀποφατικῆς μερικῆς τῆς Ἐλάττονος, καὶ καταφατικῆς καθόλου τῆς Μείζονος, συμπεραίνει καὶ αὐτὸς μερικὸν ἀποφατικόν. οἷον. Οὐ πᾶν λευκὸν, ζῶον· Πᾶς ἄνθρωπος, ζῶον· Οὐ πᾶν λευκὸν, ἄνθρωπος.




Καὶ οὗτοι μὲν οἱ Τρόποι τὸ Ἀληθὲς, ἐξ ἀληθῶν Προτάσεων συμπεραίνοντες, συλλογιστικοὶ καλοῦνταί τε καὶ εἰσίν· οἱ δὲ παρ᾽ αὐτοὺς, διὰ τὸ συνάγειν καὶ ἀληθῆ καὶ ψευδῆ, καὶ λέγονται καὶ τυγχάνουσιν ἀσυλλόγιστοι. Ἰδοὺ γὰρ, ἐκ δύο στερητικῶν καθόλου Προτάσεων, καὶ τὸ ἀληθὲς καὶ τὸ ψευδὲς συμπεραίνεται· τὸ μὲν Ἀληθὲς, οὕτως. Οὐδεὶς λίθος, ἄνθρωπος· Οὐδεὶς ἵππος, ἄνθρωπος· Οὐδεὶς λίθος, ἵππος· τὸ δὲ Ψευδὲς· Οὐδεὶς ἄνθρωπος, ἵπταται· Οὐδὲν λογικὸν, ἵπταται· Οὐδεὶς ἄνθρωπος, λογικός.

Σχῆμα δὲ τρίτον ἐστὶν, ὅταν ὁ κοινὸς καὶ μέσος Ὅρος, καὶ ἀμφοτέροις τοῖς ἄκροις ὑποκείμενος εἴη. Τρόποι δὲ εἰσι τοῦ τρίτου σχήματος, ἕξ. καὶ Πρῶτος μὲν, ὅστις ἐκ δύο καταφατικῶν καθόλου Προτάσεων, μερικὸν καταφα-

τικὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τικὸν συνάγει Συμπέρασμα· οἷον, Ὁ ἄνθρωπος, ζῶον· Ὁ ἄνθρωπος, λογικόν· Τὶ ζῶον, λογικόν. Καὶ πάλιν, Τὸ λογικὸν κατὰ παντὸς ἀνθρώπου. Τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· Τὸ λογικὸν ἄρα κατά τινος ζώου.




Π. Π. Τ.
Ἄ πα σι.




Δεύτερος Τρόπος, ὃς ἐξ ἀποφατικῆς καθόλου τῆς Μείζονος, καὶ καθόλου κατηγορικῆς τῆς Ἐλάττονος, μερικὸν στερητικὸν συνάγει Συμπέρασμα. οἷον· Πᾶσα χιών,
25 λευκή· Οὐδεμία χιών, ζῶον· Οὐ πᾶν λευκόν, ζῶον. Καὶ πάλιν. Τὸ ζῶον Οὐδεμιᾷ χιόνι· Τὸ λευκὸν πάσῃ χιόνι· Τὸ ζῶον, οὐ παντὶ λευκῷ.

Ζῶον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ




Τρίτος τρόπος, ὅστις ἐκ μερικῆς καταφατικῆς τῆς Ἐλάττονος καὶ καθόλου καταφατικῆς τῆς Μείζονος, ἀθροίζει μερικὸν Συμπέρασμα καταφατικόν. οἷον. Τὶς ἄνθρωπος, μέλας. Πᾶς ἄνθρωπος, ζῶον· Τὶ μέλαν, ζῶον.




Τέταρ-

Τέταρτος Τρόπος, ὁ ἐκ μερικῆς κατηγορικῆς τῆς Ἐλάττονος, καὶ στερητικῆς καθόλου τῆς Μείζονος, συνάγων μερικὸν ἀποφατικόν· οἷον Τὶς λίθος, λευκός· Οὐδεὶς λίθος, ζῶον· Οὐκ ἄρα πᾶν λευκόν, ζῶον.




Πέμπτος Τρόπος, ὁ ἐκ καθόλου καταφατικῆς τῆς Ἐλάττονος,
25 καὶ μερικῆς καταφατικῆς τῆς Μείζονος, συμπεραίνων μερικὸν κατηγορικόν· οἷον Πᾶς ἄνθρωπος, ζῶον· Τὶς ἄνθρωπος, λευκός. Τὶ ζῶον, λευκόν.




Π. Τ. Τ.
Ἀ σπί δι.

Ἕκτος δὲ καὶ τελευταῖος Τρόπος ἐςὶν, ὁ ἐκ καθόλου κατηγορικῆς τῆς Ἐλάττονος, καὶ ςερητικῆς ἐπὶ μέρους τῆς Μείζονος, μερικὸν συλλογιζόμενος ἀποφατικὸν Συμπέρασμα· οἷον, Πᾶς ἄνθρωπος, ζῶον· Οὐ πᾶς ἄνθρωπος, μέλας· Οὐ πᾶν ζῶον, μέλαν. Δυνατὸν δὲ καὶ ἄλλως, ἐκ τοῦ Ἐν ὅλῳ καὶ Οὐκ ἐν ὅλῳ, συναγαγεῖν τοὺς τοῦ δευτέρου καὶ τρίτου Σχήματος Συλλογισμοὺς ἅπαντας· ὡσαύτως καὶ ἀπὸ τοῦ Κατὰ παντὸς, καὶ Κατ᾽ οὐδενός. καθὼς ἐν τῷ πρώτῳ χήματι, καὶ ἡμεῖς ὑποδείγματος ἕνεκα κοινοῦ καὶ καθολικοῦ πεποιήκαμεν.

Μέλαν




Ἴδου τοίνυν καὶ τοῦ τρίτου Σχήματος αἱ πᾶσαι συλλογιστικαὶ Συζυγίαι δεδήλωνται, καὶ οὐκ ἔστιν ἄλλη τις παρ' αὐτὰς τὸ ἀληθὲς ἀναγκαίως ἀεὶ συμπεραίνουσα. Ταῦτα μὲν οὖν εἴρηται περὶ τῶν ἐκ διωρισμένων Προτάσεων συνισταμένων Συζυγιῶν συλλογιστικῶν. Περὶ δὲ τῶν ἐχόντων καὶ ἀδιορίστους Προτάσεις Συλλογισμῶν, ἱκανὰ τὰ προειρημένα περὶ τῶν τοιούτων ἀδιορίστων προτάσεων. πλὴν κἀν τοῖς ἔχουσι καὶ ἀδιορίστους Προτάσεις Συλλογισμοῖς, ἀναγκαῖον τῇ χείρονι τῶν προτάσεων ἕπεσθαι τὸ Συμπέρασμα. χείρων δὲ τῆς Διωρισμένης ἡ Ἀδιόριστος· ὥσπερ καὶ τῆς Κατηγορικῆς ἡ Στερητικὴ, καὶ τῆς Καθόλου ἡ Μερική.

## ΚΕΦΑΛΑΙΟΝ ΛΕ΄.

### Περὶ τῆς τοῦ δευτέρου καὶ τρίτου Σχήματος Ἀναγωγῆς εἰς τὸ πρῶτον Σχῆμα, καὶ περὶ τῆς εἰς Ἀδύνατον Ἀπαγωγῆς.

Τῶν Συλλογισμῶν, οἱ μὲν ἐκλήθησαν τέλειοι, οἱ δὲ ἀτελεῖς. Τέλειοι μὲν, οἱ τοῦ πρώτου σχήματος· Ἀτελεῖς δὲ, οἱ τοῦ δευτέρου καὶ τρίτου. Καὶ τέλειοι μὲν οἱ τοῦ πρώτου σχήματος ὠνομάσθησαν,

μάθησαν, διότι τὴν δεῖξιν εὐθεῖαν ποιοῦνται καὶ φανερὰν, αὐτοὶ καθ' ἑαυτοὺς κἂν ἀπὸ τοῦ Ἐν ὅλῳ, κἂν ἀπὸ τοῦ Κατὰ παντὸς συλλογίζωνται (καὶ γὰρ ἐξ ἑνὸς ἄκρου πρὸς θάτερον, διὰ τοῦ μέσου γίνονται καὶ κοινοῦ.) Καὶ ὅτε μὲν ἐκ τοῦ Κατὰ παντὸς συμπεραίνουσι, πρὸς τὸν ἐλάττω καὶ ἔσχατον ὅρον ἐκ τοῦ πρώτου καὶ μείζονος φέρονται, δι' αὐτοῦ τοῦ μέσου τε καὶ κοινοῦ· ὃς δὴ κοινὸς καὶ μέσος, τοῦ μείζονος μὲν ἐλάττων, τοῦ ἐλάττονος δὲ μείζων ἐστί· κἀντεῦθεν φύσεως ἀκολουθίαν καὶ τάξιν ἐξεικονίζουσιν· ἐπεὶ καὶ ἡ φύσις, ἐκ τῶν καθολικωτέρων καὶ ἁπλουστέρων ἐπὶ τὰ μερικώτερα καταβαίνει καὶ συνθετώτερα. Ὅταν δ' ἐκ τοῦ ἐν ὅλῳ συλλέγωσι, τότε τὴν σαφεστέραν, καὶ τῇ αἰσθήσει γνωριμωτέραν ὁδεύοντες, ἐκ τοῦ ἐλάττονος ὅρου διὰ τοῦ μέσου πάλιν εὐτάκτως ἔρχονται πρὸς τὸν μείζω· καὶ οὕτως ἑκατέρωθεν τῆς εὐθείας καὶ φανερᾶς οὐ διαμαρτάνουσι δείξεως· ἀλλ' ἄνωθέν τε κάτω, καὶ κάτωθεν ἄνω κλημακιδὸν τὸ ἀναγκαῖον δεικνύουσι, καὶ τὴν συνθετικὴν μιμούμενοι, καὶ τὴν ἀναλυτικήν· Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα, τὸ πρῶτον Σχῆμα Τέλειον κέκληται·

Τὸ Δεύτερον δὲ καὶ Τρίτον ἐρρέθησαν Ἀτελῆ, διότι τὴν δεῖξιν οὐκ εὐθεῖαν ποιοῦνται καὶ φανερὰν αὐτὰ καθ' ἑαυτά· σκολιὰν δὲ μᾶλλον καὶ κεκρυμμένην· οὔτε πρὸς φύσιν, οὔτε πρὸς αἴσθησιν βλέποντα. Τὸ μὲν γὰρ δεύτερον Σχῆμα τὴν δεῖξιν ποιούμενον ἐκ τοῦ Κατὰ παντὸς, ἐκ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα φέρεται· καὶ αὖθις ἀναποδίζει, καὶ ὀπισθοδρομεῖ· καὶ οἷον ἀποπλανηθὲν τοῦ ὀρθοῦ, πάλιν ἐκ τῶν προτέρων [καὶ] καθολικωτέρων ἀρχῶν ἐπ' ἄλλα φέρεται μερικώτερα. Ὅταν δ' ἐκ τοῦ Ἐν ὅλῳ συνάγῃ τοῦτο τὸ σχῆμα τὸ δεύτερον, τότε ἐκ τῶν μερικωτέρων ἐπὶ τὰ καθολικώτερα προερχόμενον, παλιμπόρευτον γίνεται, καὶ τῆς προτέρας ἀρχῆς οἷον ἐπιλαθόμενον, ἐξ ἑτέρας φέρεται πρὸς τὸ πρῶτον Κατάντημα· καὶ οὕτω τὴν δεῖξιν συνεστραμμένην καὶ συγκεχυμένην ἐργάζεται.

Τοὔμπαλιν δὲ τούτῳ τῷ Σχήματι πάσχει τὸ Τρίτον· ἐκ μὲν τοῦ κατὰ παντὸς, δύο τὰς ἀρχὰς ἔχον· ἐν δὲ

τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ Κατάντημα μερικώτερον τῶν Ἀρχῶν· ἐκ δὲ τοῦ Ἐν ὅλῳ, μίαν μὲν τὴν Ἀρχὴν, δύω δὲ τὰ Καταντήματα καθολικώτερα τῆς τοιαύτης ἀρχῆς. Ἐπεὶ γοῦν τὰ δύω Σχήματα τὸ δεύτερον καὶ τὸ τρίτον, ἐφικέσθαι τῆς εὐθείας δείξεως οὐ δεδύνηνται, καὶ ἀτελῆ τοὐντεῦθεν ἐκλήθησαν· δέονται πρὸς τελείωσιν, εἴτουν πρὸς τὴν εἰς τὸ εὐθὲς τῆς δείξεως ἄνοδον, Ἀντιστροφῶν τε ἁπλῶν, καὶ τῆς εἰς ἀδύνατον καὶ ἄτοπον Ἀπαγωγῆς.

Γίνεται δὲ ἡ τοιαύτη Ἀπαγωγὴ, ὅταν τινὸς οἱονεὶ τῷ τοῦ συλλογισμοῦ συμπεράσματι ἀντιλέγοντος, ἢ μιᾷ τινὶ τῶν Προτάσεων τεθείη τὸ ἀντιφατικῶς ἀντικείμενον· κἀντεῦθεν συναχθείη ἀδύνατόν τι καὶ ἄτοπον· ἀδύνατον μὲν, ὡς πρὸς τὸ πρᾶγμα· ἄτοπον δὲ, ὡς πρὸς τὸν λόγον· οἷον ἐπὶ τοῦ παρόντος συλλογισμοῦ· Οὐ πᾶν λευκὸν, ζῶον· Πᾶς ἄνθρωπος, ζῶον. Οὐ πᾶν ἄρα λευκὸν, ἄνθρωπος. Εἴ τις ἐνσταίη μὴ ἀληθὲς εἶναι τὸ· Οὐ πᾶν λευκὸν, ἄνθρωπος· ἔσται ἀντιφατικῶς αὐτῷ ἀντικείμενον ἀληθὲς, τὸ, Πᾶν λευκὸν ἄνθρωπος. (ἐπὶ πάντων γὰρ τῶν ὄντων τε καὶ μὴ ὄντων, θάτερον μόριον τῆς Ἀντιφάσεως ἀληθὲς, τὸ δ᾽ ἄλλο ψευδές.) Εἰ τοίνυν τὸ, Οὐ πᾶν λευκὸν ἄνθρωπος, εἴη Ψευδές· ἔσται δὴ Ἀληθὲς ἐξ ἀνάγκης τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον, ὅπερ ἐστὶ τὸ, Πᾶν λευκὸν, ἄνθρωπος· ἀντίκεινται γὰρ ἀντιφατικῶς ἀλλήλαις ἡ Πᾶς, καὶ ἡ Οὐ πᾶς· καὶ πάλιν ἡ Τὶς, καὶ ἡ Οὐδείς. Εἰ τοίνυν διὰ τὴν ἔνστασιν, Πᾶν λευκὸν, ἄνθρωπος· ἦν δὲ μία Πρότασις τοῦ τεθέντος συλλογισμοῦ, τὸ, Πᾶς ἄνθρωπος ζῶον· λαβόντες τὴν τοιαύτην πρότασιν, καὶ τὴν ἐκ τῆς ἐνστάσεως τοῦ ἀντιλέγοντος, τοιοῦτον ποιήσομεν Συλλογισμόν· Πᾶν λευκὸν, ἄνθρωπος· Πᾶς ἄνθρωπος, ζῶον· Πᾶν λευκὸν, ζῶον. Ἀλλ᾽ ἦν καὶ Οὐ πᾶν λευκὸν ζῶον Πρότασις ὡμολογημένη κατὰ τὸν πρότερον συλλογισμόν· οὕτω γὰρ εἶχεν ἐκεῖνος ὁ Συλλογισμός· Οὐ πᾶν λευκὸν, ζῶον· Πᾶς ἄνθρωπος, ζῶον· οὐ πᾶν λευκὸν, ἄνθρωπος. Διὰ γοῦν τὴν ἔνστασιν ἠκολούθησε, τὸ, Πᾶν λευκὸν εἶναι ζῶον. Πᾶν δὲ λευκὸν, ζῶον εἶναι, καὶ Οὐ πᾶν λευκὸν ζῶον εἶναι, ἀδύνατον τῇ φύσει τοῦ πράγματος, καὶ ἄτοπον τὸ λέγειν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅλην τὴν Ἀντίφασιν Ἀληθεύειν ὁμοῦ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς· τουτέστιν, ὁ τοιοῦτος λόγος οὐκ ἔχει τόπον καὶ χώραν παραδοχῆς, ἀλλ' ἔστι παντελῶς ἀπαράδεκτος· τὸ ἀδύνατόν τε καὶ ἄτοπον, τῇ ἐνστάσει τοῦ ἀντιλέγοντος ἠκολούθησεν. Ὅθεν ψευδὲς μὲν τὸ τῆς ἐνστάσεως, ἀληθὲς δὲ τὸ συμπέρασμα τοῦ προτέρου συλλογισμοῦ, τὸ, Οὐ πᾶν λευκὸν, ἄνθρωπος. Τὸ δ' αὐτὸ ἀδύνατόν τε καὶ ἄτοπον ἕπεται, καὶ Προτάσεως εἴτε τῆς ἐλάττονος, εἴτε τῆς μείζονος ληφθείσης ψευδοῦς ἐν συλλογισμῷ, σωζομένου τοῦ σχήματος ὑγιοῦς. Τοῦτον μὲν οὖν τὸν τρόπον ἡ εἰς ἀδύνατον τελεῖται Ἀπαγωγή.

Καιρὸς δὲ λοιπὸν, τοὺς τοῦ δευτέρου καὶ τρίτου Σχήματος συλλογιστικοὺς Τρόπους, εἰς τὸ πρῶτον Σχῆμα δι' ὑποδειγμάτων ἀναγαγεῖν. Πρῶτος τοίνυν Τρόπος τοῦ δευτέρου Σχήματος. Πᾶς ἄνθρωπος, ζῶον· Οὐδεὶς λίθος, ζῶον· Οὐδεὶς ἄνθρωπος, λίθος. Τούτου δὴ τοῦ συλλογισμοῦ τὴν μείζω πρότασιν ἀντιστρέψαντες, τὸν δεύτερον τρόπον τοῦ πρώτου σχήματος ἐκτελέσομεν. Ἐπεὶ γὰρ ἡ Οὐδεὶς ἀντιστρέφει πρὸς ἑαυτὴν· εἰ Οὐδεὶς λίθος, ζῶον· καὶ Οὐδὲν ζῶον, λίθος· Πᾶς δὲ ἄνθρωπος, ζῶον. Εἰ Πᾶς ἄνθρωπος, ζῶον· καὶ Οὐδὲν ζῶον, λίθος· Οὐδεὶς ἄνθρωπος, λίθος. Καὶ οὕτω μὲν δι' ἀντιστροφῆς ὁ πρῶτος Τρόπος τοῦ δευτέρου Σχήματος, εἰς τὸ πρῶτον ἀνάγεται Σχῆμα· Διὰ δὲ τῆς εἰς ἀδύνατον Ἀπαγωγῆς, οὕτως. Εἴπερ οὐκ ἀληθὲς τὸ, Οὐδεὶς ἄνθρωπος, λίθος ἐστίν· ἔσται δὴ, Τὶς ἄνθρωπος λίθος· ἔστι δὲ καὶ Οὐδεὶς λίθος, ζῶον· συνάγεται ἄρα κατὰ τὸν τέταρτον Τρόπον τοῦ πρώτου Σχήματος· Οὐ πᾶς ἄνθρωπος, ζῶον. Εἰ γὰρ Τὶς ἄνθρωπος λίθος· Οὐδεὶς δὲ λίθος, ζῶον· Οὐ πᾶς ἄνθρωπος, ζῶον. Ὑπέκειτο δὲ καὶ Πᾶς, ὅπερ ἄτοπον.

Ὁ δεύτερος Τρόπος τοῦ δευτέρου Σχήματος, διὰ δύω ἀντιστροφῶν εἰς τὸν δεύτερον Τρόπον τοῦ πρώτου Σχήματος ἀναχθήσεται· οἷον, Οὐδεὶς λίθος, ζῶον· Πᾶς ἄνθρωπος, ζῶον· Οὐδεὶς λίθος, ἄνθρωπος. Ἀντεστράφθω ἡ Ἐλάττων. Εἰ Οὐδεὶς λίθος, Ζῶον· καὶ Οὐδὲν ζῶον, λίθος· Πᾶς δὲ ἄνθρωπος, ζῶον. Εἰ Πᾶς ἄνθρωπος, ζῶον·

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ Οὐδὲν ζῶον, λίθος· Οὐδεὶς ἄνθρωπος, λίθος. Ἀλλ᾽ οὐκ ἦν τοῦτο συμπέρασμα τοῦ προτέρου συλλογισμοῦ. Δεῖ τοίνυν κἀνταῦθα ἑτέρας ἀντιστροφῆς. Εἰ Οὐδεὶς ἄνθρωπος, λίθος· καὶ Οὐδεὶς λίθος, ἄνθρωπος. Διὰ τῆς εἰς ἄτοπον Ἀπαγωγῆς, οὕτως. Εἰ οὐκ ἔστι τὸ, Οὐδεὶς λίθος ἄνθρωπος ἀληθές· ἔσται δὴ τὸ, Τὶς λίθος, ἄνθρωπος· ἔστι δὲ καὶ Πᾶς ἄνθρωπος, ζῶον· καὶ συνάγεται, Τὶς λίθος, ζῶον. Ὑπέκειτο δὲ, καὶ Οὐδεὶς λίθος, ζῶον· ὅπερ ἄτοπον.

Ὁ τρίτος Τρόπος τοῦ δευτέρου Σχήματος, εἰς τὸν τοῦ πρώτου Σχήματος τέταρτον Τρόπον, οὕτω δι᾽ ἀντιστροφῆς ἀναχθήσεται· Τὶ ζῶον, λογικόν· Οὐδὲν ἄλογον, λογικόν· Οὐ πᾶν ζῶον, ἄλογον. Ἀντεστράφθω ἡ Μείζων. Εἰ Οὐδὲν ἄλογον, λογικόν· καὶ Οὐδὲν λογικὸν, ἄλογον· Τὶ δὲ ζῶον, λογικόν. Εἰ Τὶ ζῶον, λογικόν· καὶ Οὐδὲν λογικὸν, ἄλογον· Οὐ πᾶν ζῶον, ἄλογον. Διὰ τῆς εἰς ἀδύνατον Ἀπαγωγῆς. Εἰ ψευδές ἐστι, τὸ, Οὐ πᾶν ζῶον, ἄλογον· ἔσται δὴ ἀληθὲς, τὸ, Πᾶν ζῶον, ἄλογον. Ἔστι δὲ κείμενον, καὶ Οὐδὲν ἄλογον, λογικόν· Οὐδὲν ἄρα ζῶον, λογικόν. Ὑπέκειτο δὲ, καὶ Τὶ ζῶον, λογικόν· ὅπερ ἀδύνατον.

Ὁ τέταρτος Τρόπος τοῦ δευτέρου Σχήματος, εἰς τὸ πρῶτον ἀναχθήσεται Σχῆμα, οὐδαμῶς μὲν δι᾽ ἀντιστροφῆς· διὰ μόνης δὲ τῆς εἰς ἄτοπον Ἀπαγωγῆς. Οὗτος γὰρ, ἐκ τῆς Οὐ πᾶς συνίσταται καὶ τῆς Πᾶς. Ἀλλ᾽ ἡ Πᾶς πρὸς τὴν Τὶς ἀντιστρέφει. Δύω δὲ μερικαὶ προτάσεις, μήτοιγε κατὰ τὸ πρῶτον, ἀλλ᾽ οὐδὲ κατ᾽ ἄλλο σχῆμα συλλογισμὸν ἀπαρτίζουσιν. Ὅθεν δι᾽ ἀντιστροφῆς ὁ τοιοῦτος τρόπος τοῦ δευτέρου σχήματος, οὐ δύναται πρὸς τὸ πρῶτον ἐπανελθεῖν. Ἐπανέρχεται δὲ διὰ τῆς εἰς ἀδύνατον Ἀπαγωγῆς· οἷον Οὐ πᾶν λευκὸν, ζῶον· Πᾶς ἄνθρωπος, ζῶον· οὐκ ἄρα Πᾶν λευκὸν, ἄνθρωπος. Εἰ οὐκ ἔστι τοῦτο, ἔσται Πᾶν λευκὸν ἄνθρωπος. ἔστι δὲ καὶ Πᾶς ἄνθρωπος, ζῶον· Εἰ Πᾶν λευκὸν, ἄνθρωπος· Πᾶς δὲ ἄνθρωπος, ζῶον· Πᾶν ἄρα λευκὸν, ζῶον. Ὑπέκειτο δὲ καὶ Οὐ πᾶν, ὅπερ ἄτοπον. Οὕτω μὲν οὖν τὸ δεύτερον σχῆμα εἰς τὸ πρῶτον ἀνάγεται.

Τὸ τρίτον δὲ οὕτως. Ὁ πρῶτος Τρόπος τοῦ τρίτου Σχήματος. Πᾶς ἄνθρωπος ζῶον· Πᾶς ἄνθρωπος, λογικόν·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὶ ζῷον, λογικόν. Ἀντεστράφθω ἡ Ἐλάττων. Εἰ Πᾶς ἄνθρωπος, ζῷον· καὶ Τὶ ζῷον, ἄνθρωπος· Πᾶς δὲ ἄνθρωπος, λογικόν· Τὶ ζῷον ἄρα λογικόν. Εἰ μή Τι ζῷον λογικόν· Οὐδὲν ζῷον, λογικόν· Πᾶς δὲ ἄνθρωπος, ζῷον. Εἰ Πᾶς ἄνθρωπος ζῷον· καὶ Οὐδὲν ζῷον, λογικόν· Οὐδεὶς ἔσται ἄνθρωπος λογικός. Ἀλλ᾽ ὑπέκειτο καὶ Πᾶς.

Ὁ δεύτερος Τρόπος τοῦ τρίτου Σχήματος· Πᾶσα χιών, λευκή· Οὐδεμία χιών, ζῷον· Οὐ πᾶν λευκόν, ζῷον. Ἀντεστράφθω ἡ Ἐλάττων· Εἰ Πᾶσα χιών, λευκή· καὶ Τὶ λευκόν, χιών· Οὐδεμία δὲ χιών, ζῷον· Οὐ πᾶν ἄρα λευκόν, ζῷον. Εἰ μὴ τοῦτο· Πᾶν λευκόν, ζῷον· ἔστι δὲ καὶ Πᾶσα χιών, λευκή. Τοίνυν εἰ Πᾶσα χιών, λευκή· Πᾶν δὲ λευκόν, ζῷον· Πᾶσα χιὼν ἄρα ζῷον· ἦν δὲ καὶ Οὐδεμία χιών, ζῷον.

Ὁ τρίτος Τρόπος· Τὶς ἄνθρωπος, μέλας· Πᾶς ἄνθρωπος, ζῷον· Τὶ μέλαν, ζῷον· Ἀντεστράφθω ἡ Ἐλάττων. Εἰ Τὶς ἄνθρωπος, μέλας· καὶ Τὶ μέλαν, ἄνθρωπος· Πᾶς δὲ ἄνθρωπος, ζῷον· ὥστε Τὶ μέλαν, ζῷον. Εἰ τοῦτο ψευδές, Οὐδὲν μέλαν, ζῷον· Τὶς δὲ ἄνθρωπος, μέλας. Εἰ Τὶς ἄνθρωπος, μέλας· καὶ Οὐδὲν μέλαν, ζῷον· Οὐ πᾶς ἄνθρωπος, ζῷον. Ἦν δὲ καὶ Πᾶς.

Ὁ τέταρτος Τρόπος· Τὶς λίθος, λευκός· Οὐδεὶς λίθος, ζῷον· Οὐ πᾶν λευκόν, ζῷον. Ἀντεστράφθω ἡ ἐλάττων. Εἰ Τὶς λίθος, λευκός· καὶ Τὶ λευκόν, λίθος· Οὐδεὶς δὲ λίθος, ζῷον· Οὐ πᾶν ἄρα λευκόν, ζῷον. Εἰ τοῦτο οὐκ ἔστιν· ἔσται Πᾶν λευκόν, ζῷον· ἔστι δὲ καὶ Τὶς λίθος λευκός. Εἰ Τὶς λίθος, λευκός· Πᾶν δὲ τὸ λευκὸν Ζῷον· Τὶς λίθος, ζῷον. Ἀλλ᾽ ὑπέκειτο καὶ Οὐδείς.

Ὁ πέμπτος Τρόπος· Πᾶς ἄνθρωπος, ζῷον· Τὶς ἄνθρωπος, λευκός· Τὶ ζῷον, λευκόν· Ἀντεστράφθω ἡ Μείζων. Εἰ Τὶς ἄνθρωπος, λευκός· καὶ Τὶ λευκόν, ἄνθρωπος· Πᾶς δὲ ἄνθρωπος, ζῷον· Τὶ ἄρα λευκόν, ζῷον. Ἀντεστράφθω καὶ τὸ Συμπέρασμα. Εἰ Τὶ λευκόν, ζῷον· καὶ Τὶ ζῷον, λευκόν.

Ὁ ἕκτος Τρόπος καὶ ὕστατος· Πᾶς ἄνθρωπος, ζῷον· Οὐ πᾶς ἄνθρωπος, μέλας· Οὐ πᾶν ζῷον, μέλαν.

Ἀλλ᾽,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀλλ' οὗτος ὁ τρόπος πρὸς τὸ πρῶτον Σχῆμα δι' ἀντιστροφῆς οὐκ ἀνάγεται· γίνεται γὰρ ἐκ δύω μερικῶν προτάσεων, πρὸς τὴν Τὶς ἀντιστρεφούσης τῆς Πᾶς. Ὅθεν διὰ μόνης τῆς εἰς ἀδύνατον τελειοῦται Ἀπαγωγῆς. Εἰ γὰρ ψευδές τὸ, μὴ πᾶν ζῶον εἶναι μέλαν, ἀληθὲς ἂν εἴη, τὸ ἀντιφατικῶς ἀντικείμενον· ἤγουν τὸ πᾶν ζῶον εἶναι μέλαν. Ἀλλ' ἦν καὶ Πᾶς ἄνθρωπος ζῶον. Εἰ τοίνυν Πᾶς ἄνθρωπος, ζῶον· Πᾶν δὲ ζῶον, μέλαν· Πᾶς ἄνθρωπος, μέλας. Ὑπέκειτο δὲ, καὶ τὸ Οὐ πᾶς· ὅπερ ἄτοπον.

Δυνατὸν δὲ καὶ ἄλλως ἐκ τοῦ Ἐν ὅλῳ, καὶ Οὐκ ἐν ὅλῳ ποιήσασθαι τὴν εἰς τὸ πρῶτον Σχῆμα τῶν λοιπῶν δύω Σχημάτων ἀναγωγήν. Ὡσαύτως [δὲ] καὶ ἀπὸ τοῦ Κατὰ παντὸς καὶ Κατ' Οὐδενός· κἄν τε δι' ἀντιστροφῆς ἡ τοιαύτη ἀναγωγὴ ἐκπεραίνοιτο, κἄν τε διὰ τῆς εἰς ἄτοπον Ἀπαγωγῆς.

Ἀλλ' ἐπεὶ Φιλοσοφία, καθὰ πολλάκις εἴρηται, τὰ Καθόλου ζητεῖ, καὶ περὶ αὐτὰ καταγίνεται· Μερικὰ δὲ συνάγουσιν ὅ, τε τρίτος καὶ ὁ τέταρτος Τρόπος τοῦ πρώτου Σχήματος, ἀνάγονται καὶ αὐτοὶ πρὸς τοὺς ἐν τῷ αὐτῷ πρώτῳ σχήματι τὸ καθόλου συνάγοντας· τὸν πρῶτον τρόπον φημὶ καὶ τὸν δεύτερον· πρότερον τῇ δι' ἀδυνάτου δείξει, πρὸς τοὺς ἐν δευτέρῳ σχήματι τὸ καθόλου συνάγοντας ἀναγόμενοι· καὶ δι' αὐτῶν ἔκτοτε, πρὸς τοὺς τοῦ πρώτου Σχήματος καθόλου συλλογισμούς· οἷον ὁ τρίτος Τρόπος τοῦ πρώτου Σχήματος· Τὶ ζῶον, ἄνθρωπος· Πᾶς ἄνθρωπος, γελαστικόν· Τὶ ζῶον, γελαστικόν. Εἰ μὴ ἔστι Τὶ ζῶον γελαστικόν· Οὐδὲν ζῶον, ἔσται γελαστικόν. ἔστι δὲ καὶ Πᾶς ἄνθρωπος, γελαστικόν· καὶ συνάγεται κατὰ τὸν δεύτερον τρόπον τοῦ δευτέρου Σχήματος, Οὐδὲν ζῶον, ἄνθρωπος. Ὑπέκειτο δὲ, καὶ Τὶ ζῶον, ἄνθρωπος. Ὁ τέταρτος Τρόπος τοῦ πρώτου Σχήματος. Τὶς αἰθίοψ, γραμματικός· Οὐδεὶς γραμματικὸς, σολοικιστής· Οὐ πᾶς αἰθίοψ, σολοικιστής. Εἰ μὴ τοῦτο, Πᾶς αἰθίοψ, σολοικιστής· ἔστι δὲ καὶ Οὐδεὶς γραμματικὸς, σολοικιστής. Συνάγεται τοίνυν ἐν δευτέρῳ τρόπῳ τοῦ δευτέρου σχήματος, Οὐδεὶς αἰθίοψ γραμματικός. ὑπέκειτο δὲ καὶ Τὶς. Ἐπεὶ



ΠΑΝΕΠΙΣΤΗΜ... ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοίνυν ὁ τρίτος καὶ ὁ τέταρτος Τρόπος τοῦ πρώτου Σχήματος, εἰς τοὺς τοῦ δευτέρου σχήματος ἀναφέρονται καθόλου Συλλογισμούς· οὗτοι δὲ πάλιν ἀνάγονται πρὸς τοὺς ἐν τῷ πρώτῳ σχήματι, τὸ καθόλου συνάγοντας, καθάπερ προϋπεδείξαμεν· εὔδηλον ὅτι καὶ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος, καὶ ὁ τέταρτος εἰς τοὺς ἐν αὐτῷ τῷ πρώτῳ σχήματι τὸ καθόλου συμπεραίνοντας ἀναχθήσονται. Εἰ πάντες δὲ Συλλογισμοὶ πρὸς τὸ πρῶτον ἀναφέρονται σχῆμα· (καὶ τοῦτο γὰρ ὑποδέδεικται.) καὶ πρὸς τὸν πρῶτον ἄρα καὶ δεύτερον Τρόπον τοῦ πρώτου σχήματος ἀναβιβασθήσονται σύμπαντες, καὶ οὐδὲν εὑρεθήσεταί που συμπέρασμα μερικόν, κατὰ ταύτην τὴν μέθοδον.

## ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

### Περὶ τῶν ὑποθετικῶν Συλλογισμῶν.

Πᾶς ὑποθετικὸς Συλλογισμός, Ἡγούμενον ἔχει τὶ καὶ Ἑπόμενον, Πρόσληψιν καὶ Συμπέρασμα. Τὸ δ᾽ ἡγούμενον καὶ τὸ ἑπόμενον, Ἢ κατά τινα συνεχῆ καὶ ἀδιάσπαστον ἀκολουθίαν προάγονται, καὶ λέγονται ὁμοῦ Συνημμένον, ὅτε καὶ τὸ ἑπόμενον ἓν πρᾶγμά ἐστιν· Ἢ κατὰ διάκρισιν προφέρονται καὶ διάστασιν, καὶ ὁμοῦ λέγονται Διεζευγμένον· ὅτε καὶ τὸ ἑπόμενον ἐκ διαφόρων πραγμάτων συνέστηκεν. οἷον· Εἰ ἄνθρωπός ἐστι, καὶ ζῶον ἐστίν. ἀλλὰ μὴν ἄνθρωπός ἐστι. καὶ ζῶον ἄρα ἐστί. τὸ μέν, εἰ ἄνθρωπός ἐστι, καλεῖται Ἡγούμενον· τὸ δέ, καὶ ζῶόν ἐστιν, Ἑπόμενον λέγεται· διότι τὸ ζῶον ἕπεται τῷ ἀνθρώπῳ συνεισφερόμενον· ὁ δ᾽ ἄνθρωπος ἡγεῖται τοῦ ζώου συνεισφέρων αὐτό. Πάντοτε δὲ τὸ Ἑπόμενον, ἢ ἐπὶ πλέον, ἢ ἐπίσης εἶναι τοῦ Ἡγουμένου χρεών· ἐπ᾽ ἔλαττον δὲ οὐδέποτε. Τοῦτο δ᾽ ὅλον, εἰ ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστι, Συνημμένον κατονομάζεται, διὰ τὸ συνῆφθαι ἀλλήλοις τὸ ἡγούμενόν τε καὶ τὸ ἑπόμενον. Τὸ δ᾽ ἀλλὰ μὴν ἄνθρωπός ἐστι, Πρόσληψις καλεῖται, καί γε Μετάληψις. Δηλοῦσι δὲ καὶ ἀμφότερα τὰ ὀνόματα, τὸ

δὶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὶς λαμβάνεσθαι τὸ αὐτό. Τὸ δὲ, καὶ ζῶον ἄρα ἐστὶ, τοῦτο Συμπέρασμα.

Πάλιν ὁ δέκα, ἢ ἄρτιός ἐστιν, ἢ περιττός· ἀλλὰ μὴν οὐ περιττός· ἄρτιος ἄρα. Ἡγούμενον μὲν ὁ δέκα· Ἑπόμενον δὲ, τὸ, ἢ ἄρτιός ἐστιν, ἢ περιττός. Τοῦτο δ᾽ ὅλον, τὸ, ὁ δέκα ἢ ἄρτιός ἐστιν, ἢ περιττὸς, καλεῖται Διεζευγμένον. θεωρεῖται γὰρ ἐνταυθοῖ, διαχωρισμὸς καὶ διάζευξις.

Πρῶτος μὲν οὖν Τρόπος τῶν Ὑποθετικῶν ὁ κατὰ Συνέχειαν, τῇ θέσει τοῦ ἡγουμένου συνεισάγων τὸ ἑπόμενον· οἷον, Εἰ ἔστι νὺξ, ὁ ἥλιος ὑπὸ Γῆν ἐστιν· ἀλλὰ μὴν ἔστι νύξ· ὁ ἥλιος ἄρα ὑπὸ γῆν ἐστιν.

Δεύτερος Τρόπος ὁ κατὰ συνέχειαν, τῇ ἀναιρέσει τοῦ ἑπομένου συναναιρῶν τὸ ἡγούμενον· οἷον, Εἰ τόδε ἄνθρωπός ἐστι, καὶ ζῶον ἐστίν· ἀλλὰ μὴν ζῶον οὐκ ἔστιν· οὐδὲ ἄνθρωπος ἄρα. Ἐν τούτῳ δὲ τῷ τρόπῳ σώζεται σύμπας ὁ χαρακτὴρ τῆς σὺν ἀντιθέσει ἀντιστροφῆς.

Οὐ δεῖ δὲ νομίζειν ἐν ὁποτερῳοῦν τούτων τῶν δύω τρόπων, ἀναγκαῖον εἶναι καταφατικῶς πάντοτε λαμβάνειν, τὸ ἡγούμενόν τε καὶ τὸ ἑπόμενον· ἐνδέχεται μὲν γὰρ καὶ ἄμφω καταφατικὰ λαμβάνειν, ὡς ἐπὶ τῶν προσεχῶς εἰρημένων ὑποδειγμάτων· δυνατὸν δὲ καὶ ἄμφω γε ἀποφατικὰ, ἢ τὸ μὲν ἡγούμενον καταφατικὸν, τὸ δ᾽ ἑπόμενον ἀποφατικὸν, ἢ τὸ ἀνάπαλιν· οἷον ἐκ δύω Ἀποφατικῶν ὁ πρῶτος Τρόπος· Εἰ μὴ ἔστι τόδε ζῶον, οὐδὲ ἄνθρωπός ἐστιν, ἀλλὰ μὴν οὐκ ἔστι ζῶον· οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. Ἡγούμενον μὲν γὰρ ἐν τούτῳ τῷ ὑποθετικῷ, τὸ, μὴ εἶναι τόδε ζῶον· Ἑπόμενον δὲ, τὸ, μὴ εἶναι ἄνθρωπον. Τῇ θέσει οὖν τοῦ μὴ εἶναι ζῶον, συνεισάγομεν τὸ μὴ εἶναι ἄνθρωπον. Ὁ δεύτερος Τρόπος ἐκ τῶν δύω ἀποφατικῶν· Εἰ μὴ ἔστι τόδε ζῶον, οὐδὲ ἄνθρωπός ἐστιν· ἀλλὰ μὴν ἄνθρωπός ἐστι· καὶ ζῶον ἄρα ἐστίν. Ἡγούμενον μὲν ἐν τούτῳ, τὸ, μὴ εἶναι ζῶον· Ἑπόμενον δὲ, τὸ, μὴ εἶναι ἄνθρωπον. Τῇ οὖν ἀναιρέσει τοῦ μὴ εἶναι ἄνθρωπον, ἀναιρεῖται καὶ τὸ μὴ εἶναι ζῶον· ἀναιρουμένου δὲ τοῦ μὴ εἶναι, τίθεται τὸ εἶναι. Ἐξ ἡγουμένου καταφατικοῦ καὶ ἑπομένου ἀποφατικοῦ, πρῶτος Τρόπος οὗτος· Εἰ ἡμέρα ἐστὶ, νὺξ οὐκ ἔστιν, ἀλλὰ μὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμέρα ἐστί, νὺξ ἄρα οὐκ ἔστιν. Ὁ δεύτερος Τρόπος· Εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ᾽ ἂν ἤλγει· ἀλγεῖ δέ· οὐκ ἄρα ἕν ἐστιν. Ἐξ ἀποφατικοῦ ἡγουμένου καὶ καταφατικοῦ ἑπομένου. πρῶτος Τρόπος οὗτος. Εἴπερ οὐκ ἔστιν Ἡμέρα, ὁ ἥλιος ὑπὸ γῆν ἐστιν. ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστιν. ὁ ἥλιος ἄρα ὑπὸ γῆν ἐστιν. Ὁ δεύτερος τρόπος. Εἰ οὐκ ἦν ὁ ἄνθρωπος σύνθετος, ἁπλοῦν ἂν ἦν καὶ μονοειδὲς τὸ ἰώμενον αὐτόν. ἀλλὰ μὴν οὐκ ἔστιν ἁπλοῦν καὶ μονοειδὲς τὸ ἰώμενον αὐτόν. σύνθετος ἄρα ὁ ἄνθρωπος. Οὗτοι μὲν οὖν οἱ δύω τρόποι τῶν ἐξ ὑποθέσεως συλλογισμῶν, καὶ οὕτω συνίστανται κατὰ συνέχειαν, ὡς εἴρηται, προαγόμενοι.

Τῶν δὲ προφερομένων κατὰ διάστασιν, ἔνθα καὶ διάφορα πράγματα τὸ ἑπόμενον· ὁ μέν ἐστιν ἐξ ἀποφατικῆς συμπλοκῆς τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς, ἀναιρῶν τὸ ἕτερον, ἢ τὰ ἕτερα. Λαμβάνεται δ᾽ οὗτος, Ἢ ἐπὶ τῶν μηδ᾽ ὅλως Ἀντικειμένων πραγμάτων, Ἢ ἐπὶ τῶν Ἀντικειμένων ἐμμέσως, καὶ τὸ μέσον ἐχόντων ἀόριστον. Ἐπὶ τῶν ἐμμέσως Ἀντικειμένων, καὶ ἀόριστον ἐχόντων τὸ μέσον, οὕτως. ὁ Κόραξ, οὐχὶ καὶ λευκὸς καὶ μέλας ἐστίν. ἀλλὰ μὴν μέλας. οὐκ ἄρα λευκός. Καὶ πάλιν· ὁ Κύκνος οὐχὶ καὶ λευκὸς καὶ μέλας ἐστὶ, καὶ κιῤῥὸς, καὶ φαιός. ἀλλὰ μὴν λευκός. οὐκ ἄρα τὰ λοιπά. Ἐπὶ τῶν οὐκ ἀντικειμένων, οὕτως. Τὸ ὁρώμενον οὐχὶ καὶ Ἄνθρωπος, καὶ Ἵππος, καὶ Βοῦς, καὶ Κύων ἐστίν. ἀλλὰ μὴν ἄνθρωπος. οὐκ ἄρα τὰ ἕτερα. Καὶ οὗτος μὲν τρίτος τρόπος τῶν ὑποθετικῶν.

Τέταρτος, ὁ ἐκ διαζευκτικοῦ τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς, τὸ λοιπὸν ἀναιρῶν ἢ τὰ λοιπά. Λαμβάνεται δ᾽ οὗτος, ἐπί τε τῶν Ἀμέσως ἀντικειμένων, ἐπί τε τῶν ἐμμέσως, ἀλλ᾽ ὡρισμένον ἐχόντων τὸ μέσον. Καὶ ἀμέσως μὲν, ὡς, ὁ δέκα ἢ ἀρτιός ἐστιν, ἢ περιττός· ἀλλὰ μὴν ἄρτιος· οὐκ ἄρα περιττός. Ἐμμέσως δὲ καὶ Ὡρισμένως· οἷον, Τόδε τοῦδε, ἢ μεῖζόν ἐστιν, ἢ ἔλαττον, ἢ ἴσον· ἀλλὰ μὴν ἴσον τυχόν· οὐκ ἄρα μεῖζον οὐδ᾽ ἔλαττον.

Πέμπτος Τρόπος, ὁ ἐκ διαζευκτικοῦ, τῇ ἀναιρέσει τῶν τοῦ ἑπομένου ἑνὸς, ἢ καὶ τῶν ἄλλων παρὰ τὸ ἓν, εἰσφέρων τὸ λοιπόν. Λαμβάνεται δὲ καὶ οὗτος, ἐφ᾽ ὧν καὶ ὁ

τέταρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέταρτος. οἷον, ὁ Ἓξ ἢ ἄρτιός ἐστιν, ἢ περιττός· ἀλλὰ μὴν οὐκ ἔστι περιττός· ἄρτιος ἄρα. Καὶ πάλιν, ὁ ἓξ ἢ τέλειός ἐστιν, ἢ ἀτελὴς, ἢ ὑπερτελής· ἀλλὰ μὴν, οὔτ᾽ ἀτελὴς, οὔθ᾽ ὑπερτελής· τέλειός ἐστιν ἄρα.

Οὗτοι τοίνυν οἱ τρεῖς Τρόποι, κατὰ διάζευξιν ὑπάρχοντες καὶ διάστασιν, οὕτω προφέρονται. Καὶ γὰρ ὅτε μηδαμῶς ἀντίκεινται τὰ πράγματα, ἢ ἀντίκεινται μὲν, ἀλλ᾽ Ἐμμέσως καὶ τὸ Μέσον ἀόριστον ἔχουσιν· ἀδύνατον τότε πᾶσιν ἐπεξελθεῖν, καὶ διὰ τοῦτο διαζευκτικῶς οὐκ ἔστι ταῦτα προαγαγεῖν· οὔτ᾽ αὖ τῇ ἀναιρέσει τοῦ ἑτέρου ἢ τῶν ἑτέρων εἰσαγαγεῖν τὸ λοιπόν· οὐδὲ γὰρ, εἰ μὴ ἔστιν Ἄνθρωπος, ἤδη Ἵππος ἐστίν· οὔτ᾽ αὖ εἰ οὐκ ἔστι λευκὸν ἢ μέλαν, ἔσται φαιόν. Τοίνυν ἀντὶ μὲν τοῦ Διαζευκτικοῦ, χρηστέον τῇ τῆς ἀποφάσεως συμπλοκῇ. Τῇ θέσει δὲ τοῦ ἑτέρου, τὸ ἕτερον ἀναιρετέον, ἢ τὰ ἕτερα· οἷον, οὐχὶ καὶ Κύων, καὶ Λύκος ἐστὶ τὸ ὁρώμενον. ἀλλὰ μὴν Λύκος. οὐκ ἄρα κύων. Καὶ πάλιν· οὐκ ἐρυθρὸν τὸ αὐτὸ, καὶ Φοινικοῦν ὑπάρχει, καὶ πορφυροῦν, καὶ ὠχρόν. ἀλλὰ μὴν Φοινικοῦν. οὐκ ἄρα τὰ ἕτερα. Ὅτε δὲ ἢ Ἀμέσως ἀντίκεινται τὰ πράγματα, ἢ Ἐμμέσως μὲν, ὡρισμένον δὲ τὸ μέσον ἐστὶν αὐτοῖς, τότε διαζευκτικῶς προαχθήσονται· καὶ μὴ μόνον ἀναιρεθήσεται τὸ ἕτερον ἢ τὰ ἕτερα τῇ θέσει τοῦ ἑνὸς, ἀλλὰ καὶ τῇ ἀναιρέσει τῶν ἄλλων, τεθήσεται τὸ λειπόμενον.

Ἕτερος Τρόπος παρὰ τοὺς εἰρημένους, ὁ ἐξ ὅλων ὑποθέσεων συνεστὼς, ὃς καὶ δι᾽ ὅλου Ὑποθετικὸς ὀνομάζεται, Πρόσληψιν μὴ ἔχων, ἀλλ᾽ ἐξ ἡγουμένων καὶ ἑπομένων ποιούμενος τὸ Συμπέρασμα· Δείκνυσι δὲ, Τίνος ὄντος, Τί ἐστιν ἢ Τί οὐκ ἔστιν· αὖθίς τε Τίνος μὴ ὄντος, Τί ἐστιν ἢ Τί οὐκ ἔστι. Καὶ τίνος μὲν ὄντος τί ἐστιν οὕτως. Εἰ ὁ Θεὸς δίκαιος, ἀνταπόδοσίς ἐστι τῶν βεβιωμένων. Εἰ ἀνταπόδοσίς ἐστι τῶν βεβιωμένων, ἀθάνατος ἡ Ψυχή· Εἰ ὁ Θεὸς ἄρα Δίκαιος, ἀθάνατός ἐστιν ἡ ψυχή. Τίνος ὄντος, Τί οὐκ ἔστιν, οὕτως. Εἰ ἔστιν ἡ λογικὴ ψυχὴ αὐτοκίνητος, οὔποτε σταίη τοῦ κινεῖσθαι· Εἰ μήποτε σταίη τοῦ κινεῖσθαι, οὐ φθαρήσεται. Εἰ ἔστιν ἄρα ἡ λογικὴ ψυχὴ αὐτοκίνητος, οὐ φθαρήσεται. Τίνος μὴ ὄντος, Τί ἐστιν οὕτως. Εἰ οὐκ ἔστιν ἡμέρα, νύξ

ἐστιν· εἰ νὺξ ἐστιν, ὁ Ἥλιος ὑπὸ γῆν ἐστιν. εἰ ἄρα οὐκ ἔστιν ἡμέρα, ὁ Ἥλιος ὑπὸ γῆν ἐστι. Τίνος μὴ ὄντος, Τὶ οὐκ ἔστιν οὕτως· Εἰ τὸ ἰώμενον νοσοῦντα τὸν ἄνθρωπον, οὐκ ἔστιν ἕν, οὐδ᾽ ἔστιν ἓν ὑφ᾽ ὅτου νοσεῖ· Εἰ δὲ μή ἐστιν ἓν ὑφ᾽ ὅτου νοσεῖ, οὐκ ἔστιν ἁπλοῦς ὁ ἄνθρωπος καὶ ἀσύνθετος. Εἰ τὸ ἰώμενον ἄρα νοσοῦντα τὸν ἄνθρωπον, οὐκ ἔστιν ἕν, οὐκ ἔστιν ἁπλοῦς ὁ ἄνθρωπος καὶ ἀσύνθετος.

Πρῶτος Τρόπος τῶν Ὑποθετικῶν ὁ κατὰ Συνέχειαν, τῇ θέσει τοῦ ἡγουμένου συνεισάγων τὸ Ἑπόμενον.

Δεύτερος Τρόπος τῶν Ὑποθετικῶν ὁ κατὰ Συνέχειαν, τῇ ἀναιρέσει τοῦ Ἑπομένου συναναιρῶν τὸ Ἡγούμενον.

Τρίτος Τρόπος τῶν Ὑποθετικῶν ὁ κατὰ Διάστασιν, ἐξ Ἀποφατικῆς συμπλοκῆς, τῇ θέσει τῶν τοῦ Ἑπομένου ἑνὸς ἀναιρῶν τὸ ἕτερον, ἢ τὰ ἕτερα.

Τέταρτος Τρόπος τῶν Ὑποθετικῶν ὁ κατὰ Διάστασιν ἐκ διαζευκτικοῦ, τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς, τὸ λοιπὸν ἀναιρῶν, ἢ τὰ λοιπά.

Πέμπτος Τρόπος τῶν Ὑποθετικῶν, ὁ κατὰ Διάστασιν ἐκ διαζευκτικοῦ, τῇ ἀναιρέσει τῶν τοῦ ἑπομένου ἑνὸς, ἢ καὶ τῶν ἄλλων παρὰ τὸ ἕν, εἰσφέρων τὸ λοιπόν.

Ἕκτος τρόπος τῶν Ὑποθετικῶν, ὁ ἐξ ὅλων Ὑποθέσεων συνεστώς, καὶ καλούμενος δι᾽ ὅλου Ὑποθετικός.

## ΚΦΑ΄ΛΑΙΟΝ. ΛΖ΄.

### Περὶ τῶν παρὰ τὴν λέξιν Σοφισμάτων.

Τὰ ποιοῦντα τοὺς σοφιστικοὺς Ἐλέγχους ἓξ εἰσιν ἐν τῇ λέξει. Ὁμωνυμία, Ἀμφιβολία, Σύνθεσις, Διαίρεσις, Προσῳδία, Σχῆμα λέξεως.

Παρὰ τὴν ὁμωνυμίαν μὲν Σόφισμα· οἷον, τὰ δέοντα ἀγαθά ἐστι· τὰ κακὰ δέοντά ἐστι· τὰ κακὰ ἄρα ἀγαθά ἐστιν. Ὁμώνυμον ἐνταῦθα τὸ Δέον· δηλοῖ γὰρ τὸ πρός τι χρήσιμον, καὶ τὸ καθ᾽ αὑτὸ ἀγαθόν. ἐν μὲν οὖν τῇ ἐλάττονι προτάσει τῇ λεγούσῃ, τὰ κακὰ δέοντα, τὸ δέον ἀντὶ τοῦ χρησίμου παρείληπται· χρημάτων γὰρ ἀφαιρέσεις, καὶ καθείρξεις καὶ μάστιγες, καὶ τὰ τοιαῦτα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα, καθ' αὑτὰ ὄντα κακὰ, χρήσιμά ἐστι πρὸς τοὺς δεομένους σωφρονισμοῦ· κατὰ δὲ τὴν μείζω πρότασιν, λέγεται τὸ δέον, ὡς καθ' αὑτὸ ἀγαθόν· καὶ οὕτως ἐκ τῆς ὁμωνυμίας εὗρε χώραν ὁ παραλογισμός. Χρὴ τοίνυν ὁμωνύμων ἐρωτωμένων, διαστέλλειν τὰ σημαινόμενα· καὶ οὕτω τὴν ἀπόκρισιν ἀσφαλῆ ποιουμένους, τὸν σοφιστὴν ἀποκρούεσθαι. Πρῶτος μὲν οὖν σοφισμὸς, ὁ Παρὰ τὴν ὁμωνυμίαν ἐστί.

Δεύτερος ὁ Παρὰ τὴν ἀμφιβολίαν· οἷον, Ἆρ', ὃ γινώσκει τις, τοῦτο γινώσκει; γινώσκει δέ τις τὸ ξύλον· τὸ ξύλον ἄρα γινώσκει· τὸ Γινώσκει Ἀμφίβολον· οὐ γάρ ἐστι σαφές· πότερον; ὁ γινώσκων λέγεται γινώσκειν, ἢ τὸ γινωσκόμενον εἶναι τὸ γινώσκον; Καὶ πάλιν, Ἆρ' ἔστι σιγῶντα λέγειν; οὐχί· τί δ' ὅταν λέγῃ τις ξύλα καὶ λίθους, οὐ λέγει σιγῶντα; ἔστιν ἄρα σιγῶντα λέγειν. ἀμφιβάλλεται τὸ, σιγῶντα, ποῦ τακτέον· πότερον; πρὸς τὸν λέγοντα, ἤτοι τὸν ἄνθρωπον, ἢ πρὸς τὰ λεγόμενα, ἤγουν τὰ πράγματα;

Διενήνοχε δὲ τοῦ Παρὰ τὴν ὁμωνυμίαν τρόπου, ὁ Παρὰ τὴν ἀμφιβολίαν· ὅτι ὁ μὲν Παρὰ τὴν ὁμωνυμίαν, ἐξ αὐτοῦ τοῦ ὀνόματος διάφορα σημαίνοντος τὴν ἀπάτην εἰσάγει· ὁ δὲ Παρὰ τὴν ἀμφιβολίαν, ἐκ τοῦ λόγου ποιεῖται τὴν πλάνην, δηλοῦντος οὐχ ἕν. Ἐκληπτέον δὲ λόγον ἐνταῦθα, τὴν τῶν λέξεων σύνταξιν· ὄνομα δὲ, τὴν λέξιν ἁπλῶς. Τὸ μὲν γὰρ δέον, δηλοῖ πλείω κατὰ πᾶσαν πτῶσιν μετακλινόμενον, ὅθεν καὶ ὁμώνυμον λέγεται. τὸ δὲ γινώσκει, καὶ τὸ σιγῶντα, καὶ τὰ τοιαῦτα, τὰ διάφορα σημαίνειν ἔχον, ἐκ τῆς τοιᾶσδε συντάξεως. Ὅθεν εἴ τις οὕτως ἐρεῖ, ὃ ἐγὼ γινώσκω, ἐκεῖνο γινώσκω· καὶ πάλιν, ἆρ' ἔστι σοι λέγειν σιγῶντι; τὸ ἀμφίβολόν ἐστιν οὐδέν. Εἰ δὲ τὸ δέον ἀγαθὸν εἴποι τις, ἢ ἔστι τῷ δέοντι ἀγαθὸν, ἢ ὁπωσοῦν ἄλλως, ἡ τοῦ δέοντος ὁμωνυμία φυλάσσεται πάντοτε.

Τρίτος Τρόπος, ὁ Παρὰ σύνθεσιν· οἷον ὁ καθήμενος δύναται βαδίζειν· ὁ Σωκράτης κάθηται· ὁ Σωκράτης ἄρα βαδίζει· ἀλλὰ καὶ οὐ βαδίζει· κάθηται γάρ.

Ὁ πα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ παραλογισμὸς Παρὰ τὴν σύνθεσιν γέγονεν· ἔδει γάρ, καθάπερ ἐν τῇ μείζονι Προτάσει τὸ δύναται, καὶ τὸ βαδίζειν τοῦ μέσου ὅρου ἅμα κεκατηγόρηνται, οὕτω δὴ κἀν τῷ συμπεράσματι, τὸ δύναται μετὰ τοῦ βαδίζειν συντεθειμένως καὶ συνημμένως λεχθῆναι κατὰ Σωκράτους, ἀλλ' οὐχὶ τὸ βαδίζει μόνον. ἐλλιπῶς οὖν ἐν τῷ συμπεράσματι τῆς συνθέσεως γεγονυίας, ὁ Παρὰ τὴν σύνθεσιν ἐγένετο Παραλογισμός.

Τέταρτος Τρόπος, ὁ Παρὰ τὴν διαίρεσιν. οἷον τὰ πέντε τρία καὶ δύο· τὰ τρία καὶ δύο περιττὰ καὶ ἄρτια· τὰ πέντε ἄρα περιττὰ καὶ ἄρτια. Τὸ Σόφισμα Παρὰ τὴν διαίρεσιν, διὰ τὸ διῃρῆσθαι τὰ πέντε κατὰ τὴν ἐλάττω πρότασιν, εἰς τρία καὶ δύο, καὶ ἰδίᾳ περὶ ἑκάστου τὴν μείζω πρότασιν εἰπεῖν, ὅτι ὁ τρία καὶ ὁ δύο καθ' ἑαυτὸν ἕκαστος ἀριθμός, ὁ μὲν ἐστι περιττός, ὁ δ' ἄρτιος· εἶτ' ἀποφήνασθαι τὸ Συμπέρασμα περὶ τοῦ πέντε ὁμοῦ, τὰ περὶ τῶν αὐτῶν μερῶν ἐξ ὧν συντέθειται, ταῖς προτάσεσιν εἰρημένα.

Τινὲς δὲ Τρόπον ἕνα τὸν παρὰ σύνθεσιν καὶ διαίρεσιν ἔθεντο· διὰ τό, τὸ αὐτὸ διαιρούμενον ἀπὸ τοῦδε συντίθεσθαι τῷδε, καὶ συντιθέμενον τῷδε διαιρεῖσθαι ἀπὸ τοῦδε· οἷον ἐπὶ τοῦ δηλωθέντος νῦν παραλογισμοῦ τὰ πέντε διῄρηνται εἰς τὰ τρία καὶ τὰ δύο· καὶ τῶν μὲν τρία, κατηγορήθη τὸ περιττόν· τῶν δύο δέ, τὸ ἄρτιον κατὰ διαίρεσιν· ἄμφω δ' ὁμοῦ, τὸ περιττὸν δηλονότι καὶ ἄρτιον, τῶν πέντε κατηγορήθησαν κατὰ σύνθεσιν. Πάλιν ἐπὶ τοῦ ἀνωτέρω ῥηθέντος σοφίσματος, τὸ βαδίζειν καὶ τὸ δύναται τοῦ καθημένου κατηγορήθησαν κατὰ σύνθεσιν· διαιρεθὲν δὲ τὸ βαδίζειν ἀπὸ τοῦ δύναται, τοῦ Σωκράτους κεκατηγόρηται, τὸν ἔκλειψιν ἀμειψάμενον.

Πέμπτος Τρόπος, ὁ παρὰ Προσῳδίαν· οἷον, οὗ καταλύεις, οἰκία ἐστίν· οὐ καταλύεις, ἀπόφασίς ἐστιν· ἡ οἰκία ἄρα ἀπόφασίς ἐστι. Παρὰ τὴν προσῳδίαν τὸ Σόφισμα. Ἐν μὲν γὰρ τῇ προτέρᾳ προτάσει, τὸ οὗ μετὰ δασέως πνεύματος, καὶ τόνου περισπωμένου δοθέν, τὸ ὅπου ἐσήμαινεν· ἐν δὲ τῇ δευτέρᾳ προτάσει μετὰ ψιλοῦ πνεύματος ληφθέν, καὶ τόνου χωρίς, ἐδήλωσεν ἄρνησιν.

Ἔκτος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἕκτος Τρόπος, ὁ Παρὰ τὸ σχῆμα τῆς λέξεως. Ὀνομάζεται δ' οὕτως, ἐπείπερ ὁ ποῖος τῆς λέξεως σχηματισμὸς, αἴτιος τοῦ τοιούτου γίνεται παραλογισμοῦ· οἷον, τὸ μανθάνειν, ἐνεργεῖν ἐστι περὶ τὴν μάθησιν· τὸ ἐνεργεῖν περὶ τὴν μάθησιν, διδάσκειν ἐστίν. τὸ μανθάνειν ἄρα διδάσκειν ἐστίν. Ὁ σοφισμὸς Παρὰ τὸ σχῆμα τῆς λέξεως· ἐσχημάτισται γὰρ τὸ παθητικὸν, εἰς τὸ ἐνεργητικόν· καὶ τὸ ἐνεργητικὸν, εἰς τὸ παθητικόν· τὸ γὰρ ἐνεργεῖν περὶ τὴν μάθησιν, καὶ πάθους καὶ ἐνεργείας δηλωτικόν ἐστι. Καὶ πάλιν. Ἆρ' ἐνδέχεται τὸ αὐτὸ ποιεῖν ἅμα καὶ πεποιηκέναι; οὐχί. Τί δέ; οὐκ ἐνδέχεται τὸ αὐτὸ καὶ ὁρᾷν ἅμα καὶ ἑωρακέναι; ὥστε καὶ ποιεῖν καὶ πεποιηκέναι. Παρὰ τὸ σχῆμα τῆς λέξεως καὶ τοῦτο τὸ Σόφισμα. τὸ γὰρ ὁρᾷν καὶ ἑωρακέναι, κἂν εἰς παρόντα καὶ παρῳχημένον ἐσχημάτισται χρόνον, πλὴν ἓν σημαίνει καὶ τὸ αὐτὸ, διὰ τὸ οἷον ἀχρόνως καὶ ἀδιαστάτως τὴν ὅρασιν ἐνεργεῖν. Ὅθεν ὅπερ τις ὁρᾷ, τοῦτο μονονουχὶ καὶ ἑώρακε. ποιεῖν δὲ καὶ πεποιηκέναι τὸ αὐτὸ, οὐκ ἐνδέχεται ἅμα, διὰ τὴν τῶν χρόνων διάστασιν. τὸ μὲν γὰρ ποιεῖν, ἐνεστῶτα χρόνον δηλοῖ· τὸ δὲ πεποιηκέναι τὸν παρεληλυθότα.

| | |
|---|---|
| Τὰ παρὰ τὴν λέξιν Σοφίσματα. | Ὁμωνυμία. |
| | Ἀμφιβολία. |
| | Σύνθεσις. |
| | Διαίρεσις. |
| | Προσῳδία. |
| | Σχῆμα λέξεως. |

## ΚΕΦΑΛΑΙΟΝ. ΛΗʹ.

### Περὶ τῶν ἐκτὸς τῆς Λέξεως Σοφισμάτων.

Τῶν σοφισματικῶν Τρόπων, ἓξ μὲν Παρὰ τὴν λέξιν εἰσὶ, περὶ ὧν προσεχῶς ὑπεμνήσαμεν· ἑπτὰ δὲ τῆς λέξεως ἐκτός· Παρὰ τὸ συμβεβηκὸς, Παρὰ τὸ πῆ καὶ ἁπλῶς, Παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν, παρὰ τὸ ἑπόμενον, Παρὰ τὸ, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, Παρὰ τὸ τιθέναι τὸ μὴ αἴτιον ὡς αἴτιον·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἴτιον· ὃς δὴ Τρόπος καὶ μὴ παρὰ τοῦτο κατονομάζεται· Παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν.

Παρὰ τὸ συμβεβηκὸς μὲν, οἷον, ὁ Σωκράτης ἕτερον Πλάτωνος· ὁ Πλάτων ἄνθρωπος· ὁ Σωκράτης ἕτερον ἀνθρώπου. Λέγεται δὲ Παρὰ τὸ συμβεβηκὸς, ὅτι μὴ κατὰ φύσιν ἕτερόν ἐστιν ὁ Σωκράτης τοῦ Πλάτωνος, ἀλλὰ καθ' ὑπόστασιν καὶ τὰς ὑποστατικὰς ἰδιότητας. Ταῦτα δὲ πάντα, περὶ τὴν φύσιν ἐστὶν ἀλλ' οὐ φύσεις· τὸ συμπέρασμα δὲ λαβὼν ἀπὸ τῶν περὶ τὴν φύσιν, τὴν ἑτερότητα πρὸς τὴν φύσιν μετήνεγκε. Πάλιν, ὁ Ἄνθρωπος Ζῶον· τὸ ζῶον Γένος· ὁ ἄνθρωπος γένος. Καί, ὁ Πέτρος ἄνθρωπος· ὁ ἄνθρωπος τρισύλλαβον· ὁ Πέτρος ἄρα τρισύλλαβον. Ταῦτα καὶ τὰ τοιαῦτα Σοφίσματα, Παρὰ τὸ συμβεβηκός· οὔτε γὰρ τοῦ ζώου κατηγορεῖται τὸ γένος οὐσιωδῶς, οὔτε τοῦ ἀνθρώπου τὸ τρισύλλαβον οὐσιωδῶς, ἵν' ἐξ ἀνάγκης τὸ μὲν κατὰ τοῦ ἀνθρώπου, τὸ δὲ κατὰ τοῦ Πέτρου λεχθείη. Γινομένης δὲ τῆς κατηγορίας μὴ οὐσιωδῶς, ἀλλ' ἐπουσιωδῶς, οὐχ ὅσα κατὰ τοῦ Κατηγορουμένου λέγεται, ταῦτ' ἀνάγκη καὶ κατὰ τοῦ Ὑποκειμένου λέγεσθαι πάντα. Πάλιν ἐν δευτέρῳ Σχήματι. Τὸ μέλι ἐπίτασιν καὶ ἄνεσιν οὐκ ἐπιδέχεται· Τὸ γλυκὺ ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεται. Τὸ μέλι οὐκ ἔστι γλυκύ. Καὶ αὖθις· Τὸ λευκὸν κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν· ὁ Κύκνος, ἡ Χιών, τὸ Ψιμμίθιον, κατὰ τὸ μᾶλλον καὶ ἧττον οὐκ εἰσίν. Οὐκ ἄρα ταῦτα λευκά. Παρὰ τὸ συμβεβηκὸς τὰ Σοφίσματα, διὰ τὸ μήτε τοῦ λευκοῦ τὸ μᾶλλον καὶ ἧττον κατηγορεῖσθαι οὐσιωδῶς, μήτε τοῦ γλυκέος τὸ ἐπιτείνεσθαι καὶ ἀνίεσθαι. Οἶμαι δὲ τοὺς τοιούτους Παραλογισμοὺς, εἴτις καὶ Παρὰ τὴν ὁμωνυμίαν ἐρεῖ, καὶ οὗτος οὐκ ἂν ἀποπλανηθείη πόῤῥω τοῦ ἀληθοῦς· τὸ γλυκὺ γὰρ καὶ τὸ λευκόν, σημαντικά ἐστι καὶ τῶν ποιοτήτων αὐτῶν, τῆς γλυκύτητος, λέγω, καὶ τῆς λευκότητος· ἀλλὰ δὴ καὶ τῶν πεποιωμένων σωμάτων. Κατὰ μὲν οὖν τὰς μείζους Προτάσεις, ποιότητας μόνας ἁπλῶς ἐδίδουν οἱ Σοφισμοί, γλυκύτητα καὶ λευκότητα· ἐν δὲ τοῖς συμπεράσμασι Σώματα, μετὰ ποιοτήτων ἐλάμβανον. Εἰ

δ' ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δ' ὁ γλυκὺ καὶ ὁ λευκὸν προέτεινον, ἐκεῖνα καὶ συνεπέραινον, οὐδὲν ἂν ἴσως ἠκολούθει παράλογον· οὔτε γὰρ τὸ Μέλι γλυκὺ τοιοῦτον, ὁποῖον ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεται, τουτέστι γλυκύτης, οὔθ' ὁ Κύκνος τοιοῦτο λευκὸν, ὁποῖον κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν, ἤγουν λευκότης· ἀλλὰ σώματα καὶ ἄμφω· τὸ μὲν γλυκὺ σῶμα, τὸ Μέλι· τὸ δ' αὖ σῶμα λευκὸν, ὁ Κύκνος· καὶ καθὸ σώματα τοῦ μᾶλλον καὶ τοῦ ἧττον ἀνεπίδεκτα μένει, καὶ πάσης ἐπιτάσεώς τε καὶ ἀνέσεως, σώζοντα δηλονότι τὸ κατὰ φύσιν ἐν ἑαυτοῖς. Τοιαῦτα καὶ ἡ Χιὼν, καὶ τὸ Ψιμμίθιον, καὶ τὰ παραπλήσια. Οὕτω καὶ ἄλλο μὲν ζῶον, ὁ ἄνθρωπος· ἄλλο δὲ ζῶον, τὸ γένος. Ζῶον μὲν γὰρ γένος τὸ ἁπλῶς ζῶον, ἤγουν τὸ τῶν εἰδῶν ἁπάντων συλληπτικὸν, τῶν κατὰ τὴν τελείαν χαρακτηριζομένων ζωήν· ὁ δ' Ἄνθρωπος ἓν τῶν τοιούτων εἰδῶν, ὃ πρὸς τῇ τελείᾳ ζωῇ φέρει καὶ τὴν λογικότητα, καὶ τὴν πρὸς τὸ δέχεσθαι τὸν θύραθεν νοῦν καὶ τὰς ἐπιστήμας ἐπιτηδειότητα φυσικὴν, μορφωτικὰ ἑαυτοῦ. Ζῶον οὖν οὐχ ἁπλῶς ὁ ἄνθρωπος, ἀλλὰ τοιοῦτον ζῶον· τὸ δὲ τοιοῦτον ζῶον, οὐ Γένος, ἀλλ' Εἶδός ἐστι.

Δεύτερος Τρόπος τῶν ἐκτὸς τῆς λέξεως Ἐλέγχων σοφιστικῶν, ὁ Παρὰ τὸ πῇ καὶ ἁπλῶς. Καὶ Πῇ μὲν καλεῖται ἡ σύνθετος κατηγορία μερικωτέρων οὖσα δηλωτική· καὶ γὰρ ἡ σύνθεσις ἀεὶ μερικεύει τὰ πράγματα· διὸ καὶ τὸ λογικὸν ζῶον μερικώτερόν ἐστι τοῦ ζώου. Ἁπλῶς δὲ, ἡ ἀσύνθετος κατηγορία λέγεται, καθολικωτέρων ὑπάρχουσα πραγμάτων ἐμφαντική, τὰ γὰρ ἁπλᾶ, τῶν συνθέτων καθολικώτερα. Γίνεται τοίνυν ὁ Παρὰ τὸ πῇ καὶ ἁπλῶς Παραλογισμὸς, ἢ ὅταν τὰ Πῇ κατηγορήσωμεν Ἁπλῶς, ἢ τὰ Ἁπλῶς κατηγορήσωμεν Πῇ· τουτέστιν, ἢ ὅταν τὰ ἅμα καὶ συνθέτως κατηγορούμενα, κατηγορήσωμεν ἰδίᾳ καὶ ἀσυνθέτως· ἢ τὰ ἰδίᾳ καὶ ἀσυνθέτως κατηγορούμενα, ὁμοῦ καὶ συνθέτως κατηγορήσωμεν. Τοῦ προτέρου παράδειγμα· ὁ Πατὴρ μείζων τοῦ Υἱοῦ τῷ Αἰτίῳ. τὸ Αἴτιον Φύσει· ὁ Πατὴρ ἄρα μείζων τοῦ Υἱοῦ Φύσει. Παρὰ τὸ πῇ καὶ Ἁπλῶς προέβη τὸ Σόφισμα.

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ γὰρ ὁ Πατὴρ μείζων τοῦ Υἱοῦ τῷ Φύσει αἰτίῳ, ἤγουν τῷ Φυσικῷ, οὐ τῷ δημιουργικῷ. Τοίνυν ἐπεὶ καὶ τὸ αἴτιον καὶ τὸ Φύσει, κατηγορηθῆναι ὀφείλοντα Πῇ, καὶ ὁμοῦ καὶ συνθέτως, Ἁπλῶς καὶ ἰδίᾳ καὶ ἀσυνθέτως κατηγορήθησαν, εὗρε χώραν ὁ Παραλογισμός. Τοῦ δευτέρου παράδειγμα. Σίμων Σκυτεὺς καὶ ἀγαθός· Πᾶς Σκυτεὺς ἀγαθὸς, εὐφυῶς κατασκευάζει τὰ Πέδιλα· Σίμων τὸ λοιπὸν εὐφυῶς κατασκευάζει τὰ Πέδιλα. Ἦν δ᾽ ὁ Σίμων οὐκ ἀγαθὸς τὴν τέχνην, ἀλλὰ τὸν τρόπον. Τὸ σόφισμα παρὰ τὸ Πῇ καὶ Ἁπλῶς· τὸ γὰρ ἀγαθὸς, καὶ τὸ Σκυτεὺς, ἁπλῶς καὶ ἰδίᾳ καὶ ἀσυνθέτως κατηγορηθέντα τοῦ Σίμονος, κατὰ τὴν ἐλάττω πρότασιν, πῇ, καὶ ὁμοῦ κατὰ τὴν μείζω, καὶ συνθέτως ἐλήφθησαν.

Τρίτος Τρόπος, Παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν· οἷον, τὰ δέκα διπλάσια· τὰ δέκα οὐ διπλάσια· πρὸς μὲν γὰρ τὰ πέντε, διπλάσια· πρὸς ἄλλα δὲ, οὐ διπλάσια. τὰ διπλάσια τοιγαροῦν οὐ διπλάσια. Λέγεται δὲ Παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν, ὅτι παρὰ τὸ μὴ γινώσκειν τὸν ἀποκρινόμενον, ἴσως δὲ καὶ τὸν ἐρωτῶντα, τί ἐστιν ἔλεγχος, λαμβάνει τόπον ὁ Παραλογισμός. Ἔλεγχος γάρ ἐστιν Ἀντίφασις τοῦ αὐτοῦ καὶ πρὸς τὸ αὐτὸ, μὴ μέν τοι πρὸς ἄλλο καὶ ἄλλο. τὰ δέκα δὲ πρὸς τὰ πέντε μὲν εἴρηνται διπλάσια· πρὸς τ᾽ ἄλλα δὲ οὐ διπλάσια.

Τέταρτος Τρόπος, ὁ Παρὰ τὸ ἑπόμενον· οἷον Δημόκριτος φεύγει πρὸς ἔρημον· ὁ φεύγων πρὸς ἔρημον μαίνεται· Δημόκριτος ἄρα μαίνεται. Λέγεται δὲ Παρὰ τὸ ἑπόμενον, ἐπείπερ ἕπεται τῷ μαινομένῳ τὸ φεύγειν πρὸς ἔρημον. πλὴν οὐκ ἀντιστρέφει· οὐ γάρ εἴ τις φεύγει πρὸς ἔρημον, ἤδη καὶ μαίνεται· ἀλλ᾽ ἔστιν ὃς τῶν ἀνθρωπίνων πραγμάτων ὑπερφρονήσας, ἀταραξίαν καὶ ἡσυχίαν ζητεῖ, καὶ διὰ τοῦτο πρὸς τόπους ἀπηλλαγμένους θορύβων ἀναχωρεῖ, καθὼς καὶ ὁ ἰατρὸς Ἱπποκράτης ὁ Κῷος ἐπέστησεν ἀκούσας, ὅτι Δημόκριτος ἐμάνη καὶ πρὸς ἔρημον ἀνεχώρησε.

Πέμπτος Τρόπος, Παρὰ τὸ αἰτεῖσθαι καὶ λαμβάνειν τὸ ἐν ἀρχῇ, ἤγουν τὸ προκείμενον εἰς δεῖξιν, τιθέναι

ὥσπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὥσπερ ὁμολογούμενον· οἷον, πρόκειται εἰς δεῖξιν, τὸ, τὴν ψυχὴν εἶναι ἀθάνατον· τοῦτό ἐστι τὸ ἐν ἀρχῇ, τὸ προηγούμενον, δι᾽ ὃ γίνεται ὁ συλλογισμός. Εἴτις οὖν εἴποι, ὅτι ἡ ψυχὴ ἄφθαρτος· τὸ ἄφθαρτον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος· οὗτος αἰτεῖται καὶ λαμβάνει τὸ ἐν ἀρχῇ, τὸ ζητούμενον. Οὐδὲ γὰρ διενήνοχε τοῦ ἀθανάτου, κατὰ τὴν σημασίαν, τὸ ἄφθαρτον, εἰ μὴ κατὰ μόνην τὴν προφοράν· ταυτὸ γὰρ, κατὰ τὴν ἔννοιαν, ἀθάνατόν τε καὶ ἄφθαρτον. Ὅθεν ὁ οὕτω συλλογιζόμενος, δείκνυσιν οὐδέν· ἀλλὰ τὸ ἐν ἀρχῇ τὸ ζητούμενον αἰτεῖται καὶ λαμβάνει χωρὶς ἀποδείξεως.

Ἕκτος Τρόπος, Παρὰ τὸ τιθέναι τὸ μὴ αἴτιον ὡς αἴτιον. Γίνεται δὲ τὸ τοιοῦτον, ἐν τοῖς δι᾽ ἀδυνάτου συλλογισμοῖς· οἷον, εἴ τινος εἰπόντος, παντὶ γελαστικῷ ὑπάρχειν τὸ λογικόν, ἕτερος ἐντεῦθεν δῆθεν, εἰς ἀδύνατον ἀπάγων τὸν λόγον, ἐρεῖ. Εἰ τὸ λογικὸν παντὶ γελαστικῷ· τὸ γελαστικὸν παντὶ Πιθήκῳ· τὸ λογικὸν ἄρα Πιθήκῳ παντὶ, διὰ τὴν ὑπόθεσιν. ὅπερ ἀδύνατον. Ὡς αἴτιον ἐνταυθοῖ τέθειται τὸ μὴ αἴτιον· οὐδὲ γὰρ τὸ εἶναι παντὶ γελαστικῷ τὸ λογικὸν, (τοῦτο γὰρ ἦν ἡ ὑπόθεσις.) τοῦ ἀδυνάτου γέγονεν αἴτιον, μὴ παρὰ τοῦτο συμβέβηκεν ἡ εἰς ἀδύνατον Ἀπαγωγὴ, ἀλλὰ παρὰ τὸ ὑπάρχειν Πιθήκῳ παντὶ τὸ γελαστικόν· τοῦτο γὰρ ψεῦδος ὂν, εἰσήγαγε τὸ ἀδύνατον· ἐπείπερ οὐδεὶς Πίθηκος ταῖς ἀληθείαις γελᾷ, εἰ καὶ ἴσως γελᾶν σχηματίζηται, ζῷον ὑπάρχον μιμητικόν.

Ἕβδομος Τρόπος καὶ ὕστατος, ὁ Παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν· οἷον, Σωκράτης διδάσκει Πλάτωνα καὶ Ἀριστοτέλη· Πλάτων καὶ Ἀριστοτέλης ἄνθρωπός ἐστι· Σωκράτης ἄρα διδάσκει ἄνθρωπον, ἀλλ᾽ οὐκ ἀνθρώπους. Ἐνταῦθα πλείω τὰ ἠρωτημένα ὑπάρχοντα, γεγόνασιν ἕν· ἕκαστον δὲ τῶν ὑποκειμένων, ἰδίας δεῖται τῆς ἐρωτήσεως· ἄλλος μὲν γὰρ ὁ περὶ Πλάτωνος λόγος· ὁ δὲ περὶ Ἀριστοτέλους, ἕτερος. Συμμιγῶς τοίνυν τὰ διάφορα ὑποκείμενα ἐρωτηθέντα ὡς ἕν, τὸν σοφισμὸν συνεστήσαντο.



ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

| Τὰ ἐκτὸς τῆς λέξεως Σοφίσματα. | |
|---|---|
| | Παρὰ τὸ συμβεβηκός. |
| | Παρὰ τὸ πῆ καὶ ἁπλῶς. |
| | Παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν. |
| | Παρὰ τὸ ἑπόμενον. |
| | Παρὰ τὸ, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. |
| | Παρὰ τὸ τιθέναι τὸ μὴ αἴτιον ὡς αἴτιον. |
| | Παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν. |

## ΚΕΦΑΛΑΙΟΝ. ΛΘ΄.

### Περὶ Ἐλέγχου, καὶ ὅτι πάντες οἱ Παραλογισμοὶ εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν ἀνάγονται.

Ἔλεγχός ἐστιν, Ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνὸς, μὴ ὀνόματος, ἀλλὰ πράγματος, καὶ ὀνόματος μὴ συνωνύμου, ἀλλὰ τοῦ αὐτοῦ, ἐκ τῶν δοθέντων ἐξ ἀνάγκης, μὴ συναριθμουμένου τοῦ ἐξ ἀρχῆς, κατὰ τὸ αὐτὸ, καὶ πρὸς τὸ αὐτὸ, καὶ ὡσαύτως, καὶ ἐν τῷ αὐτῷ χρόνῳ. Τοίνυν εἰ μέλλει τις μὴ καλῶς λέγοντα τὸν προσδιαλεγόμενον ἀπελέγχειν, ὀφείλει τὸ ἀντικείμενον συνάγειν, ὅπερ ἂν ὁ προσδιαλεγόμενος ἀποφαίνοιτο. (τοῦτο γάρ ἐστιν ἡ Ἀντίφασις.) Συνάγειν δὲ τὴν Ἀντίφασιν, ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς, οὐ μὴν ἐπ᾽ ἄλλου καὶ ἄλλου. Τὸ γὰρ εἰπόντος τινὸς τὸν Ἀριστοτέλη τεχνολογεῖν, ἕτερον εἰρηκέναι τὸν Πλάτωνα μὴ τεχνολογεῖν, οὐκ ἔστιν ἔλεγχος· διὰ τοῦτό φησιν ὁ Ὁρισμὸς, Ἀντίφασιν τοῦ αὐτοῦ καὶ ἑνὸς εἶναι τὸν Ἔλεγχον. Μὴ ὀνόματος δὲ, ἀλλὰ πράγματος· τουτέστι μὴ μόνον ὀνόματος, ἀλλὰ καὶ πράγματος. Εἰ γὰρ ἓν μὲν ὑπάρχει τοὔνομα, διάφορα δὲ τὰ ὑπ᾽ αὐτοῦ δηλούμενα πράγματα, καὶ ὁ μὲν ἐπ᾽ ἄλλου σημαινομένου δοίη τὸν λόγον, ὁ δ᾽ ἐφ᾽ ἑτέρου ποιήσοιτο τὴν Ἀντίφασιν, οὐ γίνεται Ἔλεγχος. Ἀλλ᾽ οὐδὲ τοῦ συνωνύμου ὀνόματος ἡ Ἀντίφασις Ἔλεγχός ἐστι· τὸ γὰρ εἰπεῖν, ζῷον περιπατεῖ, ζῷον οὐ περιπατεῖ, καὶ ἄμφω γε ἀληθῆ. Ἔλεγχος οὖν ἐστιν, ἡ τοῦ αὐτοῦ καὶ ἑνὸς, ὀνόματός τε καὶ πράγματος Ἀντίφασις ἐκ τῶν δοθέντων ἐξ ἀνάγκης συναγομένη, καὶ οὐκ ἐξ ἑτέρων τινῶν. Μὴ συναριθμουμένου

τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τȣ̃ ἐν ἀρχῇ, τȣτέςι, δι' ἑτέρȣ ὀνόματος λαμβανομένȣ τȣ̃ ζητήματος ἀντὶ προτάσεως εἰς τὸν λόγον τῆς ἀποδείξεως. τȣ̃το γὰρ ὑπάρχει τὸ ἐν ἀρχῇ. Καὶ κατὰ τὸ αὐτὸ δὲ χρὴ, μὴ μέν τοι κατ' ἄλλο καὶ ἄλλο μέρος τȣ̃ ὑποκειμένȣ γίνεσθαι τὴν Ἀντίφασιν. Εἰ γὰρ τὸ αὐτὸ Ξύλον κατὰ μὲν τὸ μῆκος λέγοιτο δίπηχυ, κατὰ δὲ τὸ πλάτος, ȣ̓ δίπηχυ· καὶ Αἰθίοψ κατὰ μὲν τὴν τȣ̃ σώματος ἐπιφάνειαν μέλας, κατὰ δὲ τȣ̀ς ὀδόντας ȣ̓ μέλας, ȣ̓δ' ȣ̔́τω γίνεται Ἔλεγχος. Καὶ πρὸς αὐτὸ δὲ, μὴ μέν τοι πρὸς ἄλλο δεῖ ἀντιφάσκειν. Οὐδὲ γὰρ ἐλέγχειν ἐςὶ, τὸ τὸν δέκα λέγειν πρὸς τὸν πέντε διπλάσιον, ȣ̓ διπλάσιον δὲ, πρὸς ἕτερον ἀριθμόν. Οὐ μόνον δὲ κατὰ τὸ αὐτὸ, καὶ πρὸς τὸ αὐτὸ τελεῖσθαι χρὴ τὴν Ἀντίφασιν, ἀλλὰ καὶ ὡσαύτως, καὶ ἐν τῷ αὐτῷ χρόνῳ. Ὡσαύτως μὲν, ἵνα μὴ λέγωμεν τὸ βρέφος γραμματικόν τε καὶ ȣ̓ γραμματικόν· ἢ τὸν κοιμώμενον, ὁρῶντα καὶ ȣ̓χ ὁρῶντα· τὸ μὲν κατὰ τὸ δυνάμει· τὸ δὲ κατὰ τὸ ἐνεργείᾳ λαμβάνοντες. Ἐν τῷ αὐτῷ δὲ χρόνῳ, ἵνα μὴ τὸν αὐτὸν ἄνθρωπον λέγωμεν, κατ' ἄλλον μὲν χρόνον φαῦλον, κατ' ἄλλον δὲ πάλιν χρόνον ȣ̓ φαῦλον. Ταῦτα πάντα χρεὼν εἰδέναι, τὸν μήτ' ἀπατᾶσθαι, καὶ τȣ̀ς ἀπατῶντας ἐλέγχειν βȣλόμενον.

Ἐντεῦθεν δῆλόν ἐςιν, ὡς οἱ Παραλογισμοὶ πάντες εἰς τὴν τȣ̃ Ἐλέγχȣ ἄγνοιαν ἀναφέρονται, ψευδεῖς τινες ὄντες ἔλεγχοι καὶ ἀπατηλοὶ, καὶ διὰ τȣ̃το σοφιςικοὶ καλȣ́μενοι Ἔλεγχοι, ὡς χρωμένων τȣ́τοις τῶν σοφιςῶν, τῶν μηδὲν ἄλλο ἐσπȣδακότων, ἢ τοιȣ́τοις κεχρωματισμένοις συλλογισμοῖς, τὸν προσδιαλεγόμενον ἀπατᾶν. Εἰ τοίνυν ὁ ἀληθὴς Ἔλεγχος, Ἀντίφασίς ἐςι τȣ̃ αὐτȣ̃ καὶ ἑνὸς, μὴ μόνον ὀνόματος, ἀλλὰ καὶ πράγματος· ὁ τȣ̃το εἰδὼς, ȣ̓κ ἂν παρασυρείη τοῖς παρὰ τὴν λέξιν σοφίσμασιν. Ἥ, τε γὰρ Ὁμωνυμία, διάφορα εἰσάγει τὰ πράγματα, διὰ τῆς διαφόρȣ σημασίας τȣ̃ ὀνόματος, καὶ ἡ Ἀμφιβολία διὰ τȣ̃ λόγȣ καὶ τῆς συντάξεως τὸ μονοειδὲς ȣ̓κ ἐχόντων, ȣ̓ περὶ ἓν καταγίνεται· καὶ ἡ Σύνθεσις δὲ καὶ ἡ Διαίρε-



...ΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σις, ἄλλα μὲν συντεθειμένως, ἄλλα δὲ διῃρημένως δηλοῦσι πράγματα.

Δεῖ δ' ἐπὶ τοῦ κυρίως Ἐλέγχου, τὸ αὐτὸ καὶ ἓν δηλοῦσθαι παντοίως, καὶ χωρὶς, καὶ μετὰ συνθέσεως. Ἡ δὲ Προσῳδία, πρὸς τῷ διαφόρους φέρειν τὰς σημασίας, οὐδὲ τοὔνομα φυλάττει τὸ αὐτὸ καὶ ἓν κατὰ πάντα. Καὶ ὁ τῆς Λέξεως δὲ σχηματισμὸς, τῶν πραγμάτων ἐναλλάττει τὴν δήλωσιν· κἀντεῦθεν οὐκ ἔστιν εὑρεῖν ἐν οὐδενὶ τῶν παρὰ τὴν λέξιν σοφισμάτων, τὸ αὐτὸ καὶ ἓν ὀνόματι καὶ πρᾶγμα· καθὼς ὁ τοῦ ἀληθοῦς ἐλέγχου λόγος ἀπαιτεῖ. Ποῦ δ' ἕξει χώραν, καὶ ὁ τὰ πλείω ἐρωτήματα ποιῶν ἓν, ἵνα καὶ πρὸς τοὺς ἔξω τῆς λέξεως ἴδωμεν σοφισμοὺς, εἴπερ ὁ ἔλεγχος ἑνὸς καὶ μόνου πράγματός τε καὶ ὀνόματος, ἀλλ' οὐ διαφόρων Ἀντίφασιν συλλογίζεται; Πῶς δ' ἂν ὁ Παρὰ τὸ πῆ καὶ ἁπλῶς Παραλογισμὸς, μετὰ τοῦ ἐλέγχου ταχθείη, μὴ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος συλλογιζόμενος τὴν Ἀντίφασιν; Εἰ δὲ καὶ τῶν δοθέντων ἐξ ἀνάγκης ὁ ἔλεγχος γίνεται, πάντως ὁ μὴ ἐκ τῶν δοθέντων ἐξ ἀνάγκης, οὐκ ἔλεγχος· ὁ ποῖος ὁ τὸ μὴ αἴτιον τιθεὶς ὡς αἴτιον. Ὁ δὲ Παρὰ τὸ συμβεβηκὸς, καὶ ὁ Παρὰ τὸ ἑπόμενον, εἰ καὶ δοκοῦσι συμπεραίνειν ἐκ τῶν δοθέντων, ἀλλ' οὐ συμπεραίνουσιν ἐξ ἀνάγκης οὐδ' αὐτοί. Οὐδὲ γὰρ ὅσα μὴ κατ' οὐσίαν ὑπάρχει τῷ κατηγορουμένῳ, ταῦτ' ἀνάγκη τοῦ ὑποκειμένου κατηγορεῖσθαι. Ὅθεν τοῦ συμβεβηκότος οὐκ ἔστι Συλλογισμός. Μέρος δὲ τοῦ παρὰ τὸ συμβεβηκὸς, καὶ ὁ παρὰ τὸ ἑπόμενον, μόνῳ διαλλάττων τῷ λαμβάνειν τὴν μείζω πρότασιν ἐκ διεψευσμένης ἀντιστροφῆς. Οὐδ' ὁ Παρὰ τὸ ἑπόμενον ἄρα συλλογισμὸς, ὥσπερ οὐδ' ὁ Παρὰ τὸ συμβεβηκός. οὐδεὶς γὰρ ἔχει τὸ ἐξ ἀνάγκης· οὔτε γὰρ, εἰ ὁ ἄνθρωπος ζῶον, τὸ δὲ ζῶον δισύλλαβον, ἀνάγκη τὸν ἄνθρωπον εἶναι δισύλλαβον· ἐπεὶ μηδὲ τῷ ζώῳ πρόσεστιν οὐσιωδῶς τὸ δισύλλαβον, ἵνα καὶ κατὰ τοῦ ἀνθρώπου λεχθείη ζώου τυγχάνοντος· οὔτ' αὖθις εἰ ὁ μαινόμενος φεύγει πρὸς ἔρημον, ἀληθὴς δήπου καὶ ἡ ἀντιστροφὴ, τὸ, τὸν φεύγοντα πρὸς ἔρημον ἤδη καὶ μαίνεσθαι· οὐδὲ γάρ ἐστιν, οὐκ ἔστι τῷ διὰ φιλοσοφίαν ζητοῦντι

ζητοῦντι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζητοῦντι τὰς ἐρήμους τὸ μαίνεσθαι· τοὐναντίον μὲν οὖν γε μᾶλλον τὸ σωφρονεῖν. Διὰ ταῦτ' ἄρα τῷ τοῦ ἐλέγχου Ὅρῳ, τὸ ἐξ ἀνάγκης προσκείμενον, ἀναγκαίως ἀποτρέπει τούς τε τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέντας, τοὺς παρὰ τὸ συμβεβηκὸς, καὶ τοὺς παρὰ τὸ ἑπόμενον Σοφισμούς. Τοὺς δὲ τὸ ἐν ἀρχῇ αἰτοῦντας ἀκροβολίζει, τὸ, μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ. Καὶ ἄλλως δ' ἂν ἴσως ἐκ διαφόρων μερῶν τοῦ τὸν ἀληθῆ δηλοῦντος ἔλεγχον ὁρισμοῦ, μὴ ὄντας ἐλέγχους ἀπελέγξοι τοὺς σοφιστικοὺς Ἐλέγχους ὁ ἐξεταστικός.

## ΚΕΦΑΛΑΙΟΝ Μ'.

### Περὶ Προτάσεων καὶ Συλλογισμῶν.

Πᾶσα Πρότασις, Ἢ Κατάφασίς ἐστιν, ἢ Ἀπόφασις. Πᾶσα δὲ Κατάφασις, καὶ πᾶσα Ἀπόφασις, Ὑποκείμενον ἔχει καὶ Κατηγορούμενον, ἢ καὶ τρίτον Προσκατηγορούμενον, ἢ καὶ Τρόπον· καὶ ἢ μετὰ Προσδιορισμοῦ ἐκφέρεται, ἢ χωρὶς Προσδιορισμοῦ· καὶ ἢ Μερική ἐστιν, ἢ Καθόλου, ἢ Καθ' ἕκαστα· καὶ ἢ Ἁπλῆ ἐστιν, ἢ Ἐκ μεταθέσεως· καὶ ἢ Ἕξιν δηλοῖ, ἢ Στέρησιν.

Ἡ δηλοῦσα δὲ τὴν Στέρησιν στερητικὴ κατωνόμασται. ὥς τὸ, οὗτος ἄδικός ἐστιν, ἢ ἄσοφος, ἢ ἀνελεήμων, ἢ ἄφρων, ἢ ἄνανδρος, ἢ ἀκόλαστος. Ἁπλῆ δέ ἐστι καὶ αὕτη· διὰ δὲ τὸ μὴ δηλοῦν ἕξιν, ἀλλὰ στέρησιν, ἰδίως ἐκλήθη στερητική. Τὸ μὲν οὖν δίκαιος, ἓν δηλοῖ, κἄν τε τὸ ἄνθρωπος ἔχει προσκείμενον, κἄν τε καὶ κύριον ὄνομα· εἴγε δὴ Καταφάσεως εἴη μέρος, ὡσαύτως καὶ τὸ ἄδικος. Εἰ δ' Ἀποφάσεως εἴη μέρος, εἰ μὲν ἔχει καὶ ὡρισμένον ὄνομα, πάλιν ἓν δηλοῖ· οἷον, ὁ Φάλαρις δίκαιος οὐκ ἔστιν· ἢ ὁ Φάλαρις ἄνθρωπος δίκαιος οὐκ ἔστιν· ἢ ὁ Σίμων, ἄνθρωπος ἄδικος οὐκ ἔστιν. Εἰ δ' οὐκ ἔχει κύριον ἡ Ἀπόφασις ὄνομα, μόνον δὲ τὸ ἄνθρωπος προσκείμενον, οὐχ ἓν, ἀλλὰ τρία τινὰ δηλοῖ ἡ Ἀπόφασις· ἄνθρωπος γὰρ δίκαιος οὐκ ἔστιν, ὁ ἄδικος Ἄνθρω-

πος, καὶ τὸ ἀρτιγενὲς βρέφος, καὶ ἔτι παρὰ τὸν ἄνθρωπον, ὁ ἵππος, ὁ λίθος, τὸ μὴ ὄν· ταῦτα γὰρ οὔτ' ἄνθρωποί εἰσιν, οὔτε δίκαιοι. Ὡσαύτως, ἄνθρωπος ἄδικος οὐκ ἔστιν, ὁ δίκαιος ἄνθρωπος, καὶ τὸ μήτε τῆς ἕξεως μήτε τῆς στερήσεως μετέχον παιδίον, καὶ πᾶν ἕτερον, ὃ μὴ ἔστιν ἄνθρωπος. Ταῦτα μὲν ἐπὶ τῶν ἕξιν ἢ στέρησιν δηλουσῶν Προτάσεων ἁπλῶν.

Ἡ δ' Ἐκ μεταθέσεως Ἀπόφασις, μὴ κύριον ὄνομα ἔχουσα, δύο τινὰ δηλοῖ· ὁμοίως δὲ καὶ ἡ Κατάφασις. ἄνθρωπος γὰρ οὐ δίκαιος οὐκ ἔστι, καὶ ὁ δίκαιος ἄνθρωπος, καὶ ἔτι παρὰ τὸν ἄνθρωπον· ὁ γὰρ βοῦς, μὴ ὢν ὅλως ἄνθρωπος, πῶς ἂν εἴη οὐ δίκαιος ἄνθρωπος; Ὥστε τὸ ἀντιφατικῶς ἀντικείμενον, ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν· ἄνθρωπος δὲ οὐ δίκαιός ἐστιν, ὅ, τε ἄδικος ἄνθρωπος, καὶ τὸ βρέφος, ὅπερ ἄνθρωπος μὲν ἐστιν, οὔτε δὲ δίκαιος, οὔτε ἄδικος. Ἀλλὰ ταῦτα πάντα δέον εἰδέναι, ὅτι Προτάσεις οὐκ εἰσὶ κατ' ἀλήθειαν, ἀλλὰ μέρη προτάσεων τὰ κατηγορούμενα, διὰ τοῦτο καὶ ὑποκείμενα ἔξωθεν δέχονται. Πᾶσα δὲ πρότασις, ἴδιον ὑποκείμενον ἔχει, καὶ οὐκ ἔξωθεν αὐτὸ δέχεται. Τῇ μὲν οὖν ἁπλῇ Καταφάσει, τῇ, ἄνθρωπος δίκαιός ἐστιν, ἡ Ἐκ μεταθέσεως Ἀπόφασις συνακολουθεῖ, ἡ, ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστι. Διὰ τοῦτο γὰρ καὶ ὑπ' αὐτὴν τέτακται παρὰ τῷ τεχνολόγῳ, καὶ Ἐκ μεταθέσεως, ὥς τινες ἔφασαν, εἴρηται· διότι ὑπὸ τὴν Κατάφασιν ἡ Ἀπόφασις, καὶ ὑπὸ τὴν Ἀπόφασιν ἡ Κατάφασις.

Ἀλλὰ πῶς οὐκ ἐκλήθησαν οὕτω καὶ αἱ στερητικαί, τὴν αὐτὴν τεταγμέναι τάξιν; οὕτω γὰρ ἔχει ἡ τάξις. Ἄνθρωπος δίκαιός ἐστιν. Ἄνθρωπος δίκαιος οὐκ ἔστιν. Ἄνθρωπος ἄδικος οὐκ ἔστιν. Ἄνθρωπος ἄδικός ἐστιν. Ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν. Ἄνθρωπος οὐ δίκαιός ἐστιν. Ἡμεῖς μὲν οὖν διὰ τί Ἐκ μεταθέσεως ὠνομάσθησαν, ὡς ὑπελάβομεν, προειρήκαμεν. Ὅτι δὲ, ὃς ἄνθρωπος δίκαιός ἐστιν, οὗτος ἄνθρωπος ἄδικος οὐκ ἔστι, καὶ ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστι, φανερόν. Οὐ μὴν δὲ ὃς ἄνθρωπος δίκαιος οὐκ ἔστιν, ἤδη καὶ ἄνθρωπος ἄδικός ἐστι· τὸ γὰρ νεογνὸν, ἄνθρωπος δίκαιος οὐκ ἔστιν· οὐκ ἤδη δὲ καὶ ἄνθρωπός ἐστιν ἄδικος· ἀλλ' ἄνθρωπος οὐ δίκαιός ἐστιν. Ὃς

δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἄνθρωπος ἄδικός ἐστιν, ἄνθρωπος οὐ δίκαιός ἐστι, καὶ ἄνθρωπος δίκαιος οὐκ ἔστι. Ταῦτα καὶ χωρὶς τῆς τεχνολογικῆς περιεργίας, δῆλα τῷ νουνεχεῖ, τὴν τῶν πραγμάτων φύσιν ὑπαγορευούσαν αὐτῷ τὴν ἀλήθειαν ἔχοντι.

Δεῖ δ' ἐφιστάνειν ὅλως, ὅτι τὸ ἄνθρωπος ὑποκείμενον λαμβάνοντες, ἐπὶ τῶν προσεχῶς δεδηλωμένων φάσεων, προτάσεις αὐτὰς ἀδιορίστους ποιήσωμεν. Τὰς ἀδιορίστους δὲ Προτάσεις, ἐπὶ διαφόρων τοῦ ὑποκειμένου μερῶν, ὁμοίως ταῖς μερικαῖς δυναμένας συναληθεύειν, Ἀριστοτέλης φησίν. Ὅθεν τὴν ἄνθρωπος δίκαιός ἐστι πρότασιν, καὶ τὴν, ἄνθρωπος δίκαιος οὐκ ἔστιν, ἐπὶ διαφόρων τοῦ καθόλου ἀνθρώπου μερῶν, ἤγουν ἐπὶ διαφόρων ἀτόμων λαμβανομένας, κατὰ τὴν τῶν ἀποφαινομένων ἔννοιαν ἰσχύειν συναληθεύειν οὐκ ἀπὸ λόγου. Ὅταν μέντοι τὸ ἄνθρωπος ὡς ὑποκείμενον μὴ λαμβάνοι τὶς, ἀλλ' ὅλον τὸ, ἄνθρωπος δίκαιός ἐστιν, ὡς κατηγορούμενον ἑτέρου ὑποκειμένου λαμβανομένου· ὡσαύτως δὲ καὶ τὸ, ἄνθρωπος δίκαιος οὐκ ἔστιν· εἰκότως τότε τὸ ψεῦδος διαιροίη καὶ τὴν ἀλήθειαν, ἄτερ ἀμφιβολίας τινός. Ἀνάγκη γὰρ τῶν τε ὄντων καὶ τῶν μὴ ὄντων ἕκαστον, ἢ εἶναι τυχὸν ἄνθρωπον δίκαιον, ἢ μὴ εἶναι· περιλαμβάνει γὰρ ἡ Ἀντίφασις πάντα τὰ ὄντα καὶ τὰ μὴ ὄντα· καὶ ἐφ' ὧν ἀληθεύει τὸ ἓν μόριον τῆς Ἀντιφάσεως, ἐπ' ἐκείνων ψεύδεται θάτερον· ἐφ' ὧν δ' ἐκεῖνο ψεύδεται, τὸ λοιπὸν ἀληθεύει. Τοσαῦτα καὶ νῦν περὶ Προτάσεων.

Συλλογισμοὶ δὲ τοῦ πρώτου Σχήματος, ἤγουν συλλογιστικοὶ Τρόποι, τέσσαρες παραδέδονται. Πρῶτος ὁ ἀπὸ τῆς Πᾶς καὶ Πᾶς, συνάγων Πᾶς. Δεύτερος, ὁ ἀπὸ τῆς Πᾶς καὶ Οὐδεὶς, συνάγων Οὐδείς. Τρίτος, ὁ ἀπὸ τῆς Τὶς, καὶ Πᾶς, συνάγων Τίς. Τέταρτος, ὁ ἀπὸ τῆς Τὶς καὶ Οὐδεὶς, συνάγων Οὐ πᾶς.

Τέσσαρες Τρόποι καὶ τοῦ δευτέρου Σχήματος συλλογιστικοί· ὁ ἀπὸ τῆς Πᾶς καὶ Οὐδεὶς, συνάγων Οὐδείς· ὁ ἀπὸ τῆς Οὐδεὶς καὶ Πᾶς, συνάγων καὶ αὐτὸς Οὐδείς· ὁ ἀπὸ τῆς Τὶς καὶ Οὐδεὶς, συνάγων Οὐ πᾶς· ὁ ἀπὸ τῆς Οὐ πᾶς καὶ Πᾶς, συνάγων καὶ αὐτὸς Οὐ πᾶς.

Ἐξ

ΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἓξ δὲ τοῦ τρίτου Σχήματος Τρόποι συλλογιστικοί· ὁ ἀπὸ τῆς Πᾶς καὶ Πᾶς, συνάγων Τὶς· ὁ ἀπὸ τῆς Πᾶς καὶ Οὐδεὶς, συνάγων Οὐ πᾶς· ὁ ἀπὸ τῆς Τὶς καὶ Πᾶς, συνάγων Τὶς· ὁ ἀπὸ τῆς Τὶς καὶ Οὐδεὶς, συνάγων ὡς ὁ δεύτερος Τρόπος, Οὐ πᾶς· ὁ ἀπὸ τῆς Πᾶς καὶ Τὶς, συνάγων ὡς ὁ τρίτος τρόπος, Τὶς· ὁ ἀπὸ τῆς Πᾶς καὶ Οὐ πᾶς, συνάγων, κατὰ τὸν δεύτερον καὶ τὸν τέταρτον τρόπον, Οὐ πᾶς. Ὑποθετικοὶ ἕξ. καὶ Σοφιστικοὶ ἔλεγχοι δέκα καὶ τρεῖς.

Πᾶσα Πρότασις, { Ἢ Κατάφασις
Ἢ Ἀπόφασις.

Ἔτι ἡ Πρότασις δηλοῖ, { Ἢ Ἕξιν
Ἢ Στέρησιν.

Ἔτι ἡ Πρότασις, { Ἢ Ἁπλῆ
Ἢ Ἐκ μεταθέσεως.

Τέλος Λογικῆς, Βλεμμίδου Φιλοσόφου.

ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΙΛΛ
ΑΚΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.........

Πίναξ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΙΝΑΞ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ

Τῶν ἀκριβῶς ἐμπεριειλημμένων τῇ παρού-
σῃ ΛΟΓΙΚῌ Ὑποθέσεων·

Ἐν ᾧ,

Ὁ μὲν Ἀραβικὸς Ἀριθμὸς, τὰς Σελίδας· Ὁ δὲ Ἑλληνικὸς, τοὺς Στίχους παρίστησιν.

## Α


Ἀδιάφορον, τί. 105. ιζ.
Ἀδύνατον, διττόν. 128. γ.
Ἀδύνατον καὶ ἄτοπον διαφέρουσιν. 161. ιβ. λϛ.
Αἴσθησις, τί. 15. ιβ.
Αἵρεσις κατὰ Φιλοσοφίαν, τί, καὶ ποσαχῶς. 22. ι. κϛ.
Ἀκάτια, τί. 96. λδ.
Ἀληθὲς, τί. 114. ε.
Ἀλλοίωσις, εἶδος Κινήσεως. 85. κ.
Ἅμα, τριχῶς. 70. ζ.
Ἀναγκαῖον, διττόν. 127. λα.
Ἀναγωγὴ τοῦ δευτέρου καὶ τρίτου Σχήματος εἰς τὸ πρῶτον. 162. ιβ.
Ἀνθρώπου Ὁρισμός. 38. λε. 72. λε.
Ἄνισον ἐπιδέχεται μᾶλλον καὶ ἧττον. 95. λϛ. 96. ϛ.
Ἀντικείμενα, τί. 103. λ. Λέγεται τετραχῶς. 104. ϛ.
Ἀντιστροφὴ, τί. 141. λα. Ἀντιστροφὴ, ἐν Ὅροις, λδ. Ἐν Συλλογισμοῖς. 142. α. Ἐν Προτάσεσι. ιθ. Ἐνδε-


*

χομέ-

χομένη. κδ. Σὺν ἀντιθέσει. κζ. Ἁπλῆ. 143. γ. Καθ᾿ ὅλȣ Καταφατική. θ. Καθ᾿ ὅλȣ Ἀποφατική. ιβ. Μερικὴ Καταφατική. ιδ. Μερικὴ Ἀποφατική. ις.
Ἀντίφασις, πόθεν εἴρηται. 118. γ. τί. 108. ιη. 118. ε. Διαιρεῖ τὴν Ἀλήθειαν καὶ τὸ Ψεῦδος ἀεί. 109. β. 183. κα.
Ἀνυπόστατον, δύω σημαίνει. 67. κβ.
Ἀπαγωγὴ εἰς ἀδύνατον, πότε γίνεται. 161. θ.
Ἀποδεικτικὴ Ἐπιστήμη, ἐσπέδασαι τὸ καθ᾿ ὅλȣ Καταφατικὸν, μᾶλλον τȣ̃ Ἀποφατικȣ̃. 247. ιζ.
Ἀπόδειξις, τὰ Καθ᾿ ὅλȣ ζητεῖ. 147. κα.
Ἀπόδειξις, ἐκ τῶν καθ᾿ αὐτὰ καὶ πρώτως γίνεται. 49. ιε.
Ἀπόφανσις, τετραχῶς προάγεται. 118. ια.
Ἀπόφασις, τί. 132. κβ. πῶς γίνεται. 133. α. ε. 134. ιη.
Ἀριθμητικὴ, τί. 25. λγ.
Ἀρνητικὸν μόριον καθ᾿ αὐτὸ μετατιθέμενον, ἐξαλλάττει τὰς Προτάσεις. 135. ιε.
Ἀστρονομία, τί. 26. γ.
Ἄτομον, τέσσαρα σημαίνει. 43. θ. τί. ιη.
Ἄτομα, ὅτε φύσει, ὅτε γνώσει πεπερασμένα. 42. ε. τὰ τȣ́των εἴδη, ȣ̓κ ἔστι γένη. 39. η.
Αὐτοκράτορι ἡ Λογικὴ αὕτη συντέτακται. 2. ις.
Αὐτόματον, ἐν τίσι λέγεται. 128. λβ.
Αὐτοψία, πότε λέγεται. 17. α.
Τὸ Αὐτὸ, πῶς ὑπ᾿ ἄλλην καὶ ἄλλην τάττεται Κατηγορίαν. 96. ιβ. Καθ᾿ αὐτὸ, καὶ πρώτως διαφέρει. 49. ζ.
Ἀφ᾿ ἑνὸς καὶ πρὸς ἓν, τίνα λέγονται. 9. ιε.

## B

Βασιλείας καὶ Φιλοσοφίας τὸ συγγενές τε καὶ ὁμοιότροπον. 1. ις.
Βασιλεύειν ἐπιστημονικῶς, τί. 2. β.
Βȣ́λησις, Ψυχῆς Δύναμις. 14. λ.

Γένος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Γ

Γένος, τί. 37. ι. Γενικώτατον Γένος, τί. 38. ιβ.
Γένους σημαινόμενα. 36. ιθ. 37. α.
Γένη τῶν οἰκείων Εἰδῶν Αἴτια. 38. α.
Γένη Γενικώτατα, δέκα. 42. λε.
Γένη ὑπάλληλα, διατί λέγεται. 38. κβ.
Γένη καὶ Εἴδη λέγονται Πρὸ τῶν πολλῶν, Ἐν τοῖς πολλοῖς, Ἐπὶ τοῖς πολλοῖς. 40. λα. 41. α.
Γένεσις καὶ Φθορὰ, Μεταβολαὶ, οὐ Κινήσεις. 85. ι.
Γεωμετρία, τί. 26. α.

# Δ

Δέον, Ὁμώνυμον. 170. λβ.
Δημόκριτος, διατὶ Φεύγει εἰς Ἔρημον. 176. κδ.
Διάθεσις, τὶ διαφέρει Ἕξεως. 88. κγ. τί. κη. *) 89. β.
Διαιρετικοὶ τρόποι ὀκτώ. 9. α. Τίνες κύριοι, καὶ τίνες καταχρηστικοί. 9. λδ. 10. α.
Διαίρεσις, Ἐπιδιαίρεσις, Ὑποδιαίρεσις κατὰ τὶ διαφέρουσι. 10. λδ. 11. α.
Διαίρεσις πρὸ τῶν Κατηγοριῶν Πρώτη. 52. ι. Δευτέρα 55. λ.
Διάνοια, τί. 16. γ. Καλεῖται δυνάμει Νοῦς. ε. Ἡ ταύτης Ἐνέργεια διατὶ λέγεται πάθος. ιδ. Διαφέρει τῆς μετὰ λόγου Δόξης. ιθ.
Διαφορὰ, διτλή. 44. ιε. Ἡ οὐσιώδης καὶ ἰδιαίτατα τί. κδ. λς. 45. α. Αἱ ἰδιαίταται Διαφοραὶ, λέγονται διαιρετικαὶ καὶ συστατικαί. 45. ιγ. Λέγονται Γένη ὑπάλληλα. λα. Ποιοῦσιν ἄλλο. 48. ιε. Συντελοῦσι πρὸς τοὺς Ὁρισμούς. κη. Ἡ ἐπουσιώδης διτλή. 47. η. Τὶς ἡ κοινῆ. θ. Τὶς ἡ ἰδία. ια. Ἑκάτεραι ἀλλοῖον ποιοῦσιν.



*) Σημείωσαι, ἔνθα μόνος ὁ Ἑλληνικός ἐστιν Ἀριθμὸς, τῆς αὐτῆς ἔτι ἔχεται Σελίδος, τῆς διὰ τοῦ ἀραβικοῦ σημειωθείσης πρὸ αὐτοῦ Ἀριθμοῦ, καὶ τῶν αὐτῆς Στίχων τυγχάνει δηλωτικός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σιν. 48. ιγ. κβ. Οὐ συντελῦσι πρὸς τὰς ὀσιώδεις ὁρισμὰς. κε.
Διεζευγμένον, τί. 167. ε.
Διορισμοὶ, Τέσσαρες. 123. ι. Τοῖς Ὑποκειμένοις συντάσσονται. ιδ. Θηλυκῷ ὀνόματι ἀπολύτως ἐκφέρονται. 124. κ. Μετατιθέμενοι καθ᾽ ἑαυτὰς ἀναστρέφεσι τὰς Προτάσεις. 136. ζ.
Δύναμις, τί. 89. ζ.

# Ε

Εἶδος διπλόν. 37. ιγ. τί. κγ. Ἔστι τῶν Πρός. τι. λ. Εἶδος εἰδικώτατον, τί. 38. ιϛ.
Εἴδη εἰδικώτατα ἀπερίληπτα τῇ γνώσει. 42. ι. 53. ζ. Ἀντιδιαιρέμενα διὰ τί λέγονται. 11. ιγ. Διὰ τί ἐθεωρεῖται τὸ Φύσει πρότερον ἐν αὐτοῖς, ὡς καὶ τοῖς Ἀτόμοις. κε. 12. γ.
Ἔλεγχος, τί. 176. κ.
Ἕλενος, ὁποῖος. 31. κ.
Ἑλένη, ὁποία. 31. κα.
Ἐμπειρία, τί. 12. λε. Πόθεν γίγνεται. 16. λε.
Ἔντινι, λέγεται ἑνδεκαχῶς. 63. λα.
Ἓν καὶ ταὐτὸν, τριχῶς λέγεται. 65. ιζ.
Ἓν ἑνὶ ἐναντίον. 105. λϛ. 106. α.
Ἐναντία, τί. 93. γ. Ἢ εἰσιν Εἴδη, ἢ θάτερον θατέρε ἐχάτη ἀπόπτωσις. 104. ιδ. τὰ Ἄμεσα τίνα, καὶ ποσαπλᾶ. κδ. τὰ Ἔμμεσα, ποσαπλᾶ. 105. γ. Αἰτέτων Περιοχαὶ πρόστι εἰσιν. κγ. Τρία τέτοις παρέπεται. λ. Γένος αὐτῶν τὸ ποιόν. 106. κθ.
Ἐνδεχόμενον, τριπλόν. 128. ιγ.
Ἐνυπόστατον, διπλόν. 67. λ.
Ἕξις, τί. 88. κθ. Λέγεται πολλαχῶς. 106. λα.
Ἐπίνοια, διπλῶς λέγεται. 21. γ.
Ἐπιστήμη, τί. 14. α. Διὰ τί ἔτως ὠνόμασαι. ιη. Πόθεν γεννᾶται. 17. ιβ. Πῶς διαφέρει τῆς τέχνης. ιζ. Οὐκ ἔστι τῶν κατὰ μέρος. 52. κη.

Ἐρυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐρυθρίασις, πῶς γίνεται. 90. λε.
Ἐστι, καὶ Ἦν, καὶ Ἔσαι, ὑπαρκτικὴν ἔχει τὴν σημασίαν καὶ χρονικήν. 115. ιγ. διὰ τί λέγονται ῥήματα ἀρχοειδῆ. 116. β.
Ἕτερον, τριχῶς. 65. λ. Ἕτερα, πότε λέγεται. 28. κϛ. Πῶς ὁρίζεται. 29. α.
Ἑτερώνυμα, τίνα λέγεται. 28. λε.
Ἑτερογενῆ καὶ Ἑτεροειδῆ, πῶς διαφέρουσιν. 66. ζ.
Ἑτεροειδῆ Κυρίως, τίνα. 66. ιε.
Ἑτερούποστατα, διὰ τὶ λέγονται. 66. γ.
Ἔχειν Κατηγορικὸν, τί. 54. ιε. 102. ι. Ἔστιν ὁμώνυμον. 101. κθ. Διαφέρει τοῦ κεκτῆσθαι. 102. ιϛ. Διαιρεῖται, καὶ ὑποδιαιρεῖται. ιθ.

# Z

Ζωὴ, διττὴ, Φυσική τε καὶ Προαιρετική. 19. θ.
Ζῶον, τί. 45. κα. 72. λ.
Ζωόφυτον, τί. 45. κδ. 72. λα.

# H

Ἡδονικοὶ, πόθεν ἐκλήθησαν. 23. ϛ.
Ἠθικὸς Φιλόσοφος, τίς. 26. ϛ.

# Θ

Θάνατος Φυσικόστε καὶ Προαιρετικὸς, τίς. 19. ιε.
Θεὸς, αὐτοσοφία. 20. κ.
Θεὸς, πῇ κατέπαυσε, καὶ πῇ ἔτι ἐργάζεται. 42. ιδ.
Θέσις, τί. 22. ιδ.
Θεωρεῖν, ἐν τίσι γίγνεται. 100. ιβ.
Θεωρητικὸν τῆς Φιλοσοφίας, διατί τριχῆ διαιρεῖται. 24. ϛ. τούτου Τέλος, Ἀλήθεια. 26. λβ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# I

Ἴδιον ἐν τοῖς Ὁρισμοῖς καὶ Ὑπογραφαῖς λόγον ἔχει Διαφορᾶς. 8. γ. τὸ Ἐπουσιῶδες παντὸς Συμβεβηκότος προτιμότερον. ι. 34. ε. τὸ Οὐσιῶδες ὁποῖον, καὶ διὰ τί λέγεται. κε. λ. Πότε παραλαμβάνεται ἐν τοῖς Ὁρισμοῖς. 35. ιγ. Πότε τὸ Ἐπουσιῶδες. ιη. Διατὶ ἑκάτερον φέρει ὁ Ἄνθρωπος. κθ. 50. κζ. Λέγεται τετραχῶς. 49. λβ. 50. Κυρίως ὁποῖον. 50. θ. Τί ἐστι. ιη. Τριχῶς οἱ Πλατωνικοὶ αὐτὸ ἐκλαμβάνουσι. 51. ιζ.

Ἰουδαῖοι, πόθεν ἐκλήθησαν. 36. λϛ.

Ἴσον οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. 95. λγ.

Ἱστορία, πότε καλεῖται. 17. ϛ.

# K

Καθ᾽ αὐτὸ καὶ πρώτως διαφέρει. 49. ζ. Τοῖς Καθ᾽ ὅλου τὸ ἀεὶ ὡσαύτως ἔχειν ἐστί. 53. ϛ.

Κάνθαροι ὁποῖοι. 96. κη.

Κακὸν, τί. 104. ιη. Πῶς Ἀγαθῷ τε καὶ Κακῷ ἐναντίον. 105. λα. Ποικίλον τε καὶ πολυειδές. 106. θ.

Κανὼν προκατηγορικὸς Πρῶτος. 62. α. Δεύτερος. 66. κ.

Κατάφασις, τί. 117. λε. 132. ιϛ. 133. κβ. ἡ Ἐκ Μεταθέσεως, ὁποία. 133. θ.

Κατηγορία, διὰ τί εἴρηται, 56. γ. 58. θ. Πότε Ἐπὶ πλέον λέγεται τοῦ Ὑποκειμένου, 61. ιθ. Πότε Ἐπίσης. κθ. Πότε Καθ᾽ Ὑποκειμένου ἐστίν. 62. ε. Πότε ἐν Ὑποκειμένῳ. κδ.

Κατηγοριῶν ἀνίχνευσις καὶ τάξις. 57. ιη. Πᾶσαι Ἁπλαῖ εἰσι. κθ. καὶ καθολικαὶ Φωναὶ, τοιαῦτα δηλοῦσαι πράγματα. 58. γ. Διαφέρουσι τῶν πέντε Φωνῶν. ε.

Κατηγορούμενος Ὅρος, τίς. 118. κθ.

Κεῖσθαι, τί, καὶ ὁσαχῶς διαιρεῖται. 54. ιη.

Κίνησις, τίσιν ἐνθεωρεῖται τῶν Κατηγοριῶν, καὶ εἴδη αὐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς πόσα. 84. ιη. Πάσῃ Κινήσει, τῆς Οὐρανίȣ ἐκτὸς, Ἠρεμία ἀντίκειται. 85. λβ. 86. λε.
Κοινὸν, τετραχῶς λέγεται. 51. α.
Κυρηναϊκοὶ, πόθεν λέγονται. 22. κθ.
Κυρίȣ Σὰρξ ȣ̓χ ὑπόςασις, ἀλλ' ἐνυπόςατον. 68. ς.

## Λ

Λεγομένων καὶ Ὄντων, Διαίρεσις. 52. ι.
Λεῖον, τί. 91. λβ.
Λευκȣ̃ ἴδιον. 90. ε.
Λογικῆς χρήσιμον. 1. ε. 24. α.
Λόγος, τί. 116. λ. Εἴδη αὐτȣ̃ πέντε. λε. ὁ Ἀποφαντικὸς, τίς. 117. λγ. Εἴδη αὐτȣ̃. λε. Τὶ διαφέρει τῆς Λέξεως. 113. ιγ.

## Μ

Μαθηματικὸν, διὰ τὶ προσηγόρευται. 25. β. τȣ́τȣ Ὑποδιαίρεσις. ια.
Μαθηματικὴ ȣ̓σία, ὁποία. 27. θ.
Μάθησις, τί. 25. η.
Μᾶλλον καὶ ἧττον, τίσιν ἐνθεωρεῖται τῶν Κατηγοριῶν. 95. κ. Ἔςι τῶν ἀτελῶν. λβ. Ὁδὸς ἐπὶ τ' Ἀναντία. 79. ς. 93. ζ.
Μανὸν, τί. 92. δ. η.
Μέλανος ἴδιον. 90. ς.
Μέλλοντος καὶ Ἐσομένȣ διαφορά. 132. γ.
Μέρη ὁμοιομερῆ τε καὶ ἀνομοιομερῆ, τίνα. 9. ς.
Μερικὰ, τρεπλά. 53. ε.
Μέσον, τίνων λέγεται μέσον. 105. ς. καὶ ὅτι κἀν τοῖς Πρόςτι κατ' Ἀρχύταν. ιθ.
Μεταβάλλον, ποσαχῶς λέγεται μεταβάλλειν, 84. λδ. 85.

Ἐκ Μεταθέσεως Κατάφασις καὶ Ἀπόφασις, δύω δηλοῖ. 182. η.
Μετὰ τὰ Φυσικὰ, διατὶ λέγεται. 27. ε.
Μορφὴ, διχῶς λέγεται. 91. κ.
Μουσικὴ, ποῦ καταγίνεται. 25. λβ.

# N

Νοήματα, καὶ Νοεῖν, τί. 114. γ.
Νοῦς, πῶς γινώσκει, καὶ τίνες οἱ κατὰ τὸν τοιοῦτον Νοῦν ἐνεργοῦντες, 16. κζ.
Νομοθετικὸν καὶ δικαστικὸν, ὁποῖον. 2. δ. 26. ι.

# Ξ

Ξυλάβιον, χαλκευτικῆς ὄργανον. 24. γ.

# O

Οἰκονομικὸς, τίς. 26. ζ.
Ἐν Ὅλῳ, πότε λέγεται. 139. λδ. 140. α.
Ὁμακόϊον. 23. ε.
Ὁμοειδῶν, καὶ Ὁμογενῶν διαφορά. 66. ζ.
Ὁμοούσια, ὁποῖα. 67. ιε.
Ὁμοϋπόστατα, τίνα. 66. δ.
Ὁμώνυμα, τίνα. 29. ε.
Ὁμωνύμων ἐπιζητούμενα ἵν' ᾖ Ὁμώνυμα. 30. ιϛ.
Ὂν, οὐκ ἔστι Γένος τῶν δέκα κατηγοριῶν. 58. κη. τί. λγ.
Ὄντα, περὶ ἃ τὸ θεωρητικὸν τριττά. 24. ζ.
Ὄντων Γένη κατὰ Πλάτωνα πέντε. 42. κβ.
Ὄνομα, τί. 111. δ. τὰ αὐτοῦ μέρη ἀσήμαντα. 112. θ. Διὰ τὶ λέγεται ἄνευ χρόνου. κδ.
Ὀνόματα, πῶς κατὰ Συνθήκην. 111. ιε. λα. 112. β. πῶς τῶν Ῥημάτων διαφέρει. λγ. Ὁποῖα τὰ παρὰ Λογικοῖς. 113. ζ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅρασις, πῶς ἐνεργεῖ. 173. ιε.
Ὁρισμὸς, πόθεν συνίσταται. 3. ιη. 5. λα. Ἀρετὴ αὐτῦ. 4. γ. Κακία. κθ. Διαφέρει τῦ Ὑπογραφικῦ. 5. λ. Ὑπογραφικῦ τὸ χρήσιμον. 6. η.
Ὁρισμοὶ, πόθεν λαμβάνονται. 5. λα. 6. λδ. 7. δ. Πόθεν ἔχον τὴν κλῆσιν. 7. ιδ. Ἐνυπάρχυσι τοῖς ὁρισοῖς ὑσιωδῶς καὶ πρώτως. 49. ιδ.
Ὅρυ σημαινόμενα. 2. λβ.
Ὅροι προτάσεων, τίνες. 139. κθ.
Ὅροι Συλλογισμῦ τρεῖς. 145. δ. τύτων ὁ Κοινὸς μετατιθέμενος, τὰ διάφορα ποιεῖ Σχήματα. ιη.
Κατ' ὐδενὸς, πότε λέγομεν. 140. ιη.
Οὐσία, τί. 59. α. 71. ιη. Φύσει προτέρα τῶν Συμβεβηκότων. 59. λ. Διαφέρει τῦ Οὐσιώδυς. 63. κ. Δύω σημαίνει. 71. ιε. Διαιρεῖται. κα. Πρῶτον ταύτης Ἴδιον. 76. ζ. Δεύτερον. ιϛ. Τρίτον. 77. ιζ. Τέταρτον. 78. ιδ. Πέμπτον. 79. ι. Καλεῖται εἰδικώτατον εἶδος, ὡς καὶ ἡ Φύσις, καὶ ἡ Μορφή. 74. κβ.

# Π

Παθητικὴ Ποιότης καὶ Πάθος, διαφέρυσιν. 89. κβ. Θεωρῦνται ἄμφω καὶ ἐν Ἀψύχοις. κθ. Ἡ ἐν Ἀψύχοις παθητικὴ ποιότης, Τριττή. λα. Ἡ ἐν Ἐμψύχοις διττή. 90. ια. Πάθος, πῶς ἐν ἑκατέροις θεωρεῖται. κγ.
Κατὰ παντὸς, πότε λέγεται. 140. δ.
Παραλογισμοὶ πάντες, εἰς τὴν τῦ Ἐλέγχυ ἄγνοιαν ἀνάγονται. 178. 179. Διὰ τί Σοφιϛικοὶ καλῦνται. 179. κδ.
Παρθένυ ἐτυμολογία. 31. κζ.
Παρώνυμα, πόθεν καλῦνται. 30. ε. Πῶς ταῦτα ὑπογράφυσι. 31. ι. Τεσσάρων, ἵνα γίνωνται, χρήζυσι. ιε. Πῶς τῶν Ἀφ' ἑνὸς διαφέρυσι. λδ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πᾶς, πῶς ἐννοητέον, ὅτι οὐ τὸ Καθ᾽ ὅλου σημαίνει, ἀλλ᾽ ὅτι Καθ᾽ ὅλου. 123. ιζ.

Πατὴρ μείζων τοῦ Υἱοῦ, τῷ Αἰτίῳ. 175. λδ.

Πάσχειν, τί. 54. ιγ. 99. λβ. Φθαρτικόν ἐστι καὶ τελειωτικόν. 101. ϛ.

Πεῖρα, τί. 12. κη. 16. λδ.

Περιπατητικοὶ, πόθεν ἐκλήθησαν. 23. ι.

Περιφορὰ, εἶδος φορᾶς. 84. κϛ.

Πίθηκος, οὐ γελᾷ ἀληθῶς. 50. ια. 177. κγ.

Ποιεῖν, τί. 54. ιβ. 99. λβ. 100. κε. Διαιρεῖται. 100. ια. Οὐκ ἐναντίον τῷ Πάσχειν. 111. ιθ.

Ποιητικὰ, πῶς κριτέον. 100. ε.

Ποιητικαὶ, τίνες λέγονται Τέχναι. 100. λγ.

Ποιὰ, τί. 92. ιβ. λαμβάνεται τετραχῶς. ιγ. Πρῶτον ποιοῦ Ἴδιον. λβ. Δεύτερον. 93. ζ. Τρίτον. ιδ.

Ποιότης, τί. 88. ιϛ. Διαιρεῖται. ιθ. Πρῶτον εἶδος αὐτῆς. κγ. Δεύτερον. 89. ζ. Τρίτον. κβ. Τέταρτον. 91. ιγ.

Πολιτικὸς, τίς. 26. η.

Πολυώνυμα, τί. 29. λα.

Ποσὰ ἀφωρισμένα, τίνα. 77. λε. 82. ϛ. Συνεχῆ. 82. ι.

Ποσὸν Συνεχὲς, τί. 25. ιδ. 81. κζ. Τούτου τὸ μὲν ἐν Μονῇ, τὸ δ᾽ ἐν Κινήσει. 25. λ. Διωρισμένον, τί. 25. κ. 81. κη. Διττόν. 25. κε. Θεωρεῖται ἑκάτερα κἂν τῷ Κόσμῳ παντί. 83. η. Τὰ μὲν ἔχει θέσιν τῶν μορίων πρὸς ἄλληλα· τὰ δ᾽ οὔ. ιθ. Ποσὸν καὶ ἡ Ῥοπή. λδ. Ποσὸν κατὰ Συμβεβηκός. 84. γ. Πρῶτον Ἴδιον ποσοῦ, καὶ Δεύτερον. θ. Τρίτον. 93. ιη.

Τοῦ Πότε, κατηγορούμενα. 54. ϛ.

Πρακτικοῦ τῆς Φιλοσοφίας διαίρεσις. 26. ε. Τέλος αὐτοῦ. λ.

Πράττειν, ἐν τίσι λαμβάνεται. 100. λα.

Προαίρεσις, πότε γίνεται. 14. λα.

Πρὸς ἕν, τίνα. 9. ιη.

Προσκατηγορούμενον, τί. 119. β.

Πρόστι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρέστι διτλῶς ὁρίζονται. 94. ιθ. 104. ιβ. Ποσαχῶς πρὸς ἕτερον λέγονται. 94. λδ. Πρῶτον τέτων καὶ Δεύτερον Ἴδιον. 95. ιγ. Τρίτον. 96. ιθ. Τέταρτον. 97. ιη. Ἀντιστροφὴ αὐτῶν. 96. ιθ. 97. α. Συνυπάρχεσι καὶ συναναιρεσι. 97. κδ. 104. ια. Διαιρεντα. 98. α. ιδ.

Πρότασις, τί. 118. κδ. 181. ις. Τί διαφέρει Προβλήματος, Ἀποφάνσεως, Ἐνστάσεως, καὶ Συμπεράσματος. 120. κ. Τὶς ἡ τε ἁπλε Συλλογισμε Μείζων. 140. κς. τὶς ἡ Ἐλάττων. κζ. Ὁποία κρείττων καὶ χείρων πρότασις. 141. δ. Τῇ χείρονι ἕπεται τὸ Συμπέρασμα. ια. Ὁποία ἡ Στερητική. 181. κδ. ἡ Ἀποφατική. 182. η. Πότε λέγεται μία. 120. α.

Προτάσεις, πότε πλείες λέγονται. 120. ια. Ἀδιόριστοι καὶ διωρισμέναι. 123. ς. Καθ᾽ ὅλε ὡς Καθ᾽ ὅλε. λς. Καθ᾽ ὅλε ὡς Μερικαί. 124. δ. Πῶς τῶν Καθ᾽ ἕκαστα αἱ Μερικαὶ διαφέρεσιν. θ. Διὰ τί Ἐναντίαι. λ. Ὑπεναντίαι. 125. ιη. Ὑπάλληλοι. κε. Ἀντιφατικῶς διαιρεσαι τὸ Ψεῦδος καὶ τὴν Ἀλήθειαν. 126. ζ. Τίσιν αἱ Ἀπροσδιόριστοι ἰσοδυναμεσιν. 130. ιε. 183. η. Αἱ Καθ᾽ ἕκαστα, πότε διαιρεσι τὸ Ψεῦδος καὶ τὴν Ἀλήθειαν. 131. κθ. Ἐκ δύω Ἀποφατικῶν, ἢ Μερικῶν, ἐγίνεται Συλλογισμός. 141. κη. 147. δ.

Πρότερον Φύσει, τί. 11. κθ.

Πρότερον, πενταχῶς λέγεται. 68. λβ.

Πτῶσις Ὀνόματος, καὶ Ῥήματος, τίς. 119. κ.

Πυκνὸν, τί. 92. ε.

# Ρ

Ῥῆμα, τί. 111. ς. Τέτε Πτῶσις. 119. λ. Διὰ τί Ἀόριστον, καὶ πότε Ὡρισμένον. 132. λβ.

Ῥήματα, κατὰ Συνθήκην ἐστίν. 111. ιε. λα. 112. β. Διὰ τί ἐκ εἰσὶ Φύσει τοῖς Ἀνθρώποις. 111. κβ. Κατὰ τί κοινωνεῖ καὶ διαφέρει τε ὀνόματος. 112. κβ. Τίνα τὰ παρὰ λογικοῖς. 113. ε. Καθ᾽ ἑαυτὰ ἐτ᾽ Ἀλήθειαν, ἔτε Ψευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψεῦδος σημαίνει. ιη. Πῶς ἀληθεύειν δοκεῖ καὶ ψεύδεσθαι. κβ. 55. ε. Διπλῆν φέρει τὴν σημασίαν. 114. λγ.

## Σ

Στέρησις κυρίως, πότε λέγεται. 108. α. Ἔστι τῦ Δυνάμει. ε. ὀ λέγεται τῦ Κακῦ, ἀλλὰ τῦ Ἀγαθῦ. ϛ. Πῶς χρὴ ταύτην κρίνειν. θ. Σημαινόμενα ταύτης. 107. ιβ.

Στωϊκοὶ, πόθεν ἐκλήθησαν. 22. λα.

Συλλογισμοὶ Τέλειοι καὶ Ἀτελεῖς τίνες. 159. λδ.

Συλλογισμὸς, τί. 138. ιβ. Ἁπλῦς καὶ Σύνθετος, ἐκ τίνων συνίσταται. 139. κ. Ὑποθετικός. 166. ιη. Γίνεται ὗτος ἑξαχῶς. 167. 168. 169. 170.

Συμβεβηκὸς, τί. 48. β. Πότε δηλοῖ τὸ ὑσιῶδες Ἴδιον. λβ. Διαφέρει τῦ Ἐπυσιώδυς. 63. κ. Οὐκ ἔστι τύτυ Συλλογισμός. 180. κδ.

Συνώνυμα, τί. 28. ιγ. Λέγεται διττῶς. 76. κδ.

Συνημμένον, πότε λέγεται. 166. λβ.

Σχέσις, λέγεται τετραχῶς. 37. λβ. 98. α.

Σχῆμα καὶ Μορφὴ διαφέρει. 91. ιζ.

Σχῆμα συλλογιστικὸν Πρῶτον, πῶς γίνεται. 145. κε. Δεύτερον. κθ. Τρίτον. λβ. Κοινὰ τοῖς τρισίν. 146. η. Ἴδια τῦ Πρώτυ. ιδ. τῦ Δευτέρυ. κ. τῦ Τρίτυ. λα. Ἡ τύτων τάξις, Τριττή. 147. ζ. Διὰ τὶ τέλειον τὸ Πρῶτον. 159. λϛ. 160. α. Διὰ τὶ τὸ Δεύτερον καὶ Τρίτον Ἀτελῆ. κ. Πόσυς ἕκαστον ἔχει Τρόπυς. 145. λϛ. 146. α. 147. κδ. 183. κϛ. 184. α. Ἰδιαίτερον, Πρῶτος Τρόπος τῦ Πρώτυ. 148. λϛ. 149. α. Δεύτερος τῦ αὐτῦ. λ. Τρίτος. 150. ιθ. Τέταρτος. 151. ι. Πρῶτος τῦ Δευτέρυ. 152. ια. Δεύτερος. λδ. Τρίτος. 153. ιη. Τέταρτος. 154. α. Πρῶτος τῦ Τρίτυ. λε. Δεύτερος. 155. κγ. Τρίτος. 156. ιζ. Τέταρτος. 157. α. Πέμπτος. κδ. Ἕκτος. 158. ιη.

Συλλογισμῶν ὑποθετικῶν Τρόπος Πρῶτος. 167. η. Δεύτερος. ιβ. Τρίτος. 168. ιβ. Τέταρτος. κϛ. Πέμπτος. λδ. Ἕκτος. 169. κγ.

Συλλο-

Συλλογισμῶν σοφιστικῶν Πρῶτος, ὁ παρὰ τὴν Ὁμωνυμίαν. 170. λ. Δεύτερος, ὁ παρὰ τὴν Ἀμφιβολίαν. 171. θ. Τρίτος, ὁ παρὰ Σύνθεσιν. λδ. Τέταρτος, ὁ παρὰ τὴν Διαίρεσιν. 172. θ. Πέμπτος, ὁ παρὰ Προσῳδίαν. λ. Ἕκτος, ὁ παρὰ τὸ Σχῆμα τῆς λέξεως. 173. α. Ἕβδομος, ὁ παρὰ τὸ Συμβεβηκός. 174. γ. Ὄγδοος, ὁ παρὰ τὸ Πῆ, καὶ Ἁπλῶς. 175. κα. Ἔννατος, ὁ παρὰ τὴν τοῦ Ἐλέγχου ἄγνοιαν. 176. ιδ. Δέκατος, ὁ παρὰ τὸ Ἑπόμενον. κδ. Δέκατος πρῶτος, ὁ παρὰ τὸ αἰτεῖσθαι καὶ λαμβάνειν τὸ ἐν Ἀρχῇ. λε. Δέκατος δεύτερος, ὁ παρὰ τὸ τιθέναι τὸ μὴ Αἴτιον ὡς Αἴτιον. 177. ιβ. Δέκατος τρίτος, ὁ παρὰ τὰ πλείω Ἐρωτήματα ἓν ποιεῖν. κϛ.

Σῶμα, διὰ τί Οὐσία, καὶ Ποσόν ἐστιν. 83. β.

# Τ

Τέρατα, σπάνια. 128. κ.

Τέχνη, τί. 13. ιβ. ιγ. κε. Πόθεν ἀνίσταται. 17. ι. Τυγχάνει τοῦ οἰκείου τέλους. 128. κ.

Τόπος, τί. 82. ιζ.

Τραχὺ, τί. 91. λδ.

Τρόπος Προτάσεων, ὁποῖος· καὶ οἱ τούτων Τρόποι, ὁποῖοι. 119. η. Ὀνομάζονται συλλογιστικαὶ Συζυγίαι. 146. γ. Τίνες Συλλογιστικοί εἰσι, καὶ διὰ τί· καὶ τίνες Ἀσυλλόγιστοι, καὶ διὰ τί. 151. κζ.

Τύχη, τί. 128. λα.

# Υ

Ὕλη καὶ Εἶδος, οὐσιώδη μᾶλλον, ἢ οὐσίαι. 75. λβ.

Ὗλαι Προτάσεων, τρεῖς. 122. ιβ. Διαφέρουσι τῶν Τρόπων. λα.

Ὕλη Ἐνδεχομένη, διττή. 123. α.

Ὑπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑπογραφὴ, ἐκ τίνων συνίςαται. 5. λς. Χρήσιμον αὐτῆς. 6. ς. Πόθεν καλεῖται. 7. κθ.
Ὑπογραφικὸς Ὁρισμὸς, ἐκ τίνων σύγκειται, καὶ διὰ τί λέγεται. 5. λβ. Τέτε χρήσιμον. 6. η.
Ὑποκείμενον πρὸς ὕπαρξιν καὶ Κατηγορίαν, ὁποῖον. 56. δ.
Ὑποκείμενος ὅρος, τίς. 118. κη.
Ὑποκειμένῳ ἐνεῖναι, καὶ καθ᾽ ὑποκειμένε, πῶς ἐννοητέον. 55. λ. 56. α.
Ὑπόςασις, δύω σημαίνει. 67. ιϛ.
Ὑπόςασις, Ἄτομον, καὶ Πρόσωπον ταυτοσήμαντα κατὰ τὲς Πατέρας. 68. ια.
Ὕςερον, ποσαχῶς. 70. γ.

## Φ

Φαντασία, τί. 15. ιε. Διὰ τί λέγεται παθητικὸς Νȣ̃ς. ιζ. Συμπεπλεγμένη ἐςὶ τῇ νοήσει. λε. Διαφέρει τῆς ψιλῆς Ἐπινοίας. 21. λ. Ταύτης δύναμις, ὅση. 91. ς.
Φιλοσοφία, τί. 18. κς. λγ. 19. γ. λ. 20. ιε. ιθ. Ἐγκώμιον ταύτης. 1. ιϛ. 2. α. Διαίρεσις. 23. κε. Ὑποδιαίρεσις τȣ̃ Θεωρητικȣ̃ αὐτῆς, καὶ περὶ τίνα καταγίνεται τῶν ὑποδιαιρεμένων ἕκαςον. 24. ε. κε. λε. 25. α. ι. τȣ̃ Πρακτικȣ̃. 26. ε. Ἐςὶ τελείωσις τῆς Ψυχῆς. 26. κβ.
Φιλόσοφος κυρίως, τίς. 20. κα.
Φιλόσοφος Ἠθικὸς, Οἰκονομικὸς, καὶ Πολιτικὸς, τίς. 26. ς.
Φορᾶς διαίρεσις. 84. κς.
Φυσιολογικὸν, ὁ ποῖον καλεῖται, καὶ διὰ τί. 26. λγ.
Φύσις, ὡς ἐπὶ πολὺ κατορθοῖ. 128. ιη.
Φυτὸν, τί. 45. κς. 71. κς. 72. ιϛ.
Φωνὴ, διττή. 32. κδ. Ἄσημος, τί. κη. Σημαντικὴ, τί. λβ. Κατηγορικὴ, διττή. λε. 33. α. Καθ᾽ ὅλε, διττή. δ. Οὐσιώδης, διττή. ς. Ἐπεσιώδης, διττή. ιγ. Ἔναρθρος, διὰ τί. 111. θ. Ἄναρθρος, πῶς Σημαντικὴ λέγεται. λγ. 112. α.

Φωνὴ,

Φωνὴ Ἁπλῆ, Φάσις, Ὅρος, Ὄνομα, καὶ Ῥῆμα· τῷ Ὑποκειμένῳ μὲν ταυτά εἰσι· τῇ Σχέσει δὲ διαφέρουσιν. 114. κ.
Φωναὶ Ἁπλαῖ, οὔτε ἀληθεύουσιν, οὔτε ψεύδονται. 54. λγ. 55. α. 108. κϛ. 113. ιη. λδ.
Φωνῶν τῶν πέντε ἡ Τάξις. 33. κε. διὰ τὶ Λογικαὶ μᾶλλον, ἢ Κατηγορικαὶ λέγονται. 58. ι. Πῶς εἰσὶ φύσει. 111. κδ.

## Ψ

Ψυχῆς Δυνάμεις ὁποῖαι. 14. κγ. 26. κγ. Ψυχὴ, χωρίζεται τῆς Ὕλης καὶ οὐχωρίζεται. 27. ια.

## Ω

Ὠχρίασις διὰ φόβον, πῶς γίνεται. 90. λα.

ΤΕΛΟΣ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........

Τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Τῶν Σφαλμάτων Διόρθωσις.

Σελίδι 2. Στίχῳ λδ. λέγονται. Γρ. λέγεται.
— 17 — Κεφάλ. Β′. Γρ. Κεφάλ. Γ′.
— 17 — η. τοίας δέ τινας. Γρ. τοιάς δέ τινας.
— 19 — λ. ἀνταλλαξάμευος. Γρ. ἀνταλλαξάμενος.
— 37 — κκ. καὶ εἶδος. Γρ. καὶ τὸ εἶδος.
— — — λε. Υἱȣ̃. Γρ. καὶ Ὑἱȣ̃.
— 39 — κ. παραμέρος. Γρ. παρὰ μέρος.
— — — κθ. τὰ ἐπάνω. Γρ. τὰ δ᾽ ἐπάνω.
— — — λϛ. ἐπιϛήμης. Γρ. Ἐπιϛήμης.
— 40 — α. εἰδῶν. Γρ. τῶν εἰδῶν.
— — — κδ. ἐνω. Γρ. ἐν ᾧ.
— 47 — λβ. καὶ ἐν τῷ. Γρ. καὶ ἡ ἐν τῷ.
— 52 — κβ. ἁπλᾷ. Γρ. ἁπλᾶ.
— 65 — ε. Σωκράτῃ. Γρ. Σωκράτει.
— — — ιη. ὁμογενῇ. Γρ. ὁμογενῆ.
— 68 — α. τὸν τινα. Γρ. τόν τινα.
— — — λβ. καθ᾽ ἕνα. Γρ. καθ᾽ ἕνα.
— 69 — ια. τὸ ἒν. Γρ. τὸ ἕν.
— 71 — Κεφάλ. ΙΗ′. Γρ. ΙΘ′.
— 79 — ια. τό δε τι. Γρ. τό δέ τι.
— 81 — λβ. μερικῶς. Γρ. μεριϛῶς.
— 83 — δ. μόνον. Γρ. μένον.
— 88 — λδ. εἰθ᾽ ὑπότινος. Γρ. εἶθ᾽ ὑπότινος.
— 92 — ιγ. τετραχῶς λαμβάνονται. Γρ. τετραχῶς δὲ λαμβάνονται.
— 99 — Κεφάλ. ιθ′. Γρ. Κεφάλ. κγ′.
— 116 — ιη. ὑποκείμνα. Γρ. ὑποκείμενα.
— — — κγ. ὑποκείμνον. Γρ. ὑποκείμενον.
— 136 — λδ. Ἄνθρωτος. Γρ. Ἄνθρωπος.
— 165 — λβ. Σολοικιϛὸς. Γρ. Σολοικιϛής.
— 180 — θ. Ὀνόμα. Γρ. Ὄνομα.

ΝΙΚΗ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΟΥΡΙΛΑ ... ΛΥΣΕΩΝ ΑΡΙΘ...

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

Εἰσαγωγικῆς Ἐπιτομῆς

## Βιβλίον Δεύτερον

## Πίναξ τῶν Κεφαλαίων.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περὶ τῶν φυσικῶν ἀρχῶν καὶ Αἰτίων. 1

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῆς Ὕλης, καὶ τοῦ Εἴδους, καὶ τῆς Στερήσεως. 6

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ Αἰτίων, καὶ Αἰτιατῶν, ἐν ᾧ καὶ περὶ Τύχης καὶ Αὐτομάτου. 10

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ Κινήσεως καὶ Ἠρεμίας, ἐν ᾧ καὶ περὶ Ἐντελεχείας, καὶ τοῦ Δυνάμει, καὶ Ἐνεργείᾳ. 16

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ἔτι περὶ Κινήσεως καὶ Ἠρεμίας. 22

ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄.

Περὶ Γενέσεως, καὶ Φθορᾶς. 33

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ Φύσεως. 41



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πίναξ τῶν Κεφαλαίων.


ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἔτι περὶ Φύσεως. 44

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ Τόπȣ καὶ Χρόνȣ. 47

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ Ἀπείρȣ. 53

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ Στοιχείων. 55

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν Φαινομένων Φλογῶν καιομένων περὶ τὸν Οὐρανὸν, καὶ τῶν καλȣμένων Αἰγῶν, καὶ Δαλῶν, καὶ διαθεόντων Ἀςέρων. 64

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ Κομητῶν, καὶ τȣ̃ Γαλαξίȣ Κύκλȣ. 69

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ Ὄμβρȣ, Χαλάζης, Χιόνος, Δρόσȣ, καὶ Πάχνης. 73

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ Πηγῶν, καὶ Ποταμῶν. 79

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ Θαλάσσης. 81

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ Ἀνέμων, καὶ τῶν λοιπῶν Πνευμάτων. 86


ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πίναξ τῶν Κεφαλαίων.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Περὶ Σεισμȣ̃. 92

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ Βροντῶν, καὶ Ἀςραπῶν, Ἐκνεφίȣτε καὶ Τυφῶνος, καὶ Πρηςῆρος, καὶ Κεραυνȣ̃. 96

## ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ τῶν ἐν τῷ Οὐρανῷ φαινομένων Φασμάτων. 101

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ Ἅλω, καὶ πρῶτον περὶ Ὁράσεως. 103

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Περὶ Ἴριδος. 109

## ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ Ῥάβδων καὶ Παρηλίων, ἔτι δὲ καὶ τῶν ἐν τῇ Γῇ Μεταλλευτῶν τε καὶ Ὀρυκτῶν. 117

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Περὶ Οὐρανȣ̃, καὶ ὅτι ȣ̓κ ἔςιν ὁ Κόσμος ἀΐδιος. 118

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ Αἰθέρος καὶ Ἀςέρων. 128

## ΚΕΦΑΛΑΙΟΝ Κϛ΄.

Περὶ Ἡλίȣ. 140

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

Περὶ Σελήνης. 143



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄.

Περὶ Γῆς, καὶ τῶν ταύτης Ζωνῶν, καὶ πρῶτον ὅτι ἡ Γῆ κέντρου λόγον ἐπέχει πρὸς τὴν οὐράνιον Σφαῖραν, ἀλλὰ καὶ πρὸς αὐτὴν τὴν Ἡλιακήν. 152

## ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

Περὶ Ἡμερῶν, καὶ Νυκτῶν, καὶ τῶν τεσσάρων τοῦ ἔτους ὡρῶν. 159

## ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ Οἰκήσεων. 166

## ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ Κενοῦ. 171

## ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

Ἐκ τῆς εἰς τὸν ὄγδοον Ψαλμὸν Ἐξηγήσεως. 173



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ Α'.

## Περὶ τῶν Φυσικῶν Ἀρχῶν καὶ Αἰτίων.

Πᾶν τὸ Αἴτιον, καὶ Ἀρχή· οὐ πᾶσα δὲ Ἀρχή, ἤδη καὶ Αἴτιον. Ῥητέον δὲ πρότερον περὶ τῆς ἰσαχῶς τῷ αἰτίῳ λεγομένης Ἀρχῆς.

Λέγεται τοίνυν Ἀρχή, Τὸ ἐξ οὗ, ὡς ἡ Ὕλη, ἐξ οὗ πρώτως ἐνυπάρχοντος γίνεταί τι· οἷον λίθοι καὶ ξύλα, οἰκίας ἀρχαί· Τὸ καθ' ὅ, ὡς ἡ Μορφὴ καὶ τὸ Σχῆμα, καὶ ὅλως τὸ Εἶδος· Τὸ ὑφ' οὗ, ὡς ἡ Φύσις τῶν Φυσικῶν Ἀρχή, καὶ ἡ Τέχνη τῶν τεχνητῶν· Τὸ δι' ὅ, ἤτοι τὸ οὗ ἕνεκα, ὡς ἡ Νίκη Ἀρχὴ τῆς ἀθλήσεως· ἕνεκα γὰρ τῆς νίκης τελεῖται ἡ ἄθλησις. Ἀρχὴ δὲ κατὰ Πλάτωνα καὶ Τὸ δι' οὗ, ὡς τὸ Ὄργανον· καὶ Τὸ πρὸς ὅ, ὡς τὸ Παράδειγμα.

Ὡσαύτως δὲ λέγεται καὶ Αἴτιον. Τὸ ἐξ οὗ, οἷον, τὸ Ὑλικόν· Τὸ καθ' ὅ, οἷον, τὸ Εἰδικόν· Τὸ ὑφ' οὗ, οἷον τὸ Ποιητικόν· Τὸ δι' ὅ, οἷον, τὸ Τελικόν· Τὸ δι' οὗ, οἷον, τὸ Ὀργανικόν· Τὸ πρὸς ὅ, οἷον, τὸ Παραδειγματικόν. Κατὰ γοῦν τὰ τοιαῦτα τοῦ Αἰτίου καὶ τῆς Ἀρχῆς σημαινόμενα, τῷ μὲν Ὑποκειμένῳ, ταυτόν ἐστιν Ἀρχή τε καὶ Αἴτιον· τῇ Ἐπινοίᾳ δέ, διαφέρουσιν· ἡ μὲν γὰρ Ἀρχὴ ἐπινοεῖται καθ' ὃ προηγεῖται· τὸ δ' Αἴτιον, καθ' ὃ ποιεῖ τι, καὶ ἀποτελεῖ τὸ μετ' αὐτό, ὄντος καὶ τοῦ Αἰτίου, δυνάμει ἀρχικοῦ, καὶ τῆς Ἀρχῆς, δυνάμει τελεστικῆς.

Τῶν δ' ἀπηριθμημένων Αἰτίων, τὰ μὲν κυρίως Αἴτια λέγεται· τὰ δέ, Συναίτια. Αἴτια μέν, τὸ Ποιητικόν, τὸ Τελικόν, τὸ Παραδειγματικόν· Συναίτια δέ, τὸ Ὑλικόν, τὸ Εἰδικόν, καὶ τὸ Ὀργανικόν. Διαφέρει δὲ κυρίως Αἴτιον καὶ Συναίτιον· τὸ μὲν κυρίως Αἴτιον, τῷ χωριστὸν



ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶναι τοῦ ἀποτελουμένου καὶ ἐξῃρημένον παντάπασι· τὸ δὲ Συναίτιον, ἐν τῷ ἀποτελουμένῳ πράγματι θεωρεῖσθαι. Ὅθεν ποιητικὸν Αἴτιον κυρίως καὶ πρώτως ὁ Θεῖος ἐστὶ Νοῦς, καὶ Τελικὸν, ἡ αὐτοῦ Ἀγαθότης, δι' ἣν πᾶσαν κτίσιν ἐδημιούργησεν, ἵνα γνωρίζηται καὶ κηρύττηται. Προσεχῶς δὲ Ποιητικὸν αἴτιον, ἡ Φύσις λέγεται· ἣν καλῶς ὁ Πλάτων Ὀργανικὸν μᾶλλον αἴτιον τίθεται, ὡς κινουμένην μὲν ὑφ' ἑτέρου τοῦ Θείου Νοῦ, τοῦ ἀκινήτου κατὰ πᾶσαν μεταβολήν· κινοῦσαν δ' ἕτερα, τὰ Φυσικὰ σώματα δηλαδή· ὧν καὶ ἀχώριστος οὖσα, Συναίτιον μᾶλλον εὐλόγως λέγοιτ' ἄν, ἀλλ' οὐ κυρίως Αἴτιον. Παραδειγματικὸν δ' Αἴτιον, ὥσπερ δὴ καὶ Ἀρχὴν παραδειγματικὴν, τοὺς ἐν τῷ δημιουργῷ Νῷ προϋφεστῶτας ἀιδίως οὐσιοποιοὺς λόγους τῶν ὄντων ἐδιδάχθημεν εἶναι· πρὸς οὓς, ὡς πρὸς ἀρχέτυπα προαιώνια, σύμπασα κτίσις ἀπηκριβώθη τῷ παντουργικῷ καὶ θείῳ βουλήματι.

Ἔτι λέγεται Ἀρχὴ, Τὸ ἀφ' οὗ, τουτέστιν, ὅθεν ἡ πρώτη κίνησις· ᾧ δὴ σημαινομένῳ τῆς Ἀρχῆς ἀντίκειται ἡ Τελευτή. Κατὰ γοῦν τὸ τοιοῦτον σημαινόμενον τῆς ἀρχῆς, τουτέστι, τὸ ἀφ' οὗ, Ἀρχὴ μὲν Ὁδοῦ λέγεται, τὸ πρῶτον Βῆμα· Ἀρχὴ δὲ Νηὸς, Τρόπις· Οἰκίας, Θεμέλιος· Λόγου, Προοίμιον· Φυτοῦ τε Ῥίζα, καὶ Ζώου Καρδία. Ἀλλὰ ταῦτα μὲν, ὡς μέρη προηγούμενα, καλοῦνται Ἀρχαί· μὴ ὡς μέρη δὲ, Ἀρχὴ μὲν γραμμῆς, Στιγμή· Γραμμὴ δ' ὁμοίως Ἐπιφανείας Ἀρχὴ, καὶ Σώματος, Ἐπιφάνεια. Χρόνου δὲ πάλιν Ἀρχὴ τοιαύτη, τὸ Νῦν· ὁμοίως δὲ Κινήσεως Ἀρχὴ, τὸ καλούμενον Κίνημα. Ἔοικε δ' Ἀρχὴ παντὸς συνεχοῦς ὑπάρχειν διττὴ, Γραμμῆς, δηλονότι, καὶ Ἐπιφανείας, καὶ Σώματος, Χρόνου τε, καὶ Κινήσεως· ἔστι μὲν γὰρ Ἀρχὴ, καὶ τὸ προηγούμενον μέρος τοῦ συνεχοῦς, ὅπερ καὶ ἀόριστόν ἐστι, διὰ τὸ ἐπ' ἄπειρον εἶναι δυνάμει διαιρετόν. Ἔστι δὲ πάλιν Ἀρχὴ, καὶ ἡ μὴ ὡς μέρος, μηδ' ὁμοία τῷ ὅλῳ καθάπερ προείρηται. Ὁποία δ' ἡ Ἀρχὴ τοῦ συνεχοῦς, τοιοῦτον χρὴ καὶ τὸ Πέρας καταλλήλως λαμβάνεσθαι· οἷον, Εἰ τῆς Γραμμῆς Ἀρχὴ, Σημεῖον, καὶ τὸ Πέρας, Σημεῖον. Εἰ δὲ τὸ προηγούμενον μέρος τῆς Γραμμῆς, ὡς Ἀρχὴ ταύτης λαμβάνοιτο, καὶ τὸ τελευταῖον μέρος

τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς Γραμμῆς, ὡς Πέρας ταύτης λαμβάνοιτ᾽ ἄν. Τὸν αὐτὸν δὲ τρόπον κἀπὶ παντὸς συνεχοῦς. Ἔτι λέγεται τῆς κατὰ χρόνον ἑκάστου Γενέσεως Ἀρχή, αὐτὸς ὁ Χρόνος, ἐν ᾧ τὸ πρᾶγμα πρώτως ἤρξατο γίνεσθαι· ὃν οὐδ᾽ ὁρίσαι ῥᾴδιον, διὰ τὸ ἐπ᾽ ἄπειρον διαιρεῖσθαι δυνάμει πᾶν μέρος παντὸς συνεχοῦς.

Τούτων οὕτω διακεκριμένων, ζητητέον ἤδη τὰς Ἀρχὰς καὶ τὰ Αἴτια τῶν Φυσικῶν Σωμάτων, ἐξ ὧν πρώτως γεγόνασι, καὶ εἰς ἃ ἐσχάτως αὐτὰ πάλιν διαλύονται. Ἐπεὶ τοίνυν τὸ γινόμενον οὐκ ἐκ τοῦ τυχόντος, ἀλλ᾽ ἐκ τοῦ Ἐναντίου γίνεται, καὶ οὐκ εἰς τὸ τυχόν, ἀλλ᾽ εἰς τοὐναντίον φθείρεται· (οἷον ἐκ τοῦ ἀμούσου γίνεται τὸ μουσικόν, καὶ πάλιν εἰς τὸ ἄμουσον φθείρεται.) τὰ πρῶτα καὶ ἀνωτάτω τῶν Ἐναντίων ἐπινοούμενα, εἶεν ἂν τῶν ὑπὸ Γένεσιν Σωμάτων, πρῶται Ἀρχαί. Πρῶτα δὲ καὶ ἀνωτάτω τῶν Ἐναντίων ἁπάντων ἐπινοεῖται, τὸ Εἶδος καὶ ἡ Στέρησις· Ἀρχαὶ ἄρα πρῶται ταῦτα τῶν Φυσικῶν. Ἀλλ᾽ ἐπεὶ τ᾽ Ἀναντία τῶν ἐν Ὑποκειμένῳ γινώσκεται, καὶ καθ᾽ ἑαυτὰ μὲν ὄντα πάσχειν ὑπ᾽ ἀλλήλων οὐ δύναται· (δεῖ μὲν γὰρ τὸ πάσχον, ὑπομένον πάσχειν· τ᾽ Ἀναντία δ᾽ οὐχ ὑπομένουσιν ἄλληλα· ἐν ὑποκειμένῳ δὲ δρᾶν εἰς ἄλληλα δύναται· τὸ γὰρ ἄμουσον καὶ τὸ μουσικὸν οὐ δύναται πάσχειν ὑπ᾽ ἀλλήλων, ὄντα καθ᾽ αὑτά, εἰ μὴ ἐν ὑποκειμένῳ εἴη, τῷ Σωκράτει τυχὸν ἢ τῷ Πλάτωνι.) δεῖ καὶ τῷ Εἴδει καὶ τῇ Στερήσει πάντως Ὑποκειμένου τινός, ἐν ᾧ καὶ δρᾶν εἰς ἄλληλα ταῦτα δύναιντο. Μὴ ὂν γὰρ Ἀντικείμενον τὸ Ὑποκείμενον, ἑκάτερον τῶν ἀντικειμένων ὑπομενεῖ. Τοῦτο δ᾽ ἂν εἴη τὸ ὑποκείμενον, ἡ ἀνείδεος Ὕλη καὶ ἄποιος, πρῶτον Ὑποκείμενον τοῖς πρώτοις Ἀντικειμένοις κατάλληλον. Τρεῖς ἄρα τῶν Φυσικῶν αἱ τῆς Γενέσεως πρῶται Ἀρχαί· τὸ Εἶδος, ἡ Στέρησις, καὶ ἡ Ὕλη. Ἀλλὰ τὸ μὲν Εἶδος καὶ ἡ Ὕλη καθ᾽ αὑτὰ νοοῦνται Ἀρχαί, διὰ τὸ τὴν Ὕλην ὑποκεῖσθαι τῷ Εἴδει, καὶ μὴ ἀντικεῖσθαι αὐτῷ, διὸ καὶ ὑπομένει προσιὸν αὐτό, καὶ ἐφίεται μᾶλλον αὐτοῦ· ἡ δὲ Στέρησις ἀντικειμένη καὶ ἀσύνακτος οὖσα πρὸς τὸ Εἶδος, ἐξίσταται εἰσιόντος αὐτοῦ. Ὅθεν καὶ κατὰ συμβεβηκὸς Ἀρχὴ νοεῖται



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται ἡ Στέρησις, ὡς μόνον προϋπάρχουσα τῆς Γενέσεως· οὐ γὰρ ἂν ἔσοιτο Γένεσις, μὴ οὔσης Στερήσεως· ἐπεὶ τὸ γινόμενον ἐκ μὴ τοιούτου καὶ πεφυκότος γίνεται. Μὴ κατὰ συμβεβηκὸς δ᾽ οὔσης Ἀρχῆς τῆς Στερήσεως, ἀλλὰ καθ᾽ αὐτό, φθείροιτ᾽ ἂν τὸ ὑποκείμενον ἐν τῇ ταύτης ἀποβολῇ, εἴπερ τὸ εἶναι αὐτῷ σὺν τῷ ἐστερῆσθαι ἦν· ἐστερημένη γὰρ τοῦ Εἴδους ἡ Ὕλη ἐτύγχανεν οὖσα. Ὥστε πῶς μέν, τρεῖς Ἀρχαὶ θεωροῦνται τῶν Φυσικῶν· πῶς δέ, δύω· τῆς Στερήσεως οὔσης ἀρχῆς κατὰ συμβεβηκός, ἀλλ᾽ οὐ καθ᾽ αὐτό.

Ἄλλη δέ ἐστιν ἡ ἐν ταῖς Κατηγορίαις ἀντικειμένη τῇ Ἕξει Στέρησις, ὡς ἡ τυφλότης τῇ ὄψει· ἥτις οὐδ᾽ ἀνακάμπτει πρὸς τὴν Ἕξιν, μετέχουσά πως τῆς Ποιότητος καὶ αὐτή, καὶ παρακεχρωσμένη τῷ Εἴδει, οὐ λέγεται Στέρησις.

Ἄλλη δὲ πάλιν αὕτη ἡ Στέρησις ἀνακάμπτουσα πρὸς τὸ εἶδος, καὶ ἀντικειμένη αὐτῷ, οὐχ ὡς Στέρησις Ἕξει (κἂν Στέρησις ὀνομάζηται) ἀλλ᾽ ὡς ἡ Ἠρεμία τῇ Κινήσει· καὶ ἁπλῶς, ὡς τ᾽ Ἀναντία. Τὰ γὰρ Ἐναντία ἢ Εἴδη καὶ ἄμφω ἐστίν, ὡς ψυχρὸν καὶ θερμόν· ἢ θάτερον ἐσχάτη θατέρου ἀπόπτωσις, [ὡς ἡ ἀδικία καὶ ἡ δειλία] πέφυκός μέντοι πρὸς τὸ Εἶδος ἀνακάμπτειν. Ὅτε δὲ μὴ πέφυκεν ἀνακάμπτειν, τότ᾽ ἔστιν ὄντως Στέρησις. Αὕτη δὲ ἡ τῷ Εἴδει ἀντικειμένη Στέρησις μετὰ τῆς πρὸς τὸ Εἶδος ἐπιτηδειότητος θεωρεῖται, καθάπερ καὶ ἡ Ἠρεμία μετὰ τῆς πρὸς τὴν Κίνησιν ἐπιτηδειότητος. Ἠρεμία τε γάρ ἐστιν, ἡ τοῦ πεφυκότος κινεῖσθαι ἀκινησία· καὶ Στέρησις, ἀπουσία ἐν τῷ πεφυκότι. Τοίνυν κατὰ τὴν τῶν Ἐναντίων ἀντίθεσιν, ἡ Στέρησις καὶ τὸ Εἶδος ἀντίκεινται· ὥστε κατὰ τὴν εἰς ἄλληλα τούτων μεταβολήν, τὴν Γένεσιν ἐπιτελεῖσθαι καὶ τὴν Φθοράν.

Ἀλλ᾽ εἰ τ᾽ Ἀναντία ὑπὸ τὸ αὐτὸ γένος εἰσί, τὸ δὲ Εἶδος καὶ ἡ Στέρησις Ἐναντία, πότερον; ὑπὸ τὸ αὐτὸ γένος εἰσίν, ἢ οὔ; Ἢ πάντως ἐκεῖνα τῶν Ἐναντίων ὑπὸ τὸ αὐτὸ Γένος ἐστίν, ὅσα Εἴδη καὶ ἄμφω, καθὼς τὸ ψυχρὸν καὶ τὸ θερμόν. Ὧν δὲ θάτερον ἐσχάτη ἀπόπτωσις τοῦ λοιποῦ, ταῦτ᾽ οὐκ ἀνάγκη τῷ αὐτῷ Γένει συνάγεσθαι· ὥσπερ οὐδ᾽ ἁπλῶς τὴν ἀνυπαρξίαν καὶ τὴν ὕπαρξιν· τὸ μὲν γὰρ οὐκ ἔστιν, τὸ δ᾽ ἔστι· τοῦ μὴ ὄντος δὲ καὶ τοῦ ὄντος, πῶς ἂν εἴη Γένος κοινόν;

Οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐκ ἤδη τοίνυν εἴπερ οὐσία τις τὸ Εἶδός ἐστιν, ἔσοιτ' ἂν καὶ ἡ Στέρησις ὅλως οὐσία· τὸ μὲν γὰρ Εἶδος, ἐπεὶ μετὰ τῆς Ὕλης τὴν σύνθετον οὐσίαν συνίστησιν, εἴη ἂν καὶ οὐσία τις· ἡ δέ γε Στέρησις τὴν σύνθετον οὐσίαν διαλύουσά τε καὶ φθείρουσα, πῶς ἂν εἴη ὅλως οὐσία; Εἴη δ' ἂν τὸ Εἶδος οὐσία μᾶλλον καὶ οὐ συμβεβηκός, κἂν ἐν ὑποκειμένῳ τῇ Ὕλῃ γινώσκοιτο, διὰ τὸ μετὰ τῆς Ὕλης τὴν σύνθετον οὐσίαν ἀποτελεῖν, μέρος ταύτης γινόμενον, ὥσπερ δὴ καὶ ἡ Ὕλη. Καὶ τούτῳ διαφέροιεν ἂν ἀλλήλων τὸ Εἶδος καὶ τὸ Συμβεβηκός, κἂν ἄμφω ἐν ὑποκειμένῳ λέγοιντο εἶναι, ὅτι τὸ μὲν Συμβεβηκὸς τῇ οὐσίᾳ συνελθὸν οὐ δύναταί τι ποιῆσαι σύνθετον μετ' αὐτῆς· ὥσπερ δὴ καὶ ἡ Στέρησις μὴ δυναμένη μετὰ τῆς Ὕλης σύνθετόν τι ποιῆσαι, συμβεβηκός ἐστι τῇ Ὕλῃ· τὸ δ' Εἶδος τὴν σύνθετον οὐσίαν μετὰ τῆς Ὕλης ποιεῖ, κἀντεῦθεν οὐκ ἔστι συμβεβηκός.

Εἰ δὲ τῇ Οὐσίᾳ ἐναντίον οὐδὲν· τῷ δὲ Εἴδει ἐναντία ἡ Στέρησις; Ἀλλ' ἐκείνῃ τῇ οὐσίᾳ ἐναντίον οὐδέν, τῇ μὴ ἐν ὑποκειμένῳ θεωρουμένῃ ποτέ· τὸ δὲ Εἶδος καθ' ὃ ἐν ὑποκειμένῳ τῇ Ὕλῃ γινώσκεται, κατὰ τοῦτο καὶ ἐναντίον ἔχει τὴν Στέρησιν. Ἔπειτα οὐδὲ κυρίως οὐσία τὸ τοιοῦτον Εἶδός ἐστιν, ὥσπερ οὐδὲ ἡ Ὕλη. Εἰ γὰρ ἕτερα τὰ Στοιχεῖα τῶν στοιχειωτῶν· (οὐδὲ γὰρ τῆς σαρκὸς τὰ Στοιχεῖα, σάρκες εἰσίν.) εὔδηλον, ὡς οὐδὲ τὰ τῆς οὐσίας Στοιχεῖα (ταῦτα δὲ τὸ Εἶδος καὶ ἡ Ὕλη.) κυρίως ἂν εἶεν οὐσίαι· ὁποία ἡ ἐξ αὐτῶν. Ἀλλ' ἐπείπερ ἡ οὐσία κατὰ τὸ μᾶλλον λέγεται καὶ τὸ ἧττον, ἔσοιντό πως καὶ ταῦτα οὐσίαι· χείρους μέντοι τῆς συνθέτου· καὶ οἷον εἰπεῖν, οὐσιώδη καὶ οὐκ οὐσίαι, διότι καὶ σωματικά, ἀλλ' οὐ σώματα. Τούτων δ' οὕτως ἐχόντων, πῶς μὲν τὸ Εἶδος, μᾶλλον Οὐσία δοκεῖ· πῶς δέ, ἡ Ὕλη. Κατὰ μὲν γὰρ τὸ μόνιμον καὶ τὸ ὑποκεῖσθαι, μᾶλλον τοῦ Εἴδους οὐσία ἡ Ὕλη νομίζεται· καθ' ὅσον δ' ἑκάστῳ τῶν ὄντων κατὰ τὸ εἶδος τὸ εἶναί ἐστι, (καθ' ὃ καὶ διαφέρον τῶν ἄλλων, ἐπ' οἰκείας καθέστηκε φύσεως.) κατὰ τοῦτο μᾶλλον οὐσία τὸ Εἶδος ὑπολαμβάνεται.

Ἄλλο δέ ἐστιν Ἀρχὰς τῶν Φυσικῶν Σωμάτων ζητεῖν, ἐξ ὧν γέγονέ τι μὴ κατὰ συμβεβηκός, ἀλλὰ καθ' αὑτό· καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλο μεταβολῆς ἁπλῶς Ἀρχὰς ἐρευνᾶν. Κατὰ μὲν οὖν τὸ πρῶτον, ἡ Στέρησις οὐκ ἂν εἴη Ἀρχή τε καὶ Αἴτιον καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς, ὡς μὴ ἐνυπάρχον τῷ γινομένῳ, ἀλλὰ κεχωρισμένον αὐτοῦ. Ἡ ὕλη γὰρ καὶ τὸ Εἶδος ἐνυπάρχουσι τῷ γινομένῳ, καὶ διὰ τοῦτο καὶ στοιχειώδεις Ἀρχαὶ τῶν ὑπὸ Γένεσιν λέγονται. Ἐνυπάρχειν γὰρ ἀναγκαῖον τὰ Στοιχεῖα τῷ στοιχειωτῷ. Κατὰ δὲ τὸ δεύτερον, οὐκ ἂν εἴη μόνως κατὰ συμβεβηκὸς Ἀρχὴ καὶ Αἴτιον ἡ Στέρησις· ἀλλ' ἤδη καὶ καθ' αὑτό. Ὡς γὰρ τῆς εἰς τὸ εἶναι μεταβολῆς Αἴτιον τὸ Εἶδος· οὕτω τῆς εἰς τὸ μὴ εἶναι ἡ Στέρησις. Δῆλον οὖν ἐντεῦθεν, ὅτι τὸ αὐτὸ καὶ ἐν ἐναντίως διακείμενον, τῶν Ἐναντίων Αἴτιον γίνεται. Τῇ μὲν γὰρ παρουσίᾳ τὸ Εἶδος Αἴτιόν ἐστι τῆς Γενέσεως, καθ' αὑτὸ· τῇ δ' ἀπουσίᾳ, Αἴτιον τῆς Φθορᾶς κατὰ συμβεβηκός. Ἡ στέρησις δ' ἔμπαλιν, τῇ μὲν παρουσίᾳ, τῆς Φθορᾶς Αἴτιον καθ' αὑτὸ· τῇ δ' ἀπουσίᾳ, τῆς Γενέσεως Αἴτιον κατὰ συμβεβηκός· ἢ μᾶλλον καὶ κατὰ τὴν παρουσίαν καὶ κατὰ τὴν ἀπουσίαν, εἴη ἂν ἡ Στέρησις Αἴτιον κατὰ συμβεβηκὸς τῆς Γενέσεως· κατὰ μὲν τὴν παρουσίαν, ὅτι ἐκ μὴ τοιούτου δεῖ γενέσθαι τὸ γινόμενον· κατὰ δὲ τὴν ἀπουσίαν, ὅτι ἀπογινομένης αὐτῆς, τὸ Εἶδος ἐγγίνεται.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

### Περὶ τῆς Ὕλης, καὶ τοῦ Εἴδους, καὶ τῆς Στερήσεως.

Τῶν κυρίως γινομένων, τὰ μὲν ὡς Ἁπλᾶ γίνεται· τὰ δ' ὡς Σύνθετα. Τὰ μὲν οὖν Σύνθετα, συνθέσει, ὡς ἡ οἰκία. Τῶν δ' ἁπλῶν, τὰ μὲν, ὡς διὰ Βάθους· τὰ δ' ὡς Ἐπιπολῆς. Καὶ τὰ μὲν Ἐπιπολῆς, μετασχηματίσει· ὡς ὅταν ἐκ Σφαίρας ἀνδριὰς γίνηται· ἢ ἁπλῶς ἐκ χαλκοῦ. Τῶν δὲ διὰ Βάθους, τὰ μὲν, Καθόλου· ὡς ὁ ἄνθρωπος ἐκ σπέρματος ἀλλοιουμένου· τὰ δὲ, Κατὰ μέρος· καὶ τούτων τὰ μὲν, προσθέσει, ὡς τὰ αὐξανόμενα· τὰ δ', ἀφαιρέσει, ὡς τὰ μειούμενα. Τοίνυν εἰ πάντα τὰ κυρίως γινόμενα κατά τι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα γίνεται τούτων τῶν τρόπων, τὰ δὲ, κατὰ τούτους γινόμενα τοὺς τρόπους, ἐξ ὑποκειμένου γίνεται· (καὶ γάρ ἐστί τι τὸ μετασχηματιζόμενον, καὶ τὸ ἀλλοιούμενον, καὶ ἐπὶ τοῦ προσθέσει γινομένου, ἐστί τι, ᾧ προστίθεται, καὶ ἐπὶ τοῦ ἀφαιρέσει, οὗ ἀφαιρεῖται· ἔστι δὲ καὶ ἐπὶ τῆς συνθέσεως, τὰ συντιθέμενα.) δῆλον ὅτι πάντα τὰ κυρίως γινόμενα, ἐξ ὑποκειμένου γίνεται. Εἰ οὖν καὶ ὑποκείμενόν τί ἐστιν ἐν πάσῃ Γενέσει, καὶ τὸ τῷ ὑποκειμένῳ ἐπιγινόμενον· δῆλον ὅτι πᾶν τὸ γινόμενον, σύνθετόν ἐστιν ἔκ τε τοῦ ὃ γίνεται, τουτέστι τοῦ Εἴδους, καὶ ἐκ τοῦ γινομένου. Διττὸν δὲ τοῦτο· τό, τε Ὑποκείμενον, ἤγουν ἡ Ὕλη, καὶ τὸ Ἀντικείμενον τῷ Εἴδει, ἤγουν ἡ Στέρησις· γίνεται γὰρ τὸ εἶδος, οἷον, ἡ οἰκία, ἔκ τε τῶν ὑποκειμένων λίθων καὶ ξύλων, κἀκ τῆς Στερήσεως, ἤτοι, τοῦ μὴ εἶναι οἰκία· κἀπὶ τῶν ἄλλων ὁμοίως. Τρεῖς ἄρα τῆς τῶν Φυσικῶν Γενέσεως πρῶται Ἀρχαί, τὸ Ὑποκείμενον, ἤγουν ἡ Ὕλη, καὶ τὰ δύω Ἀντικείμενα, τὸ Εἶδος δηλαδὴ καὶ ἡ Στέρησις. Ἀλλὰ πῶς μὲν τρεῖς, πῶς δὲ δύω, τῆς Φυσικῆς τῶν σωμάτων Γενέσεως αἱ πρῶται Ἀρχαί; λέλεκται πρότερον, ὅτι καθ' αὑτὰ μὲν ἡ Ὕλη καὶ τὸ Εἶδος Ἀρχαί· κατὰ συμβεβηκὸς δὲ, ἡ Στέρησις.

Ταύτην τὴν στέρησίν τινες τῶν ἀρχαιοτέρων μὴ ἐννοήσαντες, τὴν Φυσικὴν ἀνεῖλον Γένεσιν· ὡσαύτως καὶ τὴν Φθοράν· ἔλεγον γὰρ, εἰ πᾶν ὃ γίνεται, ἢ ἐξ ὄντος, ἢ ἐκ μὴ ὄντος ἀνάγκη γίνεσθαι· οὔτε δ' ἐξ ὄντος τὸ ὂν γίνεται, (ἤδη γάρ ἐστι πρὸ τοῦ γενέσθαι ὄν.) οὔτ' αὖ ἐκ μὴ ὄντος· (δεῖ γὰρ εἶναί τι, τὸ ἐξ οὗ γένοιτ' ἄν· καὶ ὅλως τὸ μὴ ὂν, οὐδέν ἐστιν.) οὔτε Γένεσις ἂν εἴη, οὔτε δὲ Φθορά· εἰς τί γὰρ ἀναλυθήσεται τὸ μὴ ἔκ τινος γεγονός; ὥστε Μῖξις ἐστὶ μόνον, καὶ τῶν μιγέντων Διάλλαξις. Ταῦτα διηπόρουν, τὸ αὐτὸ τῷ γινομένῳ μόνον ἐννοοῦντες ὄν· μὴ ὂν δὲ, τὸ πάντῃ μὴ ὄν.

Ἐχρῆν δ' ἐπιστῆσαι ὅτι διχῶς λέγεται τὸ Ὂν, καὶ τὸ μὴ Ὄν· τὸ μὲν, καθ' αὑτό· τὸ δὲ, κατὰ συμβεβηκός. Οὕτως οὖν ἡ μὲν Ὕλη, κατὰ συμβεβηκὸς λέγεται μὴ ὄν, τῷ μετέχειν τῆς Στερήσεως· ἥτις Στέρησις, καθ' αὑτὸ καλεῖται μὴ ὄν· ἀπουσία γὰρ μόνον τοῦ εἴδους γίνεται καὶ γινώσκεται, καὶ οὐδὲν ἕτερον. Καὶ πάλιν ἡ μὲν Ὕλη καθ' αὑτὸ ὄν, ὡς ὑπα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ... ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑποκείμενον. ἡ δὲ Στέρησις κατὰ συμβεβηκὸς ὄν, ὅτι τῷ ὄντι, τουτέστι τῇ Ὕλῃ συμβέβηκε. Καὶ ἔτι τὸ Ὄν, τό, τε Δυνάμει δηλοῖ καὶ τὸ Ἐνεργείᾳ. Οὕτως οὖν ἡ Ὕλη, δυνάμει μὲν ἐστίν, ὅπερ γίνεται, ἐνεργείᾳ δ' οὔ. Αἰτία δὲ τῇ Ὕλῃ τῆς τοιαύτης φύσεως ἡ Στέρησίς ἐστιν, ἀπουσία οὖσα ἐν τῷ πεφυκότι. Καὶ διὰ μὲν τὸ ἀπουσία εἶναι, ποιοῦσα τὴν Ὕλην μὴ εἶναι Ἐνεργείᾳ ὃ γίνεται· διὰ δὲ τὸ ἐν τῷ πεφυκότι Δυνάμει τὴν Ὕλην εἶναι πᾶν ὃ γίνεται, παράγουσα. Ὥστε ὃ γίνεται, ἐκ τοῦ πῇ μὲν ὄντος, πῇ δὲ μὴ ὄντος γίνεται· καὶ φθείρεται πάλιν εἰς τὸ πῇ μὲν ὄν, πῇ δὲ μὴ ὄν. Οὐδὲ γὰρ μοναχῶς λέγεται τὸ Ὂν καὶ τὸ μὴ Ὄν, καθὼς αὐτὸ οἱ τὴν Γένεσιν ἀναιροῦντες καὶ τὴν Φθοράν· ἀλλὰ δυνατὸν τὸ αὐτὸ καὶ ὂν εἶναι καὶ μὴ ὂν εἶναι. καὶ οὐκ ἂν εἴη συναληθεύουσα ἡ Ἀντίφασις· κατ' ἄλλο μὲν γάρ, ἔσται ὄν, κατ' ἄλλο δὲ μὴ ὄν. Οὐ γὰρ ἡ Ὕλη καὶ ἡ Στέρησις μόνον καὶ ὄντα καὶ μὴ ὄντα ἐστίν, ὥσπερ εἴρηται· ἀλλὰ δὴ καὶ τῶν τελείων εἰδῶν ἕκαστον καὶ ὄν ἐστι καὶ μὴ ὄν. Τί μὲν ὄν, τί δὲ μὴ ὄν· οἷον, ὁ ἄνθρωπος, ὂν μὲν ἐστίν, ἐπεὶ ἄνθρωπος· μὴ ὂν δέ, διότι οὐχ ἵππος· διὰ γὰρ τὸ πλῆθος καὶ αὐτοῖς τοῖς τελείοις εἴδεσιν ἐπεισάγεται τὸ μὴ ὄν.

Γινώσκεται δ' ἡ Ὕλη Φυσικῶς μὲν ἐξ Ἀναλογίας τῆς πρὸς τἆλλα. Καὶ γὰρ ὡς πρὸς Ἀνδριάντα Χαλκός, ἢ πρὸς Κλίνην Ξύλον, ἢ πρὸς ἄλλο τι τῶν ἐχόντων Μορφὴν τεχνητῶν τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν· οὕτως ἔχει ἡ πρώτη Ὕλη πρὸς τὰ Φυσικά. Τοῦτον μὲν οὖν τὸν τρόπον Φυσικῶς ἐκ τῆς ἀναλογίας τῆς πρὸς τἆλλα τὴν Ὕλην καταλαμβάνομεν. Ἐκ δὲ τῆς ἀποφάσεως τῶν εἰδῶν, τελειότερον. Τὰ τελευταῖα γὰρ Εἴδη θεασάμενοι πρὸς ἄλληλα μεταβάλλοντα, καὶ διὰ τοῦτό τινος ὑποκειμένου δεόμενα, πεφυκότος δέχεσθαι παρὰ μέρος τῶν ἀντικειμένων ἑκάτερον, ἐπὶ τὴν ἔννοιαν τῆς Ὕλης ἐρχόμεθα κατ' ἀπόφασιν τῶν εἰδῶν, τὴν εἰς τὸ δεκτικὸν ἀπάγουσαν ὑποκείμενον.

Ταύτην τὴν Ὕλην Μέγα καὶ Μικρὸν ὁ Πλάτων ὠνόμασεν, ἐκ μιᾶς ἀντιθέσεως πάσας αὐτῇ τὰς ἀντιθέσεις προσεῖναι μαρτυρῶν, καὶ Δυάδα δ' ἀόριστον καὶ Ἀσυμμε-

τρίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίαν αὐτὴν ἐκάλεσεν· ἧς μέρη Ὑπερβολή τε καὶ Ἔλλειψις, καὶ τὸ Πολὺ καὶ Ὀλίγον, καὶ ἡ Ἀνισότης, πάντα τῇ Ὕλῃ προσήκοντα, ἅπερ ἴσως διὰ τοῦ μεγάλου καὶ τοῦ μικροῦ αὐτὸς ἐνεδείξατο, ὡς τῆς Ὕλης, ἀσωμάτου μὲν καὶ ἀμεγέθους οὔσης, καὶ διὰ τοῦτο μικρᾶς ἂν λεγομένης· παντὸς δ' ὄγκου καὶ πάσης διαστάσεως αἰτίας οὔσης, καὶ διὰ τοῦτο μεγάλης.

Ταύτην δὴ τὴν Ὕλην τινὲς μὲν Ἀσώματον ἔφασαν· ἄλλοι δὲ Σῶμα κεκλήκασιν ἄποιον· οἱ μέν, διὰ τὸ εἶναι παντελῶς ἀμεγέθη τε καὶ ἀδιάστατον· οἱ δέ, διὰ τὸ οἷον πάρεσιν ὑπάρχειν καὶ ἔκστασιν, καὶ ἀοριστίαν τῆς ἀσωμάτου καὶ ἀμερίστου καὶ νοητῆς Φύσεως. Ὅθεν καὶ σῶμα ταύτην ἐκάλεσαν, οὐ τὸ κατ' εἶδος καὶ λόγον ὑφεστός, καὶ τρισὶ διαστάσεσιν ὡρισμένον εἰδητικῶς· ἀλλὰ τὸ πάντη παρειμένον τε καὶ ἐκλελυμένον, καὶ πανταχόθεν ἀπὸ τοῦ ὄντος ἀπορρέον εἰς τὸ μὴ ὄν.

Ταύτην τὴν Ὕλην καὶ ἄφθαρτον φαντάζονται καὶ ἀγένητον· τὸ μὲν γὰρ Εἶδος καὶ τὴν Στέρησιν ὡς Ἐναντία γίνεσθαί τε καὶ φθείρεσθαι λέγουσι· καὶ τοῦ μὲν Εἴδους παρόντος, ἀπεῖναι τὴν Στέρησιν· τῆς δὲ Στερήσεως παρούσης, ἀπεῖναι τὸ Εἶδος, καὶ οὕτω τὴν Γένεσιν ἐπιτελεῖσθαι καὶ τὴν Φθοράν. Τὴν Ὕλην δ' οὖσαν ὑποκείμενον καὶ κατὰ τὸ δυνάμει οὐσιωμένην, καὶ μετὰ τῆς Στερήσεως εἶναι, καὶ τοῦ Εἴδους ἐνεργείᾳ παρόντος μένειν, καὶ διασώζειν τὸ δυνάμει αὐτῆς ἀναλλοίωτον. Ὅθεν μηδὲ μεταβάλλειν ταύτην ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ποτέ· ἀλλὰ μένουσαν, ὅπερ ἐστί, δέχεσθαι τὸ εἶδος· καὶ τοῦ εἴδους ὑποχωροῦντος μένειν πάλιν, ὅπερ πρότερον ἦν, καὶ οὕτω μήτε γίνεσθαι μήτε φθείρεσθαι.

Ἴσως δὲ πῶς μὲν ἀγένητος ἔσται ἡ Ὕλη καὶ ἄφθαρτος, πῶς δὲ γεννητή, καὶ κατὰ φύσιν φθαρτή. Ἀγένητος μὲν οὖν ἔσται, διὰ τὸ μὴ ἔκ τινος ὑποκειμένου πρώτου καθ' αὑτὸ ἐνυπάρχοντος γίνεσθαι, (αὕτη γὰρ πρῶτόν ἐστιν ὑποκείμενον ἐνυπάρχον καθ' αὑτό.) καὶ ἄφθαρτος πάλιν κατὰ τὸν αὐτὸν λόγον, διὰ τὸ μὴ εἶναί τινα στοιχειώδη ταύτης Ἀρχήν, εἰς ἣν καὶ ἀναλυθήσεται, εἴγε τὸ φθει-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρόμενον φυσικῶς, ἐν τῷ ἀναλύεσθαι οὐκ εἰς τὸ μὴ ὂν φθείρεσθαι λέγεται, ἀλλ' εἰς ἐκεῖνο, ἐξ οὗ πρώτου ἐνυπάρχοντος καὶ μὴ κατὰ συμβεβηκὸς, ἐγεγόνει. Γενητὴ δέ ἐστιν ἡ Ὕλη, κατὰ τὸ ἔχειν αἴτιον, ποιητικόν τε καὶ τελικὸν, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ὑπὸ Θεοῦ παραχθεῖσα, εἰς δεῖγμα καὶ μεγαλωσύνην τῆς ἀγαθότητος αὐτοῦ καὶ δυνάμεως. Ἐπεὶ γοῦν ἡ Ὕλη μὴ οὖσα παρῆκται, πάντως ὑπόκειται καὶ φθορᾷ παντελεῖ· κἂν ὁ πανάγαθος Θεὸς, οὐκ εἰς τὸ μὴ εἶναι, μᾶλλον μὲν οὖν εἰς τὸ κρειττόνως εἶναι μετασκευάσῃ τὴν δημιουργίαν αὐτοῦ.

Ἔτι τὴν Ὕλην οἱ μὲν Πλατωνικοὶ λέγουσιν ἀναλλοίωτον· οἱ δὲ Περιπατητικοὶ, ὅλην δι' ὅλης ἀλλοιωτήν. Ἀλλ' οἱ μὲν, περὶ τῆς ἀποίου λέγοντες Ὕλης τῆς πρώτης, οὐ συγχωροῦσιν ἀλλοιοῦσθαι αὐτήν· ἀλλοιοῦται γὰρ τὸ πεποιωμένον, ἄλλην μὲν ἀποβάλλον, ἄλλην δὲ προσλαμβάνον ποιότητα· τὸ δ' ἄποιον, πῶς ἂν ἀλλοιωθείη; Διὰ τοῦτο καὶ τὴν σύνθετον οὐσίαν εἶδος ἐν ὕλῃ φασίν· ἀλλ' οὐκ ἐξ ὕλης καὶ εἴδους, ὡς μὴ συναλλοιουμένων ἀλλήλοις. Οἱ δ' ἀπὸ τοῦ Περιπάτου τὴν προσεχῆ λαμβάνοντες Ὕλην, ὡς τὰ τέσσαρα Στοιχεῖα, εἰκότως καὶ ἀλλοιοῦσθαι λέγουσι ταύτην ὡς πεποιωμένην, καὶ ἐξ Ὕλης καὶ Εἴδους τὸ Σύνθετον εἶναι, εἰς εἶδος ἕτερον μεταβαλλούσης τῆς τοιαύτης ὕλης καὶ ὑλουμένου τοῦ εἴδους ἐκείνου.

## ΚΕΦΑΛΑΙΟΝ. Γ'

## Περὶ Αἰτίων, καὶ Αἰτιατῶν, ἐν ᾧ καὶ περὶ Τύχης, καὶ Αὐτομάτου.

Τῶν Αἰτίων, τὰ μέν ἐστι Καθ' αὑτά· τὰ δὲ Κατὰ συμβεβηκός. Ὡσαύτως καὶ τῶν ὧν εἰσιν αἴτια, τουτέστι τῶν Αἰτιατῶν, τὰ μὲν, Καθ' αὑτά· τὰ δὲ, Κατὰ συμβεβηκός· οἷον, ποιητικὸν Αἴτιον τοῦ Ἀνδριάντος, Καθ' αὑτὸ μὲν, ὁ Ἀνδριαντοποιός· Κατὰ συμβεβηκὸς δὲ, ὁ Πολύκλειτος, ἢ ὁ λευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ λευκὸς, ἢ ὁ μουσικός· συνέβη γὰρ τῷ Ἀνδριαντοποιῷ, Πολυκλείτῳ καλεῖσθαι τυχὸν, καὶ λευκῷ εἶναι ἢ μουσικῷ. Ὁμοίως δὲ καὶ τοῦ Ἀνδριαντοποιοῦ Αἰτιατὸν Καθ᾽ αὑτὸ μὲν, ὁ Ἀνδριάς· Κατὰ συμβεβηκὸς δὲ, ὁ Μαρκίων ἴσως, ἢ ὁ Τρίπηχυς ἢ ὁ Ἐρυθρός. Συνέβη γὰρ τῷ Ἀνδριάντι ἀνεπλάσθαι διὰ Μαρκίωνα, καὶ καλεῖσθαι Μαρκίωνι, καὶ τριπήχει εἶναι ἢ ἐρυθρῷ.

Τῶν Αἰτίων δὲ καὶ τῶν Αἰτιατῶν ὁμοῦ, τῶντε Καθ᾽ αὑτὰ, καὶ Κατὰ συμβεβηκὸς· τὰ μέν ἐστι Προσεχῆ, τὰ δὲ Πόῤῥω· οἷον, Προσεχὲς Αἴτιον καθ᾽ αὑτὸ τοῦδε τοῦ Ἀνδριάντος, ὅδε ὁ Ἀνδριαντοποιός· Πόῤῥω δὲ, ὁ ἁπλῶς Ἀνδριαντοποιὸς, καὶ ἔτι Πόῤῥω, ὁ Τεχνίτης. Προσεχὲς Αἰτιατὸν Καθ᾽ αὑτὸ τοῦδε τοῦ Ἀνδριαντοποιοῦ, ὅδε ὁ Ἀνδριάς· Πόῤῥω δὲ, ὁ ἁπλῶς Ἀνδριάς· καὶ ἔτι, ἡ Εἰκών. Προσεχὲς Αἴτιον Κατὰ συμβεβηκὸς, ὁ Πολύκλειτος· Πόῤῥω δὲ, ὁ Ἄνθρωπος· καὶ ἔτι, τὸ ζῶον, ἢ ὁ λευκὸς· καὶ ἔτι ὁ κεχρωματισμένος. Καὶ τὸ μὲν λευκὸν, καὶ ὅλως τὸ κεχρωματισμένον, κατὰ συμβεβηκὸς ὑπάρχει τῷ Πολυκλείτῳ· ὁ δ᾽ ἄνθρωπος καὶ ὅλως τὸ ζῶον καθ᾽ αὑτό· τῷ δὲ Ἀνδριάντι, οὐ μόνον ὁ λευκὸς καὶ ὁ κεχρωματισμένος, ἀλλὰ καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῶον, κατὰ συμβεβηκός εἰσιν αἴτια· εἰ γὰρ ὁ Πολύκλειτος αἴτιον κατὰ συμβεβηκὸς τοῦ Ἀνδριάντος ἐστὶ, τῷ Πολυκλείτῳ δὲ καθ᾽ αὑτὸ ὑπάρχει ὁ ἄνθρωπος καὶ τὸ ζῶον· καὶ ὁ ἄνθρωπος ἄρα καὶ τὸ ζῶον κατὰ συμβεβηκός εἰσιν αἴτια τοῦ Ἀνδριάντος. Προσεχὲς αἰτιατὸν κατὰ συμβεβηκὸς ὁ Μαρκίων· Πόῤῥω δὲ, ὁ ὠνομασμένος. Καὶ πάλιν Προσεχὲς αἰτιατὸν, τόδε τὸ τρίπηχυ· Πόῤῥω δὲ, ὁ ἁπλῶς τρίπηχυς, καὶ ἔτι ὁ μεμεγεθισμένος· ἀλλὰ τὸ μὲν τρίπηχυ καὶ τὸ μεμεγεθισμένον, κατὰ συμβεβηκὸς τῷ Μαρκίωνι· τὸ ὠνομασμένον δὲ, καθ᾽ αὑτό. Πάντα δ᾽ ὁμοῦ ταῦτα καὶ τὰ τοιαῦτα, κατὰ συμβεβηκὸς Αἰτιατὰ τοῦ Ἀνδριαντοποιοῦ. Τὰ καθ᾽ αὑτὸ δὲ καὶ τὰ κατὰ συμβεβηκὸς Αἴτια μὴ μόνον ἀπολελυμένως, ἀλλὰ καὶ συμπεπλεγμένως δύναται λέγεσθαι· οἷον, αἴτιον τοῦ ἀνδριάντος οὐ μόνον ὁ ἀνδριαντοποιὸς ῥηθείη ἂν ἰδικῶς, καὶ

πάλιν

πάλιν ἰδικῶς ὁ Πολύκλειτος· ἀλλὰ καὶ κατὰ συμπλοκὴν, ὁ Πολύκλειτος ἀνδριαντοποιός. ὡσαύτως δὲ καὶ τὰ αἰτιατά.

Πάντων δὲ τῶν εἰρημένων Αἰτίων καὶ Αἰτιατῶν, τῶν τε Καθ' αὑτὸ καὶ τῶν Κατὰ συμβεβηκὸς, τῶντε Προσεχῶν καὶ τῶν Πόῤῥω, τὰ μὲν, Δυνάμει λέγεται· τὰ δὲ Ἐνεργείᾳ. Τὸ δυνάμει δὲ νῦν, οὐ τὸ οἷόντε γενέσθαι δηλοῖ, ἀλλ' ἁπλῶς τὸ μὴ ἐνεργοῦν, μήτ' αὖ ἐνεργούμενον. Οὐκ ἐνεργεῖ δὲ καὶ τὰ οἷάτ' ἐνεργῆσαι, καὶ τὰ πεπαυμένα τοῦ ἐνεργεῖν. Ὥσπερ πάλιν οὐκ ἐνεργεῖται, καὶ τὰ οἷάτε ἐνεργηθῆναι καὶ τὰ πεπαυμένα τοῦ ἐνεργεῖσθαι. Τὰ μὲν οὖν Ἐνεργείᾳ Αἴτια καὶ Αἰτιατὰ, ἅμα τέ ἐστι καὶ πάλιν ἅμα οὐκ ἔστιν· ἤγουν συνεισφέρει τε ἄλληλα καὶ συναναιρεῖ· ἅμα γάρ ἐστιν ὁ οἰκοδομῶν Οἰκοδόμος, καὶ τὸ οἰκοδομούμενον Οἴκημα· καὶ μὴ ὄντος τοῦ οἰκοδομοῦντος, οὐδὲ τὸ οἰκοδομούμενόν ἐστιν· ὡσαύτως καὶ τοῦ οἰκοδομουμένου μὴ ὄντος, οὐκ ἔστιν οὐδ' ὁ οἰκοδομῶν. Τὰ δὲ Δυνάμει, οὐκ ἀεὶ ἅμα ἐστὶ καὶ ἅμα οὐκ ἔστι· δυνατὸν γὰρ ἢ τὴν Οἰκίαν διαμένειν, τὸν δ' Οἰκοδόμον θανεῖν· ἢ τοῦτον μὲν ζῆν ἔτι, τὴν δ' Οἰκίαν καταπεσεῖν. Χρὴ δ' ἀεὶ τὸ ἀκρότατον, ἤτουν, τὸ κυριώτατον Αἴτιον ἑκάστου τῶν πραγμάτων ζητεῖν· οἷον, ὁ ἄνθρωπος οἰκοδομεῖ, διότι οἰκοδόμος· οἰκοδομεῖ δ' ὁ οἰκοδόμος κατὰ τὴν οἰκοδομικήν· ἡ ἄρα Οἰκοδομική, πρότερον καὶ κυριώτερον Αἴτιον. Ἔτι καταλλήλως τοῖς Αἰτιατοῖς ἀποδοτέον τὰ Αἴτια· οἷον τοῖς προσεχέσι, τὰ προσεχῆ· καὶ τοῖς πόῤῥω, τὰ πόῤῥω· καὶ τὰ μὲν κατὰ τὸ ἐνεργείᾳ, τοῖς κατὰ τὸ ἐνεργείᾳ· τὰ δὲ κατὰ τὸ δυνάμει, τοῖς κατὰ τὸ δυνάμει.

Οὐκ ἄλλοις δὲ τῶν Αἰτιατῶν, ἀλλὰ τῶν Αἰτίων ἐνθεωροῦνται· οἷον, ἄλλῳ μὲν Αἰτιατῷ ποιητικὸν Αἴτιον· ἄλλῳ δὲ τελικὸν, καὶ ἑτέρῳ αὖ ἕτερον· ἀλλὰ πολλὰ τῷ ἑνὶ, μᾶλλον δ' ἑκάστῳ τὰ πάντα· κἂν ποτε συνέβοι τινὰ τῶν Αἰτίων εἰς ἕν. Ἐπὶ μὲν γὰρ τῆς οἰκίας Αἴτιον ὁ οἰκοδόμος ποιητικὸν, ἢ μᾶλλον ἡ οἰκοδομική. Τελικὸν δὲ, ἡ ἀπαλέξησις τῶν Ὄμβρων, τῶν Ἀνέμων καὶ τῶν Καυμάτων. καὶ Ὑλικὸν μὲν, οἱ Λίθοι, τὰ Ξύλα καὶ ὁ Πηλός. Εἰδι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κὸν δὲ, τὸ Σχῆμα καὶ ἡ Μορφὴ, καὶ ὅλως τὸ Εἶδος καθ᾽ ὃ γίνεται. Εἰ δέ τις ζητοίη καὶ Ὀργανικὸν, ευρήσει τὸν Πρίονα, τὸ Σκέπαρνον, τὴν Κάθετον, καὶ ἄλλα τινά. Εἰ δὲ καὶ Παραδειγματικὸν, ἔστιν ἡ κατὰ νοῦν προδιατύπωσις τῆς οἰκίας καὶ προδιαμόρφωσις.

Ἐπὶ δὲ τινων Αἰτιατῶν τινα τῶν Αἰτίων ἀλλήλοις συνέρχεται εἰς ταυτό. Τὸ αὐτὸ γὰρ ἐν Φυσικοῖς καὶ Εἶδός ἐστι, καὶ Τέλος· (Ἐπείπερ ἡ Φύσις, ἕνεκα τοῦ Εἴδους μηχανᾶται πάντα τὰ προηγούμενα.) καὶ ἔστι τὸ Εἶδος καὶ τὸ Τέλος, δύο
1 μὲν κατὰ τὸν λόγον· ἓν δὲ κατ᾽ ἀριθμὸν, καὶ τὸ ὑποκείμενον. Ὥστε εἰς ἓν ἔρχεσθαι δύναταί ποτε τὸ εἰδικὸν Αἴτιον καὶ τὸ Τελικόν. Ἐνίοτε δὲ ταυτὸ γίνεται τούτοις καὶ τὸ Ποιητικὸν, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ, μὴ δὲ τῷ ἀριθμῷ· ὅμως δ᾽ ἓν τῷ εἴδει. Ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ·
1 καὶ ἔστι τῷ γεννωμένῳ, ποιητικόν πως Αἴτιον ὁ Πατὴρ, ταυτὸν ὢν αὐτῷ κατὰ τὸ εἶδος καὶ τὸν λόγον τῆς οὐσίας. Τινὰ δὲ καὶ κατὰ τὸν αὐτὸν τρόπον ἀλλήλων ἐστὶν Αἴτια· ὡς τὸ Πονεῖν τῆς Εὐεξίας, ἡ Εὐεξία τε τοῦ Πονεῖν. Οὐ μόνον γὰρ τὸ μὲν Πονεῖν Αἴτιόν ἐστι τῆς Εὐεξίας ποιητικὸν, ἡ δ᾽ Εὐε-
2 ξία τελικὸν Αἴτιον τοῦ Πονεῖν, ἐπείπερ ἕνεκα τῆς Εὐεξίας παραλαμβάνεται τὸ Πονεῖν· ἀλλὰ δὴ καὶ ἡ Εὐεξία ποιητικὸν Αἴτιον γινώσκεται τοῦ Πονεῖν· εἴγε τοῦ εὐεκτοῦντός ἐστι τὸ δύνασθαι πονεῖν τε καὶ ἐνεργεῖν. Ὥστε τὸ αὐτὸ καὶ ἓν δύναται πλεοναχῶς τε Αἴτιον λέγεσθαι, καὶ κα-
2 τὰ τὸν αὐτὸν τρόπον εὑρίσκεσθαί που καὶ Αἴτιον ὁμοῦ καὶ Αἰτιατόν.

Λέγουσι δὲ καὶ τὴν Τύχην καὶ τὸ Αὐτόματον Αἴτιά τινα οἱονεὶ ποιητικὰ, πλὴν κατὰ συμβεβηκός. Τύχη γὰρ καὶ Αὐτόματον αἴτιά τινα κατὰ συμβεβηκὸς ἐν τοῖς ἕνε-
3 κά του γινομένοις· καὶ τούτων ἐν τοῖς Ἐπ᾽ ἔλαττον· τοῦ γὰρ Ἐνδεχομένου διαιρουμένου τριχῶς, εἴστε τὸ Ἐπὶπολὺ, καὶ τὸ Ἐπίσης, καὶ τὸ Ἐπ᾽ ἔλαττον· ἡ Τύχη καὶ τὸ Αὐτόματον ἐν τοῖς Ἐπ᾽ ἔλαττον φαίνονται· καὶ ἡ μὲν Τύχη ἐν τοῖς κατὰ προαίρεσιν· οἷον, εἴ τις ἐπὶ τῷ κατα-
3 βαλεῖν θεμέλιον σκάπτων, ἐνέτυχε θησαυρῷ· τὸ δ᾽ Αὐτόματον, ἐν τοῖς κατὰ Φύσιν· οἷον, εἴποθεν λίθος μή τι-

νος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος ῥίψαντος αὐτὸν, μόνος κατενεχθεὶς ἐπάταξεν ἄνθρωπον, ἢ ἵππος ὑπὸ τῶν πολεμίων ληφθεὶς καὶ τὰς προτέρας νομὰς φαντασθεὶς εἰς τὸν οἰκεῖον Δεσπότην ἦλθε τοὺς πολεμίους φυγών· Φύσις γὰρ καὶ πᾶσα ἡ ἄλογος καλεῖται ζωή. Ὅθεν τὰ μὲν ἐπισυμβαίνοντα ταῖς ἀλόγοις ἐνεργείαις καὶ φυσικαῖς, ἀπὸ Ταυτομάτου φασὶ· καὶ τὸ προηγησάμενον αἴτιον, λέγουσιν Αὐτόματον. Ὅσα δὲ ταῖς κατὰ προαίρεσιν ἐνεργείαις ἐπισυμβαίνει, ταῦτ' ἀπὸ Τύχης· καὶ Τύχην, τὴν παρυφισταμένην αἰτίαν τῇ προαιρέσει καὶ τοῖς κατὰ προαίρεσιν. Ἀλλ' ἀγαθὴν μὲν τύχην, ὅταν τι ἀγαθὸν ἀποβῇ· φαύλην δ', ὅταν φαῦλον. Ὁπόταν δὲ τὰ ἀποβαίνοντα, μέγεθος ἔχωσιν, Εὐτυχίαν καὶ Δυστυχίαν μεγάλην φασί. Τὸ δ' εὐτυχεῖν καὶ τὸ δυστυχεῖν ἐν τοῖς δυναμένοις πράττειν γνωρίζεται· καὶ γὰρ εὐπραγεῖν ἐστι καὶ δυσπραγεῖν. Ὅθεν οὐδὲν ἄψυχον ἢ Θηρίον ἢ Παιδίον εὐτυχεῖν λέγεται κυρίως ἢ δυστυχεῖν, εἰ μὴ καθ' ὁμοιότητα, καθὼς ἔφη Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ Βωμοὶ, ὅτι τιμῶνται· οἱ δ' ὁμόζυγες αὐτῶν καταπατοῦνται. Συνάγεται δὲ καὶ ἡ Τύχη καὶ τὸ Αὐτόματον εἰς τὸ γενικῶς ὠνομασμένον Αὐτόματον. Τοῦτο δὲ τὸ κοινῶς Αὐτόματον, οὕτω κέκληται ὡς αὐτὸ μάτην ὅσον ἐπὶ τῷ ἀκολουθοῦντι ἀποτελέσματι προγινόμενον· ὅσον γὰρ ἐπὶ τῇ εὑρέσει τοῦ θησαυροῦ μάτην ἡ σκάψις προγέγονεν, ἐπεὶ διὰ τὴν τοῦ θεμελίου καταβολήν. Καὶ ἡ τοῦ λίθου καταφορὰ, καὶ ἡ τοῦ ἵππου ἐκ τῶν πολεμίων φυγὴ, μάτην ὅσον ἐπὶ τοῖς παρηκολουθηκόσιν ἀποτελέσμασι προγεγόνασιν· οὔτε γὰρ ὁ λίθος ἕνεκα τοῦ πατάξαι κατήνεκται· οὐθ' ὁ ἵππος τοὺς πολεμίους ἐκπέφευγεν, ἕνεκα τοῦ πρὸς τὸν ἴδιον Δεσπότην ἐλθεῖν· ἀλλ' ὁ μὲν, ἵνα τὸν οἰκεῖον καταλάβῃ τόπον, τὸ κάτω καὶ μέσον, ἤγουν ὁ λίθος· (πάντα γὰρ τὰ βάρη αὐτοφυῶς ἐπὶ τὸ κέντρον ὁρμᾷ.) ὁ δ' ἵππος ἵνα πρὸς τὰς συνήθεις ἔλθῃ νομάς. Αἴτιον δὲ ὅμως τὸ πᾶν Αὐτόματον λέγεται, διότι μὴ προηγησαμένου τοῦδε, οὐκ ἂν τὸ τοιοῦτον τέλος ἐπηκολούθησεν. Αἴτιον μέντοι τοῦ τοιούτου τέλους, κατὰ συμβεβηκὸς, ἀλλ' οὐ καθ' αὐτό· οἷον, ἡ σκάψις

ψις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψις αἴτιον μὲν ἦν καθ᾽ αὑτὸ τῆς τοῦ θεμελίου καταβολῆς· συνέβη δὲ γενέσθαι καὶ τῆς τοῦ θησαυροῦ εὑρέσεως αἴτιον, γενομένη μάτην ὅσον ἐπὶ τῇ εὑρέσει τοῦ θησαυροῦ. Μάτην γὰρ λέγεται πᾶν τὸ μὴ κατὰ τὸν προηγησάμενον τῆς ἐνεργείας σκοπόν. Τοῦτο δὲ διαιρεῖται τριχῶς. Ἢ γὰρ ὅταν οὐδ᾽ ὁ, τιοῦν τέλος ἐπακολουθήσῃ τῇ πράξει, Μάτην πεπρᾶχθαι ταύτην φαμέν· ὡς εἴγε καθάρσεως ἕνεκα πιών τις καθάρσιον, μὴ καθαρθείη. Ἢ ὅταν ἄλλο τι τέλος ἀκολουθήσῃ παρὰ τὸ σκοπούμενον, καὶ οὗ ὁ πράττων στοχάζεται· ὡς εἴτις ἀφικόμενος ὠνήσασθαί τι ἐν ἀγορᾷ, φίλῳ περιτύχῃ καὶ διημερεύσῃ μετ᾽ αὐτοῦ. Ἢ ὅταν γένηται μὲν καὶ τὸ τέλος, οὗ ἕνεκεν ἡ πρᾶξις, προσεπιγένηται δὲ καί τι ἕτερον· ὡς εἴ τις ἐπὶ τῷ λούσασθαι πορευθεὶς, ἐπὶ τὸ βαλανεῖόν τε χρεωφειλέτην εὑρὼν, λουσάμενος ἀπέλαβε καὶ τὸ δάνειον· ὅσον γὰρ ἐπὶ τῷ ἀπολαβεῖν τὸ δάνειον, Μάτην εἰς τὸ βαλανεῖον ἀφίκετο· καὶ γὰρ οὐκ ἦν ὁ σκοπὸς τῆς εἰς τὸ βαλανεῖον ἀφίξεως, ἡ τοῦ χρέους ἀπόληψις.

Ἀλλ᾽ ἐπείπερ Αἴτιον τοῦ Υἱοῦ ποιητικόν πως εἶναι τὸν Πατέρα, φθάσας ὁ λόγος ἀνωτέρω διέλαβεν, ἰστέον ὡς ἐπὶ τῆς ὑλικῆς Γεννήσεως Αἴτιον ἴσως ἂν λεχθείη ποιητικὸν ὁ Πατὴρ, εἰ καὶ μὴ κυρίως· Ὀργανικὸν γὰρ μᾶλλόν ἐστι καὶ Συναίτιον, μὴ παιδοποιῶν ὅτε βούλεται, μόνον δ᾽ ὁπόταν κινῇ τὸ παντουργὸν ἄνωθεν βούλημα. Ἐπὶ μέντοι τῆς παντάπασιν ἀΰλου Γεννήσεως, ἡ θεία δ᾽ αὕτη ἐστὶν, οὐδόλως ποιητικὸν Αἴτιον ὁ Πατὴρ τοῦ Υἱοῦ, ἀλλ᾽ οὐσιῶδες εἰλικρινῶς. Ἐκεῖ γὰρ τὸ ποιοῦν, ἔνθα καὶ τὸ ποιούμενον, ἤτοι, τὸ πάσχον, ὅπερ ἐστὶν ἡ Ὕλη. Ὅπου δὲ τὸ ποιούμενον οὐκ ἔστι, πῶς ἐκεῖ τὸ ποιοῦν; Εἴγε τὸ ποιοῦν, ποιούμενον ποιεῖ· καὶ τὸ ποιούμενον, ὑπὸ ποιοῦντος ποιεῖται. Τῶν Πρός τι καὶ γὰρ ταῦτα, καὶ συνεισφέρει ἄλληλα, καὶ ἀλλήλοις συναναιρεῖται. Κυρίως δὲ ποιητικὸν Αἴτιον ἁπάσης κτίσεως, αἰσθητῆς τε καὶ νοητῆς, ὁ Θεός. Καὶ αὐτοὶ γὰρ οἱ Ἄγγελοι πρὸς τὰ ὑπὸ τὴν αἴσθησιν συγκρινόμενοι, λέγονται Ἄϋλοι· ἐπεὶ μόνον τὸ θεῖον ἄϋλον ὄντως, καὶ διὰ τοῦτο καὶ μόνον ἀγένητον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΚΕΦΑΛΑΙΟΝ. Δʹ.

### Περὶ Κινήσεως, καὶ Ἠρεμίας, ἐν ᾧ καὶ περὶ Ἐντελεχείας, καὶ τοῦ Δυνάμει, καὶ Ἐνεργείᾳ.

Λέγεται μὲν καὶ ἡ τελεία ἐνέργεια Κίνησις, κατὰ τὴν ἀπὸ τῆς οὐσίας πρὸς τὸ ἐνεργεῖν διάστασιν· οὕτω γὰρ καὶ νοερὰν λέγομεν Κίνησιν, καὶ τὴν λογικὴν ψυχὴν κινεῖσθαι φαμὲν βουλευομένην, καὶ διανοουμένην, καὶ θεωροῦσαν, καὶ κρίνουσαν. Ἀλλ' ἐκείνη μὲν ἡ Κίνησις ἐνέργειά ἐστιν ἀμετάβλητος ἀεὶ ὡσαύτως ἔχουσα, καὶ τῶν τελείων οὖσα καθ' ὃ τέλεια· τῶν γὰρ ἐνεργείᾳ ὄντων, ἡ τοιαύτη ἐστὶ Κίνησις. Ἡ δ' ἐνταῦθα παραδιδομένη Κίνησις, μεταβολή ἐστιν ἀεὶ ῥέουσα· καὶ τῶν ἀτελῶν ἐνέργεια, καθ' ὃ ἀτελῆ· διότι τῶν δυνάμει καὶ τῶν μήπω ὄντων, ἀλλ' ἐσομένων αὕτη ἡ Κίνησις. Ὅθεν καὶ οὕτω ταύτην ὁρίζονται· Κίνησίς ἐστιν, ἡ τοῦ Δυνάμει ὄντος Ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν· ἤγουν ἡ τοῦ Δυνάμει ὄντος Ἐνέργεια, καθ' ὃ δυνάμει ἐστίν. Ἐντελέχεια δὲ, προηγουμένως μὲν, ἡ τοῦ ἐντελοῦς ἔχεια λέγεται, ἤγουν ἡ κατὰ τὸ ἐντελὲς Ἕξις, ἡ τελειότης τοῦ πράγματος, καθ' ἣν τὸ ἐντελὲς ἔχει τὸ πρᾶγμα, καθ' ἣν τέλειόν ἐστιν εἶδος τὸ πρᾶγμα. Διὸ καὶ Ἄνθρωπος ἐντελεχείᾳ, οὐ τὸ κατὰ τὴν μήτραν οἰκονομούμενον ἔμβρυον καὶ διοργανούμενον καὶ τελεσιουργούμενόν ἐστιν· ἀλλ' ἐκεῖνος ἐντελεχείᾳ ἐστὶν ἄνθρωπος, ὁ ἀπαρτισθεὶς καὶ ἀποτεχθεὶς, ὡς κατὰ τὸ ἀνθρώπειον εἶδος τελειωθείς. Ὅθεν καὶ τὴν Ψυχὴν Ἐντελέχειαν ὁρίζονται τοῦ Φυσικοῦ καὶ ὀργανικοῦ καὶ Δυνάμει ζωὴν ἔχοντος Σώματος, οὐχ ὅτι ἐνέργειά ἐστιν ἡ Ψυχὴ, ἀλλ' ὅτι κατ' ἐκείνην ἡ τελειότης αὐτοῦ. Καλεῖται δ' Ἐντελέχεια καὶ ἡ τοῦ τελείου Ἐνέργεια· ταυτὸν δ' εἰπεῖν, ἡ τελεία Ἐνέργεια. Τῶν γὰρ τελείων, καὶ αἱ Ἐνέργειαι τέλειαι· ὥσπερ τῶν ἀτελῶν, ἀτελεῖς. Ἐντελέχεια δὲ λέγεται ἡ τελεία ἐνέργεια, ὡς τὸ ἐντελὲς ἔχουσα καὶ αὐτή· καὶ ὡς ἐντελεστικὴ τῆς ἐχείας, ἤγουν τελειωτικὴ τῆς Ἕξεως. Καὶ γὰρ ἡ κατὰ τὴν ἕξιν Ἐνέργεια, τελειότης ὑπάρχει τῆς Ἕξεως. Καταχρηστικῶς δὲ καὶ ἡ ἁπλῶς

Ἐνέργεια

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐνέργεια λέγεται Ἐντελέχεια· καθ' ὅσον ἕκαστον ἐνεργοῦν ἀποδίδωσι τὰς οἰκείας ἐνεργείας, κατὰ τὴν ἑαυτοῦ φύσιν, εἴτε τελεία ἡ φύσις, εἴτε καὶ ἀτελής. Κατὰ τοῦτο τὸ σημαινόμενον καὶ ἡ Κίνησις Ἐντελέχεια λέγεται, ἤγουν ἁπλῶς ἐνέργεια· τοιαύτη δ' ἂν εἴη πάντως, ὁποῖον καὶ τὸ Δυνάμει· τὸ δὲ Δυνάμει ἀτελὲς, καὶ ἡ ἐνέργεια αὐτοῦ ἀτελής. Ὥστε ἡ κίνησις, ἐνέργεια εἴη ἂν ἀτελής· ἐνέργειά τε τοῦ δυνάμει, οὐχ ὅτι ἐνεργεῖ κατ' αὐτὴν τὸ δυνάμει, ἀλλ' ὅτι ἐνεργεῖται. Τὸ γὰρ ἐνεργείᾳ ὂν, ἐκεῖνο δύναται ἐνεργεῖν, καθ' ὃ ἐνεργείᾳ ἐστὶν, ὥσπερ τὸ Πῦρ θερμαίνει, θερμὸν ὂν ἐνεργείᾳ. Τὸ δὲ δυνάμει, καθ' ὃ δυνάμει, πάσχει, οὐκ ἐνεργεῖ, καθὼς τὸ Ὕδωρ θερμαίνεται, δυνάμει τυγχάνον θερμόν. Εἰ δὲ καὶ θερμαινόμενον ἔτι τὸ ὕδωρ θερμαίνει καὶ αὐτὸ, ἀλλὰ καθ' ὃ μὲν ἐπιπλέον δύναται θερμανθῆναι, κατὰ τοῦτο θερμαίνεται, δυνάμει ὂν ἔτι θερμὸν κατ' αὐτό· καθ' ὃ δὲ μετέχει θερμότητος, κατὰ τοῦτο θερμαίνει, ἐνεργείᾳ ὂν θερμὸν κατ' αὐτό. Τοίνυν ἡ Κίνησις, παθητική τις ἐνέργεια τοῦ δυνάμει γινώσκεται. Καὶ γὰρ ἐπείπερ ἐξ ὕλης καὶ εἴδους συνέστηκε τῶν ὑπὸ γένεσιν ἕκαστον, ἔχει καὶ τὸ Δυνάμει καὶ τὸ Ἐνεργείᾳ, καὶ τὸ κινεῖσθαι καὶ τὸ κινεῖν· ταυτὸν δ' εἰπεῖν Πάσχειν τε καὶ Ποιεῖν. Καὶ κατὰ μὲν τὸ Εἶδος, ἔχει τὸ Ἐνεργείᾳ· κατὰ δὲ τὴν Ὕλην, τὸ Δυνάμει. Καὶ τοῦ μὲν Ἐνεργείᾳ ἐστὶ, τὸ ἐνεργεῖν, καὶ κινεῖν, καὶ ποιεῖν· τοῦ δυνάμει δὲ, τὸ ἐνεργεῖσθαι, καὶ κινεῖσθαι, καὶ πάσχειν. Ὅθεν ἡ Κίνησις ἐνέργεια τοῦ δυνάμει λεγομένη, πάθος μᾶλλόν ἐστιν. Ἐνέργεια δὲ λέγοιτ' ἂν ἴσως, καὶ διότι τὸ κινούμενον ὑπὸ τῆς ἐν αὐτῷ Φύσεως ἔχει προσεχῶς τὸ κινεῖσθαι, κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα· κἂν τὴν πρώτην τοῦ κινεῖσθαι ἀρχὴν ἔξωθεν λαμβάνοι.

Κυρίως δὲ πᾶν τὸ κινούμενον, καθ' ὃ κινεῖται, πάσχει, οὐκ ἐνεργεῖ. Ὃ δὲ μὴ πάσχει, οὐδὲ κινεῖται. Διότι τὸ μὲν Δυνάμει, καθ' ὃ Δυνάμει, κινεῖται μεταβαῖνον ἐπὶ τὸ Ἐνεργείᾳ· καὶ ἡ Κίνησις, ὁδός τίς ἐστιν ἀπὸ τοῦ Δυνάμει ἐπὶ τὸ Ἐνεργείᾳ διαβιβάζουσα. Τὸ δ' Ἐνεργείᾳ καθ' ὃ Ἐνεργείᾳ, μένει ἀκίνητον. Δυνάμει μὲν οὖν ἐστὶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὃ δύναται καὶ πέφυκε γενέσθαι τοῦτο, ὃ λέγεται δυνάμει· Ἐνεργείᾳ δὲ, ὃ ἤδη ἐστὶ τοῦτο, ὃ λέγεται ἐνεργείᾳ· οἷον ὁ σχολαστικὸς Ζωτιμίων, ὃς λευκὸς ὢν, ὑπὸ νοσήματος ἐμελάνθη χρονίου, πρότερον ἦν ἐνεργείᾳ λευκός· δυνάμει δὲ μέλας, ἐπείπερ ἠδύνατο γενέσθαι μέλας. Καθ᾽ ὃ μὲν οὖν λευκὸς, οὐκ ἂν ἐλέγετο κινεῖσθαι· καθ᾽ ὃ δὲ μέλας, ἐπεὶ δυνάμει ἐτύγχανεν, ὅτ᾽ ἤρξατο μελαίνεσθαι, καὶ ἀπὸ τοῦ δυνάμει μέλας, εἰς τὸ ἐνεργείᾳ μέλας γενέσθαι περιήγετο, τότ᾽ ἂν ἐπὶ τὸ μέλαν ἐλέγετο κινεῖσθαι· καὶ ἦν ἡ μέλανσις, κίνησις, ἐνέργεια οὖσα τοῦ δυνάμει μέλανος Ζωτιμίωνος, κατὰ τὸ Δυνάμει, τουτέστι καθ᾽ ὃ ἐπεφύκει γενέσθαι μέλας· ὅτε δ᾽ Ἐνεργείᾳ γέγονε μέλας, οὐκ ἔτι κατὰ τὸ μέλαν κινούμενος ἦν, ἀλλ᾽ ἕστηκεν ἐν τῷ μέλανι. Τὸν αὐτὸν τρόπον οὖν, καὶ πᾶν Ἐνεργείᾳ ὂν, οὐ κινεῖται καθ᾽ ὃ ἐστιν Ἐνεργείᾳ. Ἀλλ᾽ οὐδὲ καθ᾽ ὃ δυνάμει λέγοιτ᾽ ἄν τι κινεῖσθαι, μένον δυνάμει μόνως, καὶ μόνῃ ἐπιτηδειότητι γνωριζόμενον· ἀλλ᾽ ὅταν ἀπὸ τοῦ Δυνάμει μεταβάλλῃ εἰς τὸ Ἐνεργείᾳ, μένον ἔτι Δυνάμει, τότε λέγεται κινεῖσθαι. Διά τοι τοῦτο πρόσκειται τῷ τῆς κινήσεως ὁρισμῷ, τὸ, ᾗ τοιοῦτόν ἐστιν, ἤγουν τὸ, καθ᾽ ὃ Δυνάμει ἐστὶν, ἵνα κἂν τῷ ὑποκειμένῳ ταυτὸν ᾖ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, κατὰ τὸ δυνάμει γινομένη ἡ κίνησις θεωρᾶτο. καὶ ἕως ἂν ἔτι περισῴζηται τὸ δυνάμει. Τούτου γὰρ τελέως ἀπολομένου, κίνησις οὐκ ἔστι. Τὸ γὰρ ἐνεργείᾳ γενόμενον, καθ᾽ ὅσον ἐνεργείᾳ, οὐκ ἐν κινήσει ἐστίν· ἐν στάσει δὲ καὶ μονῇ. Κἂν τούτῳ ἡ Κίνησις διαφέρει ἂν τοῦ Ἐνεργείᾳ τε καὶ τῆς τελείας Ἐνεργείας· ὅτι ἐπὶ μὲν τούτων ἔφθαρται τὸ Δυνάμει· ἐπὶ δὲ τῆς Κινήσεως, μένοντος τοῦ Δυνάμει, ἡ τῆς κινήσεως ἐπιτελεῖται Ἐνέργεια.

Πάλιν Κίνησίς ἐστιν, Ἐντελέχεια τοῦ κινητοῦ, ᾗ κινητόν· ἤγουν Ἐνέργεια παθητικὴ τοῦ δυναμένου καὶ πεφυκότος κινηθῆναί τε καὶ μεταβαλεῖν ἀπὸ τοῦδε εἰς τόδε, καθ᾽ ὃ δύναται καὶ πέφυκεν, οὐ καθ᾽ ὃ ἤδη ἐστίν. Εἰ δὲ τοῦ κινητοῦ ἐστι τοιαύτη Ἐντελέχεια ἡ Κίνησις, δῆλον ὡς οὐκ ἐν τῷ κινοῦντι, ἀλλ᾽ ἐν τῷ κινουμένῳ ἐστίν. Εἰ δὲ ἡ ὅρασις οὐκ ἐν τῷ ὁρωμένῳ, ἀλλ᾽ ἐν τῷ ὁρῶντι τυγχάνουσα, ἐν τῷ κινοῦντι

εἶναι

εἶναι καὶ ποιοῦντι δοκεῖ· ἀλλ' ὑπὸ τῆς λέξεως ἡ ἀπάτη, προφερομένης μὲν ἐνεργητικῶς, οὐδὲν δ' ἧττον δηλούσης πρᾶγμα παθητικόν. Πᾶν γὰρ τὸ αἰσθανόμενον, πάσχει καὶ οὐ ποιεῖ. Διὸ καὶ ἡ ὅρασις ἐν τῷ ὁρῶντι οὖσα, ἐν τῷ πάσχοντι καὶ κινουμένῳ ἐστὶ, καθὼς καὶ αἱ λοιπαὶ τῶν Αἰσθήσεων ἐν τοῖς αἰσθανομένοις εἰσὶν, οὐχ ὡς ἐν κινοῦσί τε καὶ ποιοῦσιν, ἀλλ' ὡς ἐν κινουμένοις καὶ πάσχουσι.

Καὶ ἄλλος δὲ Λόγος ἀποδίδοται τῆς Κινήσεως, δεικνύων αὐτὴν τοῦ κινοῦντος καὶ ποιοῦντος οὖσαν κυρίως Ἐνέργειαν, καὶ ἀπ' αὐτοῦ μὲν ἀρχομένην τε καὶ ἐνδιδομένην· ἐνστηριζομένην δὲ καὶ ἐμμένουσαν τῷ κινουμένῳ καὶ πάσχοντι. Ὁ δὲ λόγος τοιοῦτος· Κίνησίς ἐστιν ἐνέργεια τοῦ κινοῦντος ἐν τῷ κινουμένῳ· καὶ γὰρ ἡ Οἰκοδόμησις Ἐνέργειά ἐστι τοῦ οἰκοδομοῦντος ἐν τῷ οἰκοδομουμένῳ· καὶ ἡ Ἰάτρευσις Ἐνέργεια τοῦ ἰατρεύοντος ἐν τῷ ἰατρευομένῳ. Ἄλλο δέ ἐστιν Οἰκοδόμησις καὶ Ἰάτρευσις· καὶ ἄλλο τὸ Ὠκοδομῆσθαι καὶ Ἰατρεῦσθαι· ἡ μὲν γὰρ Οἰκοδόμησις καὶ Ἰάτρευσις, ἐν τῷ Γίνεσθαι τὸ εἶναι ἔχουσι· τουτέστιν, ἐν τῷ οἰκοδομεῖσθαι τὸ οἰκοδομούμενον· καὶ ἐν τῷ ἰατρεύεσθαι, τὸ ἰατρευόμενον· τὸ δ' Ὠκοδομῆσθαι καὶ Ἰατρεῦσθαι, ἐν τῷ Γενέσθαι τὸ εἶναι λαμβάνουσι· διὸ καὶ Οἰκοδόμησις μὲν καὶ Ἰάτρευσις, Κινήσεις εἰσί· τὸ δ' Ὠκοδομῆσθαι καὶ Ἰατρεῦσθαι, Κεκινῆσθαί ἐστιν. Αἱ ἄρα Διαθέσεις, αἱ ἀπὸ τῶν κινήσεων ἐγγινόμεναι, κινήσεις οὐκ εἰσὶν, ἀλλ' ἀποτελέσματα τῶν κινήσεων.

Ἐπεὶ δὲ ἡ κίνησις ἐν τῷ κινουμένῳ ὑπὸ τοῦ κινοῦντός ἐστιν, ὡς μὲν ἐν τῷ κινουμένῳ οὖσα, παθητική τε καὶ ἀτελὴς ἐνέργεια λέγεται, διότι καὶ τὸ κινούμενον ὅπερ ἐστὶ τὸ δυνάμει, πάσχει τε καθ' ὃ δυνάμει, καὶ τὴν Φύσιν ἐστὶν ἀτελές· ὃ γὰρ λέγεται, οὔπω ἐστίν· ὡς δ' ὑπὸ τοῦ κινοῦντος, ἐνέργεια λέγοιτ' ἂν κυριώτερόν τε καὶ τελεώτερον· ἐπεὶ καὶ τὸ κινοῦν, ὅπερ ἐστὶ τὸ ἐνεργείᾳ, ἐνεργεῖν τε ἰσχύει καθ' ὃ ἐνεργείᾳ, καὶ τὴν Φύσιν ὑπάρχει τέλειον· ὃ γὰρ λέγεται, τοῦτο καὶ ἐστίν. ἡ Κίνησις ἄρα Ἐνέργεια, καὶ ὡς Ποίησις, καὶ ὡς Πάθησις ἡ αὐτή.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ποίησις δὲ καὶ Πάθησις, τῷ λόγῳ μὲν διαφέρουσι· τῷ δ' ὑποκειμένῳ, ταυτὸ καὶ ἓν ἄμφω εἰσὶν, ὡς Δίδαξις καὶ Μάθησις· καὶ ὡς Ἀνάβασις καὶ Κατάβασις· ἢ μᾶλλον καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ, εἴη ἂν ἡ Κίνησις μία καὶ αὐτὴ ἐν τῷ κινουμένῳ οὖσα ὑπὸ τοῦ κινοῦντος. Οὐδὲ γὰρ ὥσπερ ἡ Ποίησις καὶ ἡ Πάθησις μερίζονται· ἡ μὲν περὶ τὴν ἀπὸ τοῦ ποιοῦντος σχέσιν, ἡ δὲ περὶ τὴν ἀπὸ τοῦ πάσχοντος· οὕτω καὶ ἀπ' αὐτῆς τὸ ὑπὸ τοῦδε, καὶ τὸ ἐν τῷδε μεμέρισται· ἀλλ' ἄμφω ταῦτα, τὴν μίαν κίνησιν συμπληροῖ, τὸν λόγον αὐτῆς ἀπαρτίζοντα.

Τάττουσι δὲ τὴν Κίνησιν ὑπὸ τὸ Ποσόν· ἐπεὶ δοκεῖ συνεχὴς διὰ τὸ μέγεθος ἐν ᾧ θεωρεῖται· καθὼς ὁ χρόνος διὰ τὴν κίνησιν. Καὶ ὑπὸ τὰ Πρός τι δὲ ταύτην τιθέασιν, εἴγε ἡ Κίνησις Κινουμένου Κίνησις· καὶ τὸ Κινούμενον Κινήσει Κινούμενον. Ἴσως δ' ἀόριστός τις οὖσα ἡ Κίνησις, ἐν οὐδενὶ τῶν ὡρισμένων δέκα Γενῶν, καθ' αὐτὴν συναχθήσεται. Τῶν γὰρ ὄντων καὶ ὡρισμένων, ἢ κατὰ τὸ Δυνάμει λεγομένων, ἢ κατὰ τὸ Ἐνεργείᾳ· ἡ Κίνησις ἐν οὐδετέρῳ τούτων τεθῆναι δύναται· καὶ γὰρ τὸ Δυνάμει μόνον ὂν, οὔπω κινεῖται· καὶ τὸ Ἐνεργείᾳ ὂν, οὐκ ἔτι κινεῖται.

Ἄλλο δέ ἐστι τὸ Δυνάμει καὶ ἄλλο ἡ Δύναμις· καὶ ἄλλο τὸ Ἐνεργείᾳ, καὶ ἄλλο ἡ ἐνέργεια. Τῷ μὲν οὖν Δυνάμει, τὸ Ἐνεργείᾳ ἀντίκειται· τῇ Δυνάμει δὲ, ἡ Ἐνέργεια. Καὶ ἡ Δύναμις μέν ἐστι, παρασκευὴ τελεία τῆς οὐσίας, καὶ ἑτοιμότης ἀκώλυτος πρὸς τὸ ἐνεργεῖν, οἰστικὴ τῆς ἐνεργείας· ὡς λέγομεν, τὸ Πῦρ ἔχει δύναμιν καυστικήν. Δυνάμει δέ ἐστιν, ἐπιτηδειότης ἀτελὴς πρὸς ὃ λέγεται δυνάμει, τὸ ἐνεργεῖν παρ' ἄλλου δεχομένη, καὶ οὐκ ἀφ' ἑαυτῆς προβάλλουσα· ὡς λέγομεν, τὸ σπέρμα δυνάμει ζῶον. Ἐνεργείᾳ δέ ἐστιν, ὃ ἐνεργεῖν ἤδη δύναται κατ' ἐκεῖνο, ὃ λέγεται· ὡς Ἀριστόξενος λέγεται μουσικὸς, Ἐνεργείᾳ ὢν μουσικός· ἐπεὶ δύναται κατὰ τὴν μουσικὴν ἐνεργεῖν καθ' ὃ μουσικός. Ἐνέργεια δέ ἐστιν ἡ ἀπὸ τῆς δυνάμεως προβαλλομένη κίνησις ἐνεργός. Ἐνεργὸς δέ ἐστιν, ἡ ἐν τῷ ἔργῳ. Ἔργον δὲ, ἥ, τε Ποίησις καὶ ἡ Πρᾶξις. ἡ Ποίησις δὲ καὶ ἡ Πρᾶξις, ἐκ τοῦ ποιεῖν καὶ τοῦ πράττειν·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ ὧν ἐν τῷ πρώτῳ Βιβλίῳ, κατὰ τὸ εἰκοστὸν καὶ τέταρτον κεφάλαιον προϋπέμνησαι.

Τούτων οὕτω διωρισμένων, χρὴ γινώσκειν ὅτι λέγεται τὸ πρᾶγμα καὶ κατὰ τὴν δύναμιν Δυνάμει, καὶ κατὰ τὴν ἐνέργειαν Ἐνεργείᾳ· διὸ καὶ τὸ Δυνάμει διττὸν, καὶ τὸ Ἐνεργείᾳ διττόν. Λέγεται γὰρ Δυνάμει, καὶ τὸ κατ' Ἐπιτηδειότητα μόνην ἀτελῆ μήπω μηδαμῶς γενόμενον τοῦτο, ὃ λέγεται· ὡς εἴπομεν τὸ Σπέρμα δυνάμει ζῶον, καὶ ὡς λέγομεν τὸ Παιδίον δυνάμει μουσικόν· ὅτι δύναται γενέσθαι τὸ μὲν σπέρμα, ζῶον· τὸ παιδίον δὲ μουσικόν. Ἀλλὰ καὶ τὸ γενόμενον μὲν ἤδη καὶ τὴν ἕξιν τελείαν ἔχον, μὴ ἐνεργοῦν δὲ κατ' αὐτὴν, Δυνάμει λέγεται καὶ αὐτό· ὡς δυνάμει μουσικὸν τὸν Ἀριστόξενον λέγομεν, ὅταν οὐ κιθαρίζῃ, ἀλλ' ἢ καθεύδῃ, ἢ ἄλλο τι ἐνεργῇ. Κατὰ τοῦτο τὸ σημαινόμενον, καὶ τὸ Πῦρ δυνάμει λέγομεν καυστικὸν, ὅταν μὴ καίῃ. Τὸ μὲν οὖν πρῶτον Δυνάμει λέγεται ἀτελές· τὸ δὲ δεύτερον, τέλειον. Καὶ τὸ μὲν πρῶτον, κατ' Ἐπιτηδειότητα· τὸ δὲ δεύτερον, καθ' Ἕξιν. Διττὸν δὲ καὶ τὸ Ἐνεργείᾳ λέγεται· τό, τε δυνάμενον ἐνεργεῖν κατ' ἐκεῖνο, καθ' ὃ καὶ λέγεται, μὴ μέντοι ἐνεργοῦν· ὅπερ ταυτόν ἐστι τῷ δευτέρῳ σημαινομένῳ τοῦ Δυνάμει· καὶ τὸ κατὰ τὴν ἐνεργὸν κίνησιν θεωρούμενον· οἷον, ὅταν ὁ μὲν Ἀριστόξενος κιθαρίζῃ, καίῃ δὲ τὸ Πῦρ πρακτικῶς. Τὸ τοίνυν δεύτερον Δυνάμει, μέσον ἐστὶ τῶν τε πάντῃ καὶ μόνως ὄντων Δυνάμει, καὶ τῶν πάντῃ καὶ μόνως ὄντων Ἐνεργείᾳ· ἅτε ἀμφοτέρων μετέχον, καὶ πρὸς ἑκάτερον ὑπάρχον τὸ ἕτερον· οἷον, πρὸς μὲν τὸ πρῶτον Δυνάμει, Ἐνεργείᾳ ὄν· πρὸς δὲ τὸ δεύτερον Ἐνεργείᾳ, Δυνάμει. Τὸ πρῶτον οὖν Δυνάμει τὸ ἀτελές, ὥσπερ εἴρηται, διὰ τῆς Κινήσεως εἰς τὸ πρῶτον Ἐνεργείᾳ προάγεται· οὐ γὰρ ἐξ ἀνάγκης καὶ εἰς τὸ δεύτερον. Καὶ ὁπόταν τὸ οὕτως ὂν Δυνάμει πρὸς τὸ Ἐνεργείᾳ γενέσθαι χωρῇ, μὴ ἐξιστάμενον τοῦ Δυνάμει εἰς τὸ παντελὲς, τότε λέγομεν κινεῖσθαι αὐτό. Κινεῖσθαι δὲ τὸ Δυνάμει λέγοντες, οὐ τὴν Ἐπιτηδειότητα κινεῖσθαι φαμὲν, ἀλλὰ τὸ τὴν Ἐπιτηδειότητα κεκτημένον, τουτέστι, τὸ ἐπιτήδειον αὐτὸ καθ' ὃ τοιοῦτόν ἐστιν· ὅπερ πάλιν, ὅτε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ κινῆται καθ' ἣν πέφυκε κινεῖσθαι Κίνησιν, τότε λέγομεν αὐτὸ κατ' ἐκείνην τὴν Κίνησιν ἠρεμεῖν.

Ἠρεμία γάρ ἐστιν ἀκινησία τοῦ πεφυκότος κινεῖσθαι, ὅτε πέφυκε, καὶ οὗ πέφυκε, καὶ ὡς πέφυκεν. Ὅτε μὲν πέφυκεν, ἐπείπερ οὐκ ἂν τὸ ἀρτιγενὲς σκυλάκιον ἠρεμεῖν λέγοιτ' ἂν κατὰ τὸ ὁρᾶν· πέφυκε μὲν γὰρ ὁρᾶν, ἀλλ' οὐκ εὐθὺς τεχθέν. Ὅπου δὲ πέφυκεν, ἐπείπερ τῆς ἐν ἀέρι κινήσεως, οὐκ ἂν οἱ Ἰχθύες λέγοιντο λέγοιν το ἠρεμεῖν· οὐδὲ γὰρ ἡ Φύσις αὐτοῖς δέδωκεν ἐναερίοις εἶναι. Καθὰ δὲ πέφυκεν, ὅτι περ οὐκ ἂν οἱ Ὄφεις τῆς κατὰ βάδισιν κινήσεως λέγοιντο ἠρεμεῖν· ἑρπυστικοὶ γὰρ ἐκ φύσεως καὶ οὐ βαδιστικοί. Τὸ τοίνυν πεφυκὸς κινεῖσθαι καὶ μὴ κινούμενον ὁπότε πέφυκε, καὶ ἔνθα πέφυκε, καὶ ὡς πέφυκε, τῆς Κινήσεως ταύτης ἐστερημένον, λέγεται ἠρεμεῖν.

Ἐντεῦθεν δῆλον ὡς ἐπεὶ τὸ Θεῖον παντάπασιν Ἄϋλον ὄν, πάσης ἐπιτηδειότητος καὶ πάσης ἀτελείας ὑπερεξῄρηται, καὶ αὐτοὸν ὑπάρχει καὶ αὐτοτέλειον· καὶ διὰ τοῦτο κινεῖ μέν, καὶ πρώτως καὶ κυρίως κινεῖ· ἀκίνητον δέ ἐστι κατὰ πᾶσαν μεταβολήν· οὐκ ἂν λέγοιτο καταλλήλως καὶ προσφυῶς ἠρεμεῖν. Ὧ γὰρ ἡ Κίνησις ἔνεστι· τούτου ἡ Ἀκινησία, Ἠρεμία ἐστίν. Ἐπὶ δὲ τοῦ Θεοῦ ἡ Ἀκινησία, οὐκ ἔστιν Ἠρεμία, ἀλλὰ ταυτότης καὶ κατάστασις ἀεὶ ἀμετάβλητος.

## ΚΕΦΑΛΑΙΟΝ. Ε'.

### Ἔτι περὶ Κινήσεως, καὶ Ἠρεμίας.

Ἐν τέσσαρσι Κατηγορίαις θεωρεῖται ἡ Κίνησις· ἐν Οὐσίᾳ, Γένεσις καὶ Φθορά· ἐν Ποσῷ, Αὔξησις, καὶ Μείωσις· ἐν Ποιῷ, Ἀλλοίωσις· ἐν τῇ Ποῦ κατηγορίᾳ, ἡ κατὰ τόπον Μεταβολή, ἥτις καλεῖται Φορά. Διαιρεῖται δ' αὕτη εἰς τὴν ἐπ' Εὐθείας, καὶ εἰς τὴν Κύκλῳ, καὶ εἰς τὴν ἐκ τούτων Μικτήν. Κοινότης οὖν ἐστὶν ἡ Κίνησις, ὁμωνύμως κατηγορουμένη τῶν διαφόρων Κινήσεων. Ὥσπερ γὰρ τὰ Γένη ἐν οἷς ἡ Κίνησις, γενικώ-

τατα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τατα ὄντα, Γένος οὐκ ἔχουσιν ἄλλο ἐπαναβεβηκός· οὕτω δὴ καὶ αἱ ἐν αὐτοῖς Κινήσεις οὐκ ἔχουσι Γένος περιλαμβάνον αὐτάς. Ὁμώνυμος δ' οὖσα ἡ Κίνησις, διὸ ὁμωνύμων ἔφθασε τοὺς αὐτῆς λόγους ἀπολαβεῖν ταῖς διαφόροις ἰδιότητιν αὐτῆς ἐφαρμόζοντας· ὧν πρώτη καὶ κυριωτάτη ἐστὶν ἡ Φορά. Κυριωτάτη μὲν, ἐπειδὴ τῶν ἄλλων ἐνεργεστέρα τυγχάνει· διὸ καὶ ἁπλῶς κινεῖσθαί φαμεν τὸ κατὰ Τόπον κινούμενον. Ὃ δὲ κατὰ Τόπον ἠρεμοῦν, ἄλλην τινὰ κινεῖται κίνησιν, πῆ λέγομεν αὐτὸ κινεῖσθαι, κατ' αὔξησιν τυχὸν ἢ μείωσιν ἢ ἀλλοίωσιν. Διὰ τοῦτο καὶ τὸ κατὰ τόπον ὑφ' ἑαυτοῦ μεταβάλλον, ἤτοι τὸ ζῶον, ἰδίως ὀνομάζουσιν Αὐτοκίνητον. Οὕτω μὲν οὖν κυριωτάτη τῶν ἄλλων Κινήσεων ἡ κατὰ Τόπον μαρτυρεῖται. Πρώτη δὲ προηγουμένως μὲν, ὡς τελεωτέρα. Τῶν γὰρ ζώντων ἤτοι τῶν Ἐμψύχων, τὰ μὲν ὅλως ἀκίνητα κατὰ ταύτην τὴν Κίνησιν, οἷα τὰ Φυτά· καὶ τὰ προσπεφυκότα τῶν ζώων, ἃ καλοῦνται Ζωόφυτα· τοῖς δὲ τελειουμένοις ὑπάρχει τὸ κατὰ Τόπον κινεῖσθαι, ὡς τὰ λεγόμενα αὐτοκίνητα ζῶα, ἃ δὴ μόνα καὶ ἀδιορίστως ζῶα καλεῖν εἰώθαμεν. Εἰ τοίνυν τελεώτερα μὲν τῶν Φυτῶν τὰ Ζωόφυτα, πλείους δυνάμεις ἔχοντα ψυχικάς· τούτων δὲ πάλιν τὰ Ζῷα κατὰ τρόπον ὅμοιον ἐντελέστερα· τοῖς Ζώοις δ' αὖ τελειουμένοις, ἡ κατὰ Τόπον προσγίνεται Κίνησις· αὕτη ἂν εἴη τελεωτέρα, καὶ διὰ τοῦτο καὶ τιμιωτέρα, καὶ πρώτη τῶν ἄλλων κινήσεων. Τὸ γὰρ τελεώτερον, ὅσωπερ ἂν ᾖ τελεώτερον· τοσούτῳ γε τῶν ἀτελεστέρων καὶ ἐντιμότερον. Ἀλλ' οὐδ' ἐξαλλάσσει τὴν τοῦ κινουμένου κατάστασιν ἡ Φορὰ, καθάπερ αἱ λοιπαὶ τῶν κινήσεων· οὔτε τὴν Οὐσίαν, ὡς Γένεσις καὶ Φθορά· οὔτε τὸ Ποσὸν, ὡς Αὔξησις καὶ Μείωσις· οὔτε τὸ Ποιὸν, ὡς Ἀλλοίωσις. Τὸ δὲ φυλάττον τὴν τοῦ κινουμένου κατάστασιν, τῶν μὴ φυλαττόντων τιμιώτερον ἂν εἴη, καὶ κριθείη, καὶ διὰ τοῦτ' αὐτὸ πρότερον.

Ἔστι δὲ καὶ φύσει προτέρα τῶν ἄλλων κινήσεων ἡ Φορά.

Τῆς μὲν γὰρ Αὐξήσεως ἡ Ἀλλοίωσίς ἐστι προτέρα κατὰ φύσιν· (ἐπεὶ τὸ φυσικῶς αὐξόμενον, ὑπὸ τροφῆς αὔξεσθαι πέφυκεν. ἡ δὲ τροφὴ πρότερον μέν ἐστιν οὐχ ὁμοία

τῷ τρεφομένῳ, ἐξομοιοῦται δὲ τούτῳ διʼ Ἀλλοιώσεως, καὶ προσκρίνεται, καὶ τρέφει, καὶ αὔξει αὐτὸ, καὶ οὕτω προηγεῖται τῆς Αὐξήσεως ἡ Ἀλλοίωσις.) Ἀλλοιώσεως δὲ ἡ κατὰ τόπον Μεταβολή· οἷον, ἐπὶ τῶν Ζώων ἡ τροφὴ τῷ Στομάχῳ προσενεχθεῖσα, τὴν πρώτην ἀλλοίωσιν ἀλλοιοῦται, χυλοποιηθεῖσα διὰ τοῦ ἐν αὐτῷ πεπτικοῦ, καὶ οὕτω γενομένη πρὸς τὸ Ἧπαρ, ἐξαιματοῦται· κἀντεῦθεν ἐξομοιοῦται τῷ τρεφομένῳ. Καὶ καθόλου δʼ εἰπεῖν, τοῦ ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου, μενόντων κατὰ χώραν ἑαυτῶν, οὐκ ἂν Ἀλλοίωσις γένοιτο. Δεῖ γοῦν Κινήσεως τοπικῆς, ἢ τοῦ ἀλλοιουμένου, ἢ τοῦ ἀλλοιοῦντος, ἢ καὶ ἀμφοτέρων, εἰ μέλλει γίνεσθαι Ἀλλοίωσις. Εἰ τοίνυν προτέρα μὲν τῆς Φυσικῆς Αὐξήσεως ἡ Ἀλλοίωσις· (οὐ γὰρ δὴ καὶ τῆς Μαθηματικῆς, καθʼ ἣν αὔξεται τὸ Τετράγωνον τῇ προσθέσει τοῦ Γνώμονος.) πάσης δʼ Ἀλλοιώσεως προηγεῖταί τις κατὰ τόπον μεταβολὴ, προτέρα φύσει τῶν ἄλλων ἂν εἴη κινήσεων ἡ Φορά. Γένεσις γὰρ καὶ Φθορὰ μὴ οὖσαι κυρίως Κινήσεις, ἐν τοῖς ἑπομένοις δειχθήσονται.

Χρόνῳ δὲ προτερεύει μὴ μόνων τῶν ἄλλων φυσικῶν κινήσεων ἡ κατὰ τόπον, ἀλλὰ καὶ Γενέσεως καὶ Φθορᾶς. Φθορὰ μὲν γὰρ ἁπάσης μεταβολῆς ὑστεροχρονεῖ, μετάβασις ἐκ τοῦ ὄντος οὖσα πρὸς τὸ μὴ ὄν. Γένεσις δὲ προτέρα μὲν ἐφʼ ἑκάστου τῶν γινομένων, τοῦ αὐτοῦ δηλαδὴ καὶ ἑνὸς σκοπουμένοις θεωρηθήσεται. Μετὰ γὰρ τὸ γενέσθαι τὸ πρᾶγμα καὶ κατʼ οὐσίαν ὑποστῆναι, τότε τὰς ἄλλας κινεῖται κινήσεις, καὶ τελευταίαν τὴν τοπικήν. Ἐννοοῦσι δʼ ἡμῖν, ὡς ὁ Πατὴρ πρεσβύτερος τοῦ Υἱοῦ τέλειος Ἄνθρωπος ὢν, καὶ τῆς κατὰ Τόπον μὴ ἐστερημένος κινήσεως, καὶ πρὸ τοῦ γενέσθαι Πατὴρ, ὅλως τε τοῦ γενητοῦ παντὸς ὁ Οὐρανὸς ἀρχαιότατος· τῷ δʼ Οὐρανῷ συμφυὴς ἡ Φορά· πάντως ἡ Φορὰ προτέρα καὶ κατὰ χρόνον πάσης Κινήσεως καὶ Μεταβολῆς, καὶ αὐτῆς δὴ τῆς Γενέσεως εὑρεθήσεται. Γενέσεως δὲ λέγω τῆς Φυσικῆς, ἥτις ἐστὶν ἡ ἐκ τοῦ Δυνάμει ὄντος, Ἐνεργείᾳ δὲ μὴ ὄντος, εἰς τὸ Ἐνεργείᾳ εἶναι πρόοδος καὶ μετάβασις ἔγχρονος.

Ἐπεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπεί τοίγε καὶ ἄλλην Γένεσιν οἶδεν ὁ λόγος, ὑπὲρ τὴν Φυσικὴν οὖσαν τὴν ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος ὕπαρξιν τοῦ σύμπαντος, καὶ πρώτην οὐσίωσιν. Ὥσπερ γὰρ τὸ ποιητικὸν Αἴτιον διττὸν, τό, τε προσεχὲς, ὅπερ ἡ Φύσις λέγεται εἶναι· καὶ τὸ πρώτως καὶ κυρίως Αἴτιον, ὅπερ ἐστὶν ὁ Νοῦς ὁ δημιουργὸς· οὕτω διττὴ ἡ Γένεσις· ἡ μὲν γὰρ ἐκ προϋφεστώσης ὕλης ἐπιτηδείου εἰς εἶδός τι προαγωγὴ, μετὰ χρονικῆς παρατάσεως. (ταύτης δὲ τῆς Γενέσεως ἀρχὴ καὶ αἰτία προσεχὴς, τὸ δ' ἀληθέστερον συναιτία ἡ Φύσις ἐστίν.) ἡ δ' ἑτέρα Γένεσις, δημιουργία τοῦ πράγματος, καὶ τοῦ μηδ' ὅλως ὄντος παραγωγὴ, χωρὶς τῆς οἱασοῦν χρονικῆς παρατάσεως. Ταύτης τῆς Γενέσεως Ἀρχὴ καὶ Αἰτία μόνη ἐστὶν ἡ παντουργὸς Σοφία, καὶ Δύναμις τοῦ Θεοῦ, ἡ καὶ τῆς Ὕλης καὶ τῆς Φύσεως καὶ τῶν ὄντων ἁπάντων Ποιητική. Πῶς μὲν οὖν ἡ κατὰ τόπον Μεταβολὴ πρώτη πασῶν τῶν Κινήσεων, καὶ αὐτῆς τῆς Γενέσεως, καὶ ποίας Γενέσεως, εἴρηται. Δῆλον δ' ἐκ τῶν εἰρημένων, ὅτι καὶ ἡ κύκλῳ Κίνησις πασῶν προτερεύει τῶν κατὰ τόπον κινήσεων, ὅτι καὶ τῷ πρώτῳ τῶν αἰσθητῶν κλισμάτων τῷ Οὐρανῷ συμφυής.

Τριῶν οὖν οὐσῶν κινήσεων τοπικῶν, τῆς ἐπ' Εὐθείας, τῆς Κύκλῳ, καὶ τῆς ἐκ τούτων Μικτῆς· τῆς μὲν Μικτῆς, οὐχ ἡ Κύκλῳ μόνον, ἀλλὰ καὶ ἡ ἐπ' Εὐθείας ὡμολόγηται προτερεύειν· (ἐπεὶ τῶν Συνθέτων, φύσει πρότερα τὰ Ἁπλᾶ.) τῆς δ' ἐπ' Εὐθείας, πρώτη ἐστὶν ἡ Κύκλῳ, διότι καὶ ἀρχαιοτέρα, καὶ διότι μονιμωτέρα. Μόνη γὰρ αὕτη δύναται συνεχὴς εἶναι διόλου, τῶν ἄλλων ἐξ ἀντικειμένων εἰς ἀντικείμενα γινομένων, καὶ διακοπτουσῶν ἐξ ἀνάγκης τὸ συνεχὲς, μὴ μόνον τῶν τοπικῶν κινήσεων τῶν παρὰ τὴν Κύκλῳ, ἀλλὰ καὶ τῶν ἑτέρων μεταβολῶν. Ἡ μὲν γὰρ Γένεσις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν γίνεται· ἡ δὲ Φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. ἡ Αὔξησις, ἐκ τοῦ μικροῦ εἰς τὸ μέγα· καὶ ἡ Φθίσις, ἤτουν ἡ Μείωσις, ἐκ τοῦ μείζονος εἰς τὸ ἔλαττον· ἡ Ἀλλοίωσις, ἐκ τῶν ἐναντίων παθῶν εἰς τἀναντία· καὶ ἡ ἐπ' Εὐθείας Φορὰ, ἐκ τῶν ἐναντίων τόπων εἰς τοὺς ἐναντίους· ἐκ τοῦ Ἄνω, εἰς τὸ Κάτω· ἐκ τοῦ Ἔμπροσθεν, εἰς Τοὔπισθεν· ἐκ τοῦ Δεξιὰ εἰς τὰ Ἀριστερὰ, καὶ ἀνά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνάπαλιν. Ἐπεὶ γοῦν αἱ λοιπαὶ πᾶσαι Κινήσεις ἐξ ἀντικειμένων εἰς ἀντικείμενα γίνονται. διαφόρους ἀρχὰς ἔχουσαι καὶ τέλη διάφορα, συνεχεῖς οὐκ ἂν εἶεν διόλου. Συνεχὴς γὰρ διόλου Κίνησίς ἐστιν, ἡ γινομένη πάντοτε ἡ αὐτὴ, καὶ πέρας ἀναγκαῖον μὴ ἔχουσα. Ἡ δὲ μὴ γινομένη πάντοτε ἡ αὐτὴ, καὶ διὰ τοῦτο καταντῶσα πρὸς πέρατα, ἀνάγκην ἔχει κατὰ τὰ Πέρατα ἠρεμεῖν. Ἠρεμήσει τοίνυν ἐν τῷ ἀντικειμένῳ τὸ κινούμενον, καὶ οὕτως εἰς τὸ ἀντικείμενον ἐλεύσεται, κἀντεῦθεν ἡ τῆς κινήσεως συνέχεια διακοπήσεται. Τὸ δὲ κύκλῳ φερόμενον, οὐχ ἕξει ἀνάγκην ἠρεμῆσαι, τὴν αὐτὴν ὁδὸν συνεῖρον ἀεὶ καὶ φερόμενον ἐπὶ ταὐτά.

Ἄλλο δέ ἐστιν Ἠρεμία, καὶ ἄλλο Πέρας Κινήσεως καὶ Ἀρχή. Ἡ μὲν γὰρ Ἠρεμία ἀπουσία τυγχάνει Κινήσεως ἐν παρατάσει θεωρουμένη τινὶ, διὰ τοῦτο καὶ διαιρετὴ καθάπερ ἡ Κίνησις. Τὸ δὲ πέρας καὶ ἡ Ἀρχὴ τῆς κινήσεως ἐν τῇ κινήσει εἰσὶ μηδεμιᾶς μετέχοντα παρατάσεως, ὅθεν καὶ ἀδιαίρετα. Διὸ καὶ τὸ ἠρεμεῖν ἐν χρονικῇ παρατάσει ἐστὶ κατὰ τὴν Ἠρεμίαν ὄν, ὥσπερ κατὰ τὴν Κίνησιν τὸ κινεῖσθαι, τὸ ἵστασθαι, καὶ τὸ ἠρεμίζεσθαι. Κινεῖσθαι γάρ ἐστι καὶ τὸ ἵστασθαι, καὶ τὸ ἠρεμίζεσθαι· τὸ μὲν γάρ ἐστιν ἐπὶ στάσιν ὁδεύειν· τὸ δ' ἐπ' ἠρεμίαν. Διὸ πάντα ταῦτα παράτασιν χρονικὴν ὑπομένουσιν, ὥσπερ καὶ τὸ γίνεσθαι καὶ τὸ φθείρεσθαι, καὶ τὸ ζῆν καὶ τὸ θνήσκειν, καὶ ὅσα τούτοις παρόμοια. Τὸ δὲ κεκινῆσθαι, καὶ τὸ ἑστάναι, καὶ τὸ ἠρεμικέναι, τὸ γενέσθαι τε καὶ ἐφθάρθαι, καὶ ζῆσαι καὶ θανεῖν, καὶ τὰ τοιαῦτα, οὐδεμίαν καρτεροῦσι παράτασιν. Οὐ γὰρ ἐν χρόνῳ ἀποτελοῦνται, ἀλλ' ἐν Πέρατι χρόνου Πέρατα κινήσεων ὄντα καὶ καταντήματα, καὶ διὰ τοῦτο τὸ σύνολον ἀμερῆ. Διὸ καὶ ὁ Χρόνος ἐν ᾧ τὴν ὁποιανοῦν μεταβολὴν τὸ πρᾶγμα μετέβαλλε, μετὰ τοῦ ἐν ᾧ μεταβέβληκεν, οὐκ ἔστι μείζων τοῦ ἐν ᾧ μετέβαλλε μόνου, διότι οὐκ ἐν χρόνῳ μεταβέβληκεν, ἀλλ' ἐν τῷ Πέρατι τοῦ ἐν ᾧ μετέβαλλε Χρόνου. Τὸ δὲ Πέρας ἄποσον ὄν, οὔτε προστιθέμενον αὔξει, οὔτ' αὖ μειοῖ ἀφαιρούμενον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καθάπερ οὖν τῆς Γραμμῆς τὸ Πέρας καὶ ἡ Ἀρχὴ, σημεῖά ἐστιν ἀμεγέθη καὶ ἄτομα· τὸν αὐτὸν τρόπον καὶ τῆς κινήσεως Ἀρχὴ πᾶσα καὶ ἅπαν Πέρας, ἀμερῆ τινα καὶ ἀδιαίρετά εἰσι. Καλοῦνται δὲ ταῦτα Κινήματα. Καὶ ὥσπερ ἡ Γραμμὴ τέμνεται κατὰ τὰ σημεῖα, καὶ τὸ σημεῖον οὐκ ἀφαιρεῖταί τι τῆς γραμμῆς· οὕτω καὶ ἡ Κίνησις διαιρεῖται κατὰ τὰ Κινήματα, καὶ τῆς Κινήσεως οὐδὲν ἀπολαμβάνει τὸ Κίνημα. Καὶ ὥσπερ οὐκ ἔστιν εὑρεῖν ἄπειρον εὐθεῖαν Γραμμὴν (μείζων γὰρ ἁπάσης Εὐθείας ἡ τῆς πρώτης Σφαίρας Διάμετρος, ἥτις ἐναργῶς πεπέρασται.) οὕτως οὐδ' ἐπ' Εὐθείας Κίνησις, οὐδεμία ἐστὶν ἄπειρος. Τὸ γὰρ ἐπ' Εὐθείας κινούμενον, εἴπερ ἀνακάμπτει, δύω Κινήσεις ποιεῖ· Ἐφεξῆς μὲν, οὐ μὴν συνεχεῖς ἀλλήλαις. Ἐφεξῆς δέ εἰσιν, ὧν οὐκ ἔστι τι συγγενὲς μεταξύ· ὡς ἐφεξῆς οἰκίας λέγομεν, ὧν μεταξὺ οὐκ ἔστιν ἑτέρα οἰκία. Καὶ Κινήσεις οὖν ἐφεξῆς, ὧν οὐκ ἔστι τις ὁμοειδὴς Κίνησις μεταξύ. Συνεχῆ δ' ἀλλήλοις ἐστὶν, ὧν θατέρου τὸ Πέρας, Ἀρχὴ γίνεται τοῦ λοιποῦ. Καὶ συνεχεῖς οὖν ἀλλήλαις Κινήσεις, ὧν τὰ πέρατα ἓν, αὐτῶν τε οὐσῶν ὁμοειδῶν καὶ τοῦ κινουμένου τυγχάνοντος τοῦ αὐτοῦ καὶ ἑνός. Αἱ μὲν οὖν συνεχεῖς ἀλλήλαις Κινήσεις, πάντως καὶ Ἐφεξῆς· οὐ μὴν δὲ καὶ αἱ Ἐφεξῆς, ἤδη καὶ Συνεχεῖς ἀλλήλαις. Τὸ γοῦν ἐπ' Εὐθείας κινούμενον, εἴπερ ἀνακάμπτει, ποιεῖ μὲν ἐφεξῆς τὰς κινήσεις· οὐ μὴν δὲ καὶ συνεχεῖς. Μεταξὺ γὰρ τῶν τοιούτων κινήσεων Ἠρεμία τίς ἐστι διακόπτουσα τὴν συνέχειαν. Περατοῦται γὰρ ἡ πρώτη Κίνησις, καὶ ὡς ἀπ' ἄλλης ἀρχῆς ἡ ἑτέρα ἐπιτελεῖται. Μέσον δὲ τοῦ πέρατος τῆς πρώτης καὶ τῆς ἀρχῆς τῆς δευτέρας, ἡ Ἠρεμία γινώσκεται. Δύω γὰρ πεπερασμέναι κινήσεις ἐπ' Εὐθείας ἀλλήλων οὐχ ἅπτονται καθ' ἓν κίνημα· καθάπερ Εὐθεῖαι δύω πεπερασμέναι, δύνανται καθ' ἓν σημεῖον ἀλλήλαις συνάπτεσθαι. Δηλοποιοῦσι τὸ λεγόμενον, τὰ τῶν Σχημάτων Εὐθύγραμμα. Τῶν μὲν γὰρ διαφόρων Εὐθειῶν τὰ Πέρατα ἐφαρμόζει, διὰ τὸ ὑπομένειν αὐτάς· τῶν δὲ διαφόρων ἐπ' Εὐθείας Κινήσεων, οὐδόλως ἐφαρμόζει τὰ Πέρατα, διὰ τὸ ἐν ἀστάτῳ ῥοῇ χρονικῇ γίνεσθαι τὰς Κινήσεις· κἀντεῦθεν δῆλόν ἐστι

μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ δύνασθαι τὸ αὐτὸ καὶ ἓν Κίνημα, Πέρας εἶναι τῆς πρώτης κινήσεως, καὶ τῆς δευτέρας Ἀρχὴν, λαμβανόμενον δὶς, καθάπερ ἐπὶ τῶν Εὐθειῶν ἡ Στιγμή. Διαῤῥεῖ γὰρ ὁ χρόνος μεταξὺ καὶ διΐστᾳ τὰ κινήματα. Ἡ δὲ τῶν κινημάτων διάστασις ἠρεμίαν γεννᾷ. Τῆς γὰρ ἐπὶ τὸ ἄνω φορᾶς τοῦ λίθου τὸ τέρμα, διΐσταται τῆς ἀρχῆς τῆς ἐπὶ τὸ κάτω φορᾶς, τῷ ὀξυκινήτῳ τῆς τοῦ χρόνου ῥοῆς· ὅθεν καὶ Ἠρεμία τις νοεῖται μεταξὺ τῶν δύω τοῦ λίθου φορῶν. Διὰ ταῦτα τοίνυν οὐκ ἔστιν ἐπ᾽ Εὐθείας ἐννοῆσαι Κίνησιν ἄπειρον.

Ἐπὶ δὲ τοῦ Κύκλου συνδραμόντων ἀλλήλοις, τῆς Ἀρχῆς καὶ τοῦ Πέρατος, καὶ ἡ Κύκλῳ Κίνησις ἄπειρος· εἴτουν ἀπεράτωτος δύναται γίνεσθαι, πασῶν τῶν Περιφερῶν καθ᾽ ἓν κίνημα συναπτομένων καὶ συνεχιζομένων ἀλλήλαις, καὶ ὡς μιᾶς Περιφορᾶς τελουμένων τῶν ὅλων, μέχρις ἂν τὸ τελευταῖον καταλάβοιεν Πέρας, τὸ ὡρισμένον αὐταῖς ὑπὸ τοῦ τὴν πρώτην δόντος Ἀρχήν. Διά τε γοῦν τὴν τοιαύτην συνέχειαν ἡ Κυκλοφορία τελεωτέρα ἐστὶ, καὶ πρώτη τῆς ἐπ᾽ Εὐθείας κινήσεως, καὶ ὅτι μόνη πέφυκεν ὁμαλή. Τὰ γὰρ ἐπ᾽ Εὐθείας εἴτε κατὰ φύσιν, εἴτε παρὰ φύσιν κινούμενα, ἀνομάλως ἀπὸ τῆς ἀρχῆς φέρεται πρὸς τὸ τέλος. Τὰ μὲν γὰρ παρὰ φύσιν φερόμενα, ὅσα μὲν ἕλκονται, βραδύτερον φέρονται τὴν ἀρχὴν, θᾶττον δὲ τῷ ἕλκοντι πλησιάζοντα, διὰ τὸ μᾶλλον ἐπικρατεῖν τότε τὴν τοῦ ἕλκοντος δύναμιν. Ὅσα δὲ ῥιπτοῦνται, θᾶττον μὲν κινοῦνται πρὸς τῇ ἀρχῇ· ἀφιστάμενα δέ γε, βραδύτερον, ἐκλυομένης δῆτα τῆς ἀπὸ τοῦ ῥίψαντος ἐνδοθείσης δυνάμεως. Οὕτω τοι καὶ ἡ ζωϊκὴ κίνησις, εἶναι μὲν ταχεῖα δύναται κατ᾽ ἀρχάς· προϊοῦσα δὲ, τοῦ τάχους ὑφίησι. Κἂν γὰρ αὐτοκίνητα λέγοιντο τὰ Ζῷα, διὰ τὸ ἐν ἑαυτοῖς ἔχειν τὰ τῆς τοπικῆς κινήσεως αἴτια τὰς Ψυχάς· ἀλλ᾽ οὖν παρὰ φύσιν ἡ κίνησις τῶν σωμάτων γίνεται ὡς ἑτεροκινήτων, ὠθουμένων βιαίως· καθάπερ ὑπὸ μοχλῶν ὑπὸ τῶν ὡς ὀργάνοις χρωμένων τούτοις Ψυχῶν. Διὸ κάμνει καὶ ἀναπαύσεως δεῖται, μὴ κινούμενα κατὰ φύσιν. Ἡ γὰρ κατὰ φύσιν αὐτοῖς κίνησις, ἐπὶ τὰ κάτω ἐστὶν, ὥσπερ

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ παντὶ σώματι βάρος ἔχοντι. Τὰ δὲ κατὰ φύσιν πάλιν κινούμενα, θᾶττον κινεῖται, τοῖς τόποις αὐτῶν πλησιάζοντα, τῆς οἰκείας ὁλότητος ἐφιέμενα, καὶ ἀπ᾽ αὐτῆς δυναμούμενα, καὶ οἱονεὶ μᾶλλον εἰδοποιούμενα. Ὥστε τὸ ἐπ᾽ Εὐθείας κινούμενον, εἴτε κατὰ φύσιν, εἴτε παρὰ φύσιν, ἀνώμαλον ποιεῖται τὴν Κίνησιν.

Μόνον δὲ τὸ Κύκλῳ φερόμενον, ὁμαλῶς δύναται φέρεσθαι, τῷ ἀεὶ ἶσον ἀφεστάναι τῆς Ἀρχῆς, καὶ τοῦ Πέρατος, ὅπερ ἐστὶ τὸ Κέντρον· καὶ μήτ᾽ ἀπ᾽ αὐτοῦ μήτε πρὸς αὐτὸ φέρεσθαι, ἀλλὰ περὶ αὐτό. Διὸ περὶ τὸ αὐτὸ στρεφόμενον, καὶ τὸ ἶσον ἀπέχον ἀεὶ, ὁμοίως κινεῖται. Ἀρχὴ δὲ καὶ Πέρας καὶ Μέσον Κύκλου τε καὶ Σφαίρας, τὸ Κέντρον ἐστίν. Ἀρχὴ μὲν, ὅτι κατὰ τὴν ἀπὸ τοῦ Κέντρου ἴσην ἀπόστασιν ὅ, τε Κύκλος ὑφίσταται καὶ ἡ Σφαῖρα· Πέρας δὲ, ὅτι πᾶσαι αἱ ἀπὸ τῆς περιφερείας γραμμαὶ εἰς αὐτὸ περατοῦνται. Μέσον, ὅτι πανταχόθεν ἶσον ἀπὸ τῆς περιφερείας διέστηκεν. Οὕτω γοῦν καὶ κατὰ τὸ ὁμαλὲς τιμιωτέρα ἐστὶ καὶ πρώτη τῆς ἐπ᾽ Εὐθείας Κινήσεως ἡ Κυκλοτερής.

Ἔστι δὲ καὶ ἀσύμβλητος τῇ ἐπ᾽ Εὐθείας. Συμβάλλειν δὲ λέγεται τὸ παραβάλλειν καὶ συγκρίνειν, καὶ ὅλως συνεξετάζειν. Οὐκ ἔστι γοῦν ἡ κύκλῳ Κίνησις τῇ ἐπ᾽ Εὐθείας συμβλητὴ, κατὰ τὸ θᾶττον, καὶ τὸ ἶσον, ἢ τὸ βραδύτερον, ὅτι μηδὲ τῇ εὐθείᾳ γραμμῇ συμβάλλεται ἡ περιφερής. Οὐ γάρ ἐστι κοινὸν μέτρον αὐτῶν. Ὅθεν οὐδ᾽ ἔστιν εὐθεῖαν γραμμὴν ἴσην θέσθαι περιφερεῖ. Συμβληταὶ δὲ κινήσεις εἰσὶν αἱ ἀριθμῷ διαφέρουσαι, ὁμογενεῖς τε καὶ ὁμοειδεῖς. Ἐπεὶ γὰρ τὰ Διαφέροντα, ἢ Γένει διαφέρει, ἢ Εἴδει, ἢ Ἀριθμῷ, καθ᾽ ἣν διαφορὰν τὰ κινούμενα διαφέρει ἀλλήλων, καθ᾽ ὃ κινούμενα· κατὰ ταύτην διαφέρουσι καὶ αἱ Κινήσεις. Εἰ μὲν γὰρ κατὰ Γένος ἡ τῶν κινουμένων διαφορὰ εἴη, καὶ αἱ κινήσεις διαφέροιεν ἂν κατὰ Γένος· οἷον, εἰ τὸ μὲν, αὔξεται· τὸ δὲ, λευκαίνεται, καὶ ἡ Αὔξησις Γένει διοίσει τῆς Λευκάνσεως. Καὶ γὰρ ἡ μὲν κατὰ τὸ Ποσὸν, ἡ δὲ κατὰ τὸ Ποιὸν, ἅπερ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστι διάφορα Γένη τοῦ ὄντος. Εἰ δὲ Εἴδει διαφέρει τὰ κινούμενα, Εἴδει καὶ αἱ Κινήσεις διοίσουσιν· ὡς ἡ λεύκανσις τῆς μελάνσεως, καὶ ἡ ἐπ' εὐθείας φορὰ τῆς περιφερᾶς. Εἰ δ' Ἀριθμῷ μόνῳ τοῖς κινουμένοις ἡ διαφορά, μόνῳ καὶ αἱ κινήσεις ἀριθμῷ διαφέροιεν· αἳ δὴ καὶ ἀλλήλαις ἔσονται συμβληταί· οἷον ἡ ἀνθρωπεία Γένεσις τῇ ἀνθρωπείᾳ γενέσει, καὶ οὐ τῇ ἱππείᾳ· (καὶ γὰρ οὐχ ὁμοειδεῖς.) καὶ ἡ Αὔξησις ὡσαύτως τῇ ὁμοειδεῖ αὐξήσει· καὶ ἐπὶ τῆς Ἀλλοιώσεως τὸν αὐτὸν τρόπον· οἷον ἡ λεύκανσις τῇ λευκάνσει, καὶ ἡ μέλανσις τῇ μελάνσει· καὶ ἐπὶ τῆς τοπικῆς Κινήσεως, ἡ ἐπ' εὐθείας τῇ ἐπ' εὐθείας, καὶ ἡ κυκλοτερὴς τῇ κυκλοτερεῖ· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Διαφέρει δὲ οὐδὲν εἰς τὸ συμβλητὰς εἶναι τὰς κινήσεις, ἡ τῶν ὀργάνων ἑτεροιότης, δι' ὧν καὶ αἱ κινήσεις· οἷον, εἰ τῷ μὲν πόδες εἶεν, τῷ δὲ πτέρυγες τὰ ὄργανα τῆς Κινήσεως. Ἄλλως μὲν γὰρ διαφέρει βάδισις πτήσεως, ἤγουν κατὰ τὸν ποιὸν σχηματισμόν· κατὰ δὲ τὸ τοπικὸν εἶδος οὐ διαφέρει. Διὸ καὶ συμβληταί, μόνον εἰ ἐπ' Εὐθείας, ἢ ἐπὶ Κεκλασμένης καὶ ἀμφότεραι εἶντο. Πᾶσαι δὲ αἱ ἐπ' Εὐθείας Κινήσεις ἀλλήλαις ἔσονται συμβληταί, μηδόλως ἐμποδιζόμεναι τῷ διαφόρῳ τῶν σχέσεων· ἐπείπερ ἓν τὸ ὑποκείμενον ἔχουσι τὴν εὐθεῖαν, καὶ ὁμοειδεῖς διὰ τοῦτο εἰσί, μόνῳ τῷ ἀριθμῷ διαφέρουσαι.

Ἑκάστη δὲ πασῶν τῶν Κινήσεων καὶ Ἠρεμίαν ἀντικειμένην ἔχει καὶ Κίνησιν. Οὐκ ἔστι δὲ Στάσις ἡ Ἠρεμία. Καὶ γὰρ Ἐνέργειά τις καὶ ἡ Στάσις, καὶ Εἶδος τῇ Κινήσει σύστοιχον, ὡς λέγομεν Στάσιν ἔχειν ἐν τῷ μέσῳ τὴν Γῆν. Ἐνέργεια γὰρ τῆς Γῆς, τὸ ἐν μέσῳ ἑστηκυῖαν εἶναι αὐτήν· ὥσπερ τοῦ Οὐρανοῦ τὸ Κινεῖσθαι περὶ τὸ μέσον. Ἡ δ' Ἠρεμία οὐκ ἔστιν Ἐνέργεια, μόνον δ' ἀπουσία κινήσεως. Τῇ μὲν οὖν κατὰ τόπον Κινήσει ἡ κατὰ τόπον Ἠρεμία ἀντίκειται· καὶ τῇ κατ' Ἀλλοίωσιν ἡ κατ' Ἀλλοίωσιν. Καὶ ἁπλῶς εἰπεῖν μιᾷ ἑκάστῃ Κινήσει τῷ ἀριθμῷ, καὶ ἡ πρὸ τῆς τοιαύτης κινήσεως Ἠρεμία, καὶ ἡ μετὰ τὴν τοιαύτην κίνησιν ἀντιμάχεται· μάλιστα μὲν οὖν ἡ πρὸ τῆς κινήσεως. Ὃ γὰρ ἡ Κίνησις φεύγει, καὶ οὗ τινος ἐκστῆναι σπεύδει, τοῦτο μᾶλλον

μᾶλλον ἐναντίον αὐτῇ· Πρὸς δ᾽ ἄπεισι καὶ ὅπερ ἐπείγεται καταλαβεῖν, τοῦτο πῶς οἰκεῖον αὐτῇ;

Κινήσεις δ᾽ ἐναντίαι εἰσὶν, ἢ μᾶλλον μεταβολαὶ, Γένεσις καὶ Φθορὰ, Αὔξησις καὶ Μείωσις. Ἐπὶ δὲ τῆς Ἀλλοιώσεως, Θέρμανσις καὶ Ψύξις, Λεύκανσίς τε καὶ Μέλανσις, καὶ ἄλλαι συζυγίαι διάφοροι. Ἐπὶ δὲ τῆς κατὰ τόπον μεταβολῆς, ἡ Ἄνω καὶ ἡ Κάτω ὡς ἐν Μήκει· ἡ εἰς τὰ Δεξιὰ καὶ ἡ εἰς τὰ Ἀριστερὰ ὡς ἐν Πλάτει· ἡ εἰς Τοὔμπροσθεν καὶ ἡ εἰς Τοὔπισθεν, ὡς ἐν Βάθει. Τῶν τοιούτων δὲ τοπικῶν κινήσεων ἐπ᾽ εὐθείας οὐσῶν, ἡ Ἄνω καὶ ἡ Κάτω μόναι κυρίως Ἁπλαῖ. πασῶν γὰρ τῶν κατὰ τόπον μεταβολῶν, τρεῖς αἱ κυρίως Ἁπλαῖ· Ἡ περὶ τὸ τοῦ παντὸς μέσον, ἥτις ἐστὶν ἡ Κύκλῳ· Ἡ ἀπὸ τοῦ μέσου, ἥτις ἐστὶν ἡ Ἄνω· καὶ Ἡ ἐπὶ τὸ μέσον, ἥτις ἡ Κάτω. Μόναι δ᾽ αὗται κυρίως Ἁπλαῖ, διότι ταύτας μόνας κινοῦνται φυσικῶς τὰ δοκοῦντα τῶν Σωμάτων Ἁπλᾶ. Πᾶσα δ᾽ ἁπλῆ Κίνησις, ἁπλοῦ τινός ἐστι σώματος κατὰ φύσιν, καὶ παντὸς ἁπλοῦ σώματος ἡ φυσικὴ Κίνησις, Ἁπλῆ τίς ἐστι.

Ταῖς μὲν οὖν ἐπ᾽ Εὐθείας Φοραῖς Ἐναντίωσις, ὡς εἴρηται, πρόσεστι· τῇ Κύκλῳ δὲ κινήσει, κίνησιν οὐδεμίαν ἐναντίαν εἶναί φασι. Καὶ ὅτι μὲν οὐκ Ἐναντιοῦνται ἀλλήλαις, ἡ ἐξ Ἀνατολῆς εἰς Δυσμὰς, καὶ ἡ ἐκ Δυσμῶν εἰς Ἀνατολὰς, ἔγνωσται. Καὶ γὰρ αἱ τῶν Πλανητῶν Σφαῖραι, καὶ ἄμφω ταύτας τὰς περιφορὰς περιφέρονται· τὴν μὲν, κατὰ φύσιν, τὴν ἐκ Δυσμῶν εἰς Ἀνατολὰς· τὴν δὲ, βιαίως καὶ ὑπὲρ φύσιν, ὡς ἰσχυροτέρᾳ καὶ κρείττονι τῇ ἀπλανεῖ συμπεριαγόμεναι πρὸς Δυσμὰς ἐξ Ἀνατολῶν. Ἐναντίαι οὖν αἱ εἰρημέναι οὖσαι περιφοραὶ, πῶς ἂν συνεῖεν ἀλλήλαις ἐν τῷ αὐτῷ χρόνῳ καθ᾽ ἓν ὑποκείμενον;

Ὅτι δὲ μηδ᾽ ἐπ᾽ Εὐθείας Κίνησις ἐναντιοῦται Κινήσει Περιφερεῖ, τοιουτοτρόπως κατασκευάζουσιν. Αἱ ἐπ᾽ Εὐθείας Κινήσεις ἐναντίαι ἀλλήλαις εἰσίν. Ἓν δ᾽ ἐναντίον ἑνί. καὶ διὰ τοῦτο, οὐδεμία τῶν ἐπ᾽ Εὐθείας Φορῶν, ἐναντιοῦται τῇ Κύκλῳ, ἵνα μὴ πλείω ἐναντία ἀντιταχθεῖεν ἑνί. Μήποτε δ᾽ οὐκ ἔστιν ἀνεπίληπτος ἡ τοιαύτη κατασκευὴ, ὡς τινες ἐφιστῶσιν. Οὐ γὰρ ἀδύνατον τὰς

ἐπ᾽

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπ᾽ Εὐθείας Κινήσεις τῇ Κύκλῳ τε καὶ ἀλλήλαις ἐναντιοῦσθαι κατ᾽ ἄλλο καὶ ἄλλο, καὶ οὕτω πάλιν ἓν ἐναντίον ἑνὶ κατὰ λόγον εὑρίσκεσθαι. Καθ᾽ ὃ μὲν γὰρ ἡ μὲν Ἄνω τῶν ἐπ᾽ Εὐθείας Κινήσεων τῶν ἁπλῶν· ἡ δὲ Κάτω, μάχονται ἀλλήλαις, κατὰ τὴν τῶν τόπων ἐναντιότητα. Καθ᾽ ὃ δ᾽ αἱ μὲν ἐπ᾽ Εὐθείας ἀπ᾽ ἄλλων σημείων ἄρχονται, καὶ εἰς ἕτερα καταλήγουσιν· ἡ δὲ κύκλῳ Κίνησις ἀπὸ τοῦ αὐτοῦ ἄρχεται καὶ εἰς τὸ αὐτὸ καταντᾷ. Καὶ καθ᾽ ὃ πάλιν, αἱ μὲν ἐπ᾽ Εὐθείας, ἄκλαστοι κατὰ πᾶν εἰσι μόριον, ἡ Κύκλῳ δὲ μηδὲ τὸ τυχὸν ἔχει μόριον ἄκλαστον. Ἔτι δὲ καθ᾽ ὃ τὰς μὲν ἐπ᾽ Εὐθείας, δὶς ἐπὶ τῶν αὐτῶν ἄνευ Ἠρεμίας γενέσθαι ἀδύνατον. ἡ δὲ Κύκλῳ τὴν αὐτὴν ἄνευ Ἠρεμίας μυριάκις περίεισι. Καὶ, ὅτι τῶν μὲν ἐπ᾽ Εὐθείας οὐδεμία ἐστὶν Ὁμαλής, τῇ Κύκλῳ δὲ δυνατὸν ἀεὶ τυγχάνει τὸ Ὁμαλές. Κατὰ ταῦτα δὴ τὰ ἰδιώματα τῶν Κινήσεων, οὐ μὴν κατὰ τὴν τῶν τόπων ἐναντιότητα, τῇ Κύκλῳ πρὸς τὰς ἐπ᾽ Εὐθείας Ἐναντίωσις εὑρεθήσεται, τῶν ὅλων εὐθειῶν κινήσεων ὡς μιᾶς λαμβανομένων πρὸς τὴν ἀντίθεσιν τῆς περιφεροῦς.

Τοιοῦτος δὲ τρόπος Ἀντιθέσεων καὶ ἐπ᾽ ἄλλων πραγμάτων εὑρίσκεται. Τὸ γὰρ Ἴσον καὶ τὸ Μέτριον ἀντίκειται, τῷ ὑπερέχοντι, καὶ τῷ ὑπερεχομένῳ, τῷ Μείζονι, λέγω, καὶ τῷ Ἐλάττονι. Πάλιν δ᾽ ἀλλήλοις ἀντίκεινται τὸ Μεῖζόν τε καὶ τὸ Ἔλαττον. Οὕτω δὴ καὶ αἱ Ἀρεταὶ συμμετρίαι οὖσαι, ταῖς ἀσυμμετρίαις ἐναντιοῦνται, ταῖς ὑπερβολαῖς δηλονότι καὶ ταῖς ἐλλείψεσιν· Ὑπερβολαὶ δὲ καὶ Ἐλλείψεις ἀλλήλαις μάχονται, καὶ Κινήσεις Κινήσεσί τε καὶ Ἠρεμίαις ἀντιτίθενται, καὶ Ἠρεμίαι πάλιν ἀλλήλαις αἱ ἐν τοῖς ἐναντίοις τόποις καὶ ταῖς ἐναντίαις ποιότησιν ἢ ποσότησιν. οἷον, ἡ ἐν τῷ Ἄνω Ἠρεμία τῇ ἐν τῷ Κάτω· καὶ ἡ ἐν τῷ λευκῷ τῇ ἐν τῷ Μέλανι, καὶ ἁπλῶς αἱ πρὸ τῶν τοιῶνδε Κινήσεων ταῖς μετὰ τὰς τοιάσδε Κινήσεις. Ἄλλως δὲ τῇ Ἠρεμίᾳ ἡ Κίνησις, καὶ ἄλλως τῇ Κινήσει ἀντίκειται· τῇ μὲν γὰρ Κινήσει, ὡς ἐναντίῳ Εἴδει· τῇ δ᾽ Ἠρεμίᾳ, ὡς ἀποπτώσει τοῦ Εἴδους. Ὡς ἄκρα δὲ πάλιν αἱ Ἠρεμίαι ἀλλήλαις ἀνθίστανται. Τὸ μὲν οὖν ἐναντίωσιν ἔχειν καὶ τὴν Κυκλοφορίαν, ὅπως καὶ τίνα τρόπον εἴρηται.

τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοῖς δὲ πάσης Ἐναντιότητος ταύτην ὑπερεξαιρῦσι, σκοπός ἐςι τὸν Οὐρανὸν ἐντεῦθεν δεῖξαι δῆθεν ἀγένητον, ὅθεν καὶ ἄφθαρτον. Εἰ γὰρ τῶν ἐναντίων φασὶν ἐναντίαι καὶ αἱ Φοραὶ, ῥ τῇ Φορᾷ μὴ ἐςιν ἐναντία Φορὰ, ὐδ᾽ αὐτὸ ἔχει τι Ἐναντίον. Εἰ τοίνυν τῇ ὐρανίῳ Φορᾷ μὴ ἔςι τις ἐναντία Φορά. ὐδὲ τῷ Οὐρανῷ ἔςι τι Ἐναντίον· Τὸ γινόμενον δὲ καὶ φθειρόμενον, ἐξ ἐναντίȣ γίνεται καὶ εἰς ἐναντίον φθείρεται· Τὸ ὐράνιον ἄρα Σῶμα, μὴ ἔχον ἐναντίον, ἐξ ῥ γένοιτ᾽ ἄν, καὶ εἰς ὃ πάλιν φθαρείη, ἀγένητον καὶ ἄφθαρτον ἀποδείκνυται. Ἀλλ᾽ οἱ ταῦτα λέγοντες, ὅταν καὶ ἀναμφίλεκτον τὴν πρότασιν λάβοιεν τὴν τιθεῖσαν τὸ μηδεμίαν κίνησιν τῇ ὐρανίῳ Φορᾷ ἐναντίαν εἶναι, τότε τῆς Φυσικῆς Γενέσεως ἐξῃρημένον τὸν Οὐρανὸν συλλογίζονται, καὶ τῆς ὁμοίας Φθορᾶς, καθ᾽ ἃς καὶ τὰ Στοιχεῖα μεταβάλλει εἰς ἄλληλα, τῆς θατέρȣ Φθορᾶς γινομένης Γενέσεως τῦ λοιπῦ. Κατ᾽ ἄλλην δὲ Γένεσιν γενητὸν οἴδασι τὸν Οὐρανὸν οἱ Φρονῦντες ὀρθῶς· καθ᾽ ἣν ἐκ τῦ μὴ εἶναι ὅλως, τῷ θείῳ παρήχθη προςάγματι, καὶ ἀκολύθως καὶ Φθορᾷ παντελεῖ, κατὰ τὴν οἰκείαν φύσιν, ὑποκεῖσθαι αὐτὸν δογματίζυσι, τῇ τῦ δημιȣργήσαντος ἀγαθότητι τὴν ἐπὶ τὸ βέλτιον ἀλλαγὴν ἁπάσης αἰσθητῆς κτίσεως ἐπιψηφιζόμενοι.

## ΚΕΦΑΛΑΙΟΝ. ϛ΄.

### Περὶ Γενέσεως, καὶ Φθορᾶς.

Η Γένεσις καὶ ἡ Φθορὰ Κινήσεις ὐκ εἰσὶ κυρίως, ἀλλὰ μόνον Μεταβολαί. Μεταβολὴ δὲ ἐςὶ μετάβασις ἀπ᾽ ἄλλυ εἰς ἄλλο. Τὸ γὰρ ὄνομα τῆς Μεταβολῆς ἄλλο μετ᾽ ἄλλο δηλοῖ. τῦ μετὰ, σημαίνοντος, ὅτι τὸ μὲν, Πρότερόν ἐςιν ἐν τῇ Μεταβολῇ, τὸ δ᾽, Ὕςερον· Πρότερον μὲν, τὸ ἐξ ῥ μεταβάλλει τὸ μεταβάλλον· Ὕςερον δὲ, τὸ εἰς ὃ.

Θεωρεῖται δ᾽ ἡ Μεταβολὴ ἐν Ἀντιφάσει, καὶ ἐν τοῖς ἐναντίοις Εἴδεσι, τοῖς τε ἁπλῶς Ἐναντίοις, ἤγυν τοῖς ἄκροις, ὁποῖα τὸ Λευκὸν καὶ τὸ Μέλαν· καὶ τοῖς πῃ Ἐναντίοις,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἤτοι τοῖς Μεταξύ. Τὸ γὰρ Μεταξὺ τὸν τοῦ ἐναντίου λόγον ἔχει πρὸς ἑκάτερον τῶν ἄκρων· οἷον, τὸ ἧττον Λευκὸν πρὸς μὲν τὸ Μέλαν, Λευκόν ἐστι· Μέλαν δὲ, πρὸς τὸ μᾶλλον Λευκόν. Μίξει γὰρ τοῦ Μέλανος γίνεται τὸ ἧττον Λευκόν. Διὸ καὶ ὅταν εἰς τὸ μᾶλλον Λευκὸν μεταβάλλῃ τὸ ἧττον Λευκὸν, ὡς ἐκ Μέλανος γίνεται πρὸς τὸ Λευκὸν ἡ Μεταβολή. Τὸ γὰρ ἧττον Λευκὸν κατὰ, τὸ ἐν αὐτῷ Μέλαν, μεταβάλλει πρὸς τὸ μᾶλλον Λευκόν. Ὅθεν καὶ μερικὴ γίνεται ἡ Μεταβολή. Ὡσαύτως καὶ ὅτε τὸ μᾶλλον Λευκὸν εἰς τὸ ἧττον μεταβάλλει Λευκὸν, ὡς ἐκ Λευκοῦ πρὸς Μέλαν γίνεται ἡ Μεταβολή. Πρὸς γὰρ τὸ ἐν τῷ ἧττον Λευκῷ Μέλαν, μεταβάλλει τι τοῦ μᾶλλον Λευκοῦ. Διά τοι τοῦτο ἡ ἐκ τῶν μεταξὺ πρὸς τὰ μεταξὺ Μεταβολὴ, πῇ λέγεται· ἡ δ' ἐκ τῶν ἄκρων, ἁπλῶς καλεῖται Μεταβολή. Ἔστι δ' ἐπιπλέον τῆς Κινήσεως ἡ Μεταβολή. Πᾶσαι μὲν γὰρ αἱ ἀπὸ τοῦ Δυνάμει εἰς τὸ Ἐνεργείᾳ πρόοδοι, μένοντος ἔτι τοῦ Δυνάμει, Μεταβολαί εἰσιν.

Ἀλλὰ τούτων, ὅσαι μὲν μόνον ἐξ ἐναντίων ὁπωσοῦν Εἰδῶν εἰς ἐναντία Εἴδη μετελεύσεις εἰσὶν, ὑπομένοντος τοῦ Ὑποκειμένου καὶ μεταβάλλοντος, αὗται Κινήσεις ὀνομάζονται κυριώτερον. Ὅσαι δὲ τοῦ Ὑποκειμένου μὴ ὑπομένοντος, εἴτ' ἐξ ἐναντίων Εἰδῶν εἰς ἐναντία μεταβαίνουσιν Εἴδη, εἴτε μὴ ἐξ ἐναντίων Εἰδῶν εἰς ἐναντία Εἴδη, ἀλλὰ κατ' ἀπόπλωσιν καὶ ἀπουσίαν θατέρου τῶν Εἰδῶν ἐμφαινομένην τὴν ἐναντίωσιν ἔχουσιν, ἐν τοῖς ἐξ ὧν καὶ εἰς ἃ μεταβάλλουσιν, αὗται καλοῦνται Μεταβολαὶ μόνον κυρίως, ἀλλ' οὐ Κινήσεις· αἵτινές εἰσιν ἡ Γένεσις καὶ ἡ Φθορὰ, κατ' Οὐσίαν οὖσαι Μεταβολαί. Γίνεται γὰρ τὸ γινόμενον καὶ φθείρεται τὸ φθειρόμενον ἐξ ἐναντίου εἰς ἐναντίον, εἴτε καὶ ἀμφοτέρων ὄντων εἰδῶν, εἴτε θατέρου ὄντος ἀποπλώσεως τοῦ λοιποῦ. Οὐδὲ γὰρ ἐξ ἀνάγκης Εἴδει παντὶ Εἶδος ἐναντίον ἐστί. Τί γὰρ τῷ ἀνθρώπῳ ἐναντίον Εἶδος ἔσοιτ' ἂν ἢ τῷ μουσικῷ; Ἀπουσία δὲ θατέρου Εἴδους ἤγουν ἡ Στέρησις εὑρίσκεται πανταχοῦ. Ἀλλὰ ποτὲ μὲν ἡ Στέρησις μετὰ τελείου Εἴδους ἐστὶ, τελείας τὰς αὐτοῦ συστατικὰς ποιότητας ἔχοντος, ὥσπερ ἡ ἐν τῷ Ὕδατι Στέρησις τοῦ Πυρὸς, σύνεστι τῷ Εἴδει τοῦ

Ὕδατος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὕδατος τελείῳ ὄντι, καὶ τελείας τὰς ἐν αὐτῷ Ποιότητας ἔχοντι, τὴν Ψυχρότητα δηλονότι καὶ τὴν Ὑγρότητα, τὰς ἐναντίας ταῖς Ποιότησι τοῦ Πυρός· καὶ διὰ τοῦτο τὸ Πῦρ, οὐ μόνον ἐκ τῆς οἰκείας Στερήσεως, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ἑαυτῷ Εἴδους λέγεται γίνεσθαι. Ὅταν δὲ μὴ Εἴδει τελείῳ συνυπάρχῃ ἡ Στέρησις, ἀλλ' ὑλικῷ τινι ἐπιτηδείως ἔχοντι δέξασθαι τὸ Εἶδος τὸ ἀντικείμενον τῇ Στερήσει, ὡς ἡ ἐν τῷ Σπέρματι Στέρησις τοῦ ζώου, τότε οὐκ ἐξ Εἴδους ἐναντίου, ἀλλ' ἐξ ἀπουσίας Εἴδους, ἤτοι Στερήσεως, λέγεται γίνεσθαι τὸ γινόμενον· οὐχ ὅτι οὐκ ἔστιν Εἶδός τι καὶ τὸ Σπέρμα, ἀλλ' ὅτι ἀτελὲς εἶδος καὶ ὕλης λόγον ἐπέχον, πρὸς τὴν τοῦ τελείου Εἴδους ὑπόστασιν, καὶ εἰς ἐκεῖνο τὴν ὅλην κεκτημένον τὴν ἀναφοράν.

Εἰσὶ δέ τινες ἴσως κἂν τῷ Σπέρματι Ποιότητες, ἐναντίωσιν ἔχουσαι πρὸς τὰς τοῦ ἀποτελουμένου Ποιότητας, ἀλλ' ἀτελεῖς καὶ αὗται, καὶ οὐχ ὡς αἱ τῶν τελείων Εἰδῶν τέλειαι. Διό, ὅσαι μὲν ἐναντίαι πως ταῖς τοῦ ἀποτελουμένου Ποιότησίν εἰσιν ἐν τῷ Σπέρματι, πρὸς τὰς τοῦ ἀποτελουμένου ποιότητας μεταβάλλωσι, τοῦ μὲν ὑγροῦ τοῦ ἐν τῷ Σπέρματι ξηραινομένου, τοῦ δὲ σφαιρικοῦ ἐκλειπομένου. Ὅσαι δ' ὁμοειδεῖς ταῖς τοῦ ἀποτελουμένου εἰσίν, ἐκ τοῦ ἀτελοῦς μεταβάλλουσι πρὸς τὸ τέλειον. Διὰ γοῦν τὸ ἀτελὲς τῆς διαθέσεως τοῦ ὑποκειμένου, ὅταν ἐκ Σπέρματος τὸ Ζῶον, ἢ ἐξ Ἀμούσου λέγηται τὸ μουσικόν· οὐκ ἐξ ἐναντίου Εἴδους, ἀλλ' ἐκ τῆς ἀπουσίας τοῦ Εἴδους καὶ τῆς Στερήσεως λέγεται γίνεσθαι. Διὰ ταῦτά τοι καὶ ἐξ ἐναντίου γίνεσθαι καὶ εἰς τοὐναντίον φθείρεσθαι λέγεται πᾶν τὸ γινόμενον καὶ φθειρόμενον, καὶ Γένεσις πᾶσα καὶ Φθορὰ φυσικὴ κοινῶς λέγονται κατ' Ἀντίφασιν. Τὸ γὰρ ὂν καὶ τὸ μὴ ὄν, καθ' ὃ τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν, ἐναντία Εἴδη ὄντα, τὴν Ἀντίθεσιν ἀντιφατικῶς ποιοῦνται πρὸς ἄλληλα. Γένεσις δὲ ἐστιν ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν Μεταβολὴ καὶ μετάβασις, ἤγουν ἡ μεταξὺ ὁδὸς τῆς ἀπὸ τοῦ μὴ εἶναι, εἰς τὸ εἶναι τοῦ πράγματος ἀποκαταστάσεως. Φθορὰ δέ, ἡ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὂν ὁμοίως Μεταβολή, τοῦ ὄντος καὶ μὴ ὄντος Ἐνεργείᾳ λαμβανομένων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ λέγονται δὲ κυρίως Κινήσεις ἡ Γένεσις καὶ ἡ Φθορά· διότι κἂν ἀτελὴς ἐνέργεια ἡ κίνησις, κἂν παθητική, πλὴν τὸ κινούμενον Ἐνεργείᾳ ὄν, καὶ ὑπομένον, κινεῖσθαι χρή· τὸ δὲ μὴ ὂν Ἐνεργείᾳ, μηδ᾽ ὑπομένον, οὐδὲ κινούμενόν ἐστιν. Οὐδὲ γὰρ ὥσπερ ὁ Ἄνθρωπος Ἐνεργείᾳ ὢν καὶ μένων Ἄνθρωπος κινεῖται, κατά τι τῶν ἐν αὐτῷ συμβεβηκότων αὐξόμενος ἢ λευκαινόμενος ἢ φερόμενος· οὕτω καὶ ἡ Ὕλη μεταβάλλει κατὰ τὴν Γένεσιν. Διά τοι τοῦτο, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πρόοδος, οὐκ ἔστι Κίνησις. Ἐπεὶ δὲ τὴν Ὕλην οὐ λέγομεν ὑφεστηκέναι καθ᾽ ἑαυτὴν (οὐδὲ γὰρ ἐξ Ὕλης καὶ Εἴδους τὰ σώματα λέγοντες, ἐκ προϋπαρχούσης Ὕλης ἢ προϋφεστῶτος Εἴδους τὴν τῶν σωμάτων τιθέμεθα σύστασιν, ἀλλ᾽ ὅτι λόγῳ μόνῳ διακρίνοντες ἀπ᾽ ἀλλήλων τὴν Ὕλην καὶ τὸ Εἶδος, δυνάμεθα θεωρεῖν ἑκάτερον καθ᾽ αὑτό· καὶ γὰρ οὐδέτερον ὑποστῆναι δύναται θατέρου χωρίς.) ὅπερ ὡς Ὕλη λαμβάνεται, καὶ λέγεται μὴ ὄν, καὶ τοῦτο μετὰ Εἴδους εὑρίσκεται, ἢ τελείου, ἢ ἀτελοῦς· καὶ ὄν τί ἐστι ὅλως. Λέγεται δὲ μὴ ὄν, ἐπείπερ Ἐνεργείᾳ οὐκ ἔστιν, ὃ γίνεται. Τὸ δὴ τοιοῦτο μὴ ὂν οὐ κινεῖται, οὔτε καθ᾽ ἑαυτὸ οὔτε κατὰ συμβεβηκός. Οὔτε γὰρ καθ᾽ ὃ μή ἐστι κινεῖται, οὔτε τῷ ἄλλο τι εἶναι ἐνεργείᾳ, τὸ αὐτὸ μένον κινεῖσθαι δύναται· οἷον τὸ Σπέρμα, οὔτε καθ᾽ ὃ Ζῷον κινεῖται· (οὐδὲ γάρ ἐστιν.) οὔτε καθ᾽ ὃ Σπέρμα. Καὶ γὰρ εἰ πόσως μεταβάλλει κατὰ Γένεσιν, τῆς ἑαυτοῦ ἐξίσταται Φύσεως, καὶ μεταβάλλον οὐ μένει Σπέρμα, ἀλλὰ ἀεὶ ἄλλοτε ἄλλο γίνεται, κατὰ τὴν Μεταβολήν. Εἰ τοίνυν τὸ οὕτω μὴ ὄν, οὐ δύναται διὰ ταῦτα κινεῖσθαι· ἡ δ᾽ ἐκ τοῦ οὕτω μὴ ὄντος Μεταβολὴ Γένεσίς ἐστιν· οὐκ ἔστιν ἄρα ἡ Γένεσις Κίνησις, ἀλλ᾽ οὐδ᾽ Ἠρεμία. Τὸ γὰρ πεφυκὸς κινεῖσθαι, τοῦτο καὶ ἠρεμεῖ μὴ κινούμενον, ὅπερ ἐστὶ τὸ Ἐνεργείᾳ ὄν. Ὃ δὲ κινεῖσθαι ἀδύνατον, τοῦτο καὶ ἠρεμεῖν ἀδύνατον. Ὥστε οὐκ ἔστιν ἡ Γένεσις, οὔτε Κίνησις, οὔτε Ἠρεμία. Εἰ δ᾽ ἔχει ταῦθ᾽ οὕτως, οὐδ᾽ ἡ Φθορὰ, Κίνησίς ἐστιν, οὔτε μὴν Ἠρεμία. Τῇ κινήσει γὰρ, ἡ Κίνησις, ἡ Ἠρεμία τὸ ἀντικείμενον. Εἰ δὲ μηδ᾽ ἕτερον οὖσα τούτων ἡ Γένεσις δέδεικται, πῶς ἂν εἴη Κίνησις ἡ Φθορά; Πῶς δὲ πάλιν Ἠρεμία, μὴ οὔσης Κινήσεως τῆς Γενέσεως,

ἥπερ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἥπερ ἀντίκειται ἡ Φθορά; Οὐκ ἄρα ἡ Γένεσις καὶ ἡ Φθορὰ Κινήσεις, οὔτε Ἠρεμίαι· μόνον δὲ Μεταβολαί. Κινήσεις δὲ μὴ οὖσαι, Ἠρεμίαν ἀντικειμένην οὐχ ἕξουσιν, ἀλλ' Ἀμεταβλησίαν ὡς μεταβολαί, Ἀμεταβλησίαν ἀναλογοῦσαν τῇ Ἠρεμίᾳ. Καθὼς γὰρ ἡ Ἠρεμία, ἀπουσία κινήσεως· οὕτως ἡ Ἀμεταβλησία, ἀπουσία μεταβολῆς. Ὥσπερ οὖν Ἠρεμιῶν, οὕτω καὶ Ἀμεταβλησιῶν Ἀντίθεσις εὑρεθήσεται· καὶ ἔσονται ἡ ἐν τῷ ὄντι Ἀμεταβλησία, καὶ ἡ ἐν τῷ μὴ ὄντι, ἀλλήλαις ἀντιθετούμεναι. Περὶ μὲν οὖν τῶν κατ' Οὐσίαν Μεταβολῶν, ἤγουν τῆς ἁπλῶς Γενέσεως καὶ Φθορᾶς, εἰρήσθω τοσαῦτα κατ' ἐπιτομὴν ὑπομνήσεως.

Λέγονται δὲ καὶ αἱ κατὰ συμβεβηκὸς Μεταβολαί, Γενέσεις τινὲς καὶ Φθοραί τινες· οἷον, ἡ μὲν Αὔξησις, Γένεσίς τις· Φθορὰ δέ τις, ἡ Μείωσις. Καὶ οὐχ ὥσπερ λέγομεν ὅτι γέγονε τὸ ζῶον, ὅτ' ἐκ σπέρματος γένοιτο· καὶ ὅτι ἔφθαρται, ὅτε δὴ τεθναίη· τὸν αὐτὸν τρόπον λέγομεν ὅτι γέγονε τὸ ζῶον ἁπλῶς, ὅταν γένηται δίπηχυ τυχόν, ἀλλ' ὅτι γέγονε τὸ ζῶον δίπηχυ, καὶ ἔφθαρται τοῦ ζώου τὸ δίπηχυ· καὶ γέγονε τὸ ζῶον λευκόν, καὶ ἔφθαρται τοῦ ζώου τὸ λευκόν. Καὶ ἐπ' Ἀλλοιώσεως γὰρ ἡ μὲν Λεύκανσις, Γένεσίς τις λέγεται· Φθορὰ δέ τις, ἡ Μέλανσις. Κοινὸν γάρ ἐστιν ἐν ἁπάσαις Κατηγορίαις, (εἴτε Γένεσις ἁπλῶς θεωροῖτο, καθάπερ ἐν Οὐσίαις· εἴτε τις Γένεσις, καθὼς ἐν συμβεβηκόσι.) τὸ τὴν μὲν ἐπὶ τὰ κρείττω καὶ τιμιώτερα Μεταβολήν, γένεσιν λέγεσθαι· Φθοράν δὲ, τὴν ἐπὶ τὰ χείρω καὶ ἀτιμώτερα, οἷον, ἐπὶ τῶν Οὐσιῶν, ἡ μὲν ἀπὸ τῆς Γῆς Μεταβολὴ πρὸς τὸ Πῦρ, Γένεσις ἁπλῶς λέγεται· Φθορὰ δέ τις. Ἡ δ' ἀπὸ τοῦ Πυρὸς εἰς τὴν Γῆν, Φθορὰ μὲν καλεῖται ἁπλῶς, Γένεσις δέ τις, τῷ κρείττω καὶ τιμιωτέραν καὶ μᾶλλον οὐσίαν εἶναι τὴν ὕπαρξιν τοῦ Πυρὸς· χείρω δὲ καὶ ἀτιμωτέραν καὶ ἧττον οὐσίαν τῆς γῆς τὴν ὑπόστασιν. Εἴδει μὲν γὰρ ἀναλογεῖ τὸ Πῦρ, Ὕλῃ δὲ καὶ Στερήσει, ἡ Γῆ. Ἐπεὶ γὰρ ἡ μὲν Ὕλη περιέχεται ὑπὸ τοῦ Εἴδους· τὸ δὲ Εἶδος περιέχει τὴν Ὕλην, πέρας ὂν καὶ ὅρος αὐτῆς· (περαίνει γὰρ καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁρίζει τὸ τῆς ὕλης ἄπειρόν τε καὶ ἀόριστον.) καὶ ἐπὶ τῶν εἰδοπεποιημένων ἤδη σωμάτων τῶν κατὰ τὸν τόπον φυσικῶς κινουμένων, τὸ μὲν περιεχόμενον, Ὕλης ἂν ἔχοι λόγον· (τοιοῦτον δὲ τὸ βαρὺ, καὶ ἐν μέσῳ, τουτέστιν ἡ Γῆ·) τὸ δὲ περιέχον, Εἴδους. (τοιοῦτον δὲ τὸ κοῦφον καὶ ἄνω, τουτέστι τὸ Πῦρ.) καὶ τῶν μεταξὺ δὲ σωμάτων, ἤγουν τοῦ Ἀέρος καὶ τοῦ Ὕδατος, τὸ μὲν περιεχόμενον, ὅπερ ἐστὶ τὸ Ὕδωρ, Ὕλης ἂν ἔχοι λόγον πρὸς τὸν Ἀέρα τὸν περιέχοντα· Εἴδους δὲ λόγον ὁ Ἀὴρ, πρὸς τὸ Ὕδωρ τὸ περιεχόμενον ὑπ᾽ αὐτοῦ. Διὸ μὴ μόνον ἐπὶ Γῆς καὶ Πυρὸς, ἡ μὲν ἀπὸ Γῆς εἰς Πῦρ Μεταβολὴ, Γένεσις ἁπλῶς λέγοιτ᾽ ἂν, Φθορὰ δέ τις· ἡ ἀπὸ Πυρὸς δ᾽ εἰς Γῆν, Φθορὰ μὲν ἁπλῶς, Γένεσις δέ τις· ἀλλὰ καὶ ἐφ᾽ ὕδατος καὶ Ἀέρος ἡ μὲν ἀφ᾽ Ὕδατος εἰς Ἀέρα Μεταβολὴ καλοῖτ᾽ ἂν ἁπλῶς Γένεσις, Φθορὰ δέ τις· ἡ δ᾽ ἀπ᾽ Ἀέρος εἰς Ὕδωρ Μεταβολὴ, Φθορὰ μὲν ἁπλῶς, Γένεσις δέ τις.

Οὐ μόνον δ᾽ ἐπὶ τῶν οὐσιῶν ἐστιν ἡ εἰρημένη Ἀναλογία, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς γένεσιν. Ἐν μὲν τῷ Ποσῷ, τὸ Μέγα καὶ τὸ Πολὺ, Εἴδει ἀναλογεῖ· τὸ Μικρὸν δὲ καὶ τὸ Ὀλίγον, Ὕλῃ· καὶ ἡ μὲν Αὔξησις, Εἴδει· ἡ δὲ Μείωσις, Ὕλῃ· διὸ καὶ ἡ μὲν τῇ Γενέσει ἔοικεν· ἡ δὲ, τῇ Φθορᾷ. Ἐν δὲ τῷ Ποιῷ, τὸ μὲν Λευκὸν καὶ τὸ Θερμὸν, Εἴδει ἀναλογεῖ· τὸ δὲ μέλαν καὶ τὸ Ψυχρὸν, Ὕλῃ· ὅθεν καὶ λεύκανσις καὶ θέρμανσις Γενέσεις εἶεν ἄν· Φθοραὶ δὲ, μέλανσίς τε καὶ ψύχρανσις. Ὅλως γὰρ ἐν ταῖς Ἀντιθέσεσι τὰ κρείττω μὲν, ὡς Εἴδει ἀναλογοῦντα λαμβάνεται· ὡς Ὕλῃ δὲ καὶ Στερήσει, τὰ καταδεέστερα. Διὸ καὶ καθ᾽ ὅλου πᾶσα διάκρισις, Γένεσις ὅλως κληθείη ἄν· Φθορὰ δὲ τοὐναντίον ἡ σύγκρισις, ὅτι κρεῖττον ἡ διάκρισις δοκεῖ τῆς συγκρίσεως.

Τὸ Κρεῖττον δὲ καὶ τὸ Χεῖρον, ἐν πᾶσι θεωρεῖται τοῖς οὖσιν. Οὕτω τοι καὶ Πυθαγόρειοι Συστοιχίας τινὰς ἀντικειμένας ἐξεῦρον δέκα τὸν ἀριθμὸν, ὑφ᾽ ἃς ὥσπερ εἰς Ἀρχὰς τὰ ὄντα πάντα συνάγουσι. καὶ ἡ μὲν Κρείτ-

των

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

| των μοῖρα παρ' αὐτοῖς. ἔστιν αὐτή. | ἡ δ' ἀντικειμένη καὶ Χείρων, αὐτή. |
|---|---|
| Ἀγαθόν. | Κακόν. |
| Πέρας. | Ἄπειρον. |
| Περιττόν. | Ἄρτιον. |
| Ἕν. | Πλῆθος. |
| Δεξιόν. | Ἀριστερόν. |
| Φῶς. | Σκότος. |
| Ἄῤῥεν. | Θῆλυ. |
| Ἠρεμοῦν. | Κινούμενον. |
| Εὐθύ. | Καμπύλον. |
| Τετράγωνον. | Ἑτερόμηκες. |

Ὅταν μὲν οὖν ἐξ ἄλλης Οὐσίας εἰς ἄλλην Οὐσίαν μετάβασις γίνηται, ἢ ἐξ ἀτελοῦς, ὡς ἐκ σπέρματος Ζῶον, ἢ ἐκ τελείας, ὡς ἐξ Ὕδατος Ἀήρ, τότε Γένεσίς ἐστιν ἁπλῶς. Ὅταν δὲ γίνηται περί τι εἰδοπεποιημένον Μεταβολή, κατά τι τῶν συμβεβηκότων αὐτῷ· οἷον, ὅταν τὸ Ὕδωρ θερμαίνηται, τῆς ὑδατηρᾶς μὴ ἐξιστάμενον φύσεως, τότε τὶς μὲν ἐστι Γένεσις, τοῦ θερμοῦ δηλονότι· τὸ δ' ὅλον, Ἀλλοίωσις. Ἡ μὲν γὰρ ἁπλῶς Γένεσις, ἄλλο ποιεῖ· ἀλλοῖον δὲ, ἡ Ἀλλοίωσις. Ὅταν δέ τινι τῶν εἰδῶν ὁμοίου τινὸς πρόσθεσις ἐξ ἀνομοίου γένηται δι' ἀλλοιώσεως, κἀντεῦθεν ἐπίδοσις τοῦ ὄγκου καὶ τοῦ ποσοῦ τοῦ ἐν σώματι, Γένεσις μέν τις ἐστι καὶ τὸ τοιοῦτον· τὸ δὲ σύμπαν, Αὔξησις· οἷον, ὅταν τῷ Πυρὶ ξύλων προστεθέντων καὶ ἐξαφθέντων, ἐπίδοσις γένηται τῆς Φλογός. Ὅταν δ' ἀπὸ παρατρίψεως ξύλων ἢ λοιπῶν σωμάτων γένηται Πῦρ, τὸ τοιοῦτον οὐκ Αὔξησις πυρός, ἀλλὰ Γένεσίς ἐστι μόνον. Ὅταν δὲ πῦρ πυρὶ προστεθείη, προσθήκη μόνον καλεῖται πυρός. Ὡσαύτως δ' ἔχει κἀπὶ τῶν ἄλλων ἀψύχων Σωμάτων.

Ἀλλὰ δὴ κἀπὶ τῶν Ἐμψύχων οὕτως Αὔξησις γίνεται, τῆς τροφῆς ἐξομοιουμένης δηλονότι τῷ τρεφομένῳ, διὰ τῆς ἐν αὐτῷ ἀλλοιωτικῆς δυνάμεως καὶ προστιθεμένης αὐτῷ· κἀντεῦθεν τῆς τῶν σωμάτων ἐπιδιδούσης κατ' ἀναλογίαν ὁλότητος, τῆς μὲν προστιθεμένης οὐσίας μὴ διϊούσης διόλου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάντη τοῦ σώματος, προωθούσης δὲ τὴν πρὸ αὐτῆς, κἀκείνης ὡσαύτως τὴν πρὸ ἐκείνης, καὶ οὕτω τῆς ὅλης πλείονος γινομένης, καὶ κατὰ λόγον ἐπιδιδόντος πάντη τοῦ σώματος· ὥσπερ τοὐναντίον ἐπὶ τοῦ μειουμένου καὶ ῥυτιδουμένου σώματος, τῶν πλησίων κινουμένων μορίων, τὸ πᾶν σῶμα πάσχει τὴν μείωσιν κατὰ μετώθησίν τινα, καὶ μεθ' ὑποχώρησιν πανταχῇ γινομένης τῆς Μειώσεως. Οὔτε δὲ τὸ ἀποῤῥέον καὶ ἀφιστάμενον λέγεται μειοῦσθαι, οὔτε τὸ προστιθέμενον αὔξεσθαι· κἂν τὸ μὲν ἔλαττον δοκῇ διὰ τοῦ ἀφαιρεῖσθαι γινόμενον, τὸ δὲ μεῖζον διὰ τοῦ προστίθεσθαι. Τὸ γὰρ μειούμενον καὶ τὸ αὐξόμενον, ὑπομένοντα χρὴ, τὸ μὲν τὴν μείωσιν πάσχειν, τὸ δὲ τὴν αὔξησιν δέχεσθαι. Κἂν ποτε ἡ τροφὴ μεταβάλλῃ εἰς Πνεῦμα, οὐκ αὔξεται. Φθορὰ γάρ ἐστιν αὐτῆς ἡ ἐμπνευμάτωσις, ἀλλ' οὐκ Αὔξησις.

Κἂν τούτῳ διαφέροι ἂν Ἀλλοιώσεως Αὔξησις, ὅτι τὸ μὲν ἀλλοιοῦν, ἔστιν ὅτε ἀνταλλοιοῦται, καθάπερ τὰ ἱμάτια ψυχρὰ ὄντα, θερμαίνομεν ἡμεῖς καὶ ἀντιθερμαινόμεθα ὑπ' αὐτῶν, καὶ ὁ ἐν τοῖς βαλανείοις ἀὴρ ἡμᾶς θερμαίνων, ἀντιθερμαίνεται ὑφ' ἡμῶν. τὸ δ' αὖξον οὐκ ἀνταύξεται πώποτε, προστιθέμενον δὲ τῷ αὐξομένῳ, καὶ εἰς τὴν τοῦ αὐξομένου μεταβάλλον οὐσίαν, ὑπὸ τῆς ἐν αὐτῷ δὴ τῷ αὐξομένῳ δυνάμεως Φυσικῆς, οὕτω τὴν Αὔξησιν ἀπεργάζεται, τῶν ὁμοιομερῶν δηλονότι πρώτως δεχομένων αὐτὴν, κἀντεῦθεν καὶ τῶν ἀνομοιομερῶν. Τοῦτο δὲ γίνεται, ὅταν τὸ προστιθέμενον ὑπερβάλλῃ τοῦ ἀφαιρουμένου, κατὰ τὸ Ποσόν. Τῆς γὰρ σωματικῆς Ὕλης ἐν συνεχεῖ καθεστηκυίας ἐπιῤῥοῇ τε καὶ ἀποῤῥοῇ, ὅταν μὲν τὸ ἐπεισρέον καὶ εἰσιὸν, πλεῖον εἴη τοῦ ἀποῤῥέοντος καὶ ἀφισταμένου, Τροφὴ καὶ Αὔξησις γίνεται· ὅταν δ' ἴσον, Τροφὴ μόνον· ὅταν δέ γε καὶ ἔλαττον, Τροφὴ καὶ Μείωσις, συντελοῦντος τοῦ ἐπεισιόντος εἰς μόνην τοῦ εἴδους τινὰ φυλακήν. Ἔστι γὰρ καὶ τοῦ Ποσοῦ μειουμένου τὸ Εἶδος φυλάττεσθαι. Οὐ γάρ ἐστιν ἡ μείωσις καὶ ἡ φθίσις, ἁπλῶς Φθορὰ, ἀλλά τις Φθορά· καθάπερ ἡ Αὔξησις, Γένεσίς τις. Ἐπὶ δὲ τῆς κατὰ τόπον Μεταβολῆς, ἡ μὲν ἄνω κατὰ φύσιν Φορὰ,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἡ εἰς τὰ Δεξιὰ, καὶ ἡ εἰς τὰ Ἔμπροσθεν, Γενέσεις ἂν εἶεν τινες. Φθοραὶ δέ τινες ἡ εἰς τὰ κάτω Φορὰ, καὶ ἡ εἰς τὰ ἀριστερὰ, καὶ εἰς τὰ ὄπισθεν.

## ΚΕΦΑΛΑΙΟΝ. Ζ'.

### Περὶ Φύσεως.

Φύσις ἐστὶν, ἀρχὴ Κινήσεως καὶ Ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. ἐπεὶ δ' ἡ Κίνησις ἐνέργεια τοῦ δυνάμει ἐλέγετο καθ' ὃ δυνάμει, ἀργία δὲ τούτου ἡ Ἠρεμία· τὸ δ' Αἴτιον τῆς τοιαύτης ἐνεργείας καὶ ἀργίας ἡ Φύσις ἐστὶν, ἤγουν ἡ παρὰ τοῦ Δημιουργοῦ τοῖς Φυσικοῖς ἐντεθεῖσα πᾶσιν ἐπιτηδειότης καὶ δύναμις οὐκ ἐπείσακτος, πρὸς τὸ ἀφ' ἑαυτῶν κινεῖσθαι καὶ μεταβάλλειν, καὶ πάλιν ἀφ' ἑαυτῶν παύεσθαι τῆς τοιαύτης Κινήσεως καὶ Μεταβολῆς, ἡ τοιαύτη τούτοις ἐντὸς οἰκοῦσα εὐφυΐα, Φύσις ὠνόμασται. Τὴν Κίνησιν δὲ παραλαμβάνομεν ἐνταῦθα κοινότερον ἀντὶ πάσης Μεταβολῆς. Ταύτης τῆς μεταβολῆς, ὥσπερ δὴ καὶ τῆς Ἀμεταβλητίας ἡ Φύσις αἰτία ἐστίν· Αἰτία δὲ προσεχής τε καὶ Κινητή. Κινουμένη γὰρ ἡ Φύσις κινεῖ.

Πρώτως δὲ καὶ ἀκινήτως καὶ κυρίως Αἰτία τῶν ἁπάντων καὶ αὐτῆς τῆς Φύσεως ὁ Θεός. Εἰ δὲ καὶ ποιεῖν ἡ Φύσις λέγεται, καὶ κατὰ λόγον ποιεῖν, ἀλλ' ὁ ποιητικὸς λόγος διττὸς· ὁ μὲν, γνωστικῶς ποιῶν, καὶ κυρίως ποιῶν· ὁ δὲ, γνώσεως μὲν ἄτερ, καὶ τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς, τεταγμένως δὲ καὶ ὡρισμένως καὶ προηγουμένου τινὸς τέλους ἕνεκα. Κατὰ τοῦτον τὸν λόγον ἡ Φύσις λέγεται ποιεῖν, ἄλογος οὖσα κατὰ τὸν πρῶτον λόγον. Ὅθεν εἰκότως ὀργανικὸν Αἴτιον ὁ Πλάτων ταύτην φησίν· ἐπείπερ ὥσπερ τὸ Σκέπαρνον ἢ ὁ Πρίων, οὐκ οἴδασιν οὐδὲν ἐν τοῖς τεχνητοῖς, οὕτως οὐδ' ἐν τοῖς Φυσικοῖς ἡ Φύσις. Πάντα δὲ μόνος ὁ δημιουργὸς Νοῦς προαιωνίως ἐπίσταται καὶ κυρίως ποιεῖ, μόνην ἐπιτηδειότητα κάτωθεν παρεχομένης τῆς Φύσεως, ἣν ἔλαβεν ἀπὸ τοῦ Δημιουργοῦ· αὐτοῦ δὲ τοῦ Δη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μιουργοῦ κατὰ τὸ οἰκεῖον θέλημα τὸ τέλος ἄνωθεν ἐπιλάμποντος.

Ὅθεν καὶ ἡ τῆς Φύσεως Ἐνέργεια, Πάθος μᾶλλόν ἐστι. πάσχουσα γὰρ ποιεῖ, καὶ κινουμένη κινεῖ. Οὕτως ἐστὶν ἡ Φύσις ἀρχὴ καὶ αἰτία Κινήσεως τῆς κατὰ τὸ κινεῖσθαι, καὶ Ἠρεμίας τῆς κατὰ τὸ ἠρεμίζεσθαι· ἀρχὴ δὲ καὶ αἰτία τῷ πράγματι ἐκείνῳ, ἐν ᾧ ὑπάρχει Πρώτως, Καθ' αὑτὸ, καὶ μὴ Κατὰ συμβεβηκός. Πρόσκειται τὸ ἐν ᾧ ὑπάρχει, διὰ τὰ τεχνητά· ταῦτα γὰρ ἔξωθεν ἔχει τὰ αἴτια. Ἡ γὰρ οἰκοδομική, αἰτία μὲν ἐστὶ τῆς οἰκίας, ἔξωθεν δὲ ποιεῖ, καὶ οὐκ ἐν τῇ οἰκίᾳ ὑπάρχει· (ἐν τῷ Οἰκοδόμῳ γάρ.) διὸ οὐδὲ Φύσις τῆς οἰκίας ἡ οἰκοδομική ἐστι. Πρόσκειται τὸ πρώτως, ὅτι καὶ ἡ Κλίνη ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῇ· ἀφεθεῖσα γὰρ ἄνωθεν ἐπὶ τὰ κάτω φέρεται. Ἀλλ' οὐ πρώτως τῇ Κλίνῃ τῆς τοιαύτης ὑπάρχει κινήσεως ἡ ἀρχὴ, ἀλλὰ τῷ ξύλῳ καὶ δι' αὐτοῦ τῇ Κλίνῃ. Ὅθεν οὐδὲ φυσικὴ λέγεται ἡ Κλίνη, ἀλλὰ τεχνητή. καθ' ὃ γὰρ Κλίνη, φύσιν οὐκ ἔχει. Πρόσκειται τὸ Καθ' αὑτὸ καὶ μὴ Κατὰ συμβεβηκὸς, ὅτι ὁ νοσῶν Ἰατρὸς ἰάσαιτο ἂν ἑαυτόν· καὶ οὕτω τὴν ἀρχὴν καὶ αἰτίαν τῆς εἰς τὴν ὑγίειαν κινήσεως καὶ μεταβολῆς ἕξει ἐν ἑαυτῷ, καὶ πρώτως· οὐ μὴν δὲ καὶ καθ' ἑαυτό. Οὐ γὰρ ᾗ νοσῶν τὴν ἀρχὴν τῆς κινήσεως τῆς εἰς τὴν ὑγίειαν ἐν ἑαυτῷ ἔχει· ἀλλὰ κατὰ συμβεβηκός, καθ' ὃ συμβέβηκε τῷ νοσοῦντι καὶ Ἰατρῷ εἶναι.

Τὰ μὲν οὖν Φυσικὰ τὴν αἰτίαν τῆς Κινήσεως ἐν ἑαυτοῖς ἔχει· τὰ δὲ Τεχνητὰ ἔξωθεν. Οὐδὲ γὰρ ἐν ἑαυτοῖς ὁ τεχνίτης, οὐδ' ἡ τέχνη. Φέρεται μὲν γὰρ ἐπὶ τὰ κάτω ἡ Βῶλος οὐκ ἔξωθεν κινουμένη· σχηματίζεται δὲ ἡ Κλίνη ἔξωθεν. Καὶ ἡ αἰτία δὲ τῆς ἠρεμίσεως τῇ μὲν Βώλῳ, καταλαβούσῃ τὴν ἑαυτῆς ὁλότητα, ἔνδοθεν· τῷ σχηματισμῷ δὲ τῆς Κλίνης ἔξωθεν ἀπὸ τοῦ τεχνίτου. Κἂν τοῖς κατὰ Φύσιν γὰρ, κἂν τοῖς κατὰ Τέχνην, ὅθεν ἡ ἀρχὴ τῆς Κινήσεως· ἐκεῖθεν καὶ ἡ τῆς Ἠρεμίας ἀρχή.

Οὐ πάντα δὲ, τὰ Φύσει κινούμενα, ἀνάγκη καὶ ἠρεμεῖν κατὰ πᾶν εἶδος τῆς τούτων κινήσεως· ἀλλά τινα μὲν

κινούμε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κινέμενα, καὶ Ἠρεμίαν ἔχει διαδεχομένην τὴν Κίνησιν· τισὶ δὲ κινεῖσθαι μὲν ἐν τόπῳ συμβέβηκεν, ἐδέποτε δὲ κατὰ τὴν τοιαύτην κίνησιν ἠρεμεῖν. Ὅθεν ἡ Φύσις, ἀρχὴ καὶ αἰτία κινήσεως καὶ ἠρεμίας τυγχάνεσα, τοῖς μὲν κινεμένοις ἐςαι τε κινεῖσθαι παρεκτική· τοῖς δὲ καὶ ἠρεμεσι, καὶ αὐτε δῆτα τε ἠρεμεῖν· πᾶσι δ' ὁμε τοῖς Φυσικοῖς τε κινεῖσθαί τε καὶ ἠρεμεῖν. Οὕτως ἡ Φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας γινώσκεται. Καὶ γὰρ ἐ μόνον τὸ αἰθέριον ἅπαν Σῶμα κινεῖται κίνησιν ἄληκτον τοπικὴν, ἀλλὰ δὴ καὶ τὸ Πῦρ, κατὰ τὸ τοιε͂τον τῆς κινήσεως εἶδος, ἐδέποτε ἠρεμεῖ. Φύσει γάρ ἐςι καὶ αὐτὸ ἀεικίνητον.

Διαφέρει δ' ἀλλήλων τὸ Φύσει καὶ τὸ Κατὰ φύσιν. Ἐπιπλέον γὰρ τὸ Φύσει τε Κατὰ φύσιν. Καὶ Φύσει μὲν λέγεται πᾶν τὸ παρακολεθεν καὶ συμβαῖνον τῇ Φυσικῇ ἐςίᾳ, καθ' ὃ τοιαύτη· οἷον τῷ σώματι τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν. Ἀλλὰ τὸ μὲν ὑγιαίνειν Κατὰ φύσιν λέγομεν, ὡς ἀποβαῖνον κατὰ τὸ τῆς Φύσεως βέλημα· τὸ δὲ νοσεῖν, παρὰ φύσιν. Καὶ τῷ Πυρὶ Φύσει μὲν καὶ κατὰ Φύσιν, ἡ ἐπὶ τὰ ἄνω Φορά· ἡ δ' ἐπὶ τὰ κάτω διὰ τῆς βαρείας ὕλης καθολκὴ τε πυρὸς, Φύσει καὶ ἐ κατὰ Φύσιν. Οὐδὲ γὰρ ἡ Φύσις βέλεται τὴν τελειωτικὴν τε εἴδες ἐνέργειαν παραβλάπτεσθαι. Καὶ τὰ ἐκ γενετῆς δὲ Πηρώματα, καὶ τὰ ἐν ςερήσει, καὶ ὅλως τὰ Ἀποτεύγματα Φύσει μὲν λέγεται, διὰ τὸ κατ' ἐνέργειαν γίνεσθαι Φύσεως· παρὰ φύσιν δὲ καὶ ἐ κατὰ φύσιν, ὅτι μήδ' ἡ Φύσις εἴς τι τοιε͂τον ὁρᾷ τέλος. Γίνεται δὲ τε τέλες ἁμαρτία ἔςιν ὅτε· ὥσπερ ἐν τοῖς ἔργοις τῆς Τέχνης παρὰ τὸν τῆς Τέχνης σκοπὸν, ἔτω κἀν τοῖς ἔργοις τῆς Φύσεως παρὰ τὸ τῆς Φύσεως βέλημα. Ὅθεν ἢ διὰ πλεονασμὸν Ὕλης, ἢ δι' ἔλλειψιν, ἢ διὰ παρατροπὴν ἀποτυγχάνειν ἡ Φύσις λέγεται τε σκοπε. Κἀντεῦθεν τὰ παρὰ τὴν Φυσικὴν συνήθειαν, Ἀποτεύγματα γίνονταί τε καὶ λέγονται.

Διαφέρει δὲ καὶ τὸ Παρὰ φύσιν, καὶ Ὑπὲρ φύσιν, ἐκτροπαὶ καὶ ἄμφω τε Κατὰ φύσιν τυγχάνοντα, τῷ τὸ μὲν Ὑπὲρ φύσιν ἐκτροπὴν ὑπάρχειν τε Κατὰ φύσιν ἐπὶ

τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ κρεῖττόν τε καὶ ὠφέλιμον· τὸ δὲ Παρὰ Φύσιν, ἐκτροπὴν τοῦ Κατὰ Φύσιν ἐπὶ τὸ χεῖρον καὶ βλαβερόν· καὶ ὅτι τὸ μὲν Παρὰ Φύσιν, ἔργον ἐστὶ Φυσικῆς ἀσθενείας· τὸ δ' Ὑπὲρ Φύσιν, Θείας Δυνάμεως.

## ΚΕΦΑΛΑΙΟΝ. Η'.

### Ἔτι περὶ Φύσεως.

Ἔνιοι μὲν τὴν ἐν ἑκάστῳ Ὕλην ἐκάλεσαν Φύσιν, ἤτοι τὸ πρώτως ἐν ἑκάστῳ τῶν Φυσικῶν ὑπάρχον ἀρρύθμιστον· ὡς Ἀνδριάντος μὲν Φύσιν, εἶναι Χαλκόν· Κλίνης δὲ, ξύλον, καὶ ἄλλου τῶν τεχνητῶν ἄλλο· τοῦ Φυσικοῦ δὲ παντὸς σώματος, τὴν πρώτην Ὕλην καὶ ἄποιον. Εἰρήκασι δὲ Φύσιν τὴν Ὕλην, διὰ τὸ ὑπομένειν ἐν ταῖς παντοίαις μεταβολαῖς, καὶ τὴν αὐτὴν εἶναι διὰ παντός. Τινὲς δὲ τὸ περὶ τὴν ὕλην Εἶδος, Φύσιν ὠνόμασαν, διὰ τὸ μὴ λέγεσθαι τὴν ὕλην κατὰ τὸ Φυσικὸν ὄνομα, πρὶν τὸ εἶδος ἀπολαβεῖν· ὥσπερ οὐδὲ τὸν χαλκὸν λέγεσθαι ἀνδριάντα, πρὶν τὸ τοῦ ἀνδριάντος εἶδος ἀπολαβεῖν, ὡς δυνάμει μόνον οὔσης τῆς ὕλης, ἑκάστου δὲ τῶν πραγμάτων ἐνεργείᾳ χαρακτηριζομένου διὰ τοῦ εἴδους. Ἔδοξαν δ' οὗτοι τελεώτερον τῶν πρώτων στοχάζεσθαι περὶ Φύσεως. Ἕτεροι τὸ Σύνθετον ἐξ ὕλης καὶ εἴδους Φύσιν εἰρήκασι, διὰ τὸ ἄνθρωπον ἐξ ἀνθρώπου γίνεσθαι, καὶ βοῦν ἐκ βοὸς, καὶ ἁπλῶς ἐκ τοῦ συνθέτου τὸ σύνθετον. τοῦτο δὲ Φύσει ἐστὶν, ἀλλ' οὐ Φύσις. Ἄλλοι τὴν οἷον ἔκφυσιν καὶ γένεσιν καὶ κίνησιν, καθ' ἣν ὑπὸ τοῦ Φύοντος φύεται τὸ Φυόμενον, ταύτην εἶναι Φύσιν ὑπέλαβον. Ὥσπερ γὰρ ἐπὶ τοῦ ἱματίου, τὸ ὑφαῖνόν ἐστιν, ἤγουν, ὁ ὑφάντης, καὶ τὸ ὑφαινόμενον ἤτοι τὸ ἱμάτιον, καὶ τρίτη ἡ ὕφανσις, κίνησίς τις οὖσα ἀπὸ τοῦ ποιοῦντος ἐπὶ τὸ γινόμενον· οὕτως ἐπὶ τοῦ Φυσικοῦ τὸ Φύον καὶ τὸ Φυόμενον, καὶ μεταξὺ ἀμφοῖν, ἡ Τοιαύτη Φύσις, ἡ οἷον ἔκφυσις, ἣν ἐλέγομεν Κίνησιν καὶ Μεταβολήν.

Τὸ μὲν οὖν Ὄνομα τῆς Φύσως προσήκει ταύτῃ τῇ Φύσει, τῇ οἷον ἐκφύσει· ἡ δὲ τοῦ Ὀνόματος ἔννοια, τῇ κυ-

ρίως

ίως ἐφαρμόζει Φύσει, τῇ φυούσῃ καὶ ἀναβλαστούσῃ τὰ φυσικὰ, καὶ ποιητικῇ αἰτίᾳ οὔσῃ κατὰ τὸ προσεχὲς ἁπάντων τῶν φυσικῶν. Ὥσπερ γὰρ τοῦ ἀνδριάντος αἰτία, ἡ ἀνδριαντοποιητικὴ Τέχνη, καὶ τῶν ἄλλων τεχνικῶν ἔργων αἱ λοιπαὶ Τέχναι· τὸν αὐτὸν τρόπον καὶ τῶν φυσικῶν ἔργων ἡ Φύσις αἰτία ἐστὶν, ὡς ἐξ ἀναλογίας γινώσκεται. Ἀναλογεῖ γὰρ τῷ μὲν Χαλκῷ, ἡ ἄποιος Ὕλη· τῷ δὲ τοῦ ἀνδριάντος Εἴδει, τὸ φυσικὸν Εἶδος· τῇ κινήσει δὲ τοῦ χαλκοῦ, τῇ πρὸς τὸ δέξασθαι τὸ τοῦ ἀνδριάντος εἶδος, ἡ οἷον ἔκφυσις, ἤγουν, ἡ φυσικὴ Κίνησις καὶ Μεταβολή· τῇ ἀνδριαντοποιητικῇ δὲ Τέχνῃ τῇ αἰτίᾳ τῷ χαλκῷ τῆς κινήσεως, ἤγουν τῇ κινούσῃ καὶ ῥυθμιζούσῃ τὸν χαλκὸν πρὸς ἀνδριάντος ἀπάρτισιν, ἡ κυρίως Φύσις ἀναλογεῖ· αὐτῷ δὲ τῷ Ἀνδριάντι, τὸ ἐξ ὕλης καὶ εἴδους Σύνθετον· ὅπερ ἐστὶν ἔργον τῆς Φύσεως, ὥσπερ τῆς Ἀνδριαντοποιητικῆς ὁ Ἀνδριάς.

Ἀλλ' ἐπὶ μὲν τῶν τῆς τέχνης Ἔργων, ἡ τῆς κινήσεως αἰτία ἔξωθέν ἐστιν ἐν τῷ τεχνίτῃ οὖσα, καὶ ἐξ αὐτοῦ ἐνεργοῦσα· ἐπὶ δὲ τῶν Φυσικῶν Ἔργων ἔνδοθεν οὖσα ἔμφυτος αὐτοῖς τοῖς ἔργοις τοῖς φυσικοῖς· καὶ τούτῳ διαφέρει Τέχνη καὶ Φύσις. Ταῦτα μὲν κατὰ τὸν Ἀριστοτέλους σκοπὸν, τιθεμένου τὴν Φύσιν Αἴτιον ποιητικόν. Εἰ δὲ κρεῖττον ὁ Πλάτων περὶ τούτων φιλοσοφεῖ, τὸν ἀρχικώτατον Νοῦν Αἴτιον ποιητικὸν ἁπάντων ἀποφαινόμενος, ὀργανικὸν καὶ τὴν φύσιν Αἴτιον, εἴτουν συναίτιον, ἐκ τῆς αὐτῆς ἀναλογίας ἔξεστι τῷ βουλομένῳ κατανοεῖν.

Ὅτι μὲν οὖν τὸ Φυσικὸν Σῶμα καὶ Ὕλην ἔχει καὶ Εἶδος, (ἐκ τούτων γάρ.) καὶ ὅτι γεννητὸν, καὶ διὰ τοῦτο Κίνησιν ἔχει τὴν ἐπὶ γένεσιν, καὶ πρὸ πάντων τὸ τῆς κινήσεως Αἴτιον· (Κινήσεως γὰρ οὔσης, πάντως ἐστί τι τὸ κινοῦν.) ταῦτα πᾶσι τοῖς λόγου μετέχουσιν ὡμολόγηται. Τοίνυν κατὰ τὴν προειρημένην ἀναλογίαν, ἀναλογείτω μὲν τῷ Χαλκῷ τῷ Δυνάμει ἀνδριάντι, ἡ πρώτη καὶ ἀνείδεος Ὕλη καὶ ἄμορφος, ἡ μόνον ἔχουσα τὸ Δυνάμει, ἤγουν ἡ οὖσα Δυνάμει πάντα τὰ φυσικὰ, ταυτὸν δ' εἰπεῖν, τὰ

σωματι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σωματικά· τῷ Εἴδει δὲ τοῦ Ἀνδριάντος, τὸ Φυσικὸν Εἶδος, τὸ τῆς Ὕλης μορφωτικόν· ἡ δὲ τοῦ δυνάμει Ἐνέργεια ἤγουν ἡ Κίνησις, καθ' ἣν ἐνεργεῖται τὸ Δυνάμει προαγόμενον εἰς τὸ Ἐνεργείᾳ, τῇ τοῦ χαλκοῦ πρὸς τὸ ἀνδριαντοποιηθῆναι Κινήσει, ἀναλογείτω τῇ διαλύσει, τῇ διαπλάσει, τῇ διαξέσει. (Κατὰ ταῦτα γὰρ ὁ Δυνάμει Ἀνδριάς, ἤγουν ὁ χαλκὸς κινεῖται πρὸς τὸ γενέσθαι τῇ Ἐνεργείᾳ Ἀνδριάς.) Τὸ δ' αἴτιον τῆς κινήσεως τῇ Ὕλῃ, καθ' ἣν κίνησιν τὸ Δυνάμει αὐτῆς ἐνεργεῖται, τουτέστι καθ' ἣν κίνησιν ἐκ τοῦ Δυνάμει εἶναι σῶμα Φυσικὸν ἡ Ὕλη προάγεται εἰς τὸ Ἐνεργείᾳ εἶναι σῶμα Φυσικόν, (τοῦτο δὲ τὸ αἴτιον τὴν Φύσιν ἐλέγομεν.) ἀναλογείτω τῇ ἀνδριαντοποιητικῇ Τέχνῃ. Τῷ δὲ ἀνδριαντοποιῷ, ἤγουν αὐτῷ τῷ Τεχνίτῃ τί τὸ ἀναλογοῦν; Ἢ πάντως ὁ πρῶτος καὶ ἀληθὴς Τεχνίτης καὶ Δημιουργός, ὅς ἐστιν ὁ Θεός· Δυνατὸν οὖν τὴν Τέχνην ἐκτὸς εἶναι τοῦ Τεχνίτου; Καὶ πῶς ἔσται Τεχνίτης οὗτος τὴν Τέχνην οὐκ ἔχων ἐν ἑαυτῷ; Ἢ γοῦν οἱ τῇ Τέχνῃ τὴν Φύσιν εἰκάζοντες, δώσουσιν εἶναι τὴν Φύσιν παρὰ τῷ Θεῷ, καὶ Θεοῦ σοφίαν καὶ γνῶσιν ταύτην καλέσουσιν, ἢ οἱ λέγοντες τὴν Φύσιν ἐνυπάρχειν τοῖς φυσικοῖς, τὸν Θεὸν τῆς ἑαυτοῦ σοφίας καὶ γνώσεως ἀλλοτριώσουσι.

Μήποτ' οὖν, ἐπείπερ ἐν ταῖς Τέχναις καὶ ὄργανα εἰσὶν ὑπουργικά, βέλτιον εἰπεῖν τὴν Φύσιν ὀργάνῳ μᾶλλον ἀναλογεῖν, θείᾳ ῥοπῇ κινουμένην, καὶ ἄλλοτε ἄλλως τὰ φυσικὰ μετατιθεμένην καὶ μετατρέπουσαν, οἷς ὁ Δημιουργὸς ἐπίσταται λόγοις, κατὰ τὴν ἔμφυτον αὐτοῦ σοφίαν τὴν ἀκατάληπτον, τὴν τῶν ὅλων ποιητικὴν καὶ συνεκτικὴν καὶ διακυβερνητικήν.

Τοσαῦτα καὶ περὶ Φύσεως, ἥτις ἐστίν, ὡς εἴρηται, τοῖς μὲν κινουμένοις μόνον, Ἀρχὴ κινήσεως· τοῖς δὲ κινουμένοις καὶ ἠρεμοῦσιν, Ἀρχὴ κινήσεως καὶ ἠρεμίας. ἀρχὴ καὶ αἰτία προσεχής· τὸ κινεῖν ἔχουσα καὶ ἠρεμίζειν τὰ ὑπὸ τὴν αἴσθησιν, τοιῶς δέ πως ἕκαστον, κατὰ τὴν νεῦσιν τοῦ μόνου σοφοῦ Ἀρχιτέκτονος καὶ παναιτίου Θεοῦ.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ. Θ΄.

## Περὶ Τόπε, καὶ Χρόνε.

Τῶν Ὄντων τὰ μὲν, Κινήσεις εἰσὶν, ὡς Γενέσεις καὶ Ἀλλοιώσεις, καὶ αἱ λοιπαὶ Μεταβολαί· τὰ δὲ, Ἀρχαὶ κινήσεων· ὡς προηγεμένως μὲν ὁ Θεός· (ἔτος γάρ ἐςι τὸ πρῶτον καὶ ἀρχικώτατον Αἴτιον ἁπάσης Κινήσεως.) ἑπομένως δὲ, ἡ Ψυχὴ αὐτὴ ὑφ᾽ ἑαυτῆς κινᾶσα τὰ ταύτης μετέχοντα· κατὰ τρίτον δὲ λόγον ἡ Φύσις, ἐπιτηδειότης ᾖσα τοῖς φυσικοῖς πρὸς τὸ κινεῖσθαι ἀφ᾽ ἑαυτῶν, ἐ μὴν ὑφ᾽ ἑαυτῶν. Τῦτο γὰρ ἴδιον τῶν ζώων. Τὰ μὲν ὖν τῶν Ὄντων Κινήσεις εἰσί· τὰ δὲ, Ἀρχαὶ κινήσεων· τὰ δὲ, κινέμενα, ὡς τὰ Σώματα, τά τε Ἁπλᾶ, καὶ τὰ Σύνθετα· τὰ δὲ, διὰ τὰ κινέμενα, ὡς Τόπος καὶ Χρόνος. Τὸ μὲν ὖν Σῶμα, ἐν Τόπῳ ἐςίν· ἡ δὲ Κίνησις, ἐν τῷ Σώματι· ὁ δὲ Χρόνος, ἐν τῇ Κινήσει.

Καὶ Τόπος μὲν ἐςι τὸ τῦ περιέχοντος πέρας ἀκίνητον, καθ᾽ ὃ περιέχει τὸ περιεχόμενον· ταυτὸν δ᾽ εἰπεῖν, καθ᾽ ὃ συναφή ἐςι περιεχομένε καὶ περιέχοντος. Ὡς γὰρ τὸ ἀγγεῖον, ὃ τόπος λέγεται μεταφορητὸς, ἐκ ἔςι σύμπαν τόπος τῦ περιεχομένε, ἀλλ᾽ ἡ ἐντὸς αὐτῦ κοίλη Ἐπιφάνεια, καθ᾽ ἣν τῷ περιεχομένῳ συνάπτεται· τὸν αὐτὸν τρόπον καὶ ὁ Τόπος, ὃς ἀγγεῖον ἀμεταφόρητον λέγεται, κατὰ τὴν ἁπτομένην τῶν περιεχομένων σωμάτων Ἐπιφάνειαν νοεῖται. Τοίνυν καὶ ἀσώματος ὁ Τόπος ἐςὶ, καὶ διαςατὸς κατὰ μέθεξιν τῦ ἐν τόπῳ· Ἐπιφάνεια γάρ ἐςιν· ἡ δ᾽ Ἐπιφάνεια καὶ ἀσώματος ὑπάρχει, καὶ κατὰ Μῆκος καὶ Πλάτος διαςατή. Τῶν μὲν ὖν ἐντὸς τῦ Οὐρανῦ σωμάτων ἁπάντων Τόπος ἐςὶν ἡ κοίλη τῦ Οὐρανῦ Ἐπιφάνεια. Εἰ γὰρ καὶ κινεῖται ὁ Οὐρανὸς κατὰ τὴν τῶν μορίων Φορὰν, ἀλλ᾽ ἕτερον τρόπον ἀκίνητός ἐςι, καθ᾽ ὃ μὴ μεταλλάσσει τόπον ὅλως ὁμῦ. Καθ᾽ ὅλον μὲν ὖν ἀκίνητός ἐςι· κατὰ μέρη δὲ, κινητός τε καὶ ἀκίνητος, καὶ ὁμαλεςάτην τὴν Κίνησιν καὶ ἄκρως τεταγμένην ποιέμενος.

Πάλιν

Πάλιν ἡ κατὰ τὴν πρὸς τὸν Ἀέρα συναφὴν Ἐπιφάνεια τοῦ Αἰθέρος, Τόπος ἐστὶ τῶν ὑπὸ Σελήνην Στοιχείων. Τῶν λοιπῶν δὲ σωμάτων τῶν κατωτέρω, καὶ ἑξῆς μέχρι καὶ τῶν ἐπὶ μέρους σωμάτων, καθολικώτεροι τόποι καὶ μερικώτεροι εὑρεθήσονται. Καὶ ὁ προσεχὴς τόπος, ἐκεῖνος καὶ ἰδιαίτερος, ὅς ἐστιν ἡ κατὰ τὴν πρὸς τὸ περιέχον σῶμα συναφὴν Ἐπιφάνεια τοῦ Ἀέρος, ἢ τοῦ Ὕδατος, ἢ τῆς Γῆς, μὴ μεταρρέοντος δηλονότι τοῦ ὕδατος, ἵνα μὴ ὡς ἐν ἀγγείῳ μᾶλλον, ἢ ὡς ἐν τόπῳ τὸ ἐν ἐκείνῳ σῶμα ὑποληφθείη, διὰ τὸ μεταφορητὸν τοῦ τόπου τοῦ ἐν τῷ ὕδατι· καὶ μάλιστα εἰ καὶ τὸ σῶμα συμμεταφέροιτο. Ὁ μὲν οὖν εἰρημένος Τόπος, ὁ κατὰ τὴν περιοχήν ἐστι καὶ ὑποδοχήν. Καὶ γὰρ ἕκαστον τῶν περιεχόντων γίνεται Τόπος τῷ περιεχομένῳ, καὶ ὡς περιεκτικὸς αὐτοῦ, καὶ ὡς ὑποδεκτικός. Καὶ οὗτός ἐστιν ὁ πλατυκῶς λεγόμενος Τόπος, ὃς καὶ ἀκίνητός ἐστι καὶ χωριστὸς, ἄλλοτε ἄλλως γινόμενος κατὰ τὴν τῶν σωμάτων μετάστασιν.

Ἔοικε δὲ κατὰ λόγον ἀκριβέστερον ὁ Τόπος, μέτρον εἶναι τῆς τῶν κειμένων Θέσεως· ὥσπερ καὶ ὁ Χρόνος, μέτρον ἐστὶ τῆς τῶν κινουμένων Κινήσεως. Διττὴ δὲ ἡ Θέσις· ἡ μὲν, οὐσιώδης· ἡ δ', ἐπείσακτος. Διττὸς οὖν καὶ ὁ Τόπος· ὁ μὲν, κατὰ φύσιν· ὁ δὲ, κατὰ συμβεβηκός. Ἀλλὰ καὶ ἡ οὐσιώδης Θέσις, διττή· ἡ μὲν, κατὰ τὸν εὐθετισμὸν καὶ τὴν εὐταξίαν τῶν οἰκείων μορίων ἑκάστου πράγματος, ὡς ὅλου θεωρουμένου, καθ' ἣν κεφαλὴ μὲν καὶ χεῖρες καὶ πόδες, καὶ τὰ λοιπὰ τῶν μορίων ἐπὶ Ζώου τοιῶσδε κεῖται πρὸς ἄλληλά τε, καὶ πρὸς τὸ ὅλον ζῷον, καὶ τὸ ὅλον πρὸς τὰ μέρη· ῥίζαι δὲ καὶ στελέχη καὶ κλάδοι ἐπὶ Φυτῶν, ὁμοίως· Ἡ δὲ, κατὰ τὴν τοῦ ὅλου ὡς μέρους πρὸς τὸ ὁλικώτερον ἀναφοράν. Ὡς γὰρ τῶν μερῶν ἕκαστον καθ' ἑαυτὸ μὲν ὅλον τί ἐστι, πρὸς δὲ τὸ ὅλον λέγεται μέρος· οἷον ἡ Κεφαλὴ, καθ' ἑαυτὴν μὲν ὅλη τυγχάνει, μέρος δὲ τοῦ σώματος λέγεται· τὸν αὐτὸν τρόπον καὶ τὸ ὅλον πρὸς ὁλικώτερον ἄλλο, μέρος ἐστίν· οἷον ἡ Γῆ καθ' ἑαυτὴν μὲν ὅλη ἐστί· πρὸς δὲ τὸν σύμπαντα Κόσμον, λέγεται μέρος. Διττὸς οὖν ἐστι καὶ ὁ κατὰ φύσιν Τόπος·

ὁ μὲν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ μὲν, τῶν οἰκείων μορίων ἑκάϛυ εὐθετισμὸς· ὁ δὲ, ἀφορισμὸς καὶ κλῆρος εἰς κατοχὴν ἑνὶ ἑκάϛῳ τῶν τοῦ ὅλου κόσμου μερῶν· καθ᾽ ὃ λέγεται Τόπος τῆς γῆς τὸ μέσον τοῦ παντός. Κἂν τις ἐκϛήσειε τὴν γῆν τῆς περὶ τὸ μέσον τοῦ παντὸς θέσεως, τῶν μὲν οἰκείων μερῶν τὸν εὐθετισμὸν ἐν τῇ οἰκείᾳ καθέξει ὁλότητι· τὴν δ᾽ ὡς μέρος τοῦ παντὸς οὐχ ἕξει τότε θέσιν. Διὸ καὶ αὕτη ὅλη ἀφεθεῖσα ἐπὶ τὸ μέσον οἰσθείη ἄν· καίτοι τῶν ἐν αὐτῇ μερῶν τὴν πρὸς ἄλληλα φυλαττόντων συντόπωσιν, καὶ ὅταν αὕτη νοῆτο ἔξω τοῦ μέσου τυγχάνουσα. Διὰ τὸν Τόπον τοῦτον, καὶ τὰ κινούμενα φυσικῶς καὶ τὰ ἱϛάμενα, τὰ μὲν κινεῖται, τὰ δ᾽ ἕϛηκεν, ἵνα τῆς ὡς μέρη θέσεως ἐν καταλήψει γένωνται τὰ κινούμενα· τὰ δ᾽ ἱϛάμενα τῷ ἀφορισθέντι Τόπῳ τούτοις ὡς μέρεσιν ἐμφιλοχωροῦντα. Κατὰ τοῦτον οὖν τὸν λόγον ὁ Τόπος, οὐκ ἔϛαι τὸ πέρας τοῦ περιέχοντος. Πῶς γὰρ ἂν εἴη τὸ τοῦ περιέχοντος πέρας, τάξεως αἴτιον ἢ ἀφορισμοῦ, αὐτὸ μᾶλλον τὸ πέρας ὁριζόμενον ὑπὸ τῶν ἐν αὐτῷ γινομένων καὶ ὑπ᾽ αὐτοῦ περιεχομένων;

Ὁ μὲν οὖν τῶν οἰκείων μορίων ἑκάϛου εὐθετισμὸς, ἀχώριϛός ἐϛι Τόπος· κἂν κινῆται τὸ πρᾶγμα, κἂν ἠρεμῇ· μένει γὰρ διηνεκὴς ὁ αὐτὸς, ἕϛ᾽ ἂν ᾖ τὸ πρᾶγμα· ὁ δὲ λοιπὸς τόπος χωρίζεται. Κινουμένων γὰρ τῶν σωμάτων οὐ συγκινεῖται αὐτοῖς. Διὸ καὶ τὰ κατὰ τόπον κινούμενα, πῶς μὲν ἐν τόπῳ εἶναι λέγονται, πῶς δ᾽ οὐκ ἐν τόπῳ. Ἐν μὲν γὰρ τῷ ἀφωρισμένῳ τόπῳ τούτοις ὡς μέρεσιν οὐκ εἰσίν. (ἢ γὰρ ἂν ἠρέμουν, τὸν τοιοῦτον τόπον κατέχοντα.) Ἐν δὲ τόπῳ εἰσὶν ἀφωρισμένῳ σώμασιν ἄλλοις, τῷ Ἀέρι τυχὸν ἢ τῷ Ὕδατι. Καὶ οὗτός ἐϛιν ὁ ἐν πλάτει λεγόμενος Τόπος, ἄλλοις μὲν κληρωθεὶς, κατὰ συμβεβηκὸς δὲ, καὶ τῶν κινουμένων τόπος γινόμενος. Ἡ γὰρ κατὰ τόπον Κίνησις, Θέσεων ἄλλοτε ἄλλων ἐϛὶ Μετάληψις, τοῦ μεταξὺ ἀέρος ἢ τοῦ ὕδατος διαιρουμένου, ἕως ἂν παρέλθοι τὸ ἰσχυρότερον. Καὶ ἡ θέσις, ἣν μεταλαμβάνει τὸ κινούμενον, τῶν τοῦ ἀέρος ἐϛὶ μορίων Θέσις, ἢ τῶν τοῦ ὕδατος. Γίνεται δὲ καὶ τῷ κινουμένῳ Θέσις ἐπείσακτος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ γοῦν μετροῦν αὐτὴν, ὡς τοῦ κινουμένου θέσιν, Τόπος ἐστὶ τῷ κινουμένῳ κατὰ συμβεβηκός. Ὥστε τῷ κινουμένῳ κατὰ τόπον, ἴδιος τόπος οὐκ ἔστι παρὰ τὸν εὐθετισμὸν τῶν οἰκείων μερῶν. Ὃν γὰρ διαμείβει τόπον, οὐκ αὐτοῦ ὑπάρχει ἀφορισμὸς, ἀλλὰ τοῦ περιέχοντος ἀέρος ἢ ὕδατος, οὗ καὶ τὸ κινούμενον ἄλλοτε ἐν ἄλλῳ μέρει πέφυκε γίνεσθαι. Καλῶς οὖν ὁρίζονται τὸν Τόπον, οἱ λέγοντες αὐτὸν μέτρον εἶναι τῆς τῶν κειμένων Θέσεως. Ὁ γὰρ ὁρισμὸς οὗτος περιλαμβάνει πάντα Τόπον ἔντε Σώμασιν ἔντε Ἀσωμάτοις θεωρούμενον. Καὶ ἐν ἀσωμάτοις γὰρ Θέσις νοεῖται κατὰ τὴν τάξιν· ὡς λέγεται κεῖσθαι τὴν δυάδα πρὸ τῆς τριάδος, καὶ τὴν τριάδα πρὸ τῆς τετράδος· καὶ κατὰ τὴν τοιαύτην θέσιν τόπους οἴδαμεν Ἀριθμῶν. Ἔστι δὲ κἀν τοῖς σώμασι Θέσις, ὡς εἴρηται, ἡ οὐσιώδης καὶ ἡ ἐπείσακτος· καὶ ἡ οὐσιώδης διττή· ὥστε κατὰ τὸ τῆς Θέσεως διάφορον ὁ ἀποδεδομένος τοῦ Τόπου λόγος, τοῖς διαφόροις ἐφαρμόζει Τόποις. Τί μὲν οὖν ἐστι Τόπος, ὑποτετύπωται.

Χρόνος δέ ἐστιν Ἀριθμὸς Κινήσεως. Καλεῖται δ' Ἀριθμὸς καὶ ὁ ἀριθμῶν, καὶ ὁ ἀριθμούμενος, ὥσπερ λέγεται μέτρον τὸ μετροῦν τε καὶ τὸ μετρούμενον· οἷον ὁ μοναδικὸς Ἀριθμὸς, ἤγουν ὁ ἐκ μονάδων συντεθειμένος, καὶ Ἀριθμὸς ἵππων ἢ βοῶν· καὶ πάλιν Χοῖνιξ ἡ ξυλίνη, καὶ ἡ τοῦ σίτου· καὶ Ἀμφορεὺς ὁ κεράμειος, καὶ ὁ τοῦ ὕδατος. Ἀλλὰ καὶ τὸ ἀριθμούμενον διττόν ἐστι· τὸ μὲν, κατὰ Ποσὸν, ὡς λέγομεν δύω κινήσεις ἢ τρεῖς· τὸ δὲ, κατὰ Τάξιν, ὡς λέγομεν προτέραν κίνησιν καὶ ὑστέραν. Ἔστιν οὖν ὁ Χρόνος ἀριθμὸς Κινήσεως, καὶ ὡς ἀριθμῶν καὶ ὡς ἀριθμούμενος· ἀριθμούμενος δὲ κατὰ τὴν Τάξιν, ἤτοι κατὰ τὸ Πρότερόν τε καὶ Ὕστερον· τοῦ Πρότερον καὶ Ὕστερον λαμβανομένων, κατὰ τὴν τοῦ εἶναι παράτασιν.

Ἀριθμεῖται μὲν οὖν ὁ Χρόνος ὑπὸ τῆς πρώτης καὶ ἁπλῆς Κινήσεως τῆς κυκλοφορικῆς· ἀνταριθμεῖ δὲ πάλιν αὐτήν. Εἰ μὴ γὰρ ὑπὸ χρόνου ἡ τοιαύτη κίνησις, ὑπό τινος ἀριθμείη ἄν; Τὴν πρώτην οὖν καὶ κυριωτάτην τῶν Κινήσεων τὴν Κυκλοφορίαν ὁ Χρόνος μετρῶν, κατ' ἐκείνην καὶ τὰς

τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλας κινήσεις μετρεῖ. Ὥστε τῆς μὲν κυκλοφορικῆς Κινήσεως, ἀριθμὸς ἔσται ὁ Χρόνος, καὶ ὡς ἀριθμῶν, καὶ ὡς ἀριθμούμενος· τῶν δὲ λοιπῶν Κινήσεων, ὡς ἀριθμῶν μόνον, οὐ μὴν καὶ ὡς ἀριθμούμενος. Οὐ γὰρ καὶ τῆς ἐμῆς βαδίσεως, καὶ τῆς σῆς λευκάνσεως Ἀριθμὸς ἔσται ὁ Χρόνος ὡς ἀριθμούμενος· (ἐπεὶ εἰ τοῦτό γε, οὐκ ἂν ἦν ἀδιάφορος, ἐθ' ἅμα καθ' ἓν Νῦν ἀφοριζόμενος.) ἀλλὰ τῆς πρώτης καὶ ἁπλῆς τοῦ Οὐρανοῦ Κινήσεως μόνης ἀριθμητὸν ὢν ὁ Χρόνος, κατὰ τὸ ἐκείνης Πρότερόν τε καὶ Ὕστερον· (τὸ γὰρ Πρότερόν τε καὶ Ὕστερον τῆς τοιαύτης κινήσεως ἀριθμούμενον, ὁ Χρόνος ἐστίν.) Οὕτως ἀριθμεῖ τὰ ἐν ταῖς διαφόροις κινήσεσι Πρότερά τε καὶ Ὕστερα καθ' ἓν τὸ οἰκεῖον Νῦν. Διὸ καὶ ἅμα πανταχοῦ ὁ αὐτός ἐστι χρόνος μέτρον ὑπάρχων πάσης Κινήσεως. Χρόνῳ γὰρ μετρεῖται σύμπασα Κίνησις. Ὥσπερ δὲ τῶν ἄλλων κινήσεων ἐναργεστέρα ἐστὶν ἡ κατὰ τὸν Τόπον· οὕτω καὶ ὁ ταύτῃ τῇ κινήσει συνὼν Χρόνος ἐναργέστερός ἐστι τοῦ ταῖς ἄλλαις συνόντος κινήσεσι.

2 Μήποτε δ' ἀκριβέστερον σκοποῦντι καὶ αἱ ἄλλαι πᾶσαι Κινήσεις, οἷον Γενέσεις, Αὐξήσεις, Ἀλλοιώσεις, ὑπὸ τοῦ Χρόνου μετροῦνται τούτου τοῦ τῇ τοπικῇ συνόντος κινήσει. Ὥραις γάρ, καὶ Ἡμέραις, καὶ Μησί, καὶ Ἐνιαυτοῖς, καὶ τῶν ἄλλων κινήσεων ὁρίζομεν τὴν παράτασιν. Οὐ μόνον δὲ τῶν Κινήσεων μέτρον ἐστὶν ὁ Χρόνος, ἀλλὰ δὴ καὶ τῶν Ἠρεμιῶν. Καὶ αὗται γὰρ ὑπὸ χρόνου μετροῦνται κατὰ συμβεβηκός. Οὐ γὰρ καθ' ὃ Ἠρεμίαι, τουτέστιν, ἀπουσίαι κινήσεων, κατὰ τοῦτο μετροῦνται· ἀλλὰ καθ' ὃ καὶ αὗταί πως Κινήσεις λεχθεῖεν ἄν. Διττὴ γὰρ ἡ Κίνησις· ἡ μέν, ἀντικειμένη τῇ Ἠρεμίᾳ· ἡ δέ, Ῥοὴ ἁπλῶς καὶ παράτασις, ἥτις ἐστὶ καὶ τῆς ἠρεμίας περιληπτική. Ὥστε μετρήσει ὁ Χρόνος καὶ τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν. Τὴν γὰρ κίνησιν αὐτοῦ μετρήσει καὶ τὴν ἠρεμίαν ὁπόση τις, ἤγουν, ἑκατέρας αὐτῶν τὴν κατὰ τὸ εἶναι παράτασιν. Ὥστε συνελόντα φάναι, μέτρον ἐστὶν ὁ Χρόνος τῆς ἐν γε-
3 νέσει Ῥοῆς, ἥτις ἐστὶ κοινὴ καὶ Κινήσεως καὶ Ἠρεμίας, καὶ τοῦ ἐν πᾶσι τοῖς γινομένοις εἶναι.

Λέλεκται δὲ Ἀριθμὸς ὁ Χρόνος, οὐχ ὅτι ἁπλῶς ἐστιν ἀριθμός· (ἐπεὶ συνεχὴς καὶ αὐτὸς ὥσπερ ἡ κίνησις καὶ τὸ μέγεθος.) ἀλλ' ὡς τῷ διορισμῷ τοῦ ἐν τῇ συνεχείᾳ Προτέρου καὶ Ὑστέρου γνωριζόμενος ὑπὸ τῶν αἰσθέσθαι χρόνου δυναμένων, διὰ τοῦτο λέγεται Ἀριθμός. Οὐκ ἔστι δ' ἁπλῶς ἀριθμὸς, ἀλλὰ μέτρον καὶ αὐτὸς, ὥσπερ ὁ Ἀριθμός. Τέσσαρα γάρ εἰσι μέτρα, Ἀριθμὸς, Μέγεθος, Τόπος καὶ Χρόνος. Καὶ ὁ μὲν Ἀριθμὸς, τὴν διάκρισιν μετρεῖ· τὸ δὲ Μέγεθος, τὴν διάστασιν· ὁ δὲ Τόπος τὴν παντοίαν θέσιν· ὁ δὲ Χρόνος, τὴν τῆς γενέσεως ῥοήν τε καὶ παράτασιν.

Διαιρεῖται δὲ ὁ Χρόνος κυρίως εἰς παρεληλυθότα καὶ μέλλοντα, καὶ διαιρεῖται κατὰ τὸ Νῦν. Καὶ ἔστι τὸ Νῦν πέρας μὲν τοῦ παρεληλυθότος, ἀρχὴ δὲ τοῦ μέλλοντος, χρόνου δὲ μέρος οὐδὲ τοὐλάχιστον. Ἀλλ' ὅπερ ἐστὶν ἐν Γραμμῇ, Σημεῖον· καὶ Κίνημα, ἐν Κινήσει· τοῦτο καὶ ἐν Χρόνῳ, τὸ Νῦν. Ἄποσα γὰρ καὶ ἄτομα, τὸ Σημεῖον, τὸ Κίνημα, καὶ τὸ Νῦν. Καὶ οὕτω μὲν ἔχει τὸ πρώτως καὶ καθ' αὑτὸ λεγόμενον Νῦν. Ὥσπερ δὲ Τόπος λέγεται μὲν καὶ τὸ πέρας τοῦ περιέχοντος· λέγεται δὲ καὶ ἡ οἰκία πᾶσα Τόπος τοῦ ἐν τῇ οἰκίᾳ ὄντος, καθ' ὅσον ἔχει προσεχῶς ἐν ἑαυτῇ τὸ τοῦ περιέχοντος πέρας· οὕτω λέγεται καὶ Νῦν, τό, τε πρώτως καὶ καθ' αὑτὸ, τουτέστι, τὸ ἀμερὲς καὶ ἀδιαίρετον, καὶ αὐτὸ δὴ τὸ κατὰ χρόνον τὸν ἐνεστῶτα λεγόμενον· ὅπερ ἐστὶ μέρος Χρόνου, ἀντιδιαιρούμενον κατὰ τὴν πλατυκὴν διαίρεσιν πρὸς παρεληλυθότα καὶ μέλλοντα. Καὶ λέγεται Νῦν τὸ τοιοῦτον τοῦ Χρόνου μέρος, καθ' ὅσον ἔχει ἐν ἑαυτῷ προσεχῶς, τὸ πρώτως καὶ καθ' αὑτὸ λεγόμενον Νῦν. Ἐνεστὼς οὖν Χρόνος ἐστὶν ὁ ἐφ' ἑκάτερα παρακείμενος τῷ κυρίως Νῦν χρόνος μερικὸς, ἐκ παρεληλυθότος καὶ μέλλοντος συνεστὼς, καὶ διὰ τὴν πρὸς τὸ κυρίως Νῦν γειτνίασιν, Νῦν λεγόμενος καὶ αὐτός.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ. Ι΄.

## Περὶ Ἀπείρου.

Τὸ Ἄπειρον λέγεται πενταχῶς. ἕνα μὲν Τρόπον, τὸ ἀμερές τε καὶ ἄποσον· ὡς ἐν Γραμμῇ, Σημεῖον. Πέρας μὲν γὰρ ὑπάρχει γραμμῆς, τὸ σημεῖον· αὐτὸ δὲ τὸ σημεῖον, ἴδιον πέρας οὐκ ἔχει, διότι μηδὲ μέρος τὸ οἱονοῦν. Ὅθεν καὶ ὅσαπερ ἂν συνέλθοι σημεῖα, μόριον οὐκ ἀποτελέσει γραμμῆς οὐδὲ τοὐλάχιστον· ἐπείπερ οὐδ' ἀλλήλων ἅπτεσθαι δύναται, ἀλλ' ἐφαρμόζει τὰ πάντα. Τὰ γὰρ ἁπτόμενα, κατὰ πέρατα ἅπτονται· ὧν δὲ μέρος οὐθὲν, δῆλον ὅτι καὶ πέρας οὐθέν· οἷς δὲ μὴ ἐστὶ πέρας, οὐδὲ τὸ ἅπτεσθαι. Ἅπτεσθαι γὰρ λέγονται, ὧν ἅμα τὰ πέρατα. Ὃν δὲ λόγον ἔχει τὸ σημεῖον ἐν γραμμῇ, τὸν αὐτὸν ἐν χρόνῳ τὸ νῦν, καὶ ἐν κινήσει τὸ κίνημα. Ὥστε τὸ Σημεῖον, τὸ Νῦν, καὶ τὸ Κίνημα, μὴ ἔχοντα μέρη, κἀντεῦθεν μηδὲ πέρατα, διὰ τοῦτο λέγονται ἄπειρα, ταυτὸν δ' εἰπεῖν, ἀπεράτωτα.

Κατὰ δεύτερον τρόπον Ἄπειρον λέγεται, οὗ διὰ τὸ σχῆμα πέρας οὐκ ἔστιν εὑρεῖν, ὡς ἐπὶ τῶν κυκλικῶν τε καὶ σφαιρικῶν. Ἐπὶ τούτων γάρ ἐστί τι λαμβάνειν ἀεὶ κατὰ τὴν περιστροφὴν, κἂν ἀπὸ τῶν αὐτῶν ἐπὶ ταὐτὰ πάλιν ἡ ἀνακύκλησις γίνηται.

Τρίτον τρόπον Ἄπειρον λέγεται, τὸ διὰ κατασκευὴν ὑπάρχον ἀδιαπόρευτον, ἢ μᾶλλον δυσδιαπόρευτον· ὡς ὁ Λαβύρινθος παρὰ Κρησὶ, καὶ παρὰ Λακεδαιμονίοις ὁ Κεάδας, ἔνθα τοὺς κατακρίτους ἐνέβαλον. Ὅτι γὰρ διεξώδευται Λαβύρινθος, ἔδειξε Δαίδαλος ὁ τεχνησάμενος αὐτὸν, ὅτε καθειρχθεὶς ὑπὸ Μίνωνος σὺν τῷ υἱῷ Ἰκαρίῳ ἐντὸς λαβυρίνθου, ἀπέδρα· καὶ πρὸ τούτου Θησεὺς λίνον ἐξάψας τῆς θύρας ἐν τῷ εἰσιέναι ὑποθήκαις Δαιδάλου, καὶ τοῦτο ἐφελκόμενος ἐν τῷ ἐξιέναι. Ὅτι δὲ καὶ ὁ Κεάδας, ἐδήλωσεν ἡ Ἀλώπηξ ἡ τὸν μεσσήνιον Ἀριστομένην ποδηγήσασα, καὶ τὴν διέξοδον αὐτῷ ὑποδείξασα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τέταρτον τρόπον λέγεται Ἄπειρον, ὃ πεφυκὸς διαπόρευσιν ἔχειν, ἀδιεξίτητόν ἐστιν ἄλλως· καθάπερ ἡ Διακεκαυμένη καὶ ἡ Κατεψυγμένη. Τῷ μὲν γὰρ ὡρίσθαι τὸ μέγεθος αὐτῶν, διαπορευταὶ καὶ ἄμφω εἰσίν· ἀλλ' ἡ τοῦ ἀέρος ἀσυμμετρία κωλύει τὴν αὐτῶν διεξέλευσιν.

Πέμπτον σημαινόμενον τοῦ Ἀπείρου καὶ κυριώτερον, οὗ ἐστιν ἀεί τι λαμβάνειν οὐ τὸ αὐτό. Τοῦτο δ' ἐπὶ τοῦ Ἀριθμοῦ θεωρεῖται κατὰ Πρόσθεσιν· ἐπὶ δὲ Μεγέθους, κατὰ Διαίρεσιν. Παντί τε γὰρ ἀριθμῷ προστιθέναι ἐστὶν ἀεὶ, καὶ πᾶν συνεχὲς ἐπ' ἄπειρον ὑπάρχει διαιρετόν. Ἐπὶ δὲ τοῦ Χρόνου καὶ ἄμφω συνέρχονται, Πρόσθεσις δηλαδὴ καὶ Διαίρεσις. Καὶ Προσθέσει μὲν, ὁ μέλλων ἔχει τὸ Ἄπειρον· ὁ παρεληλυθὼς δὲ, Διαιρέσει. Καὶ τοῖς αὐξομένοις δὲ καὶ τοῖς διαιρουμένοις, δυνάμει τὸ Ἄπειρον ἔνεστιν· ὅτι δύναται δηλονότι τὰ μὲν αὔξεσθαι, τὰ δὲ διαιρεῖσθαι ἀεί. Οὔτε γὰρ Ἀριθμὸς ἐνεργείᾳ ἔσται εἰς ἄπειρον αὐξηθείς· (πᾶς γὰρ ὁ ληφθεὶς ἐνεργείᾳ, πεπέρασται.) οὔτε Μέγεθος ἐνεργείᾳ ἔσται διῃρημένον εἰς ἄπειρα. Πᾶσα γὰρ διαίρεσις ἐνεργείᾳ γεγονυῖα, πεπερασμένα τὰ τμήματα τίθησιν. Οὕτω τοίνυν καὶ πᾶς χρόνος ἐνεργείᾳ διαιρεθεὶς, ἢ πρόσθεσιν δεδεγμένος, πεπέρασται. Ὥστε τὸ Ἄπειρον, οἷς περ ἔνεστι Δυνάμει γινώσκεται. Ἐν γὰρ τῷ δύνασθαι πάντοτε τέμνεσθαι, καὶ μηδαμοῦ καταλήγειν τὴν τομὴν, καὶ πάλιν αὔξεσθαι πάντοτε, καὶ μηδαμοῦ καταλήγειν τὴν αὔξησιν, θεωρεῖται τὸ Ἄπειρον. Ἐν τῷ διαιρετῷ ἄρα τὸ Ἄπειρον, καὶ ἐν τῷ αὐξητῷ. Κἂν γὰρ μὴ διαιρῆται τὸ διαιρετὸν, ἢ αὔξηται τὸ αὐξητὸν· ἀλλ' ἓν τὸ μὲν ἐπ' ἄπειρόν ἐστι διαιρετόν· τὸ δ' ἐπ' ἄπειρον αὐξητόν. Εἰ δὲ κἂν τῷ διαιρουμένῳ καὶ αὐξομένῳ θεωρεῖται τὸ Ἄπειρον, ἀλλ' ἕως ἂν διαιρῆται ἢ αὔξηται. Καὶ ἔστιν ἡ ἐπ' Ἄπειρον αὔξησις καὶ διαίρεσις, Ἐνέργεια τοῦ δυνάμει, καὶ ἀτελὴς ἐνέργεια. Μένοντος γὰρ τοῦ Δυνάμει γίνεται· κἂν τῷ γίνεσθαι, τὸ εἶναι ἔχει. Καὶ ὥσπερ ἡ τοῦ κινητοῦ Ἐντελέχεια φυλάττουσα τὸ Δυνάμει, Κίνησις ἐλέγετο εἶναι· οὕτω καὶ ἡ τοῦ διαιρετοῦ καὶ τοῦ αὐξητοῦ Ἐντελέχεια φυλάττουσα τὸ Δυνάμει, τὸ Ἄπειρον ἔχει. Τοῦ δυνάμει γὰρ χωρισθεῖσα,

πέρας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέρας ἔλαβε, καὶ τὸ Ἄπειρον ἀπεβάλετο. Ὥστε τοῦ δυνάμει τὸ Ἄπειρον οὐκ ἐξίσαται. Οὕτω καὶ Πλάτων τὸ μέγα καὶ τὸ μικρὸν, Ἄπειρον ἔλεγεν, ὅτι ἐφ' ἑκάτερόν ἐστιν ἡ ἀπειρία Δυνάμει.

Ἐνεργείᾳ δὲ τελείᾳ οὐκ ἔστιν Ἄπειρον οὔτε Μέγεθος, οὔτε Πλῆθος ἐν τῷ κόσμῳ οὐδέν. Μέγεθος γὰρ οὐκ ἔστι μεῖζον τοῦ Οὐρανοῦ, καὶ οὗτος ὑπάρχει πεπερασμένος· ἐπειδὴ καὶ ἡ τούτου κίνησις πεπερασμένη. Καὶ γὰρ ἐλάττονι χρόνῳ τοῦ νυχθημέρου σύμπας ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ περιστρέφεται. Τοῦ δ' Οὐρανοῦ τοῦ τὸ πᾶν περιέχοντος πεπερασμένου τυγχάνοντος, πλῆθος Ἄπειρον πῶς ἂν εἴη τούτου ἐντός; Ἄλλως δὲ πάλιν ἐπεὶ μεῖζον οὐκ ἔστιν ἀπείρου λαβεῖν· (εἰ γάρ ἐστιν, οὐκ ἂν εἴη τὸ Ἄπειρον Ἄπειρον, ἔχον μεῖζόν τι ἑαυτοῦ καὶ διὰ τοῦτο πεπερασμένον ὄν.) ὑποκείσθω ἡ Ἄμμος ἄπειρος εἶναι τῷ πλήθει. Προστιθεμένων οὖν αὐτῇ τῶν ἀτόμων Ζώων, τῶν Φυτῶν, τῶν Ἀστέρων, καὶ τῶν ἄλλων ἁπάντων σωμάτων, μεῖζον πάντως πλῆθος εὑρίσκεται. Ὥστε καὶ ἡ Ἄμμος πεπέρασται, εἴγε πλῆθος εὑρίσκεται μεῖζον αὐτῆς. Ὁμοίως δὲ καὶ τὰ λοιπὰ τῶν σωμάτων ἰδίᾳ θεωρούμενα, χωρὶς πάσης ἀμφιβολίας πεπερασμένα γνωσθήσονται. καὶ τὸ σύμπαν ἄρα πλῆθος τῶν ὅλων σωμάτων πεπέρασται. Τὸ γὰρ ἐκ πεπερασμένων συγκείμενον, ὁμολογουμένως πεπερασμένον. Ὥστε οὐκ ἔστιν Ἄπειρον ἐν τῷ κόσμῳ οὐδέν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

### Περὶ Στοιχείων.

Εἴρηται μὲν πρότερον περὶ τῶν πρώτων καὶ ἀσωμάτων καὶ ἁπλουστάτων στοιχειωδῶν Ἀρχῶν παντὸς σώματος φυσικοῦ, τῆς Ὕλης δηλαδὴ καὶ τοῦ Εἴδους, ἤτοι τῆς ἀποίου Ὕλης καὶ τῆς ἀΰλου Ποιότητος· Ποιότης γὰρ τὸ Εἶδος· ἐπεὶ σώματος πεποιωμένου εἰδοποιόν. Νῦν δὲ περί τινων ἄλλων ὁ λόγος Ἀρχῶν δευτέρων σωματοειδῶν, ἐκ τῶν πρώτων συγκειμένων Ἀρχῶν, αἵτινες ἰδίως Στοιχεῖα καὶ ἁπλᾶ προσαγορεύονται Σώματα·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα· Στοιχεῖα μὲν, ὅτι τὰ λοιπὰ φυσικὰ σώματα προσεχῶς ἐκ τούτων συνίστανται· Σώματα δ' ἁπλᾶ, πρὸς τὰ συγκείμενα ἐκ τούτων παραβαλλόμενα. Πάντα γὰρ τὰ ἐξ ὧν ἡ σύνθεσις, τῶν ἐξ ἐκείνων συντιθεμένων ἁπλούστερα.

Ὅτι μὲν οὖν ἐστιν Ἐναντιότης ἐν τοῖς Εἴδεσι, (πᾶσα γὰρ Γένεσις ἐκ τοῦ ἐναντίου, καὶ πάλιν εἰς τοὐναντίον πᾶσα Φθορά.) προϋπέμνησται. Ὅτι δὲ σωμάτων φυσικῶν καὶ αἰσθητῶν ἁπάντων ζητοῦντες Ἀρχάς, τὴν Ὕλην καὶ τὴν ἐναντίωσιν ἔγνωμεν, αἰσθητὴ ἂν εἴη πᾶσα ἐναντίωσις ἀρχική, καὶ οὐχ ἡ τυχοῦσα αἰσθητή, ἀλλ' ἡ τῇ Ὕλῃ προσεχεστάτη καὶ κοινοτάτη, καὶ διὰ πάντων τῶν σωμάτων διήκουσα. Τοιαύτη δέ ἐστιν ἡ ἁπλή. Πρώτη γὰρ οὖσα κατὰ φύσιν ἡ Ἁφὴ πασῶν τῶν αἰσθήσεων, εἰκότως καὶ τοῦ ἁπλοῦ μεταδίδωσι κοινοτάτως πᾶσι τοῖς αἰσθητοῖς. Τινὰ μὲν γὰρ τῶν αἰσθητῶν ἀόρατα, διὰ τὸ ἀχρωμάτιστον· οἷος ὁ Ἀήρ· τινὰ δὲ ἀνήκουστα, ὡς ἄψοφητα· οἷος ὁ Σπόγγος καὶ τὸ Ἔριον· ὅπου γε καὶ τοῖς τῶν σωμάτων ἀντιτύποις οὐ καθ' αὑτά, τῇ δὲ πρὸς τὸν ἀέρα προσρήξει, πέφυκε τὸ ψοφεῖν. Ἀλλ' οὐδὲ αἱ ὀσμαὶ διὰ πάντων τῶν αἰσθητῶν. Ἰδοὺ γὰρ ὁ Ἀήρ, ὥσπερ χρώματος, οὕτω καὶ ὀσμῆς ἰδίας ἀμέθεκτος· καὶ ταύτῃ διαπορθμευτικὸς γίνεται χρωμάτων τε καὶ ὀσμῶν. Ἀλλ' οὐδὲ γευσταὶ ποιότητες ἐν πᾶσίν εἰσι. Τὸ γοῦν ὕδωρ τοῖς χυμοῖς ὑποκείμενον, ἄχυμόν ἐστι καθ' αὑτό. Μόνας δὲ διὰ πάντων τῶν σωμάτων διαπεφοιτηκυίας, τὰς ἁπλᾶς ἐροῦμεν Ποιότητας. Ἁπλαῖ ἄρα εἶεν ἂν ἐναντιώσεις, αἱ διὰ πάντων τῶν σωμάτων διήκειν δυνάμεναι, καὶ κοινόταται εἶναι ἀρχαί.

Τίνες οὖν ἐναντιώσεις ἁπλαῖ; Θερμότης καὶ Ψυχρότης, Ὑγρότης καὶ Ξηρότης, Κουφότης καὶ Βαρύτης, Μαλακότης καὶ Σκληρότης, Γλισχρότης καὶ Κραυρότης, Λειότης καὶ Τραχύτης, Λεπτότης καὶ Παχύτης, Μανότης καὶ Πυκνότης, τὸν ἀριθμὸν αἱ πᾶσαι Συζυγίαι ὀκτώ. Τούτων τινὲς μὲν οὐ δύνανται δρᾶν εἰς ἀλλήλας, τινὲς δὲ ταῖς ἄλλαις ἐμπεριέχονται. Προσήκει δὲ ταῖς ἀρχικαῖς Ἐναντιότησι καὶ δρᾶν εἰς ἀλλήλας ὅλας δι' ὅλων, ὡς ἂν δι' αὐτῶν ἐπιτελοῖτο Γένεσις καὶ Φθορά, καὶ μηδ' ἄλλας

ὑπ'

ὑπ' ἄλλας τετάχθαι. Πῶς γὰρ ἂν εἶεν ὁμοτίμως Ἀρχαί; Τὸ μὲν οὖν Βαρὺ καὶ τὸ Κοῦφον, τὸ Τραχύ τε καὶ τὸ Λεῖον, οὔτε ποιεῖν οὔτε πάσχειν ἰσχύουσιν. Οὔτε γὰρ τὸ Βαρὺ μεταδοίη ἂν τῷ παρακειμένῳ βαρύτητος, οὔτε τὸ Κοῦφον κουφότητος· οὔτ' αὖ τὸ Τραχὺ τραχύτητος, οὔτε τὸ Λεῖον λειότητος. Τὸ μαλακὸν δὲ καὶ τὸ Σκληρὸν, τὸ Γλίσχρον καὶ τὸ Κραῦρον, τὸ Λεπτὸν καὶ τὸ Παχὺ, τὸ Μανὸν καὶ τὸ Πυκνὸν, ταῦτα πάντα τῷ ὑγρῷ καὶ τῷ ξηρῷ συνυπάγεται. Τὸ μὲν γὰρ Ὑγρὸν ὅρῳ ἀλλοτρίῳ εὐόριστόν ἐστι καὶ τῶν πόρων ἀναπληστικόν. Τοιοῦτον καὶ τὸ Λεπτομερὲς, εὐπεριόριστον ὅρῳ παντὶ, καὶ τῶν κενοτήτων ἀναπληρωτικόν. Εἰς Μέδιμνον γὰρ Καρύων ἐμβαλλομένη Σεμίδαλις, δύναται διεισδύνειν εἰς τὰς μεταξὺ τῶν Καρύων κενὰς τοῦ στερεοῦ σώματος χώρας καὶ ταύτας ἀναπληροῦν. Τὸ αὐτὸ δὲ καὶ τὸ Ὑγρὸν ποιεῖ. Τὸ γὰρ Ὕδωρ παντὶ ἀκολουθεῖ ὅρῳ τῷ ἁπτομένῳ καὶ περιέχοντι. Διὰ ταῦτα τοίνυν ὑπὸ τὸ Ὑγρὸν τάττουσι τὸ Λεπτόν. Ὁμοίως δὲ καὶ ὑπὸ τὸ Ξηρὸν, τὸ Παχύ. Καθάπερ γὰρ τὸ Ξηρὸν, τῷ μὲν οἰκείῳ ὅρῳ εὐόριστον, τῷ δ' ἀλλοτρίῳ δυσόριστον· (ἀντιβατικόν γάρ ἐστι, καὶ τοῖς περιέχουσιν, οὐκ ἀκολουθεῖ.) τὸν αὐτὸν τρόπον καὶ τὸ Παχὺ μεγαλομερὲς ὂν, οὐκ εἰς χώραν δίεισιν ἅπασαν. Ὡσαύτως καὶ τὸ Πυκνὸν καὶ τὸ Ἀραιὸν, τὸ μὲν ὑπὸ τὸ Ξηρὸν τιθέασι, τὸ δ' ὑπὸ τὸ Ὑγρόν. Μήποτε δὲ καὶ τὸ Λεπτὸν καὶ τὸ Παχὺ, τὸ Μανόν τε καὶ τὸ Πυκνὸν τῶν ποιητικῶν καὶ παθητικῶν ἀποδοκιμασθεῖεν ἐναντιώσεων, διὰ τὸ μηδ' αὐτὰ δύνασθαι δρᾶν ὅλα δι' ὅλων εἰς ἄλληλα. Καὶ οὐκ ἂν τὴν Ἄμμον ἢ τὴν Τέφραν ἀναγκασθείη τις Ὑγρὰ καλέσαι διὰ τὴν ἐνοῦσαν αὐτοῖς λεπτομέρειαν, Ξηρὰ προδήλως ὑπάρχοντα. Τὸ Γλίσχρον δὲ, φανερῶς Ὑγρόν ἐστι μετὰ πάθους τινός. Εἰ δὲ τὸ γλίσχρον ὑγρὸν, τοὐναντίον αὐτῷ, τουτέστι, τὸ Κραῦρον ἔσται Ξηρόν. Τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις ὑπάρχουσιν. Ὑπείκει δὲ τὸ Μαλακὸν τῇ Ἁφῇ καθ' ὃ μετέχει ὑγρότητος. Τὸ γὰρ ὑπείκειν, ἴδιόν ἐστι τοῦ Ὑγροῦ. διὸ καὶ τὸ Μαλακὸν περιληφθήσεται τῷ Ὑγρῷ· δῆλον δ' ὅτι καὶ τὸ Σκληρὸν τῷ Ξηρῷ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φανερὸν οὖν ἐντεῦθεν, ὡς δύω ἐναντιότητες ἁπλαῖ περιλείπονται πεφυκυῖαι ποιεῖν τε καὶ πάσχειν ὅλαι δι᾽ ὅλων, καὶ μηδαμῶς τισιν ἐμπεριεχόμεναι· Θερμότης αὗται δὴ καὶ Ψυχρότης, Ὑγρότης τε καὶ Ξηρότης, αἳ κοιναὶ πάντως εἶεν ἂν εἰδοποιοὶ Ἀρχαὶ πάντων σωμάτων τῶν αἰσθητῶν. Καὶ τοῦ Διεροῦ δὲ καὶ τοῦ βεβρεγμένου καὶ τοῦ ἰδίως ὑγροῦ, καθ᾽ ὃ τοιαῦτα, τὸ ἁπλῶς Ὑγρὸν περιεκτικόν ἐστι. Διερὸν μὲν οὖν λέγεται, τὸ ἐπιπολῆς ἔχον ἀλλοτρίαν ὑγρότητα· ὡς εἴτις ὕδωρ ἐπιχέοι λίθῳ τυχὸν, ἢ ξύλῳ, ἢ ζώου σώματι, ἢ ἱματίῳ μετρίως. Τὸ γὰρ ἐν βάθει τὴν ἀλλοτρίαν ἔχον ὑγρότητα, βεβρεγμένον κατονομάζεται, οἷος ὑπάρχει καὶ ὁ πηλός. Ἰδίως δὲ καλεῖται Ὑγρὸν, τὸ ἔχον οἰκείαν ἐν τῷ βάθει κεκρυμμένην ὑγρότητα καὶ δεικνύον αὐτήν· καθάπερ ὁ Κηρὸς καὶ ὁ Μόλιβδος, καὶ τὰ λοιπὰ τῶν τηκτῶν ὅτε τήκονται. Εἰ δὲ τῶν ῥηθέντων περιληπτικόν ἐστι τὸ ἁπλῶς Ὑγρὸν, δῆλον ὅτι καὶ τῶν ἀντικειμένων, τὸ ἁπλῶς Ξηρόν. ἀντίκειται δὲ τῷ μὲν Διερῷ τὸ ἰδίως Ξηρὸν, ὅπερ οὐδ᾽ ἐπιπολῆς ἀλλοτρίαν ὑγρότητα δέδεκται· τῷ δὲ Βεβρεγμένῳ, τὸ Ἄβροχον· τῷ ἰδίως Ὑγρῷ δὲ, τὸ Πεπηγὸς· οἷά ἐστι, τὸ Ὄστρακον, καὶ τῶν Μετάλλων, τά τε μὴ τηκτὰ, καὶ τὰ τηκτὰ πρὶν τακῇ. Τῶν γὰρ πεπηγότων τὰ μὲν τηκτὰ, τὰ δ᾽ ἄτηκτα. Ὑγρὸν δ᾽ ἁπλῶς, ὅπερ ὅλον δι᾽ ὅλου ἀεὶ φανερὰν οἰκείαν ὑγρότητα κέκτηται· καὶ Ξηρὸν ἁπλῶς, ὅπερ ὅλον δι᾽ ὅλου ὁμοίως ἔμφυτον ἔχει ξηρότητα.

Τούτων οὕτως ἐχόντων, ἐπεὶ καθόλου πᾶσα ἐναντιότης ἁπλῆ ποιητικὴ καὶ παθητικὴ, ταῖς εἰρημέναις δύω Συζυγίαις συνάγεται, οὐδεμία δὲ τούτων ὑπὸ τὴν ἑτέραν εὑρίσκεται· (οὐδὲ γὰρ τὸ Θερμὸν καὶ τὸ Ξηρὸν οὐδὲν ὑπὸ θάτερον τάττεται. Καὶ γὰρ οὕτως ἂν ἦν πᾶν Θερμὸν καὶ Ξηρὸν, ἢ πᾶν Ξηρὸν καὶ Θερμόν· οὔτε τὸ Ψυχρὸν καὶ τὸ Ὑγρὸν οὐδὲν ὑπὸ τὸ λοιπὸν διὰ ταυτά· πολλῷ γε μᾶλλον οὐδὲ τ᾽ Ἀναντία ὑπὸ τ᾽ Ἀναντία· πῶς γὰρ ἔσοιντ᾽ ἂν ὑπάλληλα τὰ μαχόμενα;) πάντως εὔδηλον, ὅτι τὰ πρώτως ὑπὸ τῶν εἰρημένων ἐναντιώσεων εἰδοποιούμενα σώματα, ταῦτ᾽ ἂν εἶεν στοιχεῖα προσεχῆ πάντων σωμάτων τῶν φυσικῶν.

Εἰδο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰδοποιεῖται μὲν οὖν πρώτως τὸ Πῦρ, Θερμότητι καὶ Ξηρότητι· καὶ μάλιστά γε Θερμότητι· ὁ δ᾽ Ἀὴρ, Θερμότητι καὶ Ὑγρότητι, καὶ πλέον Ὑγρότητι· τὸ δ᾽ Ὕδωρ, Ὑγρότητι καὶ Ψυχρότητι, καὶ μᾶλλον Ψυχρότητι· ἡ δὲ Γῆ Ψυχρότητι καὶ Ξηρότητι, καὶ τοὐπίπαν Ξηρότητι. Πῦρ ἄρα, καὶ Ἀὴρ, καὶ Ὕδωρ, καὶ Γῆ, Στοιχεῖα προσεχῆ τῶν συνθέτων Σωμάτων τῶν Φυσικῶν. Ἃ δὴ Στοιχεῖα οὐ καθ᾽ ὃ στοιχεῖα, καθ᾽ ὃ δὲ Σώματα πεποιωμένα, ἐξ ἀλλήλων τε γίνεται καὶ εἰς ἄλληλα φθείρεται. Καὶ τὰ μὲν κοινὴν κεκλημένα ποιότητα καθάπερ τὸ Πῦρ καὶ ὁ Ἀὴρ τὴν Θερμότητα, καὶ τὸ Ὕδωρ καὶ ἡ Γῆ τὴν Ψυχρότητα, ῥαδίως ταῦτα μεταβάλλει εἰς ἄλληλα, κατὰ μίαν ποιότητα πάμπαν δὴ μεταβάλλοντα· τὰ δὲ καὶ κατ᾽ ἄμφω τὰς ποιότητας ἀντικείμενα, βραδυτέραν ποιεῖται πρὸς ἄλληλα τὴν μεταβολήν· ὡς τὸ Ὕδωρ καὶ τὸ Πῦρ, ἡ Γῆ τε καὶ ὁ Ἀὴρ, ἃ δὴ καὶ ἁπλῶς Ἐναντία εἰσίν.

Εἰ δ᾽ οὐσίαι ταῦτα, τῇ οὐσίᾳ δ᾽ ἐναντίον οὐδὲν, ἀλλ᾽ οὐ καθ᾽ ὃ οὐσίαι καὶ ὑποκείμενα, κατὰ τοῦτο ἐναντιοῦνται πρὸς ἄλληλα Πῦρ καὶ Ὕδωρ, καὶ πάλιν Ἀὴρ καὶ Γῆ, ἀλλὰ καθ᾽ ἃς εἰδοποιοῦνται ποιότητας. Ἡ γὰρ ἐν Πυρὶ Θερμότης, τῇ ἐν Ὕδατι Ψυχρότητι μάχεται, καὶ ἡ Ξηρότης αὖ τῇ Ὑγρότητι. Καὶ πάλιν ἡ ἐν Ἀέρι Ὑγρότης τῇ ἐν Γῇ Ξηρότητι· καὶ ἡ Θερμότης τῇ Ψυχρότητι. καὶ ἁπλῶς ἐπὶ πάντων τῶν Στοιχείων, αἱ ἐναντίαι ποιότητες, ταῖς ἐναντίαις ἀντίκεινται.

Πᾶσαι δ᾽ οὐσιώδεις Ποιότητες, κἂν ὦσιν Εἴδη τινά· (μετὰ γὰρ τοῦ πρώτου ὑποκειμένου δηλονότι τῆς Ὕλης ἀποτελοῦσι τὸ δεύτερον ὑποκείμενον ἤτοι τὸ Σῶμα.) πλὴν καθ᾽ αὑτὰς θεωρούμεναι χωρὶς τοῦ ὑποκειμένου, συμβεβηκότα εἰσί. Διὸ καὶ Εἴδη καὶ εἰδοποιοὶ καλοῦνται Ποιότητες, ὡς ἑτέρου ὄντος τοῦ Εἴδους, ὃ ποιοῦσι παρὰ τὸ εἶδος, καθ᾽ ὃ αὗται λέγονται Εἴδη. Τὸ μὲν γὰρ, μετὰ τῆς ὕλης νοεῖται, καὶ οὐσία καὶ ὑποκείμενόν ἐστιν· ὡς τὸ πῦρ καθ᾽ ὃ πῦρ, καὶ ἡ γῆ καθ᾽ ὃ γῆ, καὶ τὰ λοιπὰ τῶν ἀποτελουμένων εἰδῶν. Ἐκεῖνο δὲ τὸ εἶδος, καθ᾽ ὃ αἱ Ποιότητες λέγονται εἴδη, χω-

ρὶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίς τε τῆς ὕλης ἐπινοεῖται· (πῶς γὰρ ἂν ἄλλως ἐξ ὕλης καὶ εἴδους λεχθεῖεν τὰ σώματα;) καὶ οὐκ ἔστιν οὐδ᾽ οὐσία οὐδ᾽ ὑποκείμενον, ἐν ὑποκειμένῳ δὲ μάλιστα. Κἄν ποτε Οὐσία λεχθείη, Διὰ τοῦτο λέγεται οὐσία, διὰ τὸ μετὰ τοῦ ὑποκειμένου δύνασθαι μίαν οὐσίαν ἀποτελεῖν, καὶ μὴ ἀπογίνεσθαι τοῦ ἀποτελεσθέντος, χωρὶς τῆς τούτου φθορᾶς, ταυτὸν δ᾽ εἰπεῖν, διαλύσεως.

Διά ταῦτά τοι τὸ Εἶδος καὶ δευτέρα λέγεται καὶ ἧττων Οὐσία, μᾶλλον δὲ οὐσιῶδες καὶ οὐκ οὐσία. Καὶ αὖ πάλιν κυριώτατα καὶ πρώτως καὶ μάλιστα Οὐσία φιλοσοφεῖται παρὰ τῶν ὄντως Φιλοσόφων καὶ δογματίζεται. Τὸ μὲν γὰρ ἄνευ τῆς ὕλης ἐπινοούμενον, ὡς ἐν ὑποκειμένῳ τῇ ὕλῃ δυνάμενον ἔχειν τὴν ὕπαρξιν, εἰκότως οὐσία οὐ κυρίως λέγεται. Τὸ δὲ μετὰ τῆς ὕλης ὂν ἐνεργείᾳ, καὶ μετ᾽ αὐτῆς χρηματίζον ἓν ὑποκείμενον, ὡς κατὰ συνεκδοχὴν ἐκ θατέρου τῶν συνελθόντων εἰς τὸν τοῦ συνθέτου ἀπαρτισμὸν προσαγορευομένου τοῦ σύμπαντος, τὸ τοιοῦτον εἶδος, δικαίως ἂν οὐσία κυριωτάτα τε καὶ πρώτως καὶ μάλιστα λέγοιτο. Τοῦτο δέ ἐστι τὸ εἰδικώτατον πασῶν τῶν ἐπὶ μέρους οὐσιῶν περιληπτικὸν καὶ συλληπτικὸν, καὶ λόγον ἔχον πρὸς αὐτὰς, ὃν ἡ ὁλότης πρὸς τὰς ὁμοιομερείας αὐτῆς. Οὕτω δὴ καὶ Πλάτων τοὺς κατὰ μέρος ἀνθρώπους, ἀνθρώπου κέρματα προσηγόρευσεν.

Οὐσῶν δὲ τεσσάρων Ποιοτήτων καθολικῶν, εἰκότως καὶ τὰ Στοιχεῖα τέσσαρα γέγονε, καὶ διττὰς ἓν ἕκαστον αὐτῶν Ποιότητας ἐκληρώσατο. Μόνως γὰρ οὕτω τοῖς στοιχείοις ἐναντιότης τε καὶ συγγένεια πρόσεστι· δι᾽ ἃς Γένεσις καὶ Φθορά, καὶ ἡ διαμονὴ τοῦ παντός. Διὰ μὲν γὰρ τὴν Ἐναντίωσιν ἐπιτελεῖται Γένεσις καὶ Φθορά. Πᾶσα γὰρ Γένεσις ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον· καὶ πᾶσα Φθορὰ εἰς τοὐναντίον ὑπὸ τοῦ ἐναντίου πάλιν. Οὐχ ὑπὸ τοῦ τυχόντος γὰρ πάσχει τὸ πάσχον, ἀλλ᾽ ὑπὸ τοῦ Ἐναντίου· οἷον, τὸ ψυχρὸν ὑπὸ τοῦ θερμοῦ πάσχει τὴν θέρμανσιν. Κἂν ὁ Λύχνος εἰς πυρκαϊὰν προσενεχθεὶς πάσχῃ τὴν σβέσιν, ἀλλ᾽ οὐχ ὑφ᾽ ὁμοίου πάσχει ὁ Λύχνος, ὑπὸ δ᾽ ἐναντίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τίου. Καὶ γὰρ ἡ ἐλάττων φλὸξ ἐκδαπανᾶται ὑπὸ τῆς μείζονος, ἠναντίωται δὲ τὸ μεῖζον τῷ ἥττονι.

Διὰ μὲν οὖν τὴν Ἐναντίωσιν ἐπιτελεῖται Γένεσις καὶ Φθορά· διὰ δὲ τὴν Συγγένειαν διαμένει τὸ πᾶν. συνάπτεται γὰρ ἡ Γῆ τῷ Ὕδατι, κατὰ τὸ Ψυχρὸν, καὶ τὸ Ὕδωρ τῷ Ἀέρι, κατὰ τὸ Ὑγρὸν, Καὶ ὁ Ἀὴρ τῷ Πυρὶ κατὰ τὸ Θερμὸν, καὶ τὸ Πῦρ τῇ Γῇ κατὰ τὸ Ξηρόν. Καὶ οὕτω τις Κύκλος ἐναρμόνιος τῆς τῶν μαχομένων ἑνώσεως ἀπαρτίζεται, καὶ χορὸς ἀλληλένδετος ἐξ ἐναντιοτήτων καὶ κοινωνιῶν συμπληρούμενος.

Καὶ κατὰ τὰς Ῥοπὰς δὲ τὰ Στοιχεῖα καὶ συνάπτονται καὶ διΐστανται. Βαρεῖα μὲν γὰρ μόνως ἡ Γῆ· διὸ καὶ πᾶσιν ὑφίσταται. Κοῦφον δὲ μόνως τὸ Πῦρ· διὸ καὶ πᾶσιν ἐπιπολάζει, ὅσοις ἐπ' εὐθείας τὸ φέρεσθαι φυσικῶς. Τὸ δ' ὕδωρ, κουφότερον μὲν τῆς Γῆς καὶ ταύτῃ ἐπιπολάζον, βαρύτερον δὲ τοῦ Ἀέρος καὶ τούτῳ ὑφιστάμενον. Ἀὴρ δὲ, τοῦ μὲν Ὕδατος κουφότερος, τοῦ Πυρὸς δὲ βαρύτερος. Ὥστε καθ' αὑτὸ καὶ ἁπλῶς, βαρὺ μὲν Στοιχεῖον, ἡ Γῆ· Κοῦφον δὲ, τὸ Πῦρ· ὁ δ' Ἀὴρ καὶ τὸ Ὕδωρ, πρός τι καὶ πῇ κοῦφά τε καὶ βαρέα εἰσὶ, καὶ δι' ἑαυτῶν τὰ πλεῖστον διεστῶτα, τὸ Πῦρ δηλαδὴ καὶ τὴν Γῆν, ἀλλήλοις συνάπτουσι. Πῶς μὲν γὰρ ἐναντία μᾶλλον, τὸ Πῦρ καὶ τὸ Ὕδωρ· πῶς δὲ, τὸ Πῦρ καὶ ἡ Γῆ. Κατὰ μὲν γὰρ τὰς ποιητικὰς καὶ παθητικὰς Ποιότητας, τὸ Πῦρ καὶ τὸ Ὕδωρ ἐναντία μᾶλλόν εἰσι· κατὰ δὲ τὰς Ῥοπὰς, ἡ Γῆ καὶ τὸ Πῦρ ἀλλήλοις ἐναντιώτατα.

Καὶ γὰρ ἐντεῦθεν ἡ κατὰ τόπον ἀπ' ἀλλήλων διάστασις πλείστη τούτοις συμβέβηκε· κατωτέρω μὲν τῶν ὅλων σωμάτων οὔσης τῆς Γῆς, ἀνωτέρω δὲ πάλιν, ἤγουν ὑπὸ τὴν Σελήνην εὐθὺς ὑπάρχοντος τοῦ Πυρός. ἐνταῦθα δὲ, τὸ στοιχειῶδες λέγομεν Πῦρ, ὃ καλεῖται ἰδίως Ὑπέκκαυμα, διὰ τὸ κινήσεως ἐπιτυγχάνον τινὸς, πολλάκις ἐκκαίεσθαι καὶ γίνεσθαι Πῦρ, ὁποῖον τὸ ἐν τῇ χρήσει καὶ διακονικόν. Τὸ γὰρ στοιχειῶδες Πῦρ, ἄλλο τί ἐστι παρὰ τὸ διακονικόν· διότι τὸ διακονικὸν, ὑπερβολὴν ἔχει ζέσεως, ὥσπερ καὶ ὁ κρύσταλλος, ψύξεως. Ὅθεν οὐδ' ὑπὸ κρυστάλλου ζωογονεῖ-

ται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταί τι, οὐθ' ὑπὸ τοῦ ἐν χρήσει Πυρός. Τὸ δὲ στοιχειῶδες Πῦρ καὶ τὸ στοιχειῶδες Ὕδωρ, ζωογόνα εἰσὶ, καὶ πρὸς σύστασιν τῶν συνθέτων σωμάτων παραλαμβάνονται· ἐξιόντα δ' ἐπ' ἀμετρίαν, τὸ μὲν, τὸν Κρύσαλλον· τὸ δὲ, τοῦτο τὸ διακονικὸν ἐργάζεται Πῦρ.

Ἡνίκα μὲν οὖν θάτερον τῶν Στοιχείων ἐπὶ πλεῖον ὑπερέχει θατέρου, τότε μεταβάλλει τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος κρατούμενον· καὶ γίνεται τὸ σύμπαν, ὁποῖον τὸ ὑπερβάλλον. Ὅταν δέ πως ἰσάζῃ τἀναντία πάντα, καὶ μηδὲν ἐπικρατέστερον ᾖ κατὰ πολὺ τοῦ λοιποῦ, τότ' ἀποτελεῖται τὸ Σύνθετον, ἑκατέρου δρῶντος εἰς ἑκάτερον, καὶ ὑπὸ θατέρου πάσχοντος θατέρου· καὶ μηδετέρου κατακρατοῦντος ἑτέρου, διὰ τὴν οἷον ἰσότητα τῶν δυνάμεων, ἀλλὰ κολαζομένης μὲν τῆς ἑκατέρων ἀκρότητος, γινομένου δέ τινος Μεταξύ.

Διότι δ' οὐκ ἔστιν ἑνιαῖον καὶ ἄτομον τοῦτο τὸ Μεταξὺ, (καὶ γὰρ ἐν πλάτει θεωρεῖται καὶ πολὺ διάφορόν ἐστι, καθὰ καὶ τὸ μεταξὺ τοῦ λευκοῦ καὶ τοῦ μέλανος. ὠχρὸν γὰρ καὶ πυῤῥὸν καὶ φαιὸν καὶ ἄλλα πολλά.) διὰ τοῦτο καὶ τὰ Εἴδη τῶν συνθέτων πλείονά τέ εἰσι, καὶ ἀλλήλων διοίσοντα, τὰς διαφόρους οὐσιώδεις τε καὶ ἐπουσιώδεις Ποιότητας κτώμενα· κατὰ τὴν ποιὰν τῶν Στοιχείων κρᾶσιν τε καὶ ἀλλοίωσιν τοῦ Πυρὸς, τοῦ Ἀέρος, τοῦ Ὕδατος, καὶ τῆς Γῆς.

Ταῦτα γάρ μόνα Στοιχεῖα τῶν σωμάτων καλεῖν ἀξιοῦσιν οἱ πλεῖστοι τῶν Φυσικῶν· ὧν ἐστι καὶ ὁ ἐν ἰατροῖς δόκιμος Γαληνός· τὴν Ὕλην δὲ καὶ τὴν Ποιότητα, ἤτοι τὸ Εἶδος, μόνως Ἀρχάς· Ἀρχῶν διαφορὰν, καὶ Στοιχείων τιθέμενοι, τὸ τὰς μὲν Ἀρχὰς, οὐκ ἐξ ἀνάγκης ὁμογενεῖς εἶναι τοῖς πράγμασιν, ὧν εἰσὶν Ἀρχαί· τὰ δὲ Στοιχεῖα, πάντως ὁμογενῆ. Διὸ τὴν μὲν ἁπλῆν Ποιότητα, οἷον, τὴν Θερμότητα, ἢ τὴν Ξηρότητα, ἢ τὴν Ψυχρότητα, ἢ τὴν Ὑγρότητα, Στοιχεῖόν φασι τῆς συνθέτου Ποιότητος, τῆς Θερμότητος ἅμα δὴ καὶ Ξηρότητος, καὶ πάλιν τῆς Ψυχρότητος ἅμα δὴ καὶ Ὑγρότητος· τὸ δ' ἁπλοῦν

Σῶμα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σῶμα, σώματος Στοιχεῖον τῦ μὴ ἁπλῦ, οἷον τὸ Πῦρ, ἢ τὸν Ἀέρα, ἢ τὸ Ὕδωρ, ἢ τὴν Γῆν, Στοιχεῖον σώματος τῦ συνθέτυ. Σῶμα γὰρ ἁπλῦν, Ὕλη μετὰ Ποιότητος· Θερμότητος τυχὸν, ἢ Ψυχρότητος, ἢ Ξηρότητος, ἢ Ὑγρότητος.

Τὰ μὲν ὖν εἰρημένα τέσσαρα Στοιχεῖα καθαρὰ καὶ εἰλικρινῆ, νῦς μόνος οἶδε διακρίνων ὁρᾷν. Οὐδὲ γάρ ἐστιν ὐδὲν αὐτῶν ἀμιγὲς τῶν λοιπῶν· διότι πάντα νενόθευται τοῖς ἑτερογενέσιν, εἴτυν, ἑτεροειδέσι καὶ ἀναμέμικται, καὶ μᾶλλον ἢ ἧττον ἀλλήλων μετείληφεν· ὥστε κατὰ τὸ ἐπικρατῦν, τὸ μὲν Πῦρ ὀνομάζεσθαι, τὸ δ' Ὕδωρ· καὶ τὸ μὲν, Ἀέρα· τὸ δὲ, Γῆν. Τῦτο δ' ὑπαγορεύει καὶ αὐτὴ ἡ αἴσθησις. Ἡ γὰρ Γῆ συνέχεται μὲν καὶ ὐ κατατέθραυσται τῇ συμπλοκῇ τῦ ὕδατος οἱονεί τινι κόλλῃ συνδεδεμένη· κέχρωσται δὲ καὶ ἀνεζωπύρηται τῷ πυρὶ· πλήρης δέ ἐστιν ἀεὶ, τῷ κενῷ χώραν μὴ διδῦσα, κἂν ἀπορρέῃ διὰ τὴν τῦ ἀέρος παρείσδυσιν. Διὸ καὶ ἕστηκεν ὄρθιος καὶ ἀνέχεται μὴ πεπτωκυῖα. Οὕτω δὲ κἀπὶ τῶν ἄλλων Στοιχείων ἐστὶν εὑρεῖν. Ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς στοιχειώδυς φύσεως ἔστι τὸ λεγόμενον κατανοῆσαι. Τὰ γὰρ στοιχεῖα καθ' ὃ Στοιχεῖα, καθ' αὐτὰ μὲν ὐδαμῦ ἐστιν· ὥσπερ ὐδὲ τὰ τῦ λόγυ Στοιχεῖα τὰ εἰκοσιτέσσαρα· δι' ἀλλήλων δ' ἀεὶ κεχωρηκότα τὸ σύνθετον ἀποδιδόασι. Καὶ γὰρ ὥσπερ τὰ μέρη τῦ ὅλυ τυγχάνει μέρη, καὶ καθ' αὐτὰ εἶναι ὐ δύναται μέρη ὄντα· ὕτω καὶ τὰ Στοιχεῖα τῦ συνθέτυ ἐστὶ στοιχεῖα, καὶ δι' ἀλλήλων ἀεὶ κεχώρηκε, καὶ ὐδέποτε καθ' αὐτὰ ὑφέστηκεν· ἀλλήλοις δὲ πρῶτον συνανακραθέντα καὶ κατ' ἐπικράτειαν ἑνὸς εἰδοποιηθέντα· ὕτως ὡς ἐξ ἁπλῶν τῶν κατ' ἐπικράτειαν, κατὰ δευτέραν σύνθεσιν τά τε Ζῶα συνιστῶσι, καὶ τὰ Φυτὰ, καὶ τὰ μέρη αὐτῶν

Πλείονος μέν τοι τῶν ἄλλων Στοιχείων μετέχει τῆς Γῆς τὰ Φυτὰ καὶ τὰ Ζῶα καὶ ὅσα περίγεια σώματα. Ἕκαστον γὰρ περὶ τὸν οἰκεῖον τόπον μᾶλλον πλεονεκτεῖ. Καὶ εἰ τῆς Γῆς τόπος τὸ μέσον τῦ παντὸς· τοῖς ὖσιν

ἐν τῷ

ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῷ τόπῳ τῆς Γῆς, πλεῖστον ὑπάρξει τῆς Γῆς· εἶτα καὶ Ὕδατος μετέσται αὐτοῖς Ἀέρος τε καὶ Πυρὸς, πρὸς λόγον τῆς ἀπὸ Γῆς τουτωνὶ τῶν Στοιχείων τοπικῆς διαστάσεως.

## ΚΕΦΑΛΑΙΟΝ. ΙΒ.

### Περὶ τῶν φαινομένων Φλογῶν καιομένων περὶ τὸν Οὐρανόν. καὶ τῶν καλουμένων Αἰγῶν, καὶ Δαλῶν, καὶ διαθεόντων Ἀστέρων.

Ἄνωθεν μὲν ἀπὸ τῆς ἀρχῆς τοῦ Στερεώματος μέχρι καὶ τοῦ τέρματος τῆς Σελήνης, τὸ αἰθέριόν ἐστι Σῶμα· κάτω δ' ἐπὶ τὸ μέσον καὶ περὶ τὸ μέσον τὰ τῶν σωμάτων βαρύτατα καὶ ψυχρότατα, Γῆ τε καὶ Ὕδωρ· ἡ Γῆ μὲν, ἐπὶ τὸ μέσον· τὸ δ' Ὕδωρ, περὶ τὸ μέσον· μεταξὺ δὲ τούτων τῶν σωμάτων καὶ τοῦ Αἰθέρος, ὁ Ἀὴρ ἐστι καὶ τὸ καλούμενον στοιχειῶδες Πῦρ, ἐχόμενος μὲν τῆς Γῆς καὶ τοῦ Ὕδατος, ὁ Ἀήρ· μετὰ δὲ τὸν Ἀέρα, τὸ Πῦρ τεταγμένον τὸ στοιχειῶδες, ἄλλο τυγχάνον παρὰ τὸ ἐντελεχείᾳ Πῦρ, ἤγουν τὸ διακονικὸν, ὅπερ ἐστὶν ὑπερβολὴ, καὶ οἷον ζέσις θερμοῦ. Τοῦ δὲ λεγομένου Ἀέρος διὰ τὸ ἐπικρατοῦν, ὅσον μὲν περὶ τὴν γῆν, ὑγρόν ἐστι μάλιστα καὶ θερμόν· (μετέχει μὲν γὰρ καί τινος ἀναθυμιάσεως ξηρᾶς ἐκ τῆς γῆς.) τὸ δὲ πλέον, ἀτμίδος ἐστὶν ὑγρᾶς.

Τὸ μὲν οὖν περὶ τὴν γῆν τοῦ ὑφ' ἡμῶν καλουμένου Ἀέρος, τοιοῦτον· τὸ δ' ὑπὲρ τοῦτο, θερμὸν καὶ ξηρὸν ἤδη. Καὶ τοῦτό ἐστι τὸ καλούμενον στοιχειῶδες Πῦρ, ὃ διὰ συνήθειαν λέγεται Πῦρ· κυριώτερον δὲ καλεῖται Ὑπέκκαυμα. Ὑπεκκαίεται γὰρ πολλάκις, μικρᾶς ἐπιτυχὸν κινήσεως, καὶ Πῦρ ἐντελέστατον γίνεται. Τοῦτο δὴ τὸ Ὑπέκκαυμα, συνεχές ἐστι τῷ Αἰθέρι. Κατὰ γὰρ τὴν κοίλην ἐπιφάνειαν τῆς σεληνιακῆς Σφαίρας, τούτῳ συνάπτεται. Καὶ ὥσπερ τοῦ Αἰθέρος, τὸ μέν ἐστιν εἰλικρινὲς, τὸ δ' ἧττον καθαρὸν, καὶ μάλιστα ὅσον ἐστὶ περὶ τὴν κατὰ τὸ Ὑπέκ-

καυμα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καυμα συναφὴν, οἷον ὑποστάθμη τοῦ Αἰθέρος ὄν· οὕτω δὴ καὶ τοῦ Ὑπεκκαύματος τὸ μὲν ἐστιν ὅλως θερμὸν καὶ ξηρόν, ὅσον ἄνω μᾶλλον καὶ τοῦ Αἰθέρος ἐγγύτερον· τὸ δ' ἧττον τοιοῦτον, ὅσον κατωτέρω, καὶ τοῦ Αἰθέρος ἀπότερον. Φερομένων γὰρ κύκλῳ τοῦ Αἰθέρος καὶ τῶν ἐν αὐτῷ σωμάτων, τὸ προσεχὲς ἀεὶ τῇ κινήσει διακρινόμενον ἐκπυροῦται, καὶ ἔστι θερμότερον μάλιστα καὶ ξηρότερον. Ὅσον δὲ τοῦ Αἰθέρος ἀφέστηκεν, ἧττον ὑπάρχει τοιοῦτον, πρὸς λόγον τῆς ἀποστάσεως. Συγκινεῖται δὲ τῷ Αἰθέρι, κατὰ λόγον τὸ ἅπαν Ὑπέκκαυμα· συμφέρεται δέ πως διὰ τὴν συνέχειαν, καὶ ὁ ἐχόμενος τούτου Ἀήρ· πλὴν τοῦ ὄντος ἐντὸς τῶν τῆς Γῆς ἐξοχῶν, καὶ ἀναπληροῦντος τὰς ἀνωμαλίας τῆς Γῆς, καὶ ἀπαρτίζοντος ταύτην, ὡς εἶναι σφαιροειδῆ σὺν αὐτῷ. Οὗτος γὰρ οὐκ ἔτι κύκλῳ συμπεριάγεται, διότι θολερὸς καὶ παχὺς, κἀντεῦθεν βαρύτερος καὶ δυσκίνητος· ὅτι καὶ τῷ ὕδατι καὶ τῇ Γῇ συγγενής· ἴσως καὶ τῶν κατὰ τὰ ὄρη ἐξοχῶν κωλυουσῶν αὐτοῦ τὴν μετάστασιν.

Τούτου δὴ τοῦ Ἀέρος τοῦ μὴ συγκινουμένου τῷ Ὑπεκκαύματι, ὅσον ἀπογειώτερόν ἐστι, τοῦτο δὴ καὶ ψυχρότερον· διὰ τὸ μήθ' ὑπὸ κινήσεως, μήθ' ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων ἀνακλωμένων θερμαίνεσθαι. Προσπιπτουσῶν γὰρ τῶν ἡλιακῶν ἀκτίνων τῇ Γῇ, καὶ πάλιν ἐκ ταύτης ἀνακλωμένων, τῇ διπλῇ παρόδῳ θερμαίνεται, ὃ μᾶλλον προσγειότερόν ἐστι τοῦ ἀέρος· τὸ δ' ἀπογειότερον, καθ' ὅσον ἀπογειότερον, κατὰ τοσοῦτον οὐ δέχεται τὴν ἐκ τῆς ἀνακλάσεως τῶν ἀκτίνων θερμότητα. Ἐξασθενοῦσι γὰρ αἱ ἀνακλάσεις, εἰς ἀχανῆ τὸν ἀέρα χεομένων τῶν ἀκτίνων καὶ σκιδναμένων.

Τούτων οὕτως ὑποκειμένων, σαφέστερον εἴπωμεν, ὅτι τῆς Γῆς καὶ τοῦ Ὕδατος ὑπὸ τοῦ Ἡλίου θερμαινομένων, ἤτοι τῆς Γῆς αὐτῆς καὶ παντὸς ὑγροῦ τοῦ ἐν αὐτῇ καὶ περὶ αὐτήν, διάφορος Ἀναθυμίασις γίνεται· καὶ ἡ μὲν ἐκ τοῦ ὑγροῦ ὑγρά· ἥτις καλεῖται Ἀτμίς· ἡ δ' ἀπ' αὐτῆς τῆς οὐσίας τῆς Γῆς, ξηρᾶς οὔσης, ξηρά· ἥτις καὶ καπνώδης καὶ πνευματώδης Ἀναθυμίασις λέγεται· καὶ ἁπλῶς οὕτω



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀδιορίστως Ἀναθυμίασις ὀνομάζεται. Μετέχουσι δὲ καὶ ἄμφω θερμότητος τῷ διὰ θερμότητα γίνεσθαι. Καί ἐστιν Ἀτμίδος μὲν φύσις, θερμὸν καὶ ὑγρόν· ἀναθυμιάσεως δὲ φύσις, θερμὸν καὶ ξηρόν. Καὶ ἔστιν Ἀτμὶς δυνάμει, οἷον Ὕδωρ· Ἀναθυμίασις δὲ δυνάμει, οἷον Πῦρ. Καὶ ἡ μὲν Ἀναθυμίασις ἐπιπολάζει διὰ κουφότητα· (τὸ γὰρ θερμὸν ξηρότητα προσλαβὸν, κοῦφον γίνεται·) ἡ δ᾽ Ἀτμὶς, ὑφίσταται διὰ βαρύτητα. Τὸ γὰρ ὑγρὸν, μετέχει βαρύτητος. Μέχρι μὲν οὖν τινος ἡ Ἀτμὶς καὶ ἡ Ἀναθυμίασις συμμίκτως καὶ ἀδιακρίτως ἀνέρχονται· προϊοῦσαι δὲ, διακρίνονται· καὶ τὸ συγγενὲς ἑκατέρα ζητεῖ· κἀντεῦθεν ἡ μὲν Ἀτμὶς, ἐναπολιμπάνεται κατωτέρω· ἡ δ᾽ Ἀναθυμίασις, μετὰ τοῦ Ὑπεκκαύματος γίνεται. Οὐδὲν γάρ ἐστιν ἄλλο κατὰ τὴν οὐσίαν τὸ Ὑπέκκαυμα, ἢ Ἀναθυμίασις Ἀτμίδος κεχωρισμένη καὶ ἀμιγής.

Τὸ τοίνυν Ὑπέκκαυμα κινούμενον ὑπὸ τῆς τοῦ κυκλοφορικοῦ κινήσεως, καθ᾽ ὃ ἂν μάλιστα τὴν πρὸς τὸ ἐξαφθῆναι ἐπιτηδειότητα καὶ σύστασιν ἔχει, κατὰ τοῦτο ἐξάπτεται.

Ἂν μὲν οὖν μῆκος ἔχῃ καὶ πλάτος τὸ ἐξαπτόμενον, φαίνεται καιομένη Φλὸξ, παραπλησίως ταῖς ἐν ταῖς ἀρούραις ἐξαπτομέναις καλάμαις γινόμενον.

Ἂν δὲ μῆκος μὲν ἔχῃ, μηκέτι δὲ καὶ πλάτος ἀνάλογον, τότε γίνεται Αἲξ, ἢ Δαλὸς, ἢ διαθέων εἴτουν διάττων Ἀστήρ.

Ἂν μὲν γὰρ ᾖ πλέον κατὰ μῆκος τὸ ἁπτόμενον, ἔλαττον δὲ κατὰ πλάτος, κατὰ δὲ τὰ πλάγια καιόμενον, ποιεῖταί τινας ἐκπυρώσεις καὶ ἐκδρομὰς τῆς ἐξάψεως μὴ καθ᾽ αὑτὰς, ἀλλὰ συνημμένας ὅλῳ τῷ καιομένῳ σώματι, ὡς δοκεῖν ἀποσπινθηρίζειν, τὸ τοιοῦτον Αἲξ ὀνομάζεται.

Ὅταν δὲ μόνον ἐπὶ τὸ μῆκος ᾖ ἐξημμένον, μηκέτι δὲ καὶ ἀποσπινθηρίζον, τὸ τοιοῦτον καλεῖται Δαλός.

Ἂν δὲ μὴ ἓν ὑπάρχῃ καὶ συνεχὲς τὸ τοῦ ἐξαπτομένου Ὑπεκκαύματος μῆκος, ἀλλὰ διαστήματα ἔχον, (ὡς κεχωρισμένων ὄντων ἀπ᾽ ἀλλήλων τῶν τούτου μερῶν, ἰδίαν

σύστασιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σύστασιν ἔχοντος ἑκάστου αὐτῶν·) καὶ τὰ διαστήματα δὲ λεπτὴν Ἀναθυμίασιν ἔχῃ τινὰ, πρὸς τὸ ἐκκαυθῆναι καὶ αὐτὴν ἐπιτήδειον, ἀφεστῶτα δ' ἀπ' ἀλλήλων τὰ μέρη τοῦ τοιούτου ὑπεκκαύματος ἔχῃ καὶ βάθος καὶ πλάτος ὁμοίως τῷ μήκει· τότε γίνονται οἱ δοκοῦντες διάττειν Ἀστέρες. Ὅταν γὰρ ἡ πρώτη κειμένη τῶν τοιούτων συστάσεων ὑπὸ τῆς κινήσεως ἐκκαυθῇ, ταχέως τὸ Πῦρ διὰ τῆς μεταξὺ λεπτῆς ἀναθυμιάσεως ἐπὶ τὴν ἐφεξῆς κειμένην σύστασιν διαδίδοται, καὶ ἀπὸ ταύτης πάλιν ὁμοίως ἐπὶ τὴν μετ' αὐτήν· καὶ τοῦτο ποιεῖ, ἕως ἂν ἐπέλθῃ πάσας τὰς κατὰ τὸν εἰρημένον τρόπον ἐφεξῆς ἀλλήλων οὔσας συστάσεις τοῦ τοιούτου Ὑπεκκαύματος· καὶ φαίνεται τὸ Πῦρ τὸ αὐτὸ τὴν ἀρχὴν ἄνωθεν φερόμενον ἢ ῥιπτόμενον διὰ τὴν ταχεῖαν διάδοσιν. Ὡς γὰρ ἐπὶ τῶν Λύχνων, ὅταν ὁ μὲν, καίηται, ἄλλος δ' ἀποσβεσθεὶς, εὐθὺς ὑποτεθῇ αὐτῷ· ἡ ἀπὸ τοῦ νεωστὶ ἐσβεσμένου ἀναφερομένη Ἀναθυμίασις ἐπὶ τὴν τοῦ καιομένου φλόγα ἀφθεῖσα, καθ' ὃ ἐπλησίασεν αὐτῇ, ἐξάπτει τὸν ὑποκείμενον Λύχνον, ἐξαπτομένης τῆς ἐφεξῆς ἀναθυμιάσεως τῇ πρώτῃ ἐξαφθείσῃ ὑπὸ τῆς τοῦ καιομένου λύχνου φλογὸς, ἕως τῆς τοῦ λύχνου θρυαλλίδος, ἀφ' ἧς ἡ Ἀναθυμίασις· φαίνεται δὲ οὐ διαδιδόμενον τὸ Πῦρ, ἄλλου ἐξ ἄλλου ἁπτομένου, ἀλλὰ τὸ πρῶτον ἀφθὲν φερόμενον· οὕτως ὑπολαμβάνειν χρὴ κἀπὶ τῶν διάττειν καὶ φέρεσθαι δοκούντων Ἀστέρων γίνεσθαι· ἄλλου μετ' ἄλλο ταχέως ἐξαπτομένου διὰ τὴν πρὸς τοῦτο ἐπιτηδειότητα τῆς ὑποκειμένης Ὕλης. Ὁτὲ μὲν οὕτως οἱ Διάττοντες γίνονται, ὑπὸ τῆς κινήσεως τῶν οὐρανίων σωμάτων ἐξαπτομένου τοῦ ὑποκειμένου αὐτοῖς δὴ τοῖς οὐρανίοις σώμασιν ἐπιτηδείου πρὸς ἔξαψιν Ὑπεκκαύματος καὶ τὸ ἐφεξῆς ἐξάπτοντος, ὥσπερ εἴρηται. Ὁτὲ δ' ἐκ τοῦ συνισταμένου διὰ ψύξιν Ἀέρος, ὃς ὑπὸ τὸ Ὑπέκκαυμα τὴν θέσιν ἔχει, τὸ ἐναπειλημμένον ἐν αὐτῷ θερμὸν περιστελλόμενον, καὶ ὑπὸ τοῦ περιέχοντος αὐτὸ Ἀέρος ψυχόμενον καὶ εἰς ἓν ἀθροιζόμενον, ἐξαφθὲν ἐκθλίβεται μετὰ βίας καὶ φέρεται, ὥσπερ τὰ ἐκπυρηνιζόμενα ῥιπτόμενον· οἷον, ὡς ὁπόταν ἡμῶν τοὺς δακτύλους συσφιγγόντων, καὶ μάλιστα τὸν μέγαν τε καὶ τὸν λιχα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νὸν ὑπὲρ τὸ μέσον τοῦ Πυρῆνος, ἐξολισθαίνει ὁ Πυρὴν καὶ ἐκπηδᾷ, καὶ μᾶλλον εἰ μετέχει λειότητος καὶ γλισχρότητος, (ὡς οἱ τῶν ἐλαιῶν Κόκκοι πυροῦ σχῆμα φέροντες, καὶ τὰ τούτοις παρόμοια.) τότε δὴ τὸ αὐτὸ μένει Πῦρ, ἀλλ᾽ οὐκ ἐξάπτει τὸ ἐφεξῆς. Ἀμφοτέρως οὖν δοκοῦσιν οἱ Διάττοντες γίνεσθαι.

Τοῦτο μέντοι τὸ ἐκκρίσει γεννώμενον Πῦρ, πολλάκις εἰς τὸ κάτω μέρος θλιβόμενον, καὶ εἰς Γῆν καὶ εἰς θάλασσαν καταφέρεται· καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν αἰθρίας οὔσης. Τότε δὲ φέρεται κάτω· ὅταν ἀπὸ τοῦ ἄνω μέρους ἡ τοῦ ἀέρος πύκνωσίς τε καὶ ψύξις αὐξαμένη, τὸ ἐναπειλημμένον αὐτῇ θερμὸν εἰς τὸ κάτω μέρος ἀπώσηται. Διὰ τοῦτο καὶ ὁ Κεραυνὸς Πῦρ ὢν εἰς τὸ κάτω φέρεται, διὰ τὴν βίαιον ἔκθλιψιν· ἐπεὶ τῷ πυρὶ κατὰ φύσιν ἡ εἰς τὸ ἄνω φορά.

Ὅσα μὲν οὖν ἐν τῷ ἀνωτέρῳ σώματι ἐν ᾧ τὸ Ὑπέκκαυμα, διαττόντων φάσματα γίνεται, τῷ ἐξάπτεσθαι γίνεται, τῆς Ἀναθυμιάσεως ἐκκαιομένης καὶ κατὰ τὸ ἑξῆς διαδιδομένης· ὡς εἴρηται· Ὅσα δ᾽ ἐν τῷ κατωτέρῳ, ἔνθα ὁ Ἀὴρ, τῇ Ἐκκρίσει· τῷ, ψυχομένης τῆς ὑγρᾶς ἀναθυμιάσεως, ἐξ αὐτῆς τὴν Ἔκκρισιν γίνεσθαι.

Ὡς δ᾽ ἂν ἔχει θέσεως ἡ πυκνουμένη καὶ ψυχομένη Ἀναθυμίασις, καὶ ἐφ᾽ ἃ τετραμμένη εἴη, οὕτως εἰκὸς καὶ ἐπὶ ταῦτα τὸ ἐξ αὐτῆς ἐκκρινόμενον φέρεσθαι Πῦρ. Ἢ γὰρ εἰς τὸ ἄνω γίνεσθαι τὴν Ἔκκρισιν, ἂν κάτωθεν ἡ Πύκνωσις· ἢ εἰς πλάγιον, ἂν ἐκεῖσε συνέβη ἡ Πύκνωσις· Ἢ κάτω, ἂν ἄνωθεν ἡ ἀρχὴ τῆς Πυκνώσεως γίνηται.

Τὰ πολλὰ μέντοι τῶν εἰς τὸ κάτω ῥιπτουμένων, εἰς τὸ πλάγιον φέρεται, διὰ τὸ δύο ἅμα ποιεῖσθαι ταῦτα φοράς· τὴν μὲν, εἰς τὸ ἄνω καὶ κατὰ φύσιν· (ἐπεὶ τῷ Πυρὶ κατὰ φύσιν, τὸ ἄνω φέρεσθαι.) τὴν δ᾽ εἰς τὸ κάτω, βιαίως διὰ τὴν ἔκθλιψιν. Καὶ ἔστιν ἡ εἰς τὸ πλάγιον φορὰ ἔκ τε τῆς ἄνω καὶ τῆς κάτω μικτή. Τοῦτο δὲ γίνεται, ὅταν μηδ᾽ ἑτέρα πάντη ἐπικρατῇ.

Πάντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πάντων οὖν τῶν τοιούτων αἰτία ὡς μὲν Ὕλη, ἡ Ἀναθυμίασις· (αὕτη γὰρ ἡ ἐξαπτομένη.) ὡς δὲ Κινοῦν τε καὶ Ποιοῦν, ὁτὲ μὲν ἡ Κίνησις τῶν ἐγκυκλίων σωμάτων. (ὑπὸ ταύτης γὰρ τὰ ἐν τῷ Ὑπεκκαύματι ἐξάπτεται.) ὁτὲ δὲ ἡ Ἀέρος ψύξις καὶ πύκνωσις.

Ὅτι δὲ κάτω Σελήνης αἱ τοιαῦται γίνονται συστάσεις καὶ ἐκδρομαί, παρίστησιν ἡ φαινομένη αὐτῶν ἐν τῇ διαδρομῇ ταχυτής. Ὡς γὰρ τὰ ὑφ᾽ ἡμῶν ῥιπτόμενα, θᾶττον τῶν ἀστέρων ἡμῖν δοκεῖ κινεῖσθαι διὰ τὴν ἐγγύτητα, μηδ᾽ ἐγγὺς ἐκείνοις ὁμοίῳ χρώμενα τάχει· οὕτω καὶ οἱ διάττειν λεγόμενοι, θᾶττον τῶν φύσει Ἀστέρων ἡμῖν κινούμενοι φαίνονται δι᾽ ἐγγύτητα.

# ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

## Περὶ Κομητῶν, καὶ τοῦ Γαλαξίου Κύκλου.

Ἅπερ ἐπὶ τῶν προειρημένων ἐλέγετο αἴτια τῶν Φλογῶν, τῶν Δαλῶν καὶ τῶν λοιπῶν· (ἐλέγετο δὲ ὑλικὸν μὲν αἴτιον ἐκείνων ἡ καπνώδης Ἀναθυμίασις, ἡ δυνάμει Πῦρ οὖσα καὶ διὰ τοῦτο καλουμένη Ὑπέκκαυμα· ποιητικὸν δ᾽ αἴτιον, ἡ τῶν οὐρανίων ἐλέγετο κίνησις.) ταῦτα δὴ καὶ τῶν νῦν λεγομένων αἴτια δοκεῖ τὰ αὐτά. Ὅταν γὰρ διὰ τὴν τοῦ Αἰθέρος καὶ τῶν ἐν αὐτῷ σωμάτων περιφορὰν, εἰς τοιαύτην Ἀναθυμίασιν, εὔκρατον δηλονότι πρὸς ἔξαψιν, ἐμπέσῃ πυρώδης Ἀρχὴ, καὶ ἡ Ἀναθυμίασις ὑπάρχῃ πεπυκνωμένη καὶ στέγειν Πῦρ δυναμένη, καὶ μὴ λεπτὴ καὶ ἀχυρώδης καὶ ῥαδίως ἀναλισκομένη· ἀλλὰ δὴ καὶ ἡ πυρώδης Ἀρχὴ μήθ᾽ οὕτω σφοδρὰ καὶ πολλὴ ὡς ταχέως καὶ ἐπὶ πολὺ ἐκκαῦσαι τὴν πυκνότητα ταύτην· μήτ᾽ αὖ οὕτως ἀσθενὴς, ὡς ἀποσβεσθῆναι ταχὺ, ἀλλ᾽ ἰσχυροτέρα τῆς τοιαύτης καὶ ἐπὶ πλεῖον δυναμένη διαμένειν· ἅμα δὲ συμπίπτοι καὶ κάτωθεν ἄλλην κατὰ τοῦτο τὸ μέρος Ἀναθυμίασιν εὔκρατον ἀναφέρεσθαι καὶ πρὸς ἔξαψιν ἐπιτηδείαν· τότε τὸ ἐξαπτόμενον, Ἀστὴρ δοκεῖ Κομήτης ἢ Πωγωνίας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰ μὲν γὰρ πάντῃ ὁμοία ἡ ἔξαψις εἴη τῆς ἀναφερομένης Ἀναθυμιάσεως καὶ οἷον σφαιροειδὴς, Κομήτης ὀνομάζεται· εἰ δ' ἐπιμήκης, Πωγωνίας προσαγορεύεται. Καὶ ἄμφω δὲ κοινῷ λόγῳ Κομῆται λέγονται. Συντελεῖ δ' ἡ κάτωθεν ἀναφερομένη πρὸς ἔξαψιν εὔκρατος Ἀναθυμίασις τοῖς Κομήταις, εἴς τε διαμονὴν χορηγίαν παρέχουσα τῷ πυρὶ, καὶ εἰς τὴν τῆς Κόμης φαντασίαν. Οὐ γὰρ περιωρισμένον καὶ ἀποτετορευμένον ἐστὶ τὸ καιόμενον, ἀλλ' ἐκδρομάς τινας ἔχον καὶ ἐξοχὰς, δι' ἃς ἡ φαντασία τῆς Κόμης γίνεται.

Ὅταν μὲν οὖν ἡ τοιαύτη Ἀρχὴ τῆς συστάσεώς τε καὶ ἐξάψεως ἐν τῷ κατωτέρῳ γένηται τόπῳ, καὶ μὴ πλησίον τῶν ἀστέρων, καθ' ἑαυτὸν ὁ Κομήτης φαίνεται. Ὅταν δ' ἐγγὺς τοῦ Αἰθέρος ὑπό τινα τῶν Ἀστέρων ἢ τῶν πλανωμένων ἢ τῶν ἀπλανῶν, ἡ τοιαύτη Ἀναθυμίασις συστῇ, ὑπὸ τῆς τοῦ Ἀστέρος ἐκείνου κινήσεως τὴν αἰτίαν τῆς συστάσεως καὶ τῆς ἐξάψεως ἔχουσα· (καὶ γὰρ οὐ μόνον ὁ Ἥλιος, ἀλλὰ καὶ οἱ Ἀστέρες διὰ τῆς κινήσεως θερμαίνοντες τὴν Γῆν, ἀναθυμιάσεις ἀνέλκουσιν ἐξ αὐτῆς καὶ μᾶλλον ἐκ τοῦ Ἀέρος.) τότε δὴ τότε τῶν προϋπαρχόντων τις Ἀστέρων Κομήτης φαίνεται. Οὐ γὰρ ἡ φαινομένη Κόμη τῶν ἀστέρων πρὸς αὐτοῖς ὑπάρχει τοῖς Ἀστράσιν, ἀλλ' ὑπ' αὐτοὺς οὖσα φαίνεται πρὸς αὐτοῖς, καὶ συμπεριάγεται αὐτοῖς. Ὅταν μὲν οὖν ἀνωτέρω καὶ πλησίον τοῦ Αἰθέρος ὑπό τινα τῶν Ἀστέρων ἡ Κόμη γένηται, ἐκείνῳ συγκινεῖται, ὡς ἐκείνου τῇ τοιαύτῃ συστάσει τὴν αἰτίαν παρέχοντος. Ὅταν δὲ κατωτέρω καὶ καθ' ἑαυτὸν ὁ Κομήτης συστῇ, οὐκέτι τινὶ τῶν Ἀστέρων ἰσοδρομεῖ, ἀλλ' ἐφυστερίζων καὶ ὑπολειπόμενος φαίνεται. Τοιαύτη γὰρ ἡ κίνησίς τε καὶ περιφορὰ τοῦ κόσμου τοῦ περὶ Γῆν, οὐκ ἰσοδρομοῦσα τοῖς οὐρανίοις· ἀλλ' οὐδ' ὁμαλῶς αὐτοῖς ἑπομένη, οὐδ' ἀκριβῶς σφαιρική· ἅτε μὴ κατὰ φύσιν οὕτω δὴ σφαιρικῶς κινουμένων τῶν περιγείων, ἀλλ' ὑποσυρομένων μόνον ὑπὸ τῆς τῶν οὐρανίων κινήσεως. Εἰ δὲ καὶ οἱ Πλάνητες βιαίως κινοῦνται τὴν ἀπ' Ἀνατολῶν εἰς Δυσμὰς, ἀλλὰ τέως ἡ κίνησις αὐτῶν σφαιρική· τῶν δὲ περιγείων οὐ τοιαύτη.

Ὅτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅτι δὲ πυρώδης ἡ τῶν Κομητῶν ἐστι σύστασις, τὸ σημαίνειν αὐχμούς τε καὶ πνεύματα πλείους αὐτοὺς γινομένους, τεκμήριον. Ὅταν γὰρ ἡ θερμὴ καὶ πυρώδης ἀναθυμίασις πλεονάζοι, οὗτοί τε συνίστανται, καὶ ὑπὸ τῆς τοιαύτης ἀναθυμιάσεως ὁ Ἀὴρ ξηρότερος γίνεται, καὶ διακρίνεται, καὶ διαλύεται τὸ ἐξατμίζον ἀπὸ τοῦ περὶ τὴν γῆν τόπου καὶ ἀναφερόμενον ὑγρὸν, ὥστε μὴ συνίστασθαι ῥᾳδίως καὶ μεταβάλλειν εἰς ὕδωρ.

Τοῦ δὲ μὴ γίνεσθαι πολλοὺς Κομήτας μηδὲ πλειστάκις ὡς οἱ Διάττοντες, ἀλλὰ καὶ τοὺς γινομένους ἐκτὸς τῶν Τροπικῶν γίνεσθαι μᾶλλον, ἤπερ ἐντὸς, αἰτίαν τιθέασι τὴν τοῦ Ἡλίου, καὶ τῶν ἄλλων Πλανήτων κίνησιν, οἳ μεταξὺ τῶν Τροπικῶν κινούμενοι· (τοιαύτη γὰρ ἡ τοῦ Ζωδιακοῦ θέσις καθ᾽ ἣν τῶν Πλανήτων ἡ κίνησις·) διακρίνουσι τὰ πολλὰ καὶ λεπτύνουσι τὰς πυκνοτέρας καὶ πεπιλημένας Ἀναθυμιάσεις, αἵτινές εἰσιν ὕλη τῶν Κομητῶν.

Μάλιστα δ᾽ αἰτία δοκεῖ τοῦ μὴ γίνεσθαι κατὰ ταῦτα τὰ μέρη Κομήτας, ὡς ἔπιπαν τὸ εἰς τὴν τοῦ γάλακτος χώραν, ἤγουν εἰς τὸν γαλαξίαν Κύκλον τὸ πλεῖστον τῶν τοιούτων ἀναθυμιάσεων ἀποκρίνεσθαι· κἀκεῖσε ἀθροιζόμενον, ποιεῖν τὸ Φαινόμενον Φῶς. Ὥσπερ γάρ τινες τῶν Ἀστέρων ἢ τῶν Πλανήτων, ἢ καὶ τῶν Ἀπλανῶν φαίνονται Κομῆται, καθάπερ εἴρηται, συνισταμένης ὑπ᾽ αὐτοὺς ἀναθυμιάσεως πυκνοτέρας καὶ ἐξαπτομένης καὶ συμπεριφερομένης αὐτοῖς· οὕτω δοκεῖ κἀπὶ τοῦ γαλαξίου γίνεσθαι Κύκλου. Ὃ γὰρ ἡ περὶ ἕνα τῶν Ἀστέρων Ἀναθυμίασις τοιαύτη γενομένη, Κομήτην ποιεῖ, τοῦτο περὶ τοὺς Ἀστέρας ἅμα γινόμενον, καθ᾽ οὓς τὸ γάλα φαίνεται, τὸν καλούμενον γαλαξίαν Κύκλον ἔοικεν ἀποτελεῖν. Τὸ τοίνυν περὶ ἕνα τῶν Ἀστέρων γίνεσθαι πεφυκὸς, οὐκ ἀπεικὸς γίνεσθαι καὶ περὶ τὸν ὅλον Οὐρανόν. Εἰ γὰρ ἑνὸς Ἀστέρος κίνησις ποιῇ τι τοιοῦτον, οὐκ ἄτοπον ὑπολαβεῖν καὶ τὴν τῶν πάντων κίνησιν τὸ αὐτὸ δύνασθαι ποιεῖν, ὡς ἐκριπίζειν τε καὶ ἐξάπτειν τὴν ὑπ᾽ αὐτοὺς Ἀναθυμίασιν καὶ συνεφέλκεσθαι. Τὸ τοιοῦτον δὲ γίνεσθαι μᾶλλον εἰκὸς, καθ᾽ ὃ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέρος τοῦ Οὐρανοῦ πλεῖστοι καὶ πυκνοὶ καὶ μεγάλοι Ἀστέρες εἰσί. Κατὰ μὲν οὖν τὸν ζωδιακὸν ἡ τοιαύτη ἀναθυμίασις καὶ σύστασις οὐ μένει· διότι κατὰ τοῦτον ὁ Ἥλιος καὶ οἱ λοιποὶ κινούμενοι Πλάνητες, διακρίνουσι τὴν τοιαύτην σύστασιν καὶ λεπτύνουσιν.

Ὅτι δ' ὁ γαλαξίας Κύκλος μέγιστος ὢν καὶ αὐτὸς, καὶ λοξὸς ὥσπερ ὁ ζωδιακὸς, ὑπερβάλλει τῇ θέσει τοὺς Τροπικοὺς, καί τινων ἑτέρων ἐφάπτεται Κύκλων οὐ πόῤῥω τῶν Πόλων ὄντων, καὶ κεῖται τοῦ ζωδιακοῦ ἐκ πλαγίων, ὡς μὴ κατ' αὐτὸν κινεῖσθαι τοὺς Πλάνητας, ὅτι τε πλήρης ὁ τόπος μεγάλων καὶ λαμπρῶν Ἀστέρων, εὔλογον ὑπολαμβάνεται διά τε τὴν θέσιν καὶ τὸ τῶν κατ' αὐτὸν Ἀστέρων πλῆθος καὶ μέγεθος ἀθροιζομένην τὴν ἀναθυμίασιν καὶ συνισταμένην καὶ ἐξαπλουμένην ποιεῖν ἐν τούτῳ τὸ Γάλα. Τούτου δ' ἂν εἴη σημεῖον, τὸ καὶ αὐτοῦ τοῦ Κύκλου τὴν σύστασιν πλείω εἶναι, καὶ πλεῖον τὸ Φῶς ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ, καθ' ὃ διπλόην τινὰ ἔχων ὁ Γαλαξίας ὁρᾶται, ἐν ᾧ μείζους καὶ πυκνότεροι Ἀστέρες εἰσίν. Εἰ τοίνυν ἐν τῷ Κύκλῳ τούτῳ φαίνεται τὸ Φῶς, ἐν ᾧ πολλοὶ καὶ μεγάλοι Ἀστέρες, καὶ αὐτοῦ δὲ τοῦ Κύκλου πλέον πάλιν ὁρᾶται τὸ Φῶς, ἐν ᾧ μέρει πλείους καὶ μείζους Ἀστέρες· εὔλογον τοὺς Ἀστέρας καὶ τὴν κίνησιν αὐτῶν τοῦ κατὰ τὸν Γαλαξίαν πάθους Αἴτια εἶναι οἴεσθαι· ἐπεὶ καὶ πάντων τῶν ἐν τῇ λεγομένῃ ἀπλανεῖ Σφαίρᾳ Κύκλων, ἐν τούτῳ μόνῳ τὰ μεταξὺ τοιούτων ἀστέρων πεπλήρωται. Κατὰ γὰρ τοὺς ἄλλους Κύκλους φανερὰ διαλείμματα φαίνονται, καὶ τόποι πολλοὶ Ἀστέρων κενοί.

Ἔστιν οὖν τὸ Γάλα ὡς οἷον ὁρίσασθαι, ἡ διὰ τὴν ἔκκρισιν γινομένη τοῦ μεγίστου Κύκλου Κόμη. Διὸ καθὰ εἴρηται πρότερον, οὐ πολλοὶ οὐδὲ πολλάκις Κομῆται γίνονται διὰ τὸ τὴν τοιαύτην σύστασιν ἀποκεκρίσθαι καὶ συνεχῶς ἀποκρίνεσθαι εἰς τοῦτον τὸν τόπον.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

## Περὶ Ὄμβρȣ, Χαλάζης, Χιόνος, Δρόσȣ, καὶ Πάχνης.

Ὥσπερ τῶν προειρημένων ἁπάντων παθῶν Αἴτιον ὑλικὸν ἡ Ἀναθυμίασις ἐγνωρίζετο· ὅτω δὴ τῶν νῦν λεγομένων Αἴτιον τοιȣ̃τον γινώσκεται ἡ Ἀτμίς. Αἴτιον δὲ ποιητικὸν, ἐκείνων μὲν ἡ τῶν ȣ̓ρανίων Κίνησις· τȣ́των δὲ, ἡ Ψύξις. Ἡ γάρ τοι Ἀτμὶς, ἢ μετεωροτέρα γίνεται ὑπὸ πλείονος ἀναφερομένη θερμότητος, ἢ μένει κάτω ποι τȣ̃ περιγείȣ Ἀέρος, διὰ τὴν βραχύτητα τȣ̃ ἀνάγοντος ταύτην θερμȣ̃. Ἄνω μὲν ȣ̓̃ν ἀνενεχθεῖσα καὶ ψυχθεῖσα, γίνεται Ὄμβρος, καὶ Χάλαζα, καὶ Χιών· κάτω δὲ μείνασα καὶ ψυχθεῖσα, γίνεται Δρόσος καὶ Πάχνη. Ὅταν μὲν γὰρ ἀπογειοτέρα γένηται, χωριζομένη τῆς ἀναγȣ́σης ταύτην θέρμης καὶ καπνώδȣς Ἀναθυμιάσεως, καὶ τῆς συνȣ́σης ταύτῃ θερμότητος, τῆς μὲν, ἐκκρινομένης καὶ ἀναφερομένης πρὸς τὸ Ὑπέκκαυμα· τῆς δὲ, σβεννυμένης, διὰ τὴν τȣ̃ τόπȣ ψυχρότητα. τότε δὴ ψυχομένη ἡ Ἀτμὶς, διὰ τὴν ἀπόλειψιν τȣ̃ θερμȣ̃ πυκνȣ̃ται, καὶ εἰς Νέφος ἐξ Ἀέρος συνίσαται. καὶ εἰς Ὕδωρ μεταβάλλει, καὶ Ὄμβρος γίνεται.

Ἔστι δὲ ἡ μὲν Ἀτμὶς ἐκ τȣ̃ ὕδατος λεπ]υνομένȣ καὶ ἀραιȣμένȣ· αὕτη δὲ λεπ]υνθεῖσα καὶ ἀραιωθεῖσα, γίνεται Ἀήρ· ὁ δ' Ἀὴρ παχυνθείς τε καὶ πυκνωθεὶς, γίνεται Νέφος· τὸ δὲ Νέφος μεταβάλλον εἰς Ὕδωρ, τὸν Ὄμβρον ποιεῖ. Ὁ τοίνυν ἀνάγει καὶ μετεωρίζει τȣ̃ ὑγρȣ̃ ὁ Ἥλιος καθ' ἑκάστην, ἀτμίζων τῇ θερμότητι καὶ λεπ]ύνων καὶ διακρίνων· τȣ̃το συναθροισθὲν εἰς τὸν ἄνω τόπον καὶ διὰ ψυχρότητα συστὰν καὶ συγκριθὲν, πάλιν ὕδωρ γενόμενον, πρὸς τὴν Γῆν καταφέρεται.

Κἂν μὴ κατ' ἐνιαυτὸν δὲ ἴσον τῷ ἀναχθέντι κατενεχθῇ, ἀλλ' ἔν τισι τεταγμένοις χρόνοις καταφέρεται καὶ ἀποδίδοται πᾶν τὸ ἀναχθὲν ὑγρὸν, καὶ ὑστερῆσαν τῷ μὴ ταχέως μεταβαλεῖν. Διὸ καὶ μετὰ τὰ αὐχμηρὰ ἔτη φιλεῖ πάλιν ἔπομβρα γίνεσθαι· τῆς ἀμεταβλήτȣ μεινάσης



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑγρᾶς ἀναθυμιάσεως συμμεταβαλλούσης τῇ ἀναφερομένῃ.

Ἡ μὲν οὖν ἐξ ὕδατος εἰς ἀέρα μεταβολή, διὰ μέσης Ἀτμίδος γίνεται. Ἡ γὰρ Ἀτμὶς παχύτερός ἐστιν ἀήρ, ἔχωντι καὶ ὕδατος, καὶ διὰ τοῦτο ἀέρος τυγχάνει καὶ ὕδατος μεταξύ· ἡ δ᾽ ἐξ ἀέρος εἰς ὕδωρ μεταβολὴ διὰ μέσου γίνεται Νέφους. Καὶ ὅπερ ἡ Ἀτμὶς κάτω, τοῦτ᾽ ἄνω τὸ Νέφος. Καὶ ἄμφω γὰρ ἀέρος καὶ ὕδατος μεταξύ.

Ἡ δ᾽ Ὁμίχλη, περίττωμα τῆς εἰς ὕδωρ τοῦ Νέφους συγκρίσεώς ἐστι καὶ μεταβολῆς. Τὸ γὰρ ὑπολειφθὲν ἀπὸ τῆς Νεφέλης ἐν τῇ εἰς ὕδωρ μεταβολῇ, τουτέστιν, ὅπερ ἐν τῇ νεφέλῃ ἄγονον εὑρεθῇ μὴ δυνάμενον εἰς ὕδωρ μεταβαλεῖν, ὁμίχλη τὸ λοιπόν ἐστι. Γίνεται δ᾽ Ὁμίχλη καὶ τὸ Νέφος, ὅταν μὴ δυνηθῇ πιληθῆναι οὕτως, ὡς εἰς ὕδωρ μεταβαλεῖν. Ὅθεν ἡ Ὁμίχλη καὶ σημεῖον μᾶλλον εὐδίας ἐστίν, ἤπερ ὑετός. Νεφέλη γὰρ ὥσπερ ἄγονος ὑπάρχει μὴ μεταβάλλουσα μὲν εἰς ὕδωρ ὡς ξηροτέρα· κάτω δὲ πίπτουσα πάλιν ὡς ψυχροτέρα.

Ὅταν μὲν οὖν ἐν τῷ ἀπογειοτέρῳ τόπῳ συναθροισθεῖσα ἡ Ἀτμὶς ψυχθῇ, καθὼς εἴρηται, τότε γίνεται Ὄμβρος· ὃς εἰ μὲν κατὰ μικρὰ μόρια φέροιτο καὶ μὴ ἀθρόως ἀλλὰ κατὰ μέρος, ὡς κατ᾽ ὀλίγον ἐκ τοῦ Νέφους γενόμενος, καλεῖται Ψεκάς· εἰ δὲ κατὰ μείζω καὶ ἀθροώτερον, ὡς ἤδη γενομένης τῆς εἰς ὕδωρ τοῦ νέφους μεταβολῆς, ὀνομάζεται Ὑετός.

Φιλοῦσι δὲ ταῦτα γίνεσθαι κατὰ τὰς ἐνιαυσίους Ὥρας. Αἱ γὰρ τοιαῦται Ἀναθυμιάσεις καὶ Μεταβολαί, κατὰ τὰς ἰδίας κινήσεις τοῦ Ἡλίου μάλιστα γίνονται, καθ᾽ ἃς κινήσεις καὶ αἱ ὧραι τοῦ Ἔτους διαιροῦνται. Τὸν γὰρ οἰκεῖον κύκλον ἀμείβων ὁ Ἥλιος, τὰ μὲν διακρίνει τῶν ὑποκειμένων σωμάτων πλησίον αὐτῶν γενόμενος· (τά, τε γὰρ ὕδατα λεπτύνει καὶ αὐτὴν τὴν γῆν.) καὶ τὰς ἀναθυμιάσεις ποιεῖ· τὰ δέ, συγκρίνει πάλιν, ἀφιστάμενος πόρρω. Τότε γὰρ συγκρίνεται ἡ ὑγρὰ ἀναθυμίασις εἰς νέφη καὶ ὕδατα. Ὅθεν τῇ προσόδῳ τε καὶ ἀφόδῳ τῶν ἐναντίων παθῶν ὁ Ἥλιος αἴτιος γίνεται, κινούμενος τὸν ζῳδιακόν.

Γίνεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Γίνεται δὲ καὶ καθημερινή τις ἀπὸ τῆς περὶ γῆν ὑγρότητος εἰς Ἀτμίδα μεταβολή· λαμβάνουσα καὶ αὕτη τὴν ἀρχὴν ἐκ τῆς καθημερινῆς ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν τοῦ Ἡλίου κινήσεως, κατὰ τὴν μετὰ τοῦ παντὸς συμπεριφοράν. Ἐκ δὴ ταύτης τῆς καθημερινῆς Ἀτμίδος, ὅση, ἂν μὴ ἰσχύσειεν ἐπὶ πολὺ μετεωρισθῆναι, διὰ τὴν ἀσθένειαν τοῦ ἀνάγοντος ταύτην θερμοῦ, ἐγγὺς τῆς γῆς ψυχθεῖσα νύκτωρ (ψυχρότεραι γὰρ αἱ νύκτες.) Δρόσον καὶ Πάχνην ἀποτελεῖ· Πάχνην μέν, ὅταν διὰ πολὺ ψῦχος ἡ Ἀτμὶς αὕτη παγῇ πρὸ τοῦ εἰς ὕδωρ μεταβαλεῖν· Δρόσον δέ, ὅταν τῷ μὴ πάνυ ψυχρὸν εἶναι τὸ περιέχον, ἡ Ἀτμὶς εἰς ὕδωρ ἀλλοιωθῇ· μήθ᾽ οὕτω θερμανθεῖσα ὥστε ξηρανθῆναι, μήθ᾽ οὕτω ψυχθεῖσα ὥστε παγῆναι. Ὅθεν ἡ μὲν Πάχνη χειμῶνος, καὶ ἐν τοῖς χειμεριωτέροις γίνεται τόποις· ἡ δὲ Δρόσος, Ἔαρος μάλιστα καὶ Φθινοπώρου, καὶ ἐν τόποις εὐκράτοις. Αἰθρίας δὲ καὶ Νηνεμίας καὶ ἄμφω γίνονται. Μὴ οὔσης γὰρ αἰθρίας, οὐκ ἂν ἡ Ἀτμὶς ἀναφέροιτο. Ξηρότητος γὰρ δεῖ πρὸς τὴν ἀναγωγὴν αὐτῆς καὶ λεπτότητος ἐν τῷ περιέχοντι, τουτέστιν, ἵνα μὴ τὸ περιέχον κάθυγρον ἐκ τῶν καταφερομένων ὄμβρων ᾖ καὶ παχύ. Τότε γὰρ ἡ Ἀτμὶς ἀναχθῆναι οὐ δύναται. Οὔτε δ᾽ ἀνέμου ὄντος συνίσταιτ᾽ ἂν ἡ Ἀτμίς, ὥστε παγῆναι, ἢ εἰς ὕδωρ μεταβαλεῖν· ἀλλὰ σκίδναιτό τε καὶ διαφθείροιτο. Τεκμήριον δὲ καὶ τοῦ συνίστασθαι τήν τε Πάχνην καὶ τὴν Δρόσον μὴ πόρρω τῆς Γῆς, τὸ ἐπὶ τοῖς ὑψηλοτέροις ὄρεσι μηδετέραν αὐτῶν γίνεσθαι.

Πάχνη μὲν οὖν καὶ Δρόσος, ἐν τοῖς προσγειοτέροις συνίστανται τόποις· Ὄμβρος δὲ καὶ Χάλαζα, καὶ Χιών, ἐν τοῖς ἀπογειοτέροις· ἔνθα μήθ᾽ ὁ ἀὴρ ῥεῖ καὶ συμπεριφέρεται τῷ κύκλῳ κινουμένῳ σώματι, ὡς διὰ τὴν τοιαύτην ῥύσιν καὶ κίνησιν τὰς συστάσεις μὴ γίνεσθαι τῶν Νεφῶν· μήτε τῶν ἡλιακῶν ἀκτίνων αἱ ἀνακλάσεις τὸ ἔντονον ἔχουσιν, ὥστε τὴν τοῦ ἀέρος εἰς νέφη πίλησιν κωλύεσθαι τῇ θερμότητι. Ἐν δὴ τοῖς τοιούτοις τόποις τοῖς περὶ τὰ Νέφη, συνίστανται διὰ ψῦξιν Ὄμβρος, Χιών τε, καὶ Χάλαζα.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ὁ μὲν Ὄμβρος διὰ τὴν αὐτὴν αἰτίαν τῇ Δρόσῳ γίνεται· ἡ Χιὼν δὲ, διὰ τὴν αὐτὴν αἰτίαν τῇ Πάχνῃ.

Διαφέρει δ' Ὄμβρος καὶ Δρόσος, καὶ πάλιν Χιὼν καὶ Πάχνη, τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι. Ὁ μὲν γὰρ Ὄμβρος, πολύς. Ἐκ πολλῆς γὰρ Ἀτμίδος γίνεται ψυχομένης· καὶ ὁ Τόπος ἐξ οὗ, τε ἀναφέρεται καὶ εἰς ὃν ἀθροίζεται, πολύς· καὶ ὁ Χρόνος ἐν ᾧ, τε ἀναφέρεται καὶ ἐν ᾧ ψύχεται, πολύς. Ὀλίγον δὲ καὶ ἐφήμερον ἡ Δρόσος, καὶ ἐξ ὀλίγου Τόπου, καὶ ταχεῖα ἡ Γένεσις αὐτῆς. Ὡς δὲ ἡ Δρόσος πρὸς Ὄμβρον, οὕτω Πάχνη πρὸς Χιόνα. Ἡ μὲν γὰρ Χιὼν, πῆξίς ἐστι Νέφους ἤδη συνεστῶτος· ἡ δὲ Πάχνη, πῆξις Ἀτμίδος. Καὶ ἄμφω δὲ, διὰ μέγα πήγνυνται ψῦχος· καὶ σημεῖά ἐστιν ἢ ὥρας, ἢ χώρας ψυχρᾶς. Εἰ μὴ γὰρ ἐπεκράτει τὸ ψῦχος, οὔτ' ἂν ἡ Ἀτμὶς ἐπήγνυτο, τὸ ἀνάγον ταύτην θερμὸν ἔχουσα ἐν ἑαυτῇ· οὔτ' ἂν τὸ Νέφος, ἔχον ἔτι καὶ αὐτὸ θερμότητα τὴν ὑπολειφθεῖσαν τῆς μετεωρισάσης ἐκ τῆς γῆς τὴν ἀτμίδα, ἐξ ἧς Ἀτμίδος τὸ Νέφος.

Πάντως δὲ τὸ Νέφος μετέχει θερμότητος. εἰ μὴ τοῦτο γὰρ, οὐκ ἂν ἐνέμενεν ἄνω· ἀλλὰ καθάπερ ἡ Ὀμίχλη, κατέπιπτε κάτω. Νέφος μὲν οὖν ἐστι, πάχος ἀτμῶδες συνεστραμμένον γόνιμον ὕδατος. Ὀμίχλη δὲ, ἀτμώδης ἀναθυμίασις ἄγονος ὕδατος· ἀέρος μὲν, πυκνοτέρα· νέφους δ' ἀραιοτέρα. Γίνεται δὲ, ἤτοι ἐξ ἀραιώσεως ἀρχῆς νέφους, ἢ ἐξ ὑπολείμματος. Ἀντίπαλος δὲ τούτοις, ἡ Αἰθρία· μηδὲν ἕτερον οὖσα, ἢ ἀὴρ ὡς ἐπίπαν ἀνέφελος καὶ ἀνόμιχλος.

Ἐκ μὲν οὖν τοῦ Νέφους γίνεται Ὄμβρος κατ' ἐκπιεσμὸν αὐτοῦ, εὖ μάλα πεπαχυμένου. Διαφορὰς δ' ἴσχει τοσαύτας, ὅσας καὶ ἡ τοῦ νέφους θλίψις. Ἠπία μὲν γὰρ οὖσα, μαλακὰς Ψεκάδας διασπείρει· σφοδρὰ δὲ, Ψεκάδας ἀδράς. Καὶ τοῦτο κέκληται Ὑετὸς, Ὄμβρου συστρέμματα μεγάλα καὶ συνεχῆ φερόμενα ἐπὶ γῆς.

Ἐκ δὲ τῆς Ἀτμίδος, γίνεται Δρόσος. Δρόσος γάρ ἐστιν, ὑγρὸν ἐν αἰθρίᾳ κατὰ λεπτὴν φερόμενον σύστασιν.

Χιόνα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Χιόνα δὲ ποιεῖ, Νέφους πεπυκνωμένου τε καὶ συμπεπηγμένου ἀπόθραυσις, ἀνακοπέντος πρὸ τῆς εἰς ὕδωρ μεταβολῆς. Ἐργάζεται δὲ ἡ μὲν κοπὴ τὸ ἀφρῶδες καὶ ἔκλευκον· ἡ σύμπηξις δὲ τοῦ ἐνόντος ὑγροῦ τὴν ψυχρότητα μήπω χυθέντος, μήτε τοῦ νέφους ἠραιωμένου. Σφοδρὰ δὲ καὶ ἀθρόα καταφερομένη Χιὼν, Νιφετὸς ὀνομάζεται. Ὃν δὲ τρόπον ἐκ τοῦ Νέφους ἡ Χιὼν, τὸν αὐτὸν ἐκ τῆς Ἀτμίδος ἡ Πάχνη. ἔστι δὲ καί τι μεταξὺ Δρόσου καὶ Πάχνης, ὃ Δροσοπάχνην φασὶν, ἡμιπαγῆ δρόσον τυγχάνουσαν. Τῷ μὲν οὖν Ὄμβρῳ ἐν τῷ ἀπογείῳ τόπῳ συνισταμένῳ, ἡ Δρόσος ἀνάλογον ἐν τῷ περὶ τὴν γῆν· τῇ δὲ Χιόνι, ἡ Πάχνη. οὐδὲν δὲ τὸ ἀναλογοῦν τῇ Χαλάζῃ, γίνεται περὶ τὴν γῆν. Οὐδὲ γὰρ ἐκ Νέφους εἰς Χάλαζαν ἡ μεταβολὴ, ἀλλ᾽ Ὄμβρος γίνεται πρότερον, καὶ δι᾽ Ἀντιπερίστασιν πήγνυται.

Ἀντιπερίστασις δέ ἐστι, μετάστασίς τις καὶ μεταχώρησις ἐκ τῶν κύκλῳ γινομένη περὶ τὸ μέσον· οἷον, ὅταν περιωθούμενόν τι ὑπό τινος, αὐτὸ πάλιν τὸ προσεχὲς ὁμοίως ἀντιπεριωθῇ· κἀκεῖνο δὴ τὸ ἐχόμενον, καὶ οὕτω γίνηται τῶν τόπων ἀνταλλαγή· κἀντεῦθεν τῶν μὲν πέριξ τόπων ἀπόλειψις· πρὸς δὲ τὸν μέσον συνώθησις καὶ συνέλευσις. Τοῦτο γοῦν ἐστι τὸ γινόμενον κἀπὶ τοῦ θερμοῦ τε καὶ τοῦ ψυχροῦ. Ὅταν γὰρ ἐπικρατῇ τὸ θερμὸν, ἀπωθεῖ τὸ πλησιάζον αὐτῷ τοῦ ψυχροῦ· κἀκεῖνο πάλιν βιαζόμενον, τὸ σύνεγγυς ἀπωθεῖ· καὶ οὕτως ἀντιμεθιστάμενον τὸ ψυχρὸν, συνάγεται καὶ συσφίγγεται, καὶ δυναμικώτερον γίνεται. Τοῦτο δὲ πάσχει καὶ τὸ θερμὸν, ὁπόταν ἐπικρατῇ τὸ ψυχρόν. Διὸ καὶ χειμῶνος μὲν, θερμότερά εἰσι τὰ ὑπὸ τὴν γῆν, καὶ αἱ πηγαὶ τῶν ὑδάτων θερμαίνονται· εἰς βάθος ἀπωθουμένης τῆς θέρμης, ὑπὸ τῆς τοῦ περιέχοντος ψύξεως. Ἐν δὲ ταῖς ἀλέαις τοὔμπαλιν τὰ πηγαῖα Ὕδατα ψύχεται, ψυχροτέρων γινομένων τῶν ὑπὸ γῆν, διὰ τὴν τῆς περιεχούσης θερμότητος ἐπικράτειαν.

Τοῦτο γοῦν ὑποληπτέον κἀν τῷ ἄνω γίνεσθαι τόπῳ. Ὅταν γὰρ τὸ περιέχον ὑπάρχῃ θερμὸν, τότε τὸ ψυχρὸν τὸ ἐν τοῖς Νέφεσι κατεχόμενον, ἀντιπεριϊστάμενον ἔξωθεν ἔσω πρὸς βάθος, διὰ τὴν κύκλῳ θερμότητα συστέλλεται,

ὅτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁτὲ μὲν ταχέως Ὕδωρ ἐκ τοῦ Νέφους ποιεῖ. διὸ καὶ αἱ Ψεκάδες ἐν ταῖς ἀλεειναῖς ἡμέραις μείζους, καὶ Ὑετοὶ λάβροι καὶ ἐπειγμένοι, διὰ τὸ ἀθρόον τῆς μεταβολῆς. Ὅταν δ' ἔτι μᾶλλον ἀντιπεριστῇ ἐντὸς τὸ ψυχρὸν, ὡς πλεῖον ἐν τῷ βάθει γενέσθαι, συνελαυνόμενον εἰς τοῦτο ὑπὸ τῆς ἔξω θερμότητος, ἅμα τε τὴν εἰς ὕδωρ μεταβολὴν τοῦ Νέφους ἐποίησε, καὶ εὐθὺς τῷ γενέσθαι τὸ ὕδωρ ἔπηξε καὶ ἀπετέλεσε Χάλαζαν. Συμβαίνει δὲ τοῦτο, ὅταν ὑπάρχῃ θᾶττον ἡ πῆξις τοῦ ὕδατος, ἢ ἡ ἐπὶ τὰ κάτω φορὰ αὐτοῦ.

Ἐπεὶ γὰρ ἥ τε καταφορὰ τοῦ ὕδατος ἐν χρόνῳ γίνεται, ἥ, τε πῆξις ἐν χρόνῳ, ὅταν ἐν ἐλάττονι χρόνῳ τοῦ τῆς καταφορᾶς ἡ πῆξις γένηται, πήγνυται τὸ ὕδωρ, ἔτι ὂν ἄνω ἐν τῷ τόπῳ τοῦ νέφους. Ὅσῳ δ' ἂν ἐγγύτερον τῆς γῆς αἱ τοιαῦται γίνοιντο μεταβολαὶ, τοσούτῳ καὶ ἀθροώτεραι διὰ τὴν τοῦ τόπου θερμότητα· καὶ πολὺ μείζους αἱ Ψεκάδες, καὶ τὰ Ὕδατα λαβρότερα, καὶ αἱ Χάλαζαι μέγισται, καὶ οὐ στρογγύλαι τὸ σχῆμα, διὰ τὸ βραχὺν φέρεσθαι τόπον, καὶ μὴ τὰς αὐτῶν ἐξοχὰς ἐν τῷ πολλῷ διαστήματι περιθραύεσθαι τῆς καταφορᾶς, ὅπερ πάσχουσιν αἱ φερόμεναι πόῤῥωθεν. Οὐ πυκναὶ δὲ πίπτουσιν αἱ μεγάλαι Ψεκάδες, διά τε τὸ ἐγγὺς γίνεσθαι τὴν τούτων μεταβολὴν, καὶ φθάνειν τὰς πρώτας καταφέρεσθαι πρὸ τῆς τῶν ἄλλων γενέσεως, καὶ διὰ τὸ μὴ διαιρεῖσθαι ταύτας ἐν τῇ καταφορᾷ· καθὼς αἱ ἀφ' ὕψους φερόμεναι διατέμνονται καὶ διαμερίζονται τῇ μακρᾷ καθόδῳ, καὶ σμικρυνόμεναι πυκνοῦνται.

Γίνονται δὲ αἱ Χάλαζαι, Ἔαρος μὲν μάλιστα καὶ Μετοπώρου· τῆς δ' Ὀπώρας, ὀλιγάκις. Ἔτι δ' ἐπ' ἔλαττον τοῦ Χειμῶνος, καὶ τότε ὅταν ἧττον ᾖ ψῦχος. Ὅλως δ' ἐν τοῖς εὐδιεινοτέροις γίνονται τόποις καὶ τοῖς ἀλεεινοτέροις καιροῖς, διὰ τὸ τῆς Ἀντιπεριστάσεως αἴτιον. Οὐ γίνονται δὲ πολλάκις τοῦ Θέρους, καίτοι μᾶλλον ὄντος θερμοῦ, διὰ τὴν ἔνδειαν τῆς ὑγρότητος, ἥτις ἐν τῷ Ἔαρι πολλή ἐστιν ἀπὸ τοῦ Χειμῶνος μένουσα, καὶ τὸ Μετόπωρον δὲ ἤδη ὑγραίνεται. Γίνονται δὲ καὶ τῆς Ὀπώρας χάλαζαι

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μᾶλλον ληγέσης, διὰ τὸ ἤδη τε ὑγρότητα εἶναι, καὶ διὰ τὸ προτεθερμάνθαι τὸν ἀέρα τὸν εἰς ὕδωρ μεταβάλλοντα. Συμβάλλεται γάρ πως καὶ τῦτο πρὸς τὴν ταχυτῆτα τῆς ψύξεως. Τὰ γὰρ προθερμανθέντα, ταχύτερόν τε καὶ ἰσχυρότερον ψύχεται.

Λέγεται δὲ περὶ τὴν Ἀραβίαν καὶ Αἰθιοπίαν τῦ Θέρες, ἀλλ᾽ ὐ τῦ Χειμῶνος τὲς Ὄμβρες γίνεσθαι, καὶ τύτες ῥαγδαίες, καὶ τῆς αὐτῆς ἡμέρας πολλάκις. Καὶ ἀποδίδοται καὶ τῦ τοιύτυ αἴτιον ἡ Ἀντιπερίστασις, ἥτις γίνεται διὰ τὸ ἀλεεινὴν εἶναι τὴν χώραν ἰσχυρῶς. Εἰ δὲ τὸ θέρος ἐν ἐκείνοις τοῖς μέρεσι μάλιστα ξηρότατον, ἀλλ᾽ ἐν ἄλλοις τόποις ἡ τῶν ὄμβρων ἀθροίζεται ὕλη, καὶ ὑπὸ τῶν ἐτησίων πνευμάτων εἰς τὰ ἐκεῖσε ὄρη ἀπωθυμένη συνίσταται, καὶ τὲς ἰσορυμένες Ὄμβρες, ἀπογεννᾷ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

### Περὶ Πηγῶν, καὶ Ποταμῶν.

Οὐχ ὡς ἐξ ἀγγείυ τινὸς καὶ κοιλίας ἠθροισμένον ἀθρόον ὕδωρ ἐχύσης τῆς γῆς ἀποῤῥέυσιν αἱ Πηγαὶ κατ᾽ ὀλίγον ὥστισιν ἔδοξεν. Εἰσὶ μὲν γὰρ καίτινες κοιλότητες ἔνδον τῆς γῆς ὑδάτων χωρητικαὶ, ἀφ᾽ ὧν πληρωθεισῶν τῦ χειμῶνος ἀπόῤῥυσίς τις ὕδατος γίνεται. Ἀλλ᾽ ὐ τῦτ᾽ ἂν εἴη τῶν Πηγῶν Αἴτιον. Οὐδὲ γὰρ ἐξήρκει πάντως ἡ Γῆ ταῖς τῦ τοσύτυ ὕδατος ὑποδοχαῖς, ὥσπερ ὐδὲ τὰ Νέφη· ἅπερ ἦν καὶ αὐτὰ προϋπάρχον ἔχοντα τὸ υἑτιαθησόμενον ὕδωρ συνηθροισμένον ἅπαν ἐν ἑαυτοῖς· ἀλλὰ μὴ τὸ μὲν κατεφέρετο, τὸ δ᾽ αὖθις ἐγίνετο. Ὥστε μᾶλλον, ἅπερ αἴτια τῶν εἰς γῆν καταφερομένων ὑδάτων κρίνεται· (ὑλικὸν μὲν γὰρ αἴτιον αὐτῶν ἡ Ἀτμὶς· ποιητικὸν δ᾽, ἡ Ψύξις.) ταῦτ᾽ ἂν εἴη καὶ τῶν ἐκ γῆς ἀναδιδομένων Ὑδάτων Αἴτια τὰ αὐτά. Ὥσπερ γὰρ ὑπὲρ Γῆν ὁ ἀτμίζων ἀὴρ εἰς ὕδωρ μεταβάλλει ψυχόμενος· ὕτως ὑποληπτέον καὶ ὑπὸ γῆν ἐκ τῶν ἐν γῇ ἀτμίδων γεννᾶσθαι ὕδωρ, διὰ τὴν ἐνῦσαν τῇ γῇ ψυχρότητα. Δέχεται μὲν γὰρ ἡ Γῆ καὶ τὸ ἐκ τῶν Ὄμβρων καταφερόμενον εἰς αὐτὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ὕδωρ, καὶ στέγει τοῦτο ἐν ἑαυτῇ· δύναται δὲ καὶ ἕτερόν γεννᾷν συνεχῶς ἐν τοῖς πρὸς τοῦτο ἐπιτηδείοις τόποις αὐτῆς.

Ὥσπερ οὖν ἐν τῷ ὑπὲρ γῆν τόπῳ κατὰ μικρὰ συνιστάμεναι πρῶτον αἱ ῥανίδες· ἔπειτ' ἀλλήλαις μιγνύμεναι· τὸ τελευταῖον μετὰ πλήθους κατάγονται, ποταμόν τινα ἄνωθεν ῥέοντα ποιοῦσαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὑπὸ γῆν, ἐκ μικρῶν ῥανίδων ὥσπερ ἱδρώσης τῆς γῆς, συλλείβεται πρῶτον τὸ ὕδωρ τό, τε κατ' αὐτῆς δῦνον ὑπὸ τῶν Ὄμβρων καὶ τὸ γεννώμενον ἐν αὐτῇ, καὶ οἷον εἴς ἕν τι πηδώσης τῆς γῆς, αἱ Πηγαὶ γίνονται καὶ αἱ Κρῆναι.

Αἱ Πηγαὶ μὲν οὖν Ἀρχαὶ τυγχάνουσι Ποταμῶν· αἱ δὲ Κρῆναι, μικραὶ πηγαί εἰσι· μὴ δυναμένης αὐτῶν ἑκάστης ποτάμιον καθ' αὑτὴν ῥεῦμα προαγαγεῖν. Οἱ πλεῖστοι δὲ καὶ μέγιστοι τῶν Ποταμῶν ἀπὸ τῶν ὑψηλοτάτων ῥέουσιν Ὀρῶν. Ὄρεσι δὲ γειτνιῶσι καὶ αἱ πλεῖσται Κρῆναι, καὶ ἐξ ὀρῶν ἀποῤῥέουσιν. Ἐν γὰρ τοῖς Πεδίοις ὀλίγαι Κρῆναι παντελῶς εἰσι καὶ Πηγαὶ καὶ ῥύσεις ὑδάτων χωρὶς τῶν ποταμίων· ἃ ῥεῖ μὲν διὰ τῶν πεδίων, ἔχει δὲ τὴν ἀρχὴν ἀπὸ τῶν Ὀρῶν. Τὰ γὰρ ὀρεινὰ καὶ ὑψηλὰ χωρία ὡς Σπογγιαί τινες ἐπικρεμάμεναι τῶν χθαμαλῶν, κατὰ μικρὰ μέν, πολλαχῇ δὲ διαπηδῶσι καὶ ἀποδιδόασιν, ὅπερ ἐν ἑαυτοῖς ἀπὸ τῶν Ὄμβρων ὕδωρ δεχόμενα, φυλάττει διὰ πυκνότητα. Ἔτι τε καὶ τὴν δι' αὐτῶν ἀνιοῦσαν ἐκ βάθους Ἀτμίδα ψύχει τὰ τοιαῦτα χωρία καὶ μεταβάλλει εἰς ὕδωρ, ὡς καὶ τοῦτο γινόμενον ἀποῤῥεῖν ἐξ αὐτῶν, οὐ μὴν μόνον τὸ ἐκ τῶν Ὄμβρων προενυπάρχον αὐτοῖς. Ὥστε καὶ ὅσοι τῶν Ποταμῶν ἐξ Ἑλῶν φαίνονται ῥέοντες, ἐκ τῶν ὑψηλοτέρων τόπων ἔχουσι τὰς πρώτας ἀρχάς. Ἐκεῖθεν γὰρ συλλειβόμενον τὸ ὕδωρ καὶ συῤῥέον καὶ ὑπονομεῦον τὰ Ἕλη, ἐκ τούτων ὡς ἐκ Πηγῶν ἀναδίδοται.

Εἰ μὲν οὖν τὰ ἐπικείμενα Ὄρη μέγιστά τε εἴη καὶ πυκνὰ καὶ ψυχρά, ῥέουσι καὶ οἱ ἐντεῦθεν Ποταμοὶ ἀέναοι. Οἱ γὰρ τοιοῦτοι τόποι πλεῖστον ὕδωρ καὶ δέχονται καὶ στέγουσι καὶ ποιοῦσιν. Ὅσοις δὲ τῶν Ποταμῶν αἱ ἐπικρεμάμεναι

μεναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεναι τῶν ὀρῶν συστάσεις, μικραί εἰσιν, ἢ σομφαὶ καὶ λιθώδεις καὶ ἀργιλώδεις, εἴτουν λευκαί, καὶ οἷον τιτανώδεις, οἱ τοιοῦτοι Ποταμοὶ πρὶν ἐπελθεῖν τοὺς χειμερινοὺς Ὄμβρους, τὸ ὕδωρ προαπολείπουσιν.

Εἰ δὲ ταῦθ' οὕτως ἔχει, πῶς ἂν δόξειεν εὔλογον ἐκ τῆς Θαλάσσης ἄρχεσθαι τὰς Πηγάς, ὡς τοῦ θαλασσίου ὕδατος διηθουμένου καὶ διϋλιζομένου διὰ τῆς γῆς, καὶ οὕτω γλυκαινομένου καὶ ἀναδιδομένου, καθὼς οὐκ ὀλίγοι πεφυσιολογήκασι; Μᾶλλον γὰρ ἂν εἰ τοῦτ' ἦν, ἐκ τῶν κοιλοτέρων τόπων, ἀλλ' οὐκ ἐκ τῶν ὑψηλοτέρων ἔῤῥεον αἱ πηγαί, κατὰ τὸ εἰκός. ἄλλως δ' οὖν δοκεῖ καὶ τοῦτο ταῖς ἀρχαῖς συμβάλλεσθαι τῶν Πηγῶν. Διάτρητος γὰρ οὖσα ἡ Γῆ καὶ ὑπόνομος, καὶ ὥσπερ τινὰς ἔχουσα φλέβας, ἀναγκαίως ἐκ τῆς θαλάσσης δέχεται τὸ ὕδωρ πᾶσα κατὰ διάδοσιν· ἐκ τῶν ἔγγιστα τῇ θαλάσσῃ μερῶν τῆς γῆς διαβαίνοντος τοῦ ὑγροῦ καὶ πρὸς τὰ ποῤῥωτέρω· κἀντεῦθεν ἀτμῶν ἀφθονίαν τῇ Γῇ παρέχοντος· ὧν ἀναφερομένων καὶ ψυχομένων, ὡς προείρηται, γένεσις Ὕδατος ἔσται πολλοῦ.

# ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

## Περὶ Θαλάσσης.

Τῶν περὶ Γῆν καὶ ἐπὶ Γῆς Ὑδάτων, τὰ μὲν Ῥυ-
2 τά ἐστι, τὰ δέ, Στάσιμα. Καὶ τὰ μὲν Ῥυτὰ πάντα, ἔκ τινων ἔχει Πηγῶν τῆς ῥύσεως τὰς Ἀρχάς, κἂν Αὐτοφυῆ καθὰ τὰ ποτάμια, κἂν Χειρόκμητα, καθὰ τὰ δι' Ὀχετῶν ἐξαγόμενα. Τῶν δὲ Στασίμων Ὑδάτων τὰ μὲν ἐστι Πηγαῖα· τὰ δέ, Συλλογι-
3 μαῖα· καὶ τούτων ὁμοῦ τὰ μὲν Χειρόκμητα, τὰ δ' Αὐτοφυῆ. Χειρόκμητα μὲν πηγαῖα, τὰ Φρεατιαῖα. Τὰ Φρέατα γὰρ ὀρύσσεται καὶ κατασκευάζεται πρὸς τὴν τῶν περιεχομένων ὑδάτων Συναγωγήν. Αὐτοφυῆ δὲ Πηγαῖα τῶν Σταασίμων, ὅσα μικρὰς ἔχοντα πηγὰς καὶ τόπων κοιλότητας, οὐ δύναται ἀποῤῥεῖν. Τῶν δὲ συλλογιμαίων Ὑδάτων ἢ ἐξ ὑετῶν ὄντων, ἢ ἐκ γινομένης ἐπιῤῥοῆς Ποταμῶν, τὰ μὲν

 Δεξαμε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δεξαμενὰς ἔχει κατασκευαστὰς ὑπὸ τέχνης· τὰ δὲ πρὸς τὰς ἐπὶ τῆς γῆς κοιλότητας συναθροίζεται, ἃ καὶ διαφέρει πλήθει καὶ ὀλιγότητι· καὶ πλῆθος μὲν ἔχοντα, καλοῦνται Λίμναι· ὀλίγα δ᾽ ὄντα, λέγονται Τέλματα.

Τούτων οὕτως ἐχόντων Χειρόκμητον μὲν εἶναι τὴν Θάλασσαν, οὐδένα λόγον ἔχει. Αὐτοφυὴς δ᾽ οὖσα, ἢ Ἀπόῤῥυτος ἔσται ἢ Στάσιμος. Καὶ Ἀπόῤῥυτος μὲν οὐκ ἔστι. Ποῦ γὰρ ἂν ποιήσαιτο τὴν Ἀπόῤῥοιαν; ἀλλὰ καὶ πολλοὶ τὴν Ὑρκανίαν Θάλασσαν, καὶ τὴν Κασπίαν περιοδεύσαντες, αἵτινες οὐδὲ ἐφάνησαν ἀλλήλαις συνάπτουσαι κατ᾽ οὐδὲν, οὐδεὶς οὐδεμίαν τούτων εὗρεν Ἀπόῤῥυτον.

Φαίνεται δ᾽ ἡ Θάλασσα ῥέουσα κατὰ τοὺς στενοὺς τόπους, ὧν ἑκατέρωσε πλατεῖα Θάλασσά ἐστιν. Ὅπου γὰρ ἂν ἐκ πλατέος Πελάγους εἰς στενὸν ἡ Θάλασσα συνάγεται ὑπὸ τῆς περιεχούσης τὸ πέλαγος γῆς ὑψηλοτέρας οὔσης, κατὰ τοῦτο φαίνεται ῥέουσα καὶ μεταῤῥέουσα, ἄλλοτ᾽ ἐπ᾽ ἄλλο μέρος, διὰ τὸ ταλαντεύεσθαι τὸ ὕδωρ αὐτῆς δεῦρο κἀκεῖσε πολλάκις· ὃ γίνεται μὲν καὶ ἐν τῇ ἀναπεπταμένῃ Θαλάσσῃ· ἄδηλον δέ ἐστι, τῷ μὴ εἶναι τὴν αὐτῆς ἑκατέρωσε γῆν πλησίον, παρ᾽ ἣν ἀμείβουσα ἡ μετάῤῥυτις ταύτης γνωρίζοιτ᾽ ἄν. Ῥεῖ δ᾽ ἡ Θάλασσα καὶ ἀπὸ τῶν ὑψηλοτέρων αὐτῆς ἐπὶ τὰ κοιλότερα, διὰ τὸ πλῆθος τῶν εἰς τὰ ὑψηλότερα ταύτης ἐμβαλλόντων Ποταμῶν. Πέφυκε γὰρ τὸ ὕδωρ ἐκ τῶν ὑψηλοτέρων τόπων εἰς τὰ κοῖλα καταφέρεσθαί τε καὶ ῥεῖν.

Ἔστι δὲ κἀν τῇ Θαλάσσῃ, τὰ μὲν αὐτῆς, ὑψηλότερα· τὰ δέ, κοιλότερα. Ὅπως δ᾽ ἂν ἡ Θάλασσα ῥεῖ, πάλιν ἐφ᾽ ἑαυτὴν ἔχει τὸ ῥεῦμα, καὶ οὐ πρὸς ἄλλο δοχεῖον ἐμβάλλει, καθάπερ οἱ Ποταμοὶ πρὸς αὐτήν. Διὰ τοῦτο καὶ Στάσιμόν ἐστι τὸ Ὕδωρ τῆς Θαλάσσης, ἀλλ᾽ οὐκ Ἀπόῤῥυτον. Στάσιμον δ᾽ ὄν, ἢ Πηγαῖον, ἢ Συλλογιμαῖον εἴη ἄν. Ἀλλ᾽ εἴπερ ἦν Πηγαῖον, ἦν ἂν καὶ Ἀπόῤῥυτον. Πηγαῖον γὰρ Ὕδωρ Αὐτοφυὲς Στάσιμον ὀλίγον εὑρίσκεται. Οὐδὲ γὰρ τὸ ἀπὸ μείζονος Πηγῆς τὴν ἀρχὴν ἔχον, δύναται Στάσιμον εἶναι. Διὰ τοῦτο καὶ ὅσαι τῶν Λιμνῶν ἐκ Πηγῶν ἔχουσι τὰς Ἀρχάς, αἱ μὲν φανερὰς τὰς ἀποῤῥύσεις

ποιοῦνται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποιοῦνται, αἱ δὲ δι' ὑπονόμων ἱστοροῦνται πρὸς Θάλασσαν ἀποῤῥεῖν· καθὼς καὶ ἡ ὑπὸ τὸ Ὄρος τὸν Καύκασον Λίμνη, ἣν οἱ ἐκεῖσε Θάλασσαν καλοῦσι διὰ τὸ μέγεθος. Αὕτη γὰρ, πολλῶν Ποταμῶν ἐμβαλλόντων εἰς αὐτὴν καὶ μεγάλων, οὐκ ἔχουσα φανερὸν ἔκρουν, ἐκδίδωσιν ὑπὸ γῆν κατὰ Κοραξοὺς, περὶ τὰ καλούμενα βαθέα τοῦ πόντου. Ὅθεν καὶ πόῤῥω τῆς γῆς περὶ τριακόσια στάδια σχεδὸν ἀναδίδωσι πότιμον Ὕδωρ ἐπὶ τόπον πολύν. Ἐπεὶ τοίνυν τὸ τῆς θαλάσσης Ὕδωρ στάσιμον ὂν, οὐκ ἔστι Πηγαῖον ὡς δείκνυται, λείπεται εἶναι Συλλογιμαῖον. Οὐκ ἂν δ' εἴη Συλλογιμαῖον ἐκ τῶν εἰσρεόντων ἐν αὐτῇ Ποταμῶν, κἂν πολλοὶ ὦσι καὶ μέγιστοι. Τούτου γὰρ ὄντος, ἦν ἂν πάλαι ποτὲ τῶν καιρῶν ὀλιγώτερον τὸ τῆς θαλάσσης Ὕδωρ, καὶ ἀεὶ ἐπληθύετο. Μᾶλλον δ' ἦν ἂν ἔχον ἐκ Πηγῶν τὰς Ἀρχὰς, ἤπερ ἐκ Ποταμῶν· καὶ οὕτω πάλιν Ἀπόῤῥυτον ἦν.

Οἱ μὲν οὖν τῇ ἀνθρωπίνῃ σοφίᾳ Σοφοὶ καὶ τὴν Θάλασσαν ἄναρχον, ὥσπερ δὴ καὶ τὸν Κόσμον ὅλον ἑτοίμως ἔχουσιν ἀποφαίνεσθαι. Ὅσοι δὲ τὴν ὄντως γνῶσιν ἔχουσιν ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος ὑφηγήσεως, οὗτοι οὔτε τὴν Θάλασσαν, οὔτε τὸν ἄλλον Κόσμον ἄναρχον ἐδιδάχθησαν, ἀλλ' ἀκηκόασιν· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν,,
καὶ τὴν Γῆν. Καὶ πάλιν· γενηθήτω Στερέωμα, καὶ τὸ,,
ὑποκάτω τοῦ Στερεώματος Ὕδωρ συναχθήτω εἰς μίαν,,
Συναγωγήν· τουτέστιν ὁμοῦ γενέσθω καὶ καθ' αὐτὸ, καὶ,,
ὀφθήτω ἡ ξηρά. Τὸ γὰρ εἰς μίαν Συναγωγὴν οὐ δηλοῖ τὸ,,
ἐν ἑνὶ τόπῳ. Ἰδοὺ γὰρ ἡ θεία πάλιν Φωνὴ τὰ Συστήματα,,
τῶν Ὑδάτων ἐκάλεσε Θαλάσσας. Ὥσπερ τοίνυν τῶν,,
ἄλλων Στοιχείων ἑκάστῳ τόπον ἴδιον ἀφώρισεν ὁ Δημιουργὸς, οὕτω δὴ καὶ τῷ Ὕδατι.

Δοκεῖ δὲ καὶ τοῖς Φυσικοῖς ὃν κατέχει τόπον ἡ Θάλασσα, μὴ εἶναι Θαλάσσης τόπον, ἀλλ' ἁπλῶς Ὕδατος. Ὅθεν καὶ πάντες οἱ Ποταμοὶ πρὸς τὴν Θάλασσαν, ὡς πρὸς οἰκεῖον φέρονται τόπον. Εἴς τε γὰρ τὸ κοιλότερον ἡ ῥύσις κατὰ Φύσιν τῷ Ὕδατι, καὶ ἡ Θάλασσα τὸν κοιλότατον τόπον κατέχει τῆς Γῆς.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὴν Ἁλμυρότητα δὲ καὶ τὴν Πικρίαν, ἣν ἔχει ἡ Θάλασσα, ἐκ τοῦ ἵστασθαι καὶ διόλου ἀτμίζειν, ὑπὸ τοῦ Ἡλίου ἔχειν δοκεῖ. Ἱσταμένης γὰρ αὐτῆς, τὸ μὲν λεπτότερον, ἀνιμᾶται ὁ Ἥλιος· τὸ δὲ παχύτερον, καταλείπει· ὅπερ οἷον περίττωμα ὂν ὕδατος, ἁλμυρόν ἐστι καὶ πικρόν. Ὡς γὰρ ἐν τοῖς τῶν ζώων σώμασι ποτίμου τῆς ὑγρᾶς εἰσελθούσης τροφῆς, πικρὸν καὶ ἁλμυρὸν γίνεται τὸ συλλεγόμενον εἰς τὴν Κύστιν περίττωμα, διὰ τὸ ὑπὸ τῆς ἐμφύτου τοῖς ζώοις θερμότητος τὸ πότιμον ἕλκεσθαι, καὶ εἰς τὰς σάρκας καὶ τὴν λοιπὴν οὐσίαν τοῦ Σώματος ἀναδίδοσθαι καθὼς πέφυκεν· οὕτως ὑποληπτέον κἀπὶ τοῦ Ὕδατος γίνεσθαι. Γλυκέος γὰρ ὄντος τοῦ ἀθρόου τῷ τὸ πότιμον αὐτοῦ διὰ τῶν Ἀναθυμιάσεων ὑπὸ τῆς ἡλιακῆς θερμότητος ἀποκρίνεσθαι, τὸ καταλειπόμενον καὶ ὥσπερ περίττωμα τοῦ παντὸς ὄν, ἁλμυρόν ἐστι καὶ πικρόν.

Πολλοῦ δὲ πλήθους Ὕδατος ἑκάστης ἡμέρας ἐμβάλλοντος εἰς τὴν Θάλασσαν, οὐδὲν πλείων ἡ Θάλασσα γίνεται. Πᾶν γὰρ τὸ εἰς αὐτὴν ἐμβάλλον, εἰς ἀχανὲς πλάτος σκιδνάμενον, ταχύ τε καὶ ἀδήλως ἀναξηραίνεται. Οὔτε δὲ πάλιν ἡ Θάλασσα ἐλάττων φαίνεται, πολλῆς καθ᾽ ἑκάστην γινομένης τῆς Ἀναθυμιάσεως ἐξ αὐτῆς, ὅτι τὸ ἀπὸ τῆς Θαλάσσης ἀτμίσαν ὕδωρ, αὖθις ἀντεισάγεται διά τε τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, καὶ τοῦ καταφερομένου ὑετοῦ πρὸς αὐτήν. καὶ ἁπλῶς τοῦ μὲν μὴ πληθύειν τὸν ὄγκον τοῦ ταύτης ὕδατος, αἴτιον τὸ πλῆθος τῶν ἀναφερομένων Ἀτμῶν. Τοῦ δὲ μὴ ἐλαττοῦσθαι πάλιν, αἴτιον τὸ ἔξωθεν εἰσερχόμενον Ὕδωρ. Διὰ ταῦτα καὶ οὔτε γλυκυτέρα ὑπὸ τοῦ ἔξωθεν ὕδατος ἡ Θάλασσα, οὔτ᾽ αὖθις ἁλμυροτέρα καὶ πικροτέρα ὑπὸ τῶν ἀναθυμιάσεων γίνεται, ἀλλ᾽ ὡς ἐπίπαν τὸ αὐτὸ ποσόν τε καὶ ποιὸν φυλάσσει τοῦ ὕδατος. Οἱ μὲν οὖν ἄναρχον ποιοῦντες τὴν Θάλασσαν, ἄναρχον ἀκολούθως καὶ τὴν αὐτῆς εἶναι ποιότητα λέγουσιν.

Οἱ δὲ τὴν τῆς Θαλάσσης γένεσιν παρὰ τῆς θείας μεμυημένοι Γραφῆς, οἴδασι καὶ τὴν ἀρχὴν τῆς ταύτης ποιότητος, πνευματικοῖς ὁμοῦ καὶ φυσικοῖς ἑπόμενοι δόγμασιν.

Ἐπεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπεὶ γὰρ Θεοῦ κελεύσει διακεχώρισται τὸ περικαλύπτον τὴν γῆν Ὕδωρ ὑπὸ τοῦ Στερεώματος, οὐχ ὡς ἔτυχε γέγονεν ὁ διαχωρισμὸς, ἀλλὰ κατὰ τὸ προσῆκον. Ὅσον μὲν λεπτότερον καὶ ἀεροειδέστερον καὶ κουφότερον τοῦ παντὸς διακριθὲν, ἄνω τέτακται· τὸ δὲ παχύτερον καὶ γεωδέστερον καὶ βαρύτερον ὑπολέλειπται κάτω, καθὼς καὶ νῦν ὁρᾶται γινόμενον ὑπὸ τοῦ Ἡλίου διακρινόμενον. Ὃ γὰρ νῦν ὁ Ἥλιος ποιεῖ κατὰ βραχὺ, τότ᾽ ἐσάπαξ ἐπεποιήκει τὸ Στερέωμα. Τὸ δὴ τοιοῦτον Ὕδωρ τὸ παχὺ καὶ βαρὺ καὶ γεῶδες ἀπετέλεσε τὰς Θαλάσσας, θείῳ νεύματι συναχθὲν, εἰς τὰς πρότερον μὲν οὐκ οὔσας ὑποδοχὰς, ὕστερον δὲ γενομένας ἐν τῷ γίνεσθαι τοῦ ὕδατος τὴν Συναγωγήν.

Ὅθεν οὐδὲ τὸ ἐν μέσῳ τοῦ Ὕδατος γενέσθαι τὸ Στερέωμα, καὶ διαχωρίζειν ἀνὰ μέσον Ὕδατος καὶ Ὕδατος, δηλωτικὸν ἂν εἴη τοῦ κατ᾽ ἰσομοιρίαν ποσότητος ἐκτελεσθῆναι τὸν τοῦ ὕδατος διαχωρισμόν, ὥστε καὶ τὸ ὑποκάτω τοῦ Στερεώματος ἐναπειλημμένον ὕδωρ τοσοῦτον εἶναι, ὅσον δὴ τὸ ἐπάνω, κἀντεῦθεν τὴν μεταξὺ τῆς Γῆς καὶ τοῦ Στερεώματος χώραν ἅπασαν πεπληρῶσθαι ὑδάτων, καὶ ὕστερον ἐλθεῖν πρὸς τὴν νῦν οὖσαν κατάστασιν τῇ τῶν ὑδάτων πρὸς τὸν οἰκεῖον τόπον Συναγωγῇ. Τῆς γὰρ ὅλης Γῆς ἐλάχιστον ἐχούσης λόγον (ἐῶ γὰρ εἰπεῖν μηδένα κατὰ τοὺς Φυσικούς.) πρὸς τὴν Σφαῖραν τοῦ Στερεώματος, ὁποῖαι δὴ κοιλότητες ταύτης ἐπινοηθεῖεν ἄν, ὅλως ἱκαναὶ πρὸς τὴν τῶν τοσούτων ὑδάτων ὑποδοχήν. Ἀλλὰ τὸ μὲν ἐν μέσῳ τοῦ Ὕδατος γενέσθαι τὸ Στερέωμα, ὑποληπτέον ἂν εἴη σημαίνειν τὸ ἁπλῶς ὕδατος μεταξὺ δεδημιουργῆσθαι τὸ σῶμα τοῦ Στερεώματος. Τὸ δὲ διαχωρίζειν ἀνὰ μέσον Ὕδατος καὶ Ὕδατος, τὸ ἀπολαβεῖν καὶ ἀνενεγκεῖν καὶ φέρειν ἄνω πᾶν ὁποσονοῦν τὸ λεπτόν. Τὸ πάντῃ δὲ γεωδέστατον καὶ οἷον εἰπεῖν τὴν τρύγα καὶ ὑποστάθμην καὶ ἁλμυρίδα τοῦ ὕδατος καταλιπεῖν κάτω, καὶ μεσιτεύειν μὲν ὕδατι καὶ ὕδατι· πλὴν τὸ ἐπάνω τοῦ Στερεώματος Ὕδωρ ἀπειροπληθὲς εἶναι πρὸς τὸ ὑποκάτω τοῦ Στερεώματος καὶ ὑπὲρ πάντα λόγον σχεδόν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰ δὴ τοίνυν ἡ ὑπὸ τῆς ἡλιακῆς θερμότητος γινομένη τοῦ λεπτοτέρου διάκρισις ὕδατος, αἰτία δοκεῖ τῆς Ἁλμυρότητος τῇ Θαλάσσῃ καὶ τῆς Πικρότητος, διὰ τὸ μετουσίᾳ πυρώδους δυνάμεως ἐν τοῖς χυμοῖς φυσιολογεῖσθαι τῶν τοιούτων ποιοτήτων τὴν γένεσιν· (ὅσον γὰρ οὐ δεδύνηται τὸ θερμὸν ἐν τῇ διακρίσει πρὸς ἑαυτὸ ἐπισπάσασθαι, τοιοῦτον ἁλμυρόπικρον γίνεσθαι, ὡς τὴν τέφραν, κἀν τοῖς ζώοις τὸν ἱδρῶτα καὶ τὰ λοιπὰ περιττώματα.) εἴη ἂν αἰτία προτέρα τῇ Θαλάσσῃ τῆς οἰκείας ποιότητος ἡ ὑπὸ τοῦ Στερεώματος γινομένη πρώτη τοιαύτη διάκρισις. Τῆς αὐτῆς γὰρ τῷ Ἡλίῳ καὶ τὸ Στερέωμα φύσεως παρὰ πάντων ὁμολογεῖται τῶν φυσικῶν, ὅσοι τε πέμπτον Σῶμα τὸ αἰθέριον λέγουσι, καὶ ὅσοι πᾶν τὸ ὑπὸ τὴν αἴσθησιν, ἐκ τῶν τεσσάρων στοιχείων συντεθειμένον γινώσκουσι. κἀντεῦθεν καὶ τὴν ὅλην ὑπὲρ Σελήνην ἐγκόσμιον δημιουργίαν, ἐκ τῶν στοιχειακῶν ἀκροτήτων ἐπικρατοῦντος τοῦ εἰλικρινεστέρου Πυρὸς ἀποφαίνονται.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

### Περὶ Ἀνέμων, καὶ τῶν λοιπῶν Πνευμάτων.

Διττῆς οὔσης τῆς Ἀναθυμιάσεως, τῆς μὲν ἀτμιδώδους καὶ ὑγρᾶς· τῆς δὲ καπνώδους καὶ ξηρᾶς· οὐδετέρα τούτων χωρὶς τῆς ἑτέρας εὑρίσκεται· ἀλλ᾽ ὁμοῦ μὲν καὶ ἄμφω, ἐκ δὲ τοῦ πλεονάζοντος καλεῖται τὸ ὅλον. Ἡ μὲν οὖν ὑγροῦ πλέον μετέχουσα Ἀναθυμίασις, ἀρχὴ τοῦ ὑομένου ὕδατός ἐστιν· ἡ δὲ τὸ ξηρὸν ἔχουσα πλέον, ἀρχὴ καὶ αἰτία καὶ ὕλη τῶν Ἀνέμων, καὶ τῶν λοιπῶν Πνευμάτων γινώσκεται. Ὥσπερ δ᾽ οὐ πᾶν τὸ ὁπωσοῦν ῥέον ὕδωρ λέγεται Ποταμὸς, ἀλλὰ τὸ ἀρχὴν ῥύσεως ἔχον Πηγήν· οὕτως οὐδὲ πᾶν Πνεῦμα λέγεται Ἄνεμος, ἀλλὰ τὸ ἔχον ἀρχὴν τῆς ἑαυτοῦ ῥύσεως, οἷον Πηγήν. Τὰ γὰρ ἐκ τῆς γῆς ἀναφυσήματα, Πνεύματα μὲν εἰσιν, ἐπειδὴ πνέουσιν· Ἄνεμοι δ᾽ οὐκ εἰσίν.

Ὅτε μὲν οὖν ἡ ἀτμιδώδης Ἀναθυμίασις πλεονεκτεῖ, τότε καὶ ἔπομβρα τὰ ἔτη γίνεσθαι εἴωθεν· ὅτε δ᾽ ἡ ξηρὰ

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ καπνώδης, τότε καὶ τὰ ἔτη ἀνεμώδη καὶ αὐχμηρά. Ποτὲ μὲν οὖν συμβαίνει κατὰ πολλὴν ἅμα Χώραν καὶ συνεχῆ, ἢ Ἐπομβρίαν γίνεσθαι ἢ Ἀνέμους καὶ Αὐχμοὺς· ποτὲ δὲ καὶ κατὰ μέρη. Πολλάκις γὰρ ἡ μὲν κύκλῳ Χώρα λαμβάνει τοὺς Ὄμβρους· μέρος δέ τι ταύτης λείπεται αὐχμηρόν· ἢ καὶ ἀνάπαλιν, τῆς κύκλῳ Χώρας αὐχμώσης, μέρος τι ταύτης ἐπομβρίαν ἔχον εὑρίσκεται.

Καὶ εἴη ἂν αἴτιον τοῦ τὰ πολλὰ μὲν τὸ αὐτὸ πάθος ἐπὶ πλείω διήκειν Χώραν, διὰ τὸ τὰ σύνεγγυς ἀλλήλων μέρη τῆς γῆς ὁμοίαν ἔχειν σχέσιν πρὸς τὸν Ἥλιον τὸν τῶν Ἀναθυμιάσεων αἴτιον, εἰ μὴ διά τινα θέσιν ἰδίαν τόποι τινὲς διαφορὰς ἔχουσι πρὸς τὸν Ἥλιον παρὰ τοὺς οἷς παράκεινται. Οὐ μὴν ἀλλ' ἐνίοτε κατὰ μὲν τόδε τὸ μέρος, τὴν ξηρὰν ἀναθυμίασιν συμβαίνει πλεονεκτεῖν· κατὰ δὲ τὸ παρακείμενον, τὴν ὑγράν· καὶ ἀνάπαλιν. Οὗπερ αἴτιον ἂν εἴη, τὸ ποτὲ μὲν ἀφ' ἧς ἀναφέρεται χώρας ἡ ξηρά, κατὰ ταύτην καὶ μένειν ῥέουσαν αὐτήν· ὁμοίως καὶ ἀφ' ἧς ἡ ὑγρά, τὴν ὑγράν. ὁτὲ δ' ὑπαλλάττεσθαι καὶ ἀπωθεῖσθαι ὑπὸ Πνευμάτων τινῶν τὴν μὲν ὑγράν, ὅθεν ἡ ξηρά· τὴν δὲ ξηράν, ὅθεν ἡ ὑγρά· ἢ ἡ μὲν ἔμεινε καθ' ὃ ἀνηνέχθη, ἡ δ' εἰς ἄλλην πῃ χώραν ἀπώσθη.

Τὴν μὲν οὖν τῶν Ἀνέμων Ὕλην θερμὴν καὶ ξηρὰν Ἀναθυμίασιν εἶναί φασι, μὴ δοκεῖν δὲ τοὺς Ἀνέμους θερμούς, διὰ τὸ κινεῖν τὸν Ἀέρα, πολλῆς Ἀτμίδος πλήρη τυγχάνοντα καὶ ψυχρᾶς. Οὕτω γὰρ καὶ τὸ διά τινος στόματος φυσώμενον Πνεῦμα, θερμὸν μὲν ἐγγύθεν εἶναι τοῦ στόματος, πόῤῥω δὲ ψυχρὸν διὰ τὴν αὐτὴν αἰτίαν. Ἴσως δ' ἂν ἐκ θερμῆς μὲν Ἀναθυμιάσεως ἔχοιεν οἱ Ἄνεμοι τὰς ἀρχάς, ὥσπερ δὴ καὶ οἱ Ὄμβροι (πᾶσα γὰρ Ἀναθυμίασις ξηρά τε καὶ ὑγρὰ διὰ τὸ ἐν αὐτῇ θερμὸν ἀναθυμιᾶται καὶ ἀναφέρεται) Ἀλλ' ὥσπερ ἡ Ἀτμὶς διὰ ψύξιν πιλουμένη καὶ πυκνουμένη, δύναται μεταβάλλειν εἰς ὕδωρ· οὐκ ἄτοπον ἂν εἴη τυχὸν τὸν αὐτὸν τρόπον ὑπολαβεῖν καὶ τὴν θερμὴν καὶ ξηρὰν Ἀναθυμίασιν πιλεῖσθαί τε καὶ πυκνοῦσθαι, καὶ εἰς Πνεῦμα συνίστασθαι. Καὶ ὥσπερ ἐκ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ τῆς ὑγροτέρας Ἀναθυμιάσεως γίνεται Ὕδωρ ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν, οὕτως αὖ ἐκ τῆς ξηροτέρας γίνεσθαι Πνεῦμα καὶ ἄνω καὶ κάτω ὑπὸ γῆν. Ὕλη μὲν οὖν τῶν Ἀνέμων εἴη ἂν ἡ θερμὴ ἀναθυμίασις καὶ ξηρά, οὐκ ἀμιγὴς οὐδ᾽ ἄκρατος· ἐπείπερ ἡ τοιαύτη διαβαίνει πρὸς τὸ Ὑπέκκαυμα.

Ἡ δὲ τῶν Ἀνέμων σύστασις πλησίον γίνεται τῆς γῆς ἐν τῷ ἠρεμοῦντι Ἀέρι, ἀλλ᾽ οὐκ ἐν τῷ ὑπὸ τοῦ Αἰθέρος συνεπισυρομένῳ μετὰ τοῦ Ὑπεκκαύματος. Ἦ γὰρ ἄν, ἐπὶ ταὐτὸ περιήγοντο πάντες Ἄνεμοι. Νῦν δὲ καί τινες ἀλλήλοις ἀντιπνέουσιν. Ἀλλὰ καί τινα τῶν ὑψηλοτέρων ἱστορεῖται Ὀρῶν ὑπερνέφελά τε καὶ ὑπερήνεμα. Ἔνθα γοῦν τὰ Νέφη συνίστανται, ἐκεῖσε δοκεῖ καὶ τοὺς Ἀνέμους συνίστασθαι· καὶ ὥσπερ τὰς ῥανίδας κατὰ μικρὰ συνισταμένας τὸ πρῶτον, ἔπειτ᾽ ἀλλήλαις μιγνυμένας τὸ τελευταῖον καταφέρεσθαι μετὰ πλήθους. Ὡς δὲ κἀν τῇ γῇ κατ᾽ ὀλίγον τὸ Ὕδωρ συλλειβόμενον, νοτιζούσης τῆς γῆς, καὶ τότε συναγόμενον εἰς ἕν, τὰς τῶν Ποταμῶν Ἀρχὰς ἐκτελεῖν· τὸν αὐτὸν τρόπον καὶ τὴν τῶν Ἀνέμων σύστασιν γίνεσθαι. Πολλῶν γὰρ Ἀναθυμιάσεων κατὰ μικρὸν ἀλλήλαις συνιουσῶν, εἰς τὸ φανερὸν οἱ Ἄνεμοι προέρχονται μέγεθος. Διὸ καὶ ἐλάχιστοι μέν εἰσιν ὅθεν ἄρχονται πνεῖν· προϊόντες δ᾽ αὔξονταί καὶ λαμπροὶ γίνονται, προσγινομένων αὐτοῖς ἀναθυμιάσεων κατὰ τὴν εἰς τὸ πρόσθεν πρόοδον καὶ συναυξουσῶν αὐτούς. Ὅπερ κἀπὶ τῶν μεγάλων Ποταμῶν γινόμενον φαίνεται. Μικροὶ μὲν γάρ εἰσιν ἐν ταῖς τῶν ῥύσεων ἀρχαῖς, ἐπείπερ οὐκ ὀλίγοι αὐτῶν ἐκ Κρηνῶν ἄρχονται, προϊόντες δὲ μεγεθύνονται, διαφόρων ῥευμάτων εἰσβαλλόντων αὐτοῖς. Ὅτι δὲ οὐκ ἐκ μόνης θερμῆς καὶ ξηρᾶς Ἀναθυμιάσεως τοῖς Ἀνέμοις ἡ Γένεσις, καὶ ἀπὸ τῆς αὐτῶν Κινήσεως γνώριμον. Ἄνω γὰρ ἂν ἕκαστος αὐτῶν ἐφέρετο, τὴν οὐσίαν ἔχων τοιαύτην Ἀναθυμίασιν· νῦν δὲ τῶν ὅλων Ἀνέμων ἡ Κίνησις εἰς τὸ πλάγιόν πως καὶ λοξή. Δυοκαίδεκα δὲ πάντες Ἄνεμοι φαίνονται πνέοντες· ἀπὸ τῆς ἰσημερινῆς Ἀνατολῆς, Ἀπηλιώτης, ὁ παρὰ Σικελιώταις Ἑλλησποντίας καλούμενος,

Καρνά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καρνάβας δὲ παρὰ Φοίνιξι, καὶ παρὰ τοῖς ἐν πόντῳ Βερεκυντίας· ἀπὸ τῆς ἰσημερινῆς Δυσμῆς, Ζέφυρος· ἀπὸ τῆς θερινῆς Ἀνατολῆς, Καικίας· ἀπὸ τῆς θερινῆς Δυσμῆς, Λὶψ, ὁ καὶ Ὀλυμπίας, καὶ Ἰάπυξ, καὶ Σκίῤῥων, ὀνομαζόμενος· ἀπὸ τῆς χειμερινῆς Ἀνατολῆς, Εὖρος· ἀπὸ τῆς χειμερινῆς Δυσμῆς, Ἀργέστης· ἀπὸ τῶν περὶ τὴν Ἄρκτον τόπων Βορέας, ὁ κυρίως Ἀπαρκτίας λεγόμενος· ἀπὸ δὲ τῶν περὶ τὴν Μεσημβρίαν, Νότος· μεταξὺ δ' Ἀπαρκτίου καὶ Ἀργέστου, Θρασκίας· μεταξὺ Καικίου καὶ Ἀπαρκτίου ὁ καλούμενος Μέσης· (τοῦτον δὲ μάλιστα Βορέαν οἶδε καλεῖν ἡ συνήθεια.) Νότου καὶ Λιβὸς, Λιβόνοτος μεταξύ· Εὔρου δὲ καὶ Νότου, Εὐρόνοτος, ὁ καὶ Φοινικίας.

Τούτων Αἴθριοί εἰσιν ἐν ἡμῖν, Ἀπαρκτίας, Θρασκίας, καὶ Ἀργέστης, διὰ τὸ τὰ Νέφη ἀπωθεῖν ἀφ' ἡμῶν βορειοτέρων ὄντων. Αἴθριοι δὲ εἰσιν, ὅταν μὴ τύχωσιν εἶναι πάνυ ψυχροὶ, ὡς φθάνειν πηγνῦναι τὴν Ἀναθυμίασιν καὶ τὰ Νέφη πρὸ τοῦ ἀπώσασθαι. Ὁ δὲ Καικίας οὐκ ἀεί ἐστιν Αἴθριος, διὰ τὸ ἀνακάμπτειν εἰς ἑαυτὸν, ὅθεν ἄρχεται. Οὐδὲ γὰρ εὐθεῖαν εἰς τὰ πλάγια φέρεται, ἀλλὰ κυρτὴν, ἔχουσαν τὸ κυρτὸν νενευκὸς πρὸς τῇ γῇ. Ἀνανεύων δὲ καὶ προσπίπτων τοῖς νέφεσιν, οὐκ ἀπωθεῖ ταῦτα, ἀλλὰ προσάγει τῷ τόπῳ, ὅθεν οὗτος ὁ Ἄνεμος πνεῖ. Τοῦτο δ' ἂν συμβαίνοι περὶ αὐτὸν τῷ προσγειότερον αὐτῷ πνέοντι ἀντιπίπτειν τινὰς τῆς γῆς ἐξοχὰς, καὶ οὕτως ἀναστρέφειν εἰς τὸ ἄνω τὴν τοῦ Πνεύματος τοῦδε φοράν. Ὑγροὶ δὲ μάλιστα τῶν Ἀνέμων εἰσὶ, Λὶψ, Καικίας, καὶ Ἀπηλιώτης· Ξηροὶ δὲ, Ἀργέστης καὶ Εὖρος· ὃς Εὖρος ἐν ἀρχῇ μὲν ὑπάρχει ξηρὸς· τελευτῶν δὲ, πέφυκεν ὑδατώδης γίνεσθαι. Νιφετώδεις δὲ μάλιστα, Μέσης καὶ Ἀπαρκτίας· οὗτοι γὰρ ψυχρότατοι· Καυματώδεις δὲ, Νότος, Ζέφυρος καὶ Εὖρος. Νέφεσι δὲ πυκνοῦσι τὸν Οὐρανὸν, πυκνοτέροις μὲν ὁ Καικίας, ἀραιοτέροις δέ πως ὁ Λίψ. Ἀστραπαῖοι δ' εἰσὶν Ἀπαρκτίας, Θρασκίας, Ἀργέστης· καὶ πρὸς τούτοις, ὁ Μέσης. Ψυχροὶ γὰρ ὄντες διὰ τὸ ἐγγύτερον ἡμῶν πνεῖν, καὶ ἀπὸ τῶν ἀρκτικῶν μερῶν ὄντων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψυχρῶν, πιλοῦσι τὰ Νέφη διὰ τὴν ψυχρότητα. Πιλουμένων δὲ τῶν Νεφῶν τὸ ἐν αὐτοῖς ἐναπειλημμένον θερμὸν, ἀθροιζόμενον εἰς ἓν, μετὰ βίας ἀθρόον ἐκκρίνεται διὰ τὴν σφοδρὰν κίνησιν ἐκπυρωθέν. Αὐτῶν δὲ τούτων ἔνιοι καὶ Χαλαζώδεις εἰσὶ, τῷ διὰ ψυχρότητα πηγνῦναι ταχέως τὸ ἐκκρινόμενον ὕδωρ. Δοκεῖ γὰρ καὶ οὕτω Χάλαζα γίνεσθαι. Καθίστανται δὲ καὶ Ἐκνεφίαι, Ἀπαρκτίας Θρασκίας καὶ Ἀργέστης. Ἐκνεφίαι δὲ γίνονται, ὅταν ἄλλων πνεόντων Ἀνέμων, ἄλλοι ἐπιπεσόντες αὐτοῖς παύσωσιν αὐτούς. Ὅταν οὖν οἱ πρῶτοι πνέοντες, ἀπώσωνται τὰ Νέφη, δοκοῦσιν οἱ ἐκ τῶν ἐναντίων μερῶν ἐμπίπτοντες αὐτοῖς, πνεῖν ἐξ αὐτῶν τῶν Νεφῶν. Ἐμπίπτουσι δὲ μάλιστα πνέουσιν ἀλλήλοις οὗτοι οἱ Ἄνεμοι, διὰ τὸ ἐγγύθεν αὐτοὺς πνέοντας καὶ μετὰ ῥύμης εἶναι σφοδρούς.

Ἐπεὶ δὲ τὰ πλεῖστον ἀπέχοντα κατὰ τόπον, ἐναντία κατὰ τόπον ἐστί· πλεῖστον δ' ἀπέχει τὰ κατὰ διάμετρον· ἡ δ' ἰσημερινὴ Ἀνατολὴ καὶ ἡ ἰσημερινὴ Δυσμὴ διαμετροῦσιν ἀλλήλας κατὰ τὸν αὐτὸν ὁρίζοντα θεωρούμεναι, καὶ πάλιν ἡ θερινὴ Ἀνατολὴ καὶ ἡ χειμερινὴ Δυσμὴ, καὶ αὖθις ἡ χειμερινὴ Ἀνατολὴ, καὶ ἡ θερινὴ Δυσμὴ, ὁμοίως δὲ καὶ ἡ Ἄρκτος καὶ ἡ Μεσημβρία· ἐπεὶ ταῦθ' οὕτως ἔχει, εὔδηλον ὡς ἀντιπνέουσιν ἀλλήλοις, οἱ ἐκ τῶν ἐναντίων τόπων πνέοντες Ἄνεμοι. Ὅθεν ὁ μὲν Ἀπηλιώτης ἀντιπνεῖ τῷ Ζεφύρῳ, ὁ Καικίας δὲ τῷ Λιβὶ, ὁ Εὖρος τῷ Ἀργέστῃ, καὶ ὁ Βορέας τῷ Νότῳ. Ὡσαύτως ὁ Θρασκίας τῷ Φοινικίᾳ, καὶ ὁ Μέσης τῷ Λιβονότῳ. Δεῖ δὲ τὴν θέσιν τῶν Ἀνέμων καὶ τὴν τοπικὴν αὐτῶν ἐναντίωσιν κατανοεῖν ἐκ τοῦ Διαγράμματος.

Ἀνατολικοὶ μὲν οὖν εἰσιν Ἄνεμοι, Καικίας, Ἀπηλιώτης καὶ Εὖρος· ὁ μὲν ἀπὸ τῆς θερινῆς Ἀνατολῆς, ὁ δ' ἀπὸ τῆς Ἰσημερινῆς, ὁ δ' αὖ ἀπὸ τῆς Χειμερινῆς. Δυτικοὶ δ' Ἄνεμοι, Ἀργέστης, Ζέφυρος, Λίψ· ὁ μὲν ἀπὸ τῆς θερινῆς Δυσμῆς, ὁ δ' ἀπὸ τῆς Ἰσημερινῆς, ὁ δὲ Λίψ ἀπὸ τῆς Χειμερινῆς. Ἀρκτῷοι δὲ, ἤτοι Βόρειοι, Θρασκίας, Ἀπαρκτίας, καὶ Μέσης, ὁ κατὰ συνήθειαν Βορέας λεγόμενος·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενος· ὧν ὁ μὲν Θρασκίας ἀπὸ τῶν δεξιῶν τῆς Ἄρκτου μερῶν, καὶ ὡς πρὸς Δύσιν ἔχει τὸ πνεῖν, τῇ θερινῇ πλησιάζων Δυσμῇ· ὁ δ' Ἀπαρκτίας, ἀπὸ μέσης Ἄρκτου· ὁ δὲ λοιπὸς, ἐκ τῶν εὐωνύμων τῆς Ἄρκτου μερῶν. Ἄνεμοι δὲ μεσημβρινοὶ, ἤτοι νότιοι, ὁ Εὐρόνοτος, ὁ Νότος, καὶ ὁ Λιβόνοτος· ὁ μὲν ἀπὸ τῶν δεξιῶν τῆς Μεσημβρίας, ἤγουν ἔγγιστα τῇ χειμερινῇ Ἀνατολῇ· ὁ δὲ Νότος ἐκ μέσης Μεσημβρίας, ὁ Λιβόνοτος δ' ἐξ ἀριστερᾶς.

Ἄλλοι δὲ τῶν Ἀνέμων, ἄλλως παρ' ἄλλοις μέρεσι φέρονται κραταιότερον ἢ ἀσθενέστερον. Τινὲς δὲ καὶ ἰδιοτρόπως ἐπικρατοῦσιν ἐν τόποις τισὶν, ἐκεῖθεν τὴν γένεσιν ἔχοντες. Καὶ τούτων ὅσοιπερ ἐκ νενοτισμένης πνέουσι γῆς, ἀπόγειοι λέγονται· ὅσοι δ' ἐκ κόλπων ἐξάττουσιν, Ἐγκολπίαι. Τούτοις δ' ἀνάλογόν τι ἔχουσιν οἱ ἐκ Ποταμῶν καὶ Λιμνῶν. Ὅσοι δὲ τῶν Ἀνέμων κατὰ ῥῆξιν γίνονται Νέφους, εἰ μὲν καὶ ἀνάλυσιν τοῦ πάχους ποιοῖντο πρὸς ἑαυτοὺς, Τυφωνικοὶ ὀνομάζονται. Εἰ δ' ἧττον εἶεν παχεῖς, Ἐκνεφίαι καλοῦνται. Μεθ' ὕδατος δ' ἀθρόως ῥαγέντος, ὁπόσοι φέρονται, Ἐξυδρίαι προσαγορεύονται. Καὶ ὅσοι μὲν τῶν Ἀνέμων πρὸς εὐθεῖαν διαπνέουσιν, Εὐθύπνοοι λέγονται· ὅσοι δ' ἀνακάμπτουσι πρὸς τὰς οἰκείας ἀρχὰς, καθάπερ ὁ Καικίας, Ἀνακαμψίπνοοι. Λέγονται δέ τινες καὶ Ἐτησίαι κατὰ τὸ θέρος πνέοντες, καὶ μῖξιν ἔχοντες ἔκ τε τῶν ἀρκτώων καὶ δυτικῶν· ἄλλοι δ' Ὀρνιθίαι, ἐαρινοί τινες Ἄνεμοι Βόρειοι.

Τῶν γε μὴν βιαίων Πνευμάτων, Καταιγὶς μέν ἐστι, Πνεῦμα πίπτον ἄνωθεν ἐξαίφνης μετὰ σφοδρότητος. Θύελλα δὲ, Πνεῦμα μετὰ ῥύμης φερόμενον ἰσχυρᾶς καὶ ἄφνω προσαλλόμενον ἐν τῷ πνεῖν. Λαίλαψ δὲ καὶ Στρόβιλος, Πνεῦμα εἱλούμενον κάτωθεν ἄνω. Γῆς δ' Ἀναφύσημα, Πνεῦμα κατὰ τὴν ἐκ βυθοῦ τινος ἢ ῥήγματος ἀνάδοσιν ἄνω φερόμενον. Ὅταν δ' εἱλούμενον φέρηται πολὺ καὶ θερμὸν, Πρηστὴρ χθόνιος λέγεται.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

## Περὶ Σεισμοῦ.

Ὁ Σεισμὸς δοκεῖ γίνεσθαι, τῆς ἐκ τοῦ ἐπικρατοῦντος ὀνομαζομένης θερμῆς καὶ ξηρᾶς ἀναθυμιάσεως, ἀπολαμβανομένης κάτω καὶ ὑπὸ γῆν, ἀθροιζομένης τε καὶ συναγομένης εἰς ἕν, κἀντεῦθεν Πνεύματος ἰσχυροῦ συνισαμένου, καὶ τὰς ἔνδον κοιλότητας πληροῦντος τῆς γῆς, βιαίως τε κινουμένου καὶ συγκινοῦντος τὸ ὑπερκείμενον μέρος τῆς γῆς. Ὅθεν καὶ νηνεμίας οἱ πολλοὶ καὶ μεγάλοι γίνονται τῶν Σεισμῶν. Ἡ γὰρ Ἀναθυμίασις, συνεχὴς φερομένη, ἕπεται ὡς ἐπὶ τὸ πολὺ τῇ ὁρμῇ τῆς ἀρχῆς· ὥστε ἢ ἔξω τῆς γῆς, ἢ ἔσω πᾶσαν συννεύειν αὐτήν.

Οὐκ ἄλογον δέ γε καὶ Ἀνέμων ὄντων, γίνεσθαί τινας τῶν Σεισμῶν· Ἐνίοτε γὰρ καὶ πλείους ἅμα πνέουσιν Ἄνεμοι· ὧν ὅταν ἅτερος ὑπὸ γῆν ὁρμήσῃ, ποιήσει Σεισμόν, ἄνω πνέοντος τοῦ λοιποῦ. Ἐλάττους δὲ τὸ μέγεθος γίνονται τὰ πολλὰ οἱ τοιοῦτοι Σεισμοί, διὰ τὸ διῃρῆσθαι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν αὐτῶν τὴν ποιητικήν. Ὥσπερ καὶ οἱ ἅμα πνέοντες Ἄνεμοι, οὐ γίνονται πάμπαν σφοδροί.

Νυκτὸς δὲ καὶ μᾶλλον πρὸς ὄρθον οἱ πλείους καὶ μείζους γίνονται τῶν Σεισμῶν. Νηνεμώτεραι γὰρ αἱ Νύκτες τῶν Ἡμερῶν, διὰ τὴν ἀπουσίαν τοῦ Ἡλίου ψυχομένης καὶ πυκνουμένης τῆς ἐπιφανείας τῆς γῆς, καὶ τῶν Πνευμάτων τὴν ἀρχὴν τῆς ῥύσεως λαμβανόντων εἰς τὸ ἐντός, ὥσπερ Ἀμπώτιδος γινομένης τοῦ Πνεύματος εἰς τὰ ἔνδον, ἀπὸ τῆς ἔξω πλημμυρίδος τε καὶ ἐπιχύσεως· μάλιστα δὲ πρὸς ὄρθον, ἐπεὶ τηνικαῦτα καὶ τὰ Πνεύματα πέφυκεν ἄρχεσθαι πνεῖν.

Τῶν δὲ τῆς Ἡμέρας γινομένων Σεισμῶν, περὶ Μεσημβρίαν οἱ πλεῖστοι καὶ ἰσχυρότεροι γίνονται. Νηνεμώτερον γὰρ τῆς ὅλης Ἡμέρας ὡς ἐπίπαν ἡ Μεσημβρία, διὰ τὸ τὸν Ἥλιον μάλιστα τότε τὰς ἀκτῖνας ὀρθοτέρας καὶ ἐντονωτέρας ἐκπέμποντα, κατακλείειν τὴν Ἀναθυ-

μίασιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μίασιν εἰς τὴν γῆν, τὴν εἰς τὸ ἔξω πρόοδον αὐτῆς ἐμποδίζοντα.

Ἔτι τε τοὺς ἰσχυροτάτους Σεισμοὺς συμβαίνει γίνεσθαι περὶ τόπους, καθ' οὓς Θάλασσα στενὴ καὶ ῥοώδης. Σφοδρὸν γὰρ ἐν τοῖς τοιούτοις τόποις τὸ Πνεῦμα γινόμενον, καὶ διεκπίπτον βιαίως ἐκ τῆς γῆς, τῶν Σεισμῶν αἴτιον γίνεται. Πολλήν τε γὰρ ἡ Θάλασσα παρέχει χορηγίαν τῷ Πνεύματι, καὶ διὰ τῶν στενῶν ἀθρόα φερομένη ταῖς μεταῤῥύσεσι, καὶ τοὺς τόπους ἐπιλαμβάνουσα δι' ὧν ἔξω τὸ Πνεῦμα φέρεται, εἰς βάθος αὐτὸ ἀπωθεῖ. Τὸ δ' ἀπωσθὲν καὶ ἀθρόον γενόμενον, ἐκίνησε τῇ βίᾳ τὴν γῆν. Καὶ ὅσαι δὲ Χῶραι τὰ ὑπὸ γῆν ἔχουσι σομφά τε καὶ ὕπαντρα, σείονται μᾶλλον, πολὺ δεχόμεναι Πνεῦμα κατὰ τὰς ἔνδον κοιλότητας καὶ κινούμεναι ὑπ' αὐτοῦ.

Ἔαρος δὲ μάλιστα καὶ Μετοπώρου γίνονται οἱ Σεισμοί· πνευματωδέστεραι γὰρ αἱ ὧραι. Θέρους δὲ καὶ Χειμῶνος ἐλάττω τὰ Πνεύματα· Χειμῶνος μὲν διὰ τὸ ψύχος σβεννυμένων τῶν θερμῶν καὶ ξηρῶν ἀναθυμιάσεων· Θέρους δὲ πάλιν, διὰ τὸ καῦμα ξηραινομένων τε κατὰ πολὺ καὶ μαραινομένων· Ἀλλὰ καὶ ἐν Αὐχμοῖς καὶ ἐν Ἐπομβρίαις οἱ Σεισμοὶ μάλιστα γίνονται. Ἐν μὲν γὰρ τοῖς αὐχμοῖς, πνευματώδης ὁ ἀήρ. Αὐτὸ γὰρ τοῦτό ἐστιν ὁ Αὐχμὸς, τὸ πλείω γίνεσθαι τῆς ὑγρᾶς ἀναθυμιάσεως τὴν ξηράν. Ἐν δὲ ταῖς ἐπομβρίαις, πλείων ἡ ἐντὸς Ἀναθυμίασις γίνεται. Καὶ γὰρ ἡ γῆ πολλὴν ἔνδον κεκτημένη πυρώδη οὐσίαν, βρεχομένη πρὸς βάθος ἀτμίζει. (καθάπερ ἐπὶ τῆς Ἀσβέστου ἐστὶν ἰδεῖν.) ἀτμίζουσα οὖν, πλείω καὶ τὴν ἐντὸς ἀναθυμίασιν ἴσχει. Ἔτι δὲ διὰ τὸ πλῆθος τῶν ὄμβρων, ὕδατος πληρουμένων τῶν κοιλοτήτων τῆς γῆς, ἡ τοιαύτη Ἀναθυμίασις στενοχωρουμένη, καὶ εἰς ἓν συνελαυνομένη ὑπὸ τοῦ ὕδατος, ἐκβιάζεται. Ὅθεν πολλὴ οὖσα καὶ εἰς ὀλίγον τόπον συσταλεῖσα καὶ ἰσχυρῶς πιληθεῖσα καὶ οὕτω κινηθεῖσα, συγκινεῖ καὶ τὴν γῆν. Ὥσπερ οὖν ἐν τοῖς τῶν ζώων σώμασιν ἐναπολαμβανόμενον τὸ Πνεῦμα, τρόμων καὶ σφυγμῶν, μᾶλλον δὲ παλμῶν αἴτιον γίνεται· παραπλησίως κἀν τῇ γῇ. Διὸ καὶ τῶν Σεισμῶν, ὁ μέν ἐστι

τρομάδης·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τρομώδης· ὁ δὲ, Σφυγμῷ ἢ Παλμῷ ἐοικώς. καὶ ὁ μὲν Τρομώδης, γίνεται συνεχέστερον, ὁπόταν δηλονότι διὰ πλῆθος τοῦ κατὰ πλάτος γινομένου Πνεύματος ὑπὸ γῆν, κινεῖται ἡ γῆ σειομένη κατὰ τὰ πλάγια. Καὶ ὁ τρόμος γὰρ εἰς τὰ πλάγια μεταφέρει τὸ πάχον σῶμα. Γίνεται δὲ κατὰ τὸ σπάνιον ἔν τισι τόποις καὶ ὁ σφυγματώδης ἢ παλμώδης Σεισμὸς· ὅταν δηλονότι μὴ πρὸς τὰ πλάγια κινῆται ἡ Γῆ, ἀλλὰ κάτωθεν ἄνω. Συμβαίνει δ᾽ ὡς ἐπ᾽ ἔλαττον ὁ τοιοῦτος Σεισμὸς, ὅτι μηδὲ ῥάδιον εἰς βάθος ἀθροισθῆναι Ἀναθυμίασιν οὕτω πολλήν. Πολλαπλασία γὰρ ἡ κατὰ πλάτος γινομένη τῆς γῆς διάκρισίς τε καὶ Ἀναθυμίασις τῆς ἀπὸ βάθους γίγνεσθαι πέφυκεν· ἐπεὶ καὶ ὁ Ἥλιος τῇ κατὰ πλάτος Ἀναθυμιάσει φαίνεται μάλιστα συνεργῶν, θερμαίνων μέχρι τόσου τὴν γῆν. Ὅπου μέντοι γένηται ὁ σφυγματώδης ἢ παλμώδης Σεισμὸς, χαλεπώτατός ἐστιν. Ἀναῤῥήγνυσι γὰρ τὴν γῆν, καὶ πόλεις ἀνατρέπει καὶ χώρας· καὶ ποτὲ μὲν ἀναβράττονται λίθοι τῇ βίᾳ τοῦ Πνεύματος τοῦ τὸν τοιοῦτον ἐκτελοῦντος Σεισμόν· ἄλλοτε δὲ ὑδάτων πλῆθος ἀναῤῥεῖ, ποτὲ μὲν ψυχρῶν, ὁτὲ δὲ καὶ θερμῶν. Γίνεται γὰρ τὸ Πνεῦμα, καὶ τῷ ὕδατι τῆς κινήσεως αἴτιον. Ὡς γὰρ οἱ Ἄνεμοι βιαζόμενοι, κινοῦσι τὰ κύματα ἐξ ἐπιπολῆς· οὕτω πολλάκις κἀν τοῖς Σεισμοῖς βιαζόμενον τὸ κάτωθεν Πνεῦμα, δύναται τὸ ὑπὸ γῆν ὕδωρ κινεῖν. ὃ δὴ, ποτὲ καὶ θερμὸν γίνεται, ἢ διὰ τὴν πολλὴν θερμότητα ταύτης τῆς γῆς, ὅθεν καὶ τὸ πλῆθος τῶν θερμῶν ἀναθυμιάσεων· ἢ καὶ διὰ τὴν στενοχωρίαν καὶ βίαν τοῦ Πνεύματος. Ἐνίοτε γὰρ καὶ πῦρ ἀνεῤῥάγη, καὶ πόλεις πολλὰς κατετέφρωσε. Διὰ γὰρ τὴν στενοχωρίαν τὸ Πνεῦμα βιαίως κινούμενον διασπώμενόν τε καὶ διακοπτόμενον καὶ εἰς μικρὰ καταδιαιρούμενον, ἐκπίμπραται καὶ γίνεται Φλόξ. Οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ Φλὸξ, ἢ Πνεῦμα μετὰ πυρὸς, τουτέστι, Πνεῦμα ἐκπυρωθέν.

Ὁτὲ μὲν οὖν κάτω καὶ τῆς γῆς ἐντὸς, ἡ τοῦ Πνεύματος τοῦ ποιοῦντος τὸν Σεισμὸν γίνεται σύστασις· ὁτὲ δ᾽ ἄνω καὶ ὑπὲρ γῆν Ἄνεμος τῶν ὠνομασμένων ἀπαρ-

τιθείς,

τιθεὶς, εἶτα συῤῥεύσας ὅλος ἔνδον τῆς γῆς, εἰργάσατο Σεισμὸν ἰσχυρότατον, οἷος ἱστορεῖται καὶ περὶ τὴν Ἀχαΐαν γενόμενος· ὅθεν καὶ αἱ παραθαλάσσιαι πόλεις Βοῦῤῥα τε καὶ Ἑλίκη κατεῤῥίφησαν ὁμοῦ τε καὶ ὑπὸ τῆς ἐφόδου τοῦ κύματος κατεκλύσθησαν. Ἔξω μὲν γὰρ ἔπνει Νότος ὁ τὴν Θάλασσαν ἀπωθῶν· ἔνθα δὲ γέγονεν ὁ Σεισμὸς, ἀντέπνευσε Βοῤῥᾶς, ὃς ἐξ ἐναντίας τῷ Νότῳ φερόμενος, ἀπῶσαι μὲν εἰς τοὔπισω τὴν Θάλασσαν οὐ δεδύνητο, διὰ τὸν προωθοῦντα ταύτην Ἄνεμον· ἐμποδίσας δὲ καὶ στήσας ταύτης τὴν πρόοδον, ἐποίησεν ὁμοῦ πολλὴν ἀθροισθῆναι τὴν θάλασσαν. Τότε δ' ἡττηθεὶς ὑπὸ τοῦ πλήθους τῆς θαλάσσης, ἀθρόας ἐπιχυθείσης αὐτῆς διὰ τοῦ κατόπιν ὠθοῦντος Πνεύματος, ἅμα μὲν τοῦ Κατακλυσμοῦ, ἅμα δὲ τοῦ Σεισμοῦ γέγονεν αἴτιος· τοῦ μὲν, διὰ τὸ στῆσαι τὴν θάλασσαν καὶ ποιῆσαι αὐτὴν ἀθροισθῆναι πολλὴν εἰς ταὐτό· τοῦ Σεισμοῦ δὲ, διὰ τὸ ἡττηθέντα τοῦτον ὑπὸ τοῦ πλήθους τῆς θαλάσσης, ῥυέντα κατὰ τῆς γῆς κινῆσαι αὐτήν.

Ἔτι τῶν Σεισμῶν τοὺς μὲν φασιν Ἐπικλίντας, οἵτινες ἐς πλάγια σείουσι κατ' ὀξείας γωνίας· τοὺς δὲ, Βράστας, οἳ κατ' ὀρθὰς γωνίας ἄνω καὶ κάτω ῥιπτοῦσι· τοὺς δὲ, Χασματίας, οἵγε συνιζήσεις ποιοῦσιν εἰς τὰ κοῖλα· τοὺς δὲ, Ῥήκτας, οἵπερ ἀνοίγουσι χάσματα καὶ γῆν ἀναῤῥηγνύουσι· τοὺς δὲ, Ὤστας· οὗτοι δὲ κατὰ μίαν πρόωσιν, ἀνατρέπουσι· τοὺς δὲ Παλματίας, ὡς ἀνταποπάλλοντας καὶ ταῖς εἰς ἑκάτερον ἐγκλίσεσι καὶ ἀναπάλσεσι διορθοῦντας ἀεὶ τὸ σειόμενον. Γίνονται δὲ καὶ Μυκητίαι Σεισμοὶ σείοντες τὴν γῆν μετὰ βρόμου. Πολλάκις δὲ καὶ χωρὶς Σεισμοῦ τοιοῦτός τις γίνεται ψόφος, ὅτε δηλονότι τὸ Πνεῦμα τυγχάνει λεπτομερέστερον· ὡς ἐν τῷ πλήττειν τὴν γῆν, διηθεῖσθαι δι' αὐτῆς, καὶ μὴ μένον ἐντὸς στενοχωρίαν ποιεῖν ἀθροιζόμενον. Διὰ μὲν οὖν τὸ ῥαδίως διηθεῖσθαι διὰ τῆς γῆς, οὐ κινεῖ· διὰ δὲ τὸ προσπίπτειν τοῖς τῆς γῆς ὄγκοις, κοίλοις τε οὖσι καὶ παντοδαπὰ σχήματα ἔχουσι, παντοδαπὸν ποιεῖ ψόφον, ὡς δοκεῖν ἐνίοτε οἷον μυκᾶσθαι τὴν γῆν.

Ἀνάλογον δὲ τοῖς εἰρημένοις συμπίπτει καὶ ἐν Θαλάσσῃ. Χάσματά τε γὰρ γίνεται Θαλάσσης καὶ ἀναχωρήματα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα πολλάκις, καὶ κυμάτων ἐπιδρομαί· ποτὲ μὲν, ἀντανακοπὴν ἔχουσαι· ποτὲ δὲ, πρόωσιν μόνον. Πολλάκις δὲ καὶ Ἀναφυσήματα γίνεται Πυρὸς ἐν τῇ Θαλάσσῃ, καὶ Πηγῶν ἀναβλύσεις, καὶ Ποταμῶν ἐκβολαί, ῥοαί τε καὶ δῖναι· ποτὲ μὲν ἐν μέσοις πελάγεσι, ποτὲ δὲ κατὰ τοὺς εὐρίπους τε καὶ πορθμούς. Πολλαί τε Ἀμπώτιδες καὶ κυμάτων ἄρσεις κατά τινας ὡρισμένους καιροὺς τῇ Σελήνῃ συμπεριοδεύουσι· ἐπεὶ συμμεταβάλλει αὕτη καὶ κατὰ Γῆν καὶ κατὰ Θάλατταν, ὡς πλησιαιτέρα τῶν λοιπῶν Πλανήτων.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

### Περὶ Βροντῶν, καὶ Ἀστραπῶν, Ἐκνεφίου τε, καὶ Τυφῶνος, καὶ Πρηστῆρος, καὶ Κεραυνοῦ.

Τῆς Ἀτμίδος καὶ τῆς ξηρᾶς Ἀναθυμιάσεως ὁμοῦ καὶ συμμίκτως ἀναγομένων ἐκ γῆς, ὁπόταν ἐν τῷ ἀπογειοτέρῳ καὶ ἄμφω γένωνται τόπῳ· (ὃς ἐστὶ ψυχρότατος διὰ τὸ τὰς ἐκ γῆς ἀνακλάσεις τῶν ἡλιακῶν ἀκτίνων ἐξασθενεῖν ἐν αὐτῷ.) καὶ τῆς μὲν ξηρᾶς Ἀναθυμιάσεως διακρινομένης, καὶ πρὸς τὸ συγγενὲς φερομένης Ὑπέκκαυμα· τῆς Ἀτμίδος δὲ ψυχομένης καὶ πυκνουμένης, καὶ εἰς Νέφη συνισταμένης· ὁπόση τῆς ξηρᾶς ἀναθυμιάσεως ἐν τῇ τοιαύτῃ συστάσει τῶν Νεφῶν ἐμπεριληφθείη, συναγομένη γίνεται Πνεῦμα· ἔπειτα τῶν Νεφῶν ἔτι μᾶλλον πυκνουμένων καὶ συνιόντων, ἐκκρίνεται μετὰ βίας ἐξ αὐτῶν. Οὕτω δὲ βιαίως ἐκκρινόμενον τὸ Πνεῦμα, καὶ πρὸς τὴν πυκνότητα τῶν Νεφῶν ἐμπίπτον, ψόφον ἀποτελεῖ. Οὗτος δέ ἐστιν ἡ καλουμένη Βροντή, Πνεῦμα Νέφει παχεῖ καὶ νοτερῷ εἰληθὲν, καὶ ἔξω δι' αὐτοῦ τοῦ Νέφους βιαίως φερόμενον, καὶ οὕτω ῥηγνύον τὰ συνεχῆ τοῦ Νέφους πιλήματα, κἀντεῦθεν Βρόμον καὶ Πάταγον μέγαν ἀπεργαζόμενον· ὥσπερ τὸ ἐν ὕδατι σφοδρῶς ἐλαυνόμενον Πνεῦμα καὶ τῶν κυμάτων τοὺς ῥόθους ἀποτελοῦν.

Ἐπεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπεὶ δὲ τῶν Νεφῶν ἡ πυκνότης ἀνώμαλος· (πῆ μὲν γὰρ κατὰ τὸ μᾶλλον αὕτη, πῆ δὲ κατὰ τὸ ἧττον.) ἀλλὰ δὴ καὶ κοιλίαι τινὲς μεταξὺ τυγχάνουσι τῶν Νεφῶν· (τὰ γὰρ ἐντὸς τῶν Νεφῶν οὐχ ὁμοίως πεπύκνανται τοῖς ἐκτὸς, ἀλλὰ διαλιμπάνουσι τὴν συνέχειαν τῆς πυκνότητος·) διὰ ταῦτά τοι παντοδαποὶ καὶ οἱ ψόφοι καὶ ἀνώμαλοι γίνονται. Τὸ γὰρ ἐκκρινόμενον Πνεῦμα, πυκνοτέραις μὲν συστάσεσι προσρηγνύμενον, ἰσχυροτέρους καὶ τοὺς ψόφους ποιεῖ· μανωτέραις δὲ, πρὸς λόγον ἀσθενεστέρους. Καὶ οὕτω μὲν ἡ Βροντή.

Τὸ δὲ Πνεῦμα τὸ ἐκθλιβόμενον, καὶ τῇ πρὸς τὰ Νέφη πληγῇ ποιοῦν τὴν Βροντὴν, ἐκπυροῦται τὰ πολλὰ λεπτῇ πυρώσει καὶ ἀσθενεῖ. Καθ' ὃ γοῦν ὀφθῇ τὸ ἐκκριθὲν τοῦτο Πνεῦμα, ἐκπίπτον τῶν Νεφῶν κεχρωματισμένον τῷ χρώματι τοῦ Πυρὸς, Ἀστραπὴν καλοῦμεν αὐτό. Γίνεται δὲ μετὰ τὴν Βροντὴν, καὶ ὕστερον τῆς πληγῆς. Ἡ βίαιος γὰρ κίνησις καὶ ἡ πληγὴ, αἰτία ἐστὶν αὐτῷ τῆς ἐκπυρώσεως. Διὰ μέντοι τὸ τὴν Ὄψιν ἀντιλαμβάνεσθαι τῶν ἰδίων αἰσθητῶν πρώτην τῆς Ἀκοῆς, διὰ τοῦτο πρὸ τοῦ ἀκουσθῆναι τὴν Βροντὴν, ὁρᾶται ἡ Ἀστραπή· καθὼς ἐστιν ἐπὶ τῆς Εἰρεσίας γινόμενον. Ἤδη γὰρ ἀναφερομένων τῶν Κωπῶν ἐκ τοῦ ὕδατος, ὁ πρῶτος ψόφος, ὁ ἐν τῇ καθόδῳ γεγονὼς ἐξακούεται, τῆς ὄψεως ἑωρακυίας πάλαι τὰς Κώπας καθιεμένας τε εἰς τὸ ὕδωρ καὶ πληττούσας αὐτό. Ὅταν μὲν οὖν τὸ ἐκ τῶν Νεφῶν πυκνουμένων ἐκθλιβόμενον Πνεῦμα λεπτὸν ᾖ, καὶ μηδὲ συνεχῆ τὴν γένεσιν ἔχῃ καὶ ἔκκρισιν, ἀλλὰ πολλάκις καὶ κατὰ μικρὸν γίνηται καὶ ἐκκρίνηται, κἀντεῦθεν μηδὲ μένῃ, ἀλλὰ διαπνεῖ· τότε Βροντάς τε καὶ Ἀστραπὰς, τὸν εἰρημένον τρόπον ποιεῖ.

Ἐπὰν δὲ σωματωδέστερον ᾖ τὸ Πνεῦμα, τουτέστιν ἧττον λεπτὸν, ἀθρόαν τε καὶ συνεχῆ τὴν γένεσιν ἔχῃ καὶ ἔκκρισιν, ὥστε μὴ διαπνεῖν ἀλλὰ διαμένειν, τότε τὸν λεγόμενον Ἐκνεφίαν Ἄνεμον ἐκτελεῖ. Καθάπερ γὰρ πλεονεκτούσης τῆς ὑγρᾶς Ἀναθυμιάσεως, ὅταν εἰς ὕδωρ γίνηται ἡ μεταβολὴ, τῇ πρώτως μεταβαλλούσῃ Ἀναθυμιάσει συμμεταβάλλει καὶ ἡ λοιπὴ, ὅση τῆς αὐτῆς τετύχηκε φύσεως,

σεως, καὶ γίνεται Ὑετὸς συνεχὴς καὶ πολύς· τὸν αὐτὸν τρόπον ἐπικρατούσης τῆς ξηρᾶς ἀναθυμιάσεως, ἐπηνίκα Πνεῦμα γίνηται καὶ ἐκκρίνηται, συνακολουθεῖ τῇ πρώτῃ γενέσει τε καὶ ἐκκρίσει, καὶ ὅσον ἄλλο τῆς αὐτῆς ἐστι φύσεως. Καὶ οὕτως ὁ Ἐκνεφίας ἄνεμος γίνεται, Πνεῦμα πολὺ καὶ συνεχὲς ἐξ αὐτοῦ τοῦ Νέφους ἀθρόον ἐκκρινόμενον καὶ βιαίως φερόμενον διὰ τὸ ταχὺ τῆς ἐκκρίσεως.

Ὅταν δὲ τὸ ἐκκρινόμενον Πνεῦμα εἰλούμενον ἐν Κύκλῳ τυγχάνῃ, καὶ μετὰ τοῦ ἐγχύματος τοῦ Νέφους κάτω φερόμενον, τότε Τυφῶν ὀνομάζεται. Γίνεται δὲ τοῦτο ὅταν τὸ ἐκ τοῦ Νέφους ἐκκρινόμενον Πνεῦμα, ἑτέρῳ Νέφει ἀντιτυπήσῃ, καὶ τὴν ἐπ᾽ εὐθείας φορὰν κωλυθῇ· καθάπερ ὅταν ἐκ τόπου πλατέος εἴς τι στενὸν ὁ Ἄνεμος συῤῥέων βιάζηται· ἐν πύλαις τυχὸν ἢ ὁδοῖς. Συμβαίνει γὰρ πολλάκις ἐν τοῖς τοιούτοις, μὴ δυναμένου προέρχεσθαι τοῦ προηγουμένου μορίου τοῦ ῥέοντος σώματος ἐν τῷ μὴ εὑρίσκειν διέξοδον, ἢ διὰ τὴν τόπου στενότητα, ἢ καὶ διὰ τὸ ἀντιπνεῖν ἄλλο τι Πνεῦμα, Κύκλον καὶ Δίνην τοῦ Πνεύματος γίνεσθαι. Τὸ μὲν γὰρ προηγούμενον τοῦ Πνεύματος μέρος, οὐ δύναται διελθεῖν· τὸ δὲ συῤῥέον ὄπισθεν, βιάζει τὴν ὁδόν· καὶ τὸ μὲν, ἀντιβαίνει· τὸ δ᾽, ἀπωθεῖ. Ἀνάγκη τοίνυν τὸ εἰς πλάγιον, ἔνθα μὴ ἔστιν ἀντίβασις, ἐνεχθῆναι τὸ ἑπόμενον μέρος τοῦ Πνεύματος. Καὶ οὕτως ἀεὶ καὶ πᾶν τὸ ἐχόμενον, ἕως ἂν ἐκ πλαγίου βιασθὲν τὸ προηγούμενον καὶ ἀντιβαῖνον μέρος τοῦ Πνεύματος ἐκκρουσθῇ τοῦ προκατειλημμένου τόπου, καὶ ἀνακάμψαν συνάψῃ τῷ ὄπισθεν φερομένῳ καὶ ἐπωθοῦντι, καὶ γένηται τὸ ὅλον ἕν. Κύκλος δέ ἐστι τοῦτο τὸ Σχῆμα. Καὶ οὕτω μὲν ἐπὶ τῆς γῆς αἱ Δῖναι γίνονται· Ὁμοίως δὲ κἀν τοῖς Νέφεσιν ἀλλήλοις συνάπτουσαι κατὰ τὴν ἀρχήν. (Τοιοῦτον γὰρ ἡ Δίνη.) Πλὴν ὥσπερ ὅταν Ἐκνεφίας γίνηται, συνεχής ἐστιν ἡ τοῦ Πνεύματος ἔκκρισις· (οὕτω γὰρ καὶ ὁ Ἄνεμος συνεχής) κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ Τυφὼν, συνεχῆ τὴν ἐκ τοῦ Νέφους ἔκκρισιν ἔχει· διὰ δὲ τὴν τοῦ Νέφους πυκνότητα, μὴ δυνάμενον ἀπ᾽ αὐτοῦ καθαρῶς ἐκκριθῆναι τὸ Πνεῦμα, ἀλλὰ σὺν ἑαυτῷ καὶ τοῦ Νέφους τι συνεφέλκον, στρέφεται μὲν Κύκλῳ

διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τὴν εἰρημένην αἰτίαν· Φέρεται δὲ κάτω καὶ ἐπὶ γῆς, διὰ τὸ τὴν ἐκ τοῦ Νέφους γινομένην τοῦ Πνεύματος ἔκκρισιν, ἐπὶ ταῦτα γίνεσθαι πάντοτε, καθ᾽ ἃ προάγεται τοῦ Νέφους ἡ πύκνωσις. Ὥστε ὅταν ἄνωθεν ἡ πύκνωσις ἀρξαμένη ἐπὶ τὰ κάτω γίνηται μέρη τοῦ Νέφους, ἀνάγκη καὶ τὴν τοῦ Πνεύματος ἔκκρισιν ἐντεῦθεν γινομένην φέρεσθαι κάτω διὰ τὴν βίαν. Φερόμενος οὖν ὁ Τυφὼν κάτω, καὶ διὰ τὴν ἀντίκρουσιν Κύκλῳ περιαγόμενος, καὶ οὕτω συστρεφόμενος καὶ ποιῶν Ἕλικα, οἷς ἂν προσπέσοι, ταῦτα κύκλῳ στρέφων κινεῖ. Διὸ καίτινα πολλάκις τῶν ἐπὶ γῆς ἢ θαλάσσης στρέψας, εἰς ὕψος ἀνέλκει· ὡς ἐπὶ τὸ αὐτὸ πάλιν ἀνακάμπτων τῷ μὴ ἔχειν διέξοδον. Ἐκ μὲν οὖν θαλάσσης, ὕδωρ ἀνασπᾷ πολλάκις. Ἤδη δὲ καὶ Πλοῖον ἐμετεώρισε τῇ Δίνῃ περιλαβών. Ἐκ δὲ τῆς γῆς, καὶ ξύλα καὶ λίθους, ἤδη δὲ καὶ ζῶα, τὸν αὐτὸν τρόπον αἰήνεγκεν. Ὅσα δ᾽ ὑπ᾽ αὐτοῦ ἀναφέρονται, ὀλίγον μετεωρισθέντα καταφέρονται πάλιν, ξηρότατα γενόμενα διὰ τὴν ξηρότητα τοῦ ἀνάγοντος ταῦτα Πνεύματος.

Ὅταν μὲν οὖν τὸ Πνεῦμα τὸ οὕτω κινούμενον μὴ κεχρωσμένον ἦ πυράδει χρόα, ὁποίᾳ καὶ ἡ Ἀστραπὴ κέχρωσται· τότε καλεῖται Τυφὼν, οἷον Ἐκνεφίας ἄπεπτος ὤν. Οὐ γὰρ τελέως διακεκριμένον οὐδ᾽ ἀπολελυμένον ἀπ᾽ αὐτοῦ τοῦ Νέφους τὸ τοῦ Τυφῶνος ἐκκρίνεται Πνεῦμα, καθὰ τὸ τοῦ Ἐκνεφίου· ἀλλὰ συνεφέλκον τι καὶ τοῦ νέφους διὰ τὸ μὴ πεπέφθαι, ὡς δύνασθαι θάτερον ἀπὸ θατέρου χωρίζεσθαι. Ὅταν δὲ τὸ προειρημένον Πνεῦμα κατασπώμενον ἐκπυρωθῇ, πεφθὲν ἐν τῇ κινήσει καὶ λεπτότερον γεγονὸς, τότε καλεῖται Πρηστὴρ· ὅτι τὸν πλησίον Ἀέρα συνεκπίμπρησιν ἐν τῇ ἐκπυρώσει, ὥστε καὶ χρωματίζειν αὐτόν. Ἐὰν δ᾽ ἐν αὐτῷ τῷ Νέφει πολὺ καὶ λεπτὸν ἐκθλιβῇ Πνεῦμα, τοῦτο γίνεται Κεραυνός. Ὁ μὲν γὰρ Τυφὼν παχεῖαν ἔχει τὴν ἔκκρισιν· λεπτοτέραν δὲ τοῦ Τυφῶνος, ὁ Πρηστήρ. ὁ δὲ Κεραυνὸς, ἔτι μᾶλλον λεπτοτέρου Πνεύματός ἐστιν ἔκκρισις.

Διαφέροι δ᾽ ἂν τῆς τὰς Βροντὰς καὶ Ἀστραπὰς ποιούσης ἐκκρίσεως, ὅτι κατὰ μικρὰ μὲν ἐκείνη καὶ σποράδην, καὶ ἐκ διαλειμμάτων γίνεται, καὶ ἀσθενῆ τὴν ἐκπύρωσιν ἔχει.

Ἡ δὲ τῶν Κεραυνῶν διαφέρει μὲν ἂν ἐκείνης καὶ τῇ λεπτότητι, οὐ μὴν ἀλλὰ καὶ τῷ πλήθει. Λεπτότατον γὰρ καὶ πολὺ Πνεῦμα καὶ ὁμοῦ φερόμενον καὶ ἰσχυρῶς ἐκπεπυρωμένον ὁ Κεραυνός. Ἂν μὲν οὖν λίαν εἴη τὸ Πνεῦμα λεπτὸν, οὐδ᾽ ἐπικαίῃ ταῦτα εἰς ἂν προσπίπτοι. Τὸ τοιοῦτον δὲ Πνεῦμα Κεραυνὸν Ἀργῆτα καλοῦσιν οἱ ποιηταί· ἂν δὲ μὴ οὕτως εἴη τὸ Πνεῦμα λεπτὸν, ἀλλὰ φερόμενον ἐπικαῖον φέρηται, ἄλλως κατονομάζεται. Ὁ μὲν οὖν Ἀργὴς καλούμενος, φθάνει δίιων ταῦτα, εἰς ἂν ἐμπέσοι, πρὸ τοῦ ἐπικαῦσαι ἢ ὅλως μελᾶναι αὐτά· ἅμα μὲν διὰ τὸ τάχος τῆς κινήσεως, ἅμα δὲ καὶ διὰ τὴν τῆς οὐσίας λεπτότητα, ταχεῖαν ποιούμενος τὴν διέξοδον. Ὁ δ᾽ ἄλλος Κεραυνὸς μὴ ὁμοίως ὑπάρχων λεπτὸς, βραδύτερόν τε φερόμενος, χρώννυσι μὲν τὰ, εἰς ἐμπελάζει, φθάνει δὲ καὶ οὗτος διελθὼν πρὸ τοῦ καῦσαι αὐτά. Διὸ καὶ τὰ μὲν ἀντιτυπήσαντα, πάσχει τί· οὐδὲν δὲ τοιοῦτον πάσχει τὰ μὴ ἀντιτυπήσαντα· οἷον Ἀσπίδος, ὁ μὲν χαλκὸς διὰ τὴν ἀντιτυπίαν ἐτάκη· τὸ δὲ ξύλον οὐκ ἐκαύθη· (διὰ μανότητα γὰρ ἔφθασε διηθηθὲν τὸ Πνεῦμα καὶ διελθόν.) καὶ ἱματίοις δ᾽ ἐμπεσὸν, οὐκ ἔκαυσε μὲν αὐτὰ, ἀλλ᾽ οἷον τρύχη ἐποίησεν.

Οἱ μὲν οὖν τῶν Κεραυνῶν Αἰθαλώδεις, οὕτως ἔχουσιν· οἱ δὲ, ταχέως διάττοντες, Ἀργῆτες οἶμαι κατ᾽ ἀντίφρασιν ὠνομάσθησαν. Καὶ οἱ μὲν ἑλικοειδῶς φερόμενοι Κεραυνοὶ, Ἑλικίαι λέγονται· οἱ δὲ κατασκήπτοντες εἴς τι μονομερῶς, οἱ τοιοῦτοι καλοῦνται Σκηπτοί. Ἀεὶ δὲ τοῖς Κεραυνοῖς ἀνεκπύρωτον Πνεῦμα συνακολουθεῖν τε καὶ προϊέναι αὐτῶν ὑπονοεῖται. Οἷς γὰρ ἂν ἐμπίπτειν μέλλει ὁ Κεραυνὸς, ταῦτα κινεῖται πρὸ τῆς πληγῆς. Ἀλλὰ καὶ ἃ δίισανταί ποτε γενομένης Βροντῆς, οὐ τῷ ψόφῳ δίισασθαι δοκεῖ· ἀλλὰ τῷ ἐκκρινομένῳ Πνεύματι τῶν Νεφῶν, ὃ διὰ τῆς πρὸς τὰ Νέφη πληγῆς τὸν ψόφον ποιεῖ. Τοῦτο γὰρ πατάξαν, διέσησε μὲν, οὐκ ἀπέκαυσε δέ.

Φέρεται δὲ κάτω πᾶν τὸ ἐκκρινόμενον Πνεῦμα· καίτοι φύσει τυγχάνον ἀναφερὲς ὡς θερμὸν, διὰ τὸ βιαίως ἐκθλίβεσθαι τῶν Νεφῶν, πυκνωμένων ἄνωθεν καὶ συστελλομένων καὶ πρὸς τοὐναντίον κάτω ποιουμένων τὴν ἔκκρισιν.

Οὕτω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὕτω γάρ τινα πάλιν βαρύτερα σώματα καὶ φύσει καταφερῆ, ἄνω φέρεται, οἷον ἐκπηδῶντα, διὰ τὸ κάτωθεν τὴν ἔκθλιψιν γίνεσθαι, ὥσπερ τὰ ἐκπυρηνιζόμενα βλέπομεν, καὶ ὕδατα πολλὰ κάτωθεν ἄνω φερόμενα.

# ΚΕΦΑΛΑΙΟΝ Κ΄.

## Περὶ τῶν ἐν τῷ Οὐρανῷ φαινομένων Φασμάτων.

Φαίνεταί ποτε συνιστάμενα Νύκτωρ, αἰθρίας οὔσης, πολλὰ Φάσματα ἐν τῷ Οὐρανῷ, οἷον αἱματώδη τινὰ χρώματα, Χάσματά τε καὶ Βόθυνοι. Τούτων δὲ πάντων αἰτιολογεῖται τοῦ Ὑπεκκαύματος ἡ ἐκπύρωσις. Ἐκπυρουμένου γὰρ τοῦ Ὑπεκκαύματος, καθὼς εἴρηται πρότερον, καὶ ποτὲ μὲν ἐοικυίας τῆς αὐτοῦ ἐκπυρώσεως καιομένῃ φλογί· ποτὲ δὲ Δαλοῖς ἢ Ἄστρασι φερομένοις, οὐδὲν ἄτοπον, τοιούτων ἐξάψεων ἐν αὐτῷ γινομένων, ποικίλα χρώματα φαίνεσθαι.

Διὰ γὰρ πυκνοῦ Ἀέρος ὑποφαινόμενον Φῶς, ἢ τοῦ Ἀέρος ὄντος μᾶλλον πυκνοῦ, τοῦ Φωτὸς δ᾽ ἐλάττονος· ἢ πλείονος μὲν τοῦ Φωτὸς, τοῦ δ᾽ Ἀέρος ἧττον πυκνοῦ, φαντασίαν ποιήσει Χρωμάτων παντοδαπῶν· μάλιστα μέντοι τοῦ φοινικοῦ τε καὶ πορφυροῦ. Ταῦτα γὰρ τὰ Χρώματα γινόμενα φαίνεται μᾶλλον ἐκ τοῦ πυρώδους τε καὶ λευκοῦ, μιγνυμένων τῷ μέλανι κατὰ τὰς ἐπιπροσθήσεις. Οὕτω γοῦν καὶ οἱ Ἀστέρες ἀνίσχοντες καὶ δυόμενοι, καύματος ὄντος, φαίνονται φοινικοῖ. Διὰ γὰρ τοῦ Ἀέρος περιπυκνουμένου καὶ οὐχ ὁμοίως ὄντος διαφανοῦς ὁρώμενοι, λευκοὶ ὄντες, φαίνονται φοινικοῖ, μιγνυμένου τοῦ περὶ τὸν Ἀέρα μέλανος τῇ λευκότητι τῶν Ἀστέρων, κατ᾽ ἐπιπρόσθησιν. Τοιοῦτοι δὲ καὶ διὰ Καπνοῦ ὁρώμενοι φαίνονται· ὅλως τε καὶ τὸ πυρῶδες καὶ τὸ λευκὸν διὰ τοῦ μέλανος ὁρώμενον ἢ ἐν τῷ μέλανι, πολλὰς δείκνυσι Χρωμάτων διαφορὰς, κατὰ τὴν ποικίλην μίξιν αὐτῶν. Καὶ τὸ χρῶμα γὰρ τῆς Φλογὸς ἄλλοτε ἀλλοῖον φαίνεται διὰ τοῦ Καπνοῦ. Ὑγροτέρου μὲν γὰρ ὄντος τοῦ Καπνοῦ, φαίνεται τὸ σῶμα τῆς Φλογὸς Ἀλουργόν· φοινικοῦν δὲ, τοῦ Καπνοῦ τυγχάνοντος ἧττον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑγροῦ. Τοῦτον μὲν οὖν τὸν τρόπον τὰ διάφορα φαίνεται Χρώματα.

Τὰ δέγε Χάσματα καὶ οἱ Βόθυνοι, μίξει μὲν καὶ ταῦτα Λευκοῦ καὶ Μέλανος γίνεται, πλὴν οὐ διὰ τοῦ Μέλανος ὁρωμένου τοῦ Λευκοῦ, ἀλλ᾽ ἐν τῷ Λευκῷ φαινομένου τοῦ Μέλανος. Ὅταν γὰρ ὑπό τινος Μέλανος ἢ Κυανοῦ διακόπτηται τοῦ Φωτὸς ἡ συνέχεια, τότε βάθος δοκεῖ τι φαίνεσθαι· ὄντων μὲν ἐν τῷ αὐτῷ ἐπιπέδῳ καὶ μὴ ἀφισαμένων ἀλλήλων τοῦ Λευκοῦ καὶ τοῦ Μέλανος, ἀλλ᾽ ἴσον ἐξ ἡμῶν ἀφεστηκότων καὶ ἀμφοτέρων, ἐγγυτέρω δὲ δοκοῦντος εἶναι τοῦ Λευκοῦ· τοῦ δὲ Μέλανος, ἐν βάθει καὶ πορρωτέρω. Ἐπειδὴ γὰρ τὸ Φῶς καὶ τὸ Λευκὸν μᾶλλον τὴν ὄψιν κινεῖ, διὰ τοῦτο ταύτης ἐγγυτέρω δοκεῖ· τὸ δὲ Μέλαν οὐχ ὁμοίως τὴν ὄψιν κινοῦν, πλέον ἀφεστάναι ταύτης νομίζεται. Ὅταν μὲν οὖν ἐν βάθει μᾶλλον φαίνεται τὸ Μέλαν, διὰ τὸ εἶναι πλεῖον τοῦ Λευκοῦ, τότε λέγεται Βόθυνος· ὅταν δ᾽ ἀνεωγμένον φαίνηται διὰ τὸ εἶναι πλέον τὸ Φῶς, τότε καλεῖται Χάσμα.

Ἐκ δὴ τῆς τοιαύτης τοῦ Ἀέρος συστάσεως, ἤγουν τῶν Βοθύνων τε καὶ Χασμάτων, καὶ Δαλοὶ πολλάκις ἐξέπεσον. Συνιὼν μὲν γὰρ ὁ Ἀὴρ καὶ πυκνούμενος καὶ διὰ τοῦτο μελαινόμενος, Χάσματος καὶ Βοθύνου φαντασίαν παρέχεται. Ὅταν δὲ συγκριθῇ μᾶλλον ὁ μελαινόμενος Ἀὴρ, τότε τὸ ἐναπολαμβανόμενον ἐν αὐτῷ θερμὸν, διὰ τὴν εἰς ὀλίγον συστολὴν καὶ τὴν κίνησιν, Πῦρ γενόμενον, μετὰ βίας ἐκκρίνεται.

Ἡμέρας μὲν οὖν οὐδὲν τῶν εἰρημένων Φασμάτων φαίνεται, διὰ τὸ τὸν Ἥλιον τάς τε τοιαύτας λύειν συστάσεις καὶ τὰς φαντασίας ποιεῖν ἀφανεῖς. Νύκτωρ δὲ γίνονται καὶ Χάσματα καὶ Βόθυνοι, καὶ μίξεις Χρωμάτων πολυειδῶν. Ὁρᾶται δὲ μᾶλλον τὸ Φοινικοῦν. Τὰ δὲ λοιπὰ τῶν Χρωμάτων, διὰ τὴν πρὸς τὸ σκότος ὁμοιότητα, τὴν ὄψιν πολλάκις διαλανθάνουσιν, οἷα δὴ τὸ Ἀλουργὸν καὶ τὸ Πράσινον. Ταῦτα γὰρ ὁμόχροά πως τῷ Μέλανι. Τῶν μέντοι ὁρωμένων Φασμάτων, τὰ μέν ἐστιν, Ἑῷα· τὰ δὲ, Ἑσπέρια, τὰ δ᾽ Ἀμφιφαῆ· σπανίως δὲ Βόρεια καὶ Νότια· Πάντα

δ᾽ ἀβέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δ' ἀβέβαια· καὶ οὐδέν ποτε τούτων ἀεὶ φανερὸν καὶ κατεστηριγμένον ἱσέρηται.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

### Περὶ Ἅλω, καὶ πρῶτον περὶ Ὁράσεως.

Οὐ μόνον διὰ πυκνοῦ καὶ ἀχλυώδους Ἀέρος ὑποφαινόμενον Φῶς, φαντασίαν παρέχει Χρωμάτων ἡμῖν, τῆς τοῦ Ἀέρος πυκνότητός τε καὶ ζοφερότητος ἐπιπροσθούσης τὸ Φῶς, καὶ μὴ ἐώσης ὁρᾶσθαι καθαρὸν καὶ εἰλικρινὲς, ἀλλὰ συντεθολωμένον καὶ συγκεχυμένον ἐκ τῆς τοιαύτης κατ' ἐπιπρόσθησιν ἐπιμιξίας· ἀλλὰ καὶ Ἀνακλάσεις δεχόμενος ὁ Ἀὴρ, αἴτιος φαντασίας Χρωμάτων, ἤδη δὲ καὶ Σχημάτων καθίσταται· κατὰ μὲν τοὺς ἐκ Μαθημάτων ἀνακλωμένης τῆς Ὄψεως ἀπὸ τοῦ παχυτέρου Ἀέρος καὶ σύστασιν ἔχοντος ἐπί τι τῶν φωτίζειν πεφυκότων, καὶ κατὰ τὴν ποιὰν ἢ σύστασιν ἢ σχέσιν τοῦ Ἀέρος καὶ τοῦ Φωτὸς, ἤδη δὲ καὶ αὐτῆς τῆς ὁρώσης Ὄψεως τὴν πρός τε τὸν συνεστηκότα Ἀέρα καὶ πρὸς τὸ Φῶς σχέσιν, τῆς τῶν Χρωμάτων τε καὶ Σχημάτων φαντασίας ἐκτελουμένης· κατὰ δὲ τοὺς Φυσικοὺς γινομένης τοῦ Φωτὸς Ἀνακλάσεως πρὸς τὴν Ὄψιν, οὐ μὴν τῆς Ὄψεως πρὸς τὸ Φῶς.

Οἱ μὲν γὰρ ἐκ τῶν Μαθημάτων ἀκτῖνας φασί τινας ἐκχεομένας τῶν Ὀφθαλμῶν καὶ προσπιπτούσας τῷ ὁρατῷ, τοῦ ὁρᾶν αἰτίας εἶναι ἡμῖν· αὐτὰς δὴ ταύτας ἀπὸ τῶν Κατόπτρων καὶ πάντων τῶν τοιούτων ἀνακλωμένας ἐπὶ τὸ ὁρατὸν πρὸς ἴσας γωνίας τὴν αἰτίαν πάλιν ἡμῖν παρέχειν τοῦ οὕτως ὁρᾶν τὸ ὁρώμενον.

Τοῖς δὲ Φυσικοῖς οὐ δοκεῖ δι' ἀκτίνων ἐκπομπῆς τελεῖσθαι τὴν Ὅρασιν, ἀλλὰ τῇ εἰσδοχῇ τῆς τῶν ὁρωμένων ποιότητος. Ὁρᾶσθαι γάρ φασι τὰ μὲν ἐπ' εὐθείας ὁρώμενα, τῷ πάσχειν ὑπὸ τοῦ ὁρωμένου Χρώματος τὸ μεταξὺ τοῦ ὁρωμένου καὶ τῆς ὄψεως Διαφανὲς, καὶ μεταδιδόναι τῇ Ὄψει τοῦ πάθους ἔσω καὶ ταύτῃ Διαφανεῖ. Τὰ δὲ κατ' Ἀνάκλασιν ὁρᾶσθαι λεγόμενα οὕτως ὁρᾶσθαι, τῷ γίνεσθαι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεσθαι πρῶτον τὴν τȣ̃ ὁρωμένȣ ἔμφασιν ἐν τοῖς Ἐνόπτροις καὶ πᾶσιν Ἐνοπτρικοῖς, διὰ τὴν ποιὰν σχέσιν τȣ̃ ὁρατȣ̃ πρὸς τὸ Ἔνοπτρον· γίνεσθαι δὲ τὴν τȣ̃ ὁρατȣ̃ ἔμφασιν ἐν τῷ Ἐνόπτρῳ διὰ τȣ̃ Διαφανȣ̃ς, ὅπερ ἐστὶ μεταξὺ τȣ̃ Ἐνόπτρȣ τε καὶ τῆς Ὄψεως, πάσχοντος τȣ̃ τοιȣ́τȣ Διαφανȣ̃ς ὑπὸ τῆς τȣ̃ ὁρωμένȣ χροιᾶς, καὶ τȣ̃ πάθȣς μεταδιδόντος τῷ Ἐνόπτρῳ, διαφανεῖ κἀκείνῳ τυγχάνοντι· εἶθ᾽ ȣ̔́τως ἐκ τȣ̃ Ἐνόπτρȣ πρὸς τὴν ὄψιν ἥκειν τὴν εἰρημένην ἔμφασιν, δι᾽ αὐτȣ̃ πάλιν τȣ̃ μεταξὺ τȣ̃ Ἐνόπτρȣ καὶ τῆς ὄψεως Διαφανȣ̃ς. Δύνασθαι γὰρ τὸ Ἔνοπτρον διὰ λειότητα καὶ στιλπνότητα, μὴ μόνον ἑτοίμως δέχεσθαι τὸ μεταδιδόμενον αὐτῷ χρῶμα τȣ̃ ὁρατȣ̃, ἀλλὰ καὶ φυλάσσειν καὶ ἀντιμεταδιδόναι τῷ μεταδόντι πρώτως Διαφανεῖ.

Ὅτι μὲν ἓν αὐγοειδὲς καὶ φωτοειδὲς Πνεῦμα τῶν Ὀφθαλμῶν ἀποκρίνεται, μονονȣχὶ βοᾷ τρανῶς καὶ αὐτὰ τὰ Νεῦρα τὰ διαπέμποντα πρὸς τȣ̀ς Ὀφθαλμȣ̀ς τὸ τοιȣ̃τον Πνεῦμα ἐπιρρέον ἐκ τȣ̃ Ἐγκεφάλȣ κατὰ συνέχειαν. Καὶ γὰρ συμπάντων τῶν ἐν τῷ σώματι Νεύρων ταῦτα μόνα κοῖλα τυγχάνει καὶ σωληνοειδῆ. Διὰ τȣ̃το καὶ Πόρȣς ὠνόμασεν αὐτὰ ὁ Ἡρόφιλος.

Ὅτι δ᾽ ȣ̓κ ἂν τὸ τῆς Ὄψεως δύναιτο Φῶς αὐτὸ καθ᾽ αὐτὸ μόνον φθάνειν καὶ περιλαμβάνειν ἅπαντα τὰ ὁρώμενα μὴ βοηθȣ́μενον καὶ οἱονεὶ χειραγωγȣ́μενον ὑπὸ τȣ̃ ἔξω Φωτὸς, δῆλον, ἐκ τȣ̃ μηδὲ βλέπειν ἀνεμποδίστως ἡμᾶς, ὅτε τὸ τοιȣ̃τον ἄπεστι Φῶς. Εἰ γὰρ οἷόν τε ἦν τὸ ὀπτικὸν ἀπαύγασμα τὸν Ἀέρα διατέμνειν, ȣ̓δὲν ἂν ἧττον καὶ σκότȣς βαθέος ἐβλέπομεν· ὥσπερ εἰ τὸ ἔξωθεν Φῶς διὰ τȣ̃ ἀέρος τὴν τȣ̃ ὁρατȣ̃ ποιότητα πρὸς τὸν Ὀφθαλμὸν διεβίβαζε, περιττὴ τῷ Ὀφθαλμῷ δήπȣθεν ἦν ἡ τȣ̃ σωληνοειδȣ̃ς Νεύρȣ κατασκευὴ, μηδενὶ τῶν ἄλλων Αἰσθητηρίων τοιȣ́τȣ Νεύρȣ προσόντος ἑωρᾶμέν τε μὴ κατ᾽ εὐθὺ μόνον, ἀλλ᾽ ἤδη καὶ τῶν πλαγίων τε καὶ τῶν ὄπισθεν, τῶν ἄνω τε καὶ τῶν κάτω, διαβιβαζομένȣ πανταχόθεν τȣ̃ ὁρατȣ̃ πρὸς τὸ Ὁρατήριον διὰ τὴν τȣ̃ ἀέρος συνέχειαν· ὥσπερ αὐτὸ ἀκȣστὸν πρὸς τὸ Ἀκȣστήριον, καὶ τὸ ὀσφραντὸν πρὸς τὸ Ὀσφραντήριον διαβιβάζεται. Ἀλλ᾽ ȣ̓δὲ

τȣ̃

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῦ ὁρατῦ τὸ μέγεθος ἐγινώσκομεν. Πῶς γὰρ ὄρυς μεγίςυ τυχὸν ἡ κατὰ τὸ πηλίκον ἐμφέρεια ἕως αὐτῦ διαβιβαθεῖσα τῦ ὀφθαλμῦ τοσῦτον μέγεθος εἴασε διαγνῶναι ἡμᾶς· καὶ ὐκ ἂν ἐπικαλύψασα τὸ ὄμμα, τῆς τοιαύτης ἀπεςέρησε διαγνώσεως· μὴ δυνηθέντος αὐτῦ τῷ τοσύτῳ συμπαραταθῆναι μεγέθει; Πῶς δὲ καὶ τὸ πλῆθος διεγινώσκετο τῶν ἔγγιςα παρακειμένων ἀλλήλοις ὁρατῶν, καὶ ὐκ ἂν ἐπηκολύθει τῇ παραθέσει σύγχυσις τῶν ὁρωμένων Χρωμάτων τε καὶ Σχημάτων, ὡς ὅλων διόλυ μεταδιδομένων τῷ περιέχοντι; Ἄλογον γὰρ τὸ κατὰ μῆκος μὲν πάσχειν τὸ μεταξὺ τῦ ὁρατῦ καὶ τῆς ὄψεως Διαφανὲς, ἀπαθὲς δὲ μένειν αὐτὸ κατὰ πλάτος, ὡς μὴ τῆς αὐτῆς ὅλον φύσεως ὄν. Πῶς δὲ πάλιν τὴν ἐξ ἡμῶν τῦ ὁρωμένυ ἀπόςασιν διεκρίνομεν ποσῶς, καὶ ὐκ ἂν ἐδόκυν ἔγγιςα τυγχάνειν ἡμῶν πάντα τὰ ὁρατὰ, τῆς αὐτῶν ἐμφερείας ἐπικειμένης τῷ ὄμματι;

Καθ᾽ αὑτὴν μὲν ὖν ἡ Ὄψις ὐκ ἰσχύει μέχρι πολλῦ διήκειν· ἐμπίπλυσα δὲ τῷ περιέχοντι Διαφανεῖ, καὶ τῇ πρώτῃ προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη, διαδίδωσιν ἄχρι πλείςυ συνεχῶς ἑαυτὴν, μέχρις ἂν καταλάβοι τὸ ὁρατὸν, συνεκλειπομένη τῷ περὶ τὸν μεταξὺ ἀέρα Φωτὶ, καθὰ συγγενεῖ. Ὅτε γὰρ ἀὴρ εὐδιάχυτός τε καὶ εὐαλλοίωτος, ὡς ὐδὲν ἕτερον, καὶ ἡ ὄψις καθαρῶς ὑπάρχει Φωτοειδής. Καὶ ὅπερ τὸ τῦ Λύχνυ Φῶς ἐν οἴκῳ δρᾷ σκοτεινῷ· (τῇ πρώτῃ γὰρ εἰσόδῳ τὸν ἐν αὐτῷ Ἀέρα Φωτίζει ὁμῦ.) τῦτο δὴ καὶ τὴν ὄψιν νοητέον ποιεῖν ἐν τῷ μεταξὺ ταύτης τε καὶ τῦ ὁρατῦ πεφωτισμένῳ ἀέρι. Τῇ πρώτῃ γὰρ προσβολῇ τῦτον ἀλλοιῦν ἰσχύει, δυναμυμένη τῷ ἐκτὸς Φωτὶ καὶ συνεργῦσα τύτῳ διὰ τὴν οἰκείωσιν. Πολλὴν γὰρ ὅτι τὸ ὀπτικὸν Φῶς τὴν οἰκείωσιν ἔχει πρὸς τὸ ἐκτὸς, κἀκεῖνο πρὸς τὸ τῆς Ὄψεως· ὡς ἑκάτερα τὰ Φῶτα ζητεῖν ἄλληλα, καὶ ὑπὸ τῦ ἰσχυροτέρυ θάτερον ἕλκεσθαι μὴ ἀντιβαῖνον ὅλως· ἀλλὰ μᾶλλον πρὸς τὴν ὁλκὴν ἐπειγόμενον καὶ πρὸς τὸ συγγενὲς ἀποτεινόμενον φυσικῶς. Διά τοι τῦτο καὶ Νυκτὸς ἀφεγγῦς ὁρᾶται ἡμῖν ὁ Πυρσὸς, κἂν ὅτι πόῤῥω εἴη· μόνον εἰ μὴ ἐπιπροσθοῖτο ἡ ὄψις ὑπότινος ςε-

ρεωτέρου σώματος ἀντιφράττοντος, ἢ τὰ τοῦ τῆς γῆς σφαιρώματος ἐμποδίζοι κυρτώματα· ὅταν οὐχ ὑπερβαίνῃ ταῦτα ἡ ἔξαψις τοῦ Πυρσοῦ. Διὰ τοῦτο καὶ πᾶν λαμπρὸν καὶ φωτοειδὲς, πόῤῥωθέν τε ὁρᾷν ἰσχύομεν, καὶ ἑτοιμότερον, ἤ τι ἕτερον· ὡς τοῦ μὲν ἐκκαλουμένου τὴν ὄψιν πρὸς ἑαυτό· τῆς δὲ, πρὸς τοῦτο σπευδούσης· ὡς ἐφιεμένης τοῦ συνεῖναι αὐτῷ. Διὰ τὴν τοιαύτην οὖν τῶν φώτων συγγένειαν, τοῦ ὀπτικοῦ δηλονότι καὶ τοῦ ἐκτὸς, καὶ τὴν ἄκραν αὐτῶν οἰκείωσιν, καὶ τῆς ἀλληλουχίας ὑπερβάλλουσαν ἔφεσιν, καὶ πάντα τὰ πεφωτισμένα, κατ᾽ ἄῤῥητον ὁρᾶται τὴν ταχυτῆτα, τοῦ ὀπτικοῦ ὀργάνου τυγχάνοντος ἀβλαβοῦς, καὶ τοῦ διαστήματος συμμέτρου· ὁμοίως συμμέτρου καὶ τοῦ κινήματος, εἴπερ ἐστι, τοῦτ᾽ ἀέρος καθαρωτέρου καὶ λεπτοτέρου. Δεῖ γὰρ ὅτι καὶ τούτων πρὸς τὴν τῆς ὄψεως ἀκραιφνεστέραν ἐνέργειαν. Ἀλλὰ καὶ οἱ πρὸς τὸ ἡλιακὸν φῶς, καὶ εἴ τι περιέχον λαμπρὸν καὶ ἔκλευκον διατρίψαντες ἐπὶ πλέον ἢ ὅσον δεῖ, καὶ μᾶλλον ἢ ὡς δεῖ, τὴν ὅρασιν βλάπτονται· διακρινομένου τοῦ ὁρατικοῦ φάους ὑπὸ τοῦ ἰσχυροτέρου καὶ μείζονος, ἕλκοντος, ὡς εἴρηται, τὸ ἧττον καὶ ἀσθενέστερον· ἐφιέμενον δὴ καὶ αὐτὸ τῆς οἷον ἰδίας ὁλότητος, καὶ πρὸς αὐτὴν ἠπειγμένως ἀποτεινόμενον.

Οὕτω τοίνυν κατὰ Συναύγειαν ἐνεργούσης τῆς Ὄψεως, ἰστέον ὅτι τῶν ὁρωμένων, τῶν μὲν Καθ᾽ ὑπόστασιν ὄντων, τῶν δὲ Κατ᾽ ἔμφασιν· καὶ τὰ ἐν Οὐρανῷ φαινόμενα τοῦτον ἔχει τὸν τρόπον. Καθ᾽ ὑπόστασιν μὲν γάρ εἰσιν, οἵ, τε Διάττοντες καὶ οἱ Κομῆται, καὶ τὰ διάφορα Σέλα· Κατ᾽ ἔμφασιν δὲ, Ἅλως τε, καὶ Ἶρις, καὶ Ῥάβδοι, καὶ τὰ παραπλήσια. Καὶ γὰρ φαντασίαν Χρωμάτων τε καὶ Σχημάτων πυλυειδῶν δίδωσιν ἡμῖν ὁ Ἀὴρ, δεχόμενος Ἀνακλάσεις τοῦτε Φωτὸς καὶ τῆς Ὄψεως· ἐπείπερ ἡ Ὄψις ὅταν ἐνεργῇ, μετὰ τοῦ Φωτός ἐστι καὶ σὺν τῷ Φωτὶ, Φῶς οὖσα καὶ αὐτὴ καθὼς δεδήλωται.

Καὶ τῆς Ἅλω τοίνυν αἴτιον ἡ τοιαύτη Ἀνάκλασις λέγεται. Ἀνακλᾶται γὰρ ἡ Ὄψις μετὰ τοῦ Φωτὸς, ἀπό τε ὕδατος καὶ ἀέρος πυκνοῦ καὶ πάντων τῶν ἐχόντων

λείαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λείαν τὴν ἐπιφάνειαν. Ὁπόταν οὖν Ἀτμίδος ἀιενεχθείσης καὶ συνισαμένης εἰς Νέφος, ὁμαλὴς ἡ σύςασις γένηται καὶ μικρομερὴς, τουτέστιν, ἐκ μορίων συνεςηκυῖα μικρῶν· ὑπερφέρηται δὲ τῆς τοιαύτης συςάσεως ὁ Ἥλιος, ἢ ἡ Σελήνη, ἢ ἄλλος τις Ἀςὴρ τῶν λαμπρῶν· τὸ μὲν κατὰ τὴν κάθετον τοῦ ὑπερφερομένου σώματος γίνεται μανώτερον καὶ λεπτότερον, ἀναγκαίως ὑπὸ τῆς κινήσεως τοῦ Ἀςέρος διακρινόμενον· τὸ δ' ἐντεῦθεν, οὐδέν τι πάσχει τοιοῦτον. Ἐξ ἴσου δὲ πάντοθεν περὶ τὴν κάθετον γινομένης τῆς διακρίσεως, διὰ τὴν ὁμαλότητα τῆς συςάσεως, ἀνάγκη τὸ πέρας τῆς ἐπιεικῶς διακεκριμένης Ἀτμίδος γίνεσθαι Κύκλον, ἀφ' οὗ τὸ ἐπέκεινα πᾶν, μέλαν μέν ἐςι διὰ πύκνωσιν· ὁμαλὲς δ' ὂν καὶ μικρομερὲς, ἴσχει κατὰ τὴν τοῦ Κύκλου περιφέρειαν Κάτοπτρα· μικρὰ τόσον, ὡς εἶναι κατ' αἴσθησιν ἀμερῆ· καὶ πυκνὰ τόσον, ὡς ἔχεσθαι ἀλλήλων, καὶ τὸ ἐξ ἁπάντων αὐτῶν δοκεῖν ἓν συνεχές. Πρὸς ταῦτα γοῦν τὰ Κάτοπτρα προσπεσοῦσα μετὰ τοῦ Φωτὸς ἡ Ὄψις, καὶ ἀνακλασθεῖσα πρὸς τὸν ὑπερκείμενον Ἀςέρα, τὴν τῆς Ἅλω φαντασίαν ποιεῖ.

Ἐν γὰρ τοῖς εἰρημένοις Ἐνόπτροις μόνου τοῦ Χρώματος, ἀλλ' οὐχὶ καὶ τοῦ Σχήματος ἔμφασις γίνεται. Πᾶν μὲν γὰρ Σχῆμα διαιρετόν· τὰ τοιαῦτα δ' Ἔνοπτρα, πρὸς αἴσθησιν ἀδιαίρετα. Δυνατὸν δ' οὐκ ἐςιν ἐν ἀδιαιρέτοις ἐμφαίνεσθαι τὸ διαιρετόν. Ὅθεν τὸ μὲν ἐμφαινόμενον τῷ Κύκλῳ λευκὸν ἐν τῇ Ἅλῳ, ὁ Ἀςήρ ἐςι· καθ' ἕκαςον ὁμοίως τῶν ἀλλήλοις συγκειμένων Ἐνόπτρων, χωρὶς τοῦ Σχήματος ἐμφαινόμενος. Περὶ δὲ τοῦτον τὸν Κύκλον τὸν φαινόμενον λευκὸν ἡ ἐχομένη Περιφέρεια μελαντέρα φαίνεται διὰ τὴν ἐκείνου λευκότητα. Ἴσως δὲ καὶ διὰ τὸ ἔχειν ἔμφασιν καὶ μέλανός τινος ἀπὸ τῆς γῆς τὴν τοιαύτην σύςασιν· ἐπεὶ καὶ πρὸς τῇ γῇ μᾶλλον γίνεται αὕτη· διότι τε νηνεμώτερος ὁ τόπος ὁ προσγειότερος, καὶ τὸ Πνεῦμα κωλύειν δύναται τὴν τῆς Ἀναθυμιάσεως σύςασιν, ἐν ᾗ τὰ Κάτοπτρα τὰ τὸ χρῶμα τοῦ Ἀέρος ἐμφαίνοντα. Κἂν μὴ καθαρῶς ἐμφαίνωσιν αὐτὸ, μηδ' εἰλικρινῶς, οὐδὲν θαυμαστόν· ἐπείπερ οὐ πάντοτε ὁποῖόν ἐςι τὸ Χρῶμα τοῦ ὁρα-

τοῦ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τȣ, τοιȣτον κἂν τοῖς Ἐνόπτροις ἐμφαίνεται. Δυνατὸν γὰρ λαμπρȣ τȣ ὁρωμένȣ τυγχάνοντος, ἀλλοίȣ γενέσθαι Χρώματος ἔμφασιν· ἢ διὰ τὸ μὴ λαμπρὸν εἶναι τὸ Ἔνοπτρον, κἀντεῦθεν διὰ τῆς μίξεως τȣ οἰκείȣ χρώματος συνθολȣν τὸ Χρῶμα τȣ ὁρατȣ· ἢ καὶ διὰ τὴν τῆς ὁρώσης ὄψεως ἀσθένειαν.

Φαίνεται δ' ἡ Ἅλως καὶ Νύκτωρ καὶ μεθ' Ἡμέραν· ποτὲ μὲν Κύκλος ὁλόκληρος, ὅταν καὶ ἡ σύϛασις τύχῃ παντελῶς ὁμαλής· ποτὲ δὲ τμῆμα Κύκλȣ· ὅταν δηλονότι μηδὲ κατὰ πᾶν μέρος ἡ τοιαύτη σύϛασις ὁμαλής.

Ἐνίοτε μὲν ȣν ἡ Ἅλως διασπᾶται· ἐνίοτε δὲ μαραίνεται· ὅτε δὲ μᾶλλον συνίϛαται. Καὶ ἡ μὲν ἐπὶ πλέον τῆς Ἅλω σύϛασις, ὕδατος τυγχάνει σημεῖον· (δῆλον γὰρ ὅτι πυκνȣται μᾶλλον τὸ Νέφος.) ἡ δὲ μάρανσις, εὐδίας τεκμήριον· (ἐπικρατεῖται γὰρ ἡ σύϛασις ὑπὸ τȣ ἐν αὐτῇ θερμȣ καὶ ξηρȣ, καὶ ȣτω μαραίνεται.) ἡ δὲ διάσπασις, Πνεύματος δήλωσις· ἤδη γὰρ ἐν ἐκείνῳ τῷ τόπῳ Πνεῦμα πνεῖ τὸ ποιῆσαν τὴν τῆς συϛάσεως διάσπασιν· κἂν ȣπω ἔφθασε πρὸς τὴν γῆν. Διὸ κἀντεῦθεν καὶ ὁ Ἄνεμος, ὅθεν ἤρξατο διασπᾶσθαι ἡ σύϛασις. Ἀλλ' ȣτω μὲν σημειώδης ἡ Ἅλως, ὅταν περὶ τὸν Ἥλιον ἢ τὴν Σελήνην συϛῇ.

Περὶ δὲ τȣς ἄλλȣς Ἀϛέρας συνιϛαμένη, σημειώδης ȣκ ἔϛιν· ἐπειδὴ περὶ αὐτȣς καὶ ἀπὸ λεπτῶν συϛάσεων καὶ ȣπω πεπυκνωμένων, ἡ Ἅλως δύναται γίνεσθαι. Περὶ δὲ τὸν Ἥλιον ἢ τὴν Σελήνην, ȣκ ἂν λεπτὴ τοιαύτη γένοιτό ποτε σύϛασις. Φθάνει γὰρ διαλυθῆναι διὰ τὴν τῶν Φωϛήρων θερμότητα. Διά τοι τȣτο καὶ περὶ τὸν Ἥλιον ἐλαττονάκις ἡ Ἅλως συνίϛαται. Θᾶττον γὰρ ὁ Ἥλιος δύναται διαλύειν τὰς τȣ ἀέρος συϛάσεις τε καὶ πυκνώσεις, θερμότατος ὤν.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

## Περὶ Ἴριδος.

Ὥσπερ τῆς Ἅλω αἴτιον ἐλέγετο ἡ Ἀνάκλασις, οὕτω δὴ καὶ τῆς Ἴριδος τὸ αὐτὸ τοῦτο αἴτιον εἶναι λέγεται. Κἀκεῖ μὲν ἀπὸ πεπυκνωμένου ἀέρος γίνεσθαί φασι τὴν Ἀνάκλασιν· ἐνταῦθα δ' ἀπὸ Νέφους Ἀρχομένου γίνεσθαι ὕδατος, καὶ ἤδη καθεστηκότος ὑγροῦ. Κἀκεῖ μὲν πάλιν περὶ τὸν Ἥλιον ἢ τὴν Σελήνην ἢ ἄλλον τινὰ τῶν λαμπρῶν Ἀστέρων, ἡ ποιοῦσα τὴν Ἅλω σύστασις. Ἐνταῦθα δὲ τὸ Νέφος ποιοῦν τὴν Ἶριν ἐξ ἐναντίας ἔχει τὸν Ἥλιον. Ὅταν τοίνυν ἤδη μὲν εἰς Ψεκάδας γίνηται τοῦ Νέφους μεταβολή, μήπω δὲ ὕῃ· ἐὰν ἐξ ἐναντίας τοῦδε τοῦ Νέφους ὁ Ἥλιος εὑρεθῇ, τὰ μικρὰ καὶ πρὸς αἴσθησιν ἀδιαίρετα μόρια τοῦ Νέφους, ἐξ ὧν συνισταμένων γίνεται ἡ Ψεκάς, Ἔνοπτρα γίνονται τῇ ὄψει, τὸ τοῦ Ἡλίου χρῶμα ταύτῃ δεικνῦντα. Ἐν γὰρ τοῖς τοιούτοις Ἐνόπτροις, ὥσπερ καὶ πρότερον εἴρηται, τὸ Χρῶμα μόνον, ἀλλ' οὐχὶ καὶ τὸ Σχῆμα τοῦ ὁρωμένου ἐμφαίνεται. Διότι πᾶν μὲν Σχῆμα μέρεσιν ὑπάρχει διαληπτόν. Ἕκαστον δὲ τῶν τοιούτων Ἐνόπτρων ἀμερὲς ὡς πρὸς αἴσθησιν. Ἐπεὶ οὖν ἀναγκαῖον ἔμφασίν τινα γίνεσθαι ἐν αὐτῷ Ἐνόπτρῳ γε ὄντι· δυνατὸν δ' οὐκ ἔστι τοῦ Σχήματος ἔμφασιν γίνεσθαι· λείπεται τὸ Χρῶμα μόνον ἐμφαίνεσθαι. Ἑκάστου δὲ τῶν τοιούτων Ἐνόπτρων καθ' αὑτὸ τυγχάνοντος ἀοράτου διὰ μικρότητα· πάντων δὲ τούτων ἀλληλουχουμένων καὶ συνερχομένων ὁμοῦ πρὸς ἑνὸς συνεχοῦς ἀποτελεσμὸν διὰ πυκνότητα παραθέσεως, κἀντεῦθεν ὁρατοῦ πεφηνότος τοῦ ἐξ αὐτῶν ἀποτελουμένου οἷα μεγέθους· ἀνάγκη καὶ τοῦ δι' αὐτῶν ἐμφαινομένου Χρώματος μέγεθος φαίνεσθαι. Ἕκαστον γὰρ τῶν μικρῶν τούτων Ἐνόπτρων, ὥσπερ εἰς τὴν πηλικότητα τοῦ μεγέθους τῷ ὅλῳ συντελεῖ συνεχεῖ, ἐν ᾧ ἡ ἔμφασις γίνεται σύμπασα· τοιουτοτρόπως καὶ εἰς τὴν τοῦ ὅλου Χρώματος φαντασίαν συνεισφέρει τὸ ἐμφαινόμενον ἐν αὐτῷ.

Ὁπόταν οὖν εἰς Ὕδωρ μεταβάλλον τὸ Νέφος ἐξ ἐναντίας ἔχῃ τὸν Ἥλιον. ἡ δ' ὁρῶσα Ὄψις τυγχάνῃ μεταξὺ τοῦ Ἡλίου τε καὶ τοῦ Νέφους, ἐντὸς δὴ τοῦ Νέφους κοίλου τε καὶ περιφεροῦς· τότε ἡ Ὄψις ἀνακλωμένη μετὰ τοῦ Φωτὸς ἀπὸ τῶν ἐν τῷ νέφει γινομένων ἤδη Ψεκάδων ἐπὶ τὸν Ἥλιον, καὶ δι' αὐτῶν δὴ τούτων ὥσπερ Ἐνόπτρων, τὴν ἡλιακὴν ὁρῶσα χροιὰν, τὴν Ἶριν φαντάζεται· καὶ τὴν μὲν πρώτην καὶ ἀνωτέρω Περιφέρειαν αὐτῆς δὴ τῆς Ἴριδος ὁρᾷ Φοινικῆν. Φοινικοῦν γὰρ φαίνεται τὸ λαμπρὸν καὶ λευκὸν διὰ τοῦ μέλανος ὁρώμενον ἢ ἐν τῷ μέλανι. Μέλαν οὖν τυγχάνον τὸ Νέφος ἐν ᾧ ἡ Ἶρις (ἤδη γὰρ εἰς ὕδωρ μεταβάλλον ἐστί.) δείκνυσι διὰ τῶν σμικροτάτων αὐτοῦ μορίων ὡς δὴ Ἐνόπτρων μελάνων φοινικοῦν τὸ Χρῶμα τὸ ἡλιακὸν, λαμπρὸν μὲν ὂν καὶ λευκόν· τῇ δὲ ἐπιμιξίᾳ τοῦ χρώματος τῶν Ἐνόπτρων συνθολούμενόν τε καὶ νοθευόμενον. Τὴν δευτέραν δὲ τῆς Ἴριδος Περιφέρειαν ἡ Ὄψις ὁρᾷ Πρασίνην, οὐ διὰ τὸ Ἔνοπτρον, ἀλλὰ δι' ἀτονίαν ἑαυτῆς. Ἡ γὰρ ἀτονοῦσα Ὄψις μελάντερα ὀπταίνεται τὰ λευκά· μελάντερον δὲ καὶ τὸ Πράσινον ὑπάρχει τοῦ Φοινικοῦ. Τὴν τρίτην δὲ τῆς Ἴριδος Περιφέρειαν, Ἁλουργὸν ἡ Ὄψις ὁρᾷ, δι' ἀτονίαν πλείονα μελάντερον ἔτι βλέπουσα τὸ Λευκόν· ἐπεὶ καὶ τὸ Ἁλουργὸν, τοῦ Πρασίνου μελάντερον.

Ἀπὸ μὲν οὖν τῆς πρώτης Περιφερείας τῆς Ἴριδος, ἰσχυρῶς ἡ Ὄψις διὰ τῆς Ἀνακλάσεως τῷ Ἡλίῳ προσβάλλουσα, Φοινικοῦν ὁρᾷ τὸν τούτου χρωματισμὸν, διὰ τὸ Ἔνοπτρον. Ἥ, τε γὰρ πρώτη Περιφέρεια μεγίστη, καὶ ἀπὸ τῆς μεγίστης Περιφερείας ἡ Ἀνάκλασις πλείστη, καὶ διὰ τοῦτο ἐντονωτέρα· τό, τε Φοινικοῦν Χρῶμα προσεγγίζει μάλιστα τῷ λευκῷ καὶ ἧττόν ἐστι μέλαν. Ἀπὸ δὲ τῆς δευτέρας Περιφερείας ἐλάττονος οὔσης, ἐλάττους γίνονται Ἀνακλάσεις· καὶ διὰ ταῦτα καὶ ἡ Ὅρασις ἀσθενέστερον ἐνεργεῖ, καὶ τὸ τοῦ Ἡλίου Χρῶμα τὸ λαμπρὸν καὶ λευκὸν, δέον διὰ τοῦ μέλανος Ἐνόπτρου φοινικοῦν ἰδεῖν, μελάντερον ὁρᾷ διὰ τὴν οἰκείαν ἀσθένειαν, καὶ πράσινον τοῦτο φαντάζεται. Ἀπὸ δὲ τῆς τρίτης Περιφερείας ἐλαχίστης οὔσης, καὶ αἱ Ἀνακλάσεις ἐλάχιστοι γίνονται· καὶ ἔτι

ἀσθενε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θενέρον ἐνεργοῦσα ἡ Ὅρασις, ἔτι καὶ μελάντερον τὸ
ιακὸν Χρῶμα Φαντάζεται. Τὸ γὰρ μέλαν, οἷον ἀπό-
ασις καὶ στέρησίς ἐστι τοῦ ὁρᾶν. Ὅθεν καὶ ἅπερ οὐκ ἰσχύει
λέπειν ἡ Ὄψις διὰ τὸ ἀπόστημα, ταῦτα Φαντάζεται
λανα. Διά τοι τοῦτο καὶ τὰ πόῤῥωθεν ὁρώμενα, με-
άντερα Φαίνεται ἢ τὰ ἐγγὺς, καὶ τὰ τοῖς Ἐνόπτροις
ιΦαινόμενα, μελάντερα ἢ ἐστι, Φαίνεται· Καὶ τὰ Νέφη
ῷ Ὕδατι ἐμΦαινόμενα δι' Ἀνακλάσεως ὁρώμενα, με-
άντερα Φαίνεται, ἢ τὰ κατ' εὐθυωρίαν ὁρώμενα. Καὶ
πάντων τούτων αἴτιον ἡ τῆς ὄψεως ἀπότασις. Ὅσον γὰρ
ποτείνεται πόῤῥω, τοσοῦτον καὶ ἀτονωτέρα γίνεται·
ὅσον ἀτονωτέρα, τοσοῦτον καὶ μελάντερα Φαντάζεται
ὰ ὁρώμενα, πλησιάζουσα τῷ μὴ ἐνεργεῖν. Ταὐτὸ δέ ἐστι
ό, τε ὁρώμενον πολὺ τῆς Ὄψεως ἀποστήσαντας ὁρᾶν, καὶ
τὴν Ὄψιν αὐτὴν ὁρῶσαν ποιῆσαι διὰ πολλοῦ διαστήματος.
ημεία γὰρ τῆς Ὄψεως ἡ ἀπότασις. Ὅθεν καὶ τὰ δι'
ἀνακλάσεως ὁρώμενα διὰ πλείονος διαστήματος ἡ Ὄψις
ῶσα, ἢ ἅπερ ἐπ' εὐθείας ἑώρα ταῦτα, εἰκότως Φαντά-
εται καὶ μελάντερα. Περὶ μὲν οὖν τῶν τριῶν Χρωμάτων
τῆς Ἴριδος, τοῦ Φοινικοῦ, τοῦ Πρασίνου, τοῦ Ἁλουργοῦ Φθά-
ους ὁ λόγος διέλαβον.

Ὅτι δὲ μεταξὺ τοῦ Φοινικοῦ καὶ τοῦ Πρασίνου, Ξανθὸν
ὑποΦαίνεταί τι ἐν τῇ Ἴριδι, τοῦτο δοκεῖ μὴ Φαίνεσθαι
ὰ τὴν Ἀνάκλασιν· ἀλλ' ἐκ τῆς τοῦ Φοινικοῦ καὶ τοῦ πρα-
ίνου παραλλήλου Φαντασίας ἀπογεννᾶσθαι τὴν τοῦ ξανθοῦ.
ευκὸν μὲν γὰρ ἠρέμα τὸ Φοινικοῦν· ὁρώμενον δὲ παρὰ τὸ
ράσινον, λευκότερον Φαίνεται, τουτέστι Ξανθόν. Τὸ
ὰρ ἠρέμα λευκὸν παρὰ τὸ μελάντερον κείμενον, πλέον
ευκὸν ἢ ἐστι δοκεῖ. Διὸ καὶ ὅταν ᾖ σφόδρα μέλαν τὸ
έφος, ἡ Φοινικὴ σύμπασα περιΦέρεια ξανθὴ Φαίνεται.
ὸ δὲ λευκότερα Φαίνεσθαι τὰ ἧττον μέλανα παρὰ τὸ
ᾶλλον μέλαν ὁρώμενα, καὶ ἡ ἐκ τῆς Σελήνης Ἶρις δηλοῖ.
ευκὴ γάρ ἐστι· διότι κἂν τῷ μελαντάτῳ ΝέΦει ἡ ἔμΦα-
ις, διότι κἂν Νυκτί. Διπλασιαζομένου τοίνυν τοῦ περὶ
ὴν ἔμΦασιν Μέλανος, τό, τε Φοινικοῦν τῆς Ἴριδος ταύτης
λευκὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λευκὸν φαίνεται, καὶ τἄλλα χρώματα πρὸς λόγον λευκότερα· διὸ καὶ συγχέονται πάντα πρὸς τὸ Λευκόν.

Ἡ μὲν οὖν ἀπὸ τῆς Σελήνης Ἶρις, κατὰ τὸ σπάνιον γίνεται· διότι ὅτε καὶ γίνεται, ἐν μόνῃ τε πανσελήνῳ πέφυκε γίνεσθαι, καὶ τότε ἢ ἀνατελλούσης ἢ δυούσης τῆς Σελήνης. Ἀπὸ δὲ τοῦ Ἡλίου, καὶ δύω πολλάκις φαίνονται Ἴριδες· ἡ μὲν, ἐνδοτέρω· ἡ δ᾽ ἐξωτέρω, καὶ περιέχουσα τὴν ἑτέραν, καὶ τμῆμα μείζονος Κύκλου τυγχάνουσα· ἣ δὴ καὶ ἀμαυρότερα τὰ Χρώματα δείκνυσι, καὶ κατὰ τὴν θέσιν ἐξ ἐναντίας τῇ πρώτῃ καὶ ἀνάπαλιν κείμενα. Τῆς γὰρ ἐνδοτέρω καὶ πρώτης Ἴριδος τὴν πρώτην ἐχούσης καὶ ἀνωτέρω Περιφέρειαν Φοινικὴν, τὴν δευτέραν Πρασίνην, τὴν δὲ τρίτην Ἀλουργὸν, ἡ ἐξωτάτω καὶ δευτέρα Ἶρις, τὴν μὲν ἐξωτέρω Περιφέρειαν ἔχει Ἀλουργὸν· τὴν δευτέραν Πρασίνην, τὴν ἐνδοτάτω δὲ Φοινικὴν· ὡς πλησίον ἀλλήλων κεῖσθαι καὶ ἀμφοτέρων τῶν Ἰρίδων τὰ Φοινικᾶ. Τινὲς μὲν οὖν φασι τὴν Ἶριν ταύτην γίνεσθαι τὴν δευτέραν, ἀνακλωμένης τῆς Ὄψεως ἐκ τοῦ ἐξωτέρου Νέφους πρὸς τὴν πρώτην Ἶριν, οὐ πρὸς τὸν Ἥλιον· διά τοι τοῦτο καὶ ἀμαυρότερα τὰ Χρώματα φέρειν, ἅτε ἀπὸ δευτέρας γινόμενα Ἀνακλάσεως.

Ἀριστοτέλης δέ φησι, καὶ τὴν δευτέραν Ἶριν ἐκ τῆς πρὸς τὸν Ἥλιον Ἀνακλάσεως γίνεσθαι· τὰ Χρώματα δὲ ταύτης ἀμαυρότερα φαίνεσθαι διὰ τὴν ἀτονίαν τῆς ὄψεως. Τὴν γὰρ ἀπὸ τοῦ ἐξωτέρου Νέφους Ἀνάκλασιν πρὸς τὸν Ἥλιον πόῤῥωθεν γινομένην· (ποῤῥωτέρω γὰρ τὸ Νέφος τοῦτο τῆς Ὄψεως ἡμῶν·) ἀμαυρότερα ποιεῖν τὰ Χρώματα διὰ τὴν μακρὰν ἀπόστασιν φαίνεσθαι. Καθάπερ γὰρ τὰ ἐπ᾽ Εὐθείας ὁρώμενα πόῤῥωθεν, οὐ τρανῶς ἡ Ὄψις ὁρᾷ δι᾽ ἀσθένειαν· οὕτω δὴ καὶ τὰ διὰ μακρᾶς Ἀνακλάσεως, ἀμυδρότερον ταύτην ὁπλάνεσθαι. Καὶ τοῦτον μὲν τὸν λόγον ἀμαυρότερα τὰ τῆς δευτέρας Ἴριδος Χρώματα φαίνεσθαι.

Τὴν δὲ τάξιν ἐνηλλαγμένα τῆς θέσεως διὰ τὴν προτέραν αἰτίαν. Ὡς γὰρ ἐπὶ τῆς πρώτης Ἴριδος, ἀφ᾽ ἧς Περιφερείας ἡ Ὄψις ἰσχυρῶς τῷ Ἡλίῳ προσέβαλλε, ταύ-

της

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

της τὸ χρῶμα Φοινικοῦν ἑωρᾶτο· ἀφ' ἧς δ' ἀσθενεστέρως, Πράσινον· ἀφ' ἧς δ' ἔτι ἀσθενῶς, Ἀλουργόν· οὕτω δὴ κἀπὶ τῆς δευτέρας Ἴριδος ἔχει. Πλείων μὲν γὰρ ἀπὸ τῆς ντὸς Περιφερείας Ἀνάκλασις καὶ ἰσχυροτέρα γίνεται· ῷ εἶναι ταύτην τὴν Περιφέρειαν ἐγγυτέρω τῆς ὄψεως. σαι δ' Ἀνακλάσεις ἀπὸ τῶν ἐγγυτέρω τῇ ὄψει μερῶν, χυρότεραι· διὰ τὸ μὴ πάνυ τὴν ὄψιν ἀποτεινομένην ἐξαθενεῖν, καὶ οὕτω ποιεῖσθαι καὶ τὴν Ἀνάκλασιν, ὀλίγην τε καὶ ἀνίσχυρον· ἐπεὶ καὶ ἀπὸ τῶν μειζόνων Περιφερειῶν, ότε γίνονται πλείους Ἀνακλάσεις, ὅτε διὰ τὸ μὴ τὰς εριφερείας μακρὰν ἀφεστάναι τοῦ ὄμματος, πᾶσαι αἱ ψεις σωζόμεναι καὶ μὴ σκιδνάμεναι, δύνανται ἀπ' αὐτῶν νακλᾶσθαι. Ἡ μὲν οὖν ἐνδοτέρω τῆς δευτέρας Ἴριδος εριφέρεια, διὰ τοῦτο Φοινικὴν δείκνυσι τὴν χροιάν· ἡ δὲ υτέρα Περιφέρεια Πρασίνην, ἐπειδὴ τῆς ὄψεως πλέον φίσταται, καὶ αἱ Ἀνακλάσεις ἀπ' αὐτῆς ἀδρανέστεραι· ι δὲ μᾶλλον ἡ ἐξωτάτω Περιφέρεια πορρώτερον ἀφεστηκα τῆς ὄψεως, Ἀλουργὸν ἐπιφαίνει τὸ Χρῶμα, διὰ τὸ ὸν Ἀνακλάσεων ἀσθενέστατον.

Ἀλλὰ τί δήποτε τὸ μεταξὺ τῶν δύω Φοινικῶν Περιφερειῶν, οὐκ ἔστι καὶ αὐτὸ Φοινικοῦν; Ἐπεὶ δυνατὸν κἀντεῦθεν ολλὴν καὶ ἰσχυρὰν γίνεσθαι τὴν Ἀνάκλασιν πρὸς τὸν λιον, διὰ τὸ μὴ πόρρω τῆς ὄψεως εἶναι τοῦτο τὸ μέρος. πάντως εἴπερ ὅλως ἐγίνετο Ἀνάκλασις ἐξ αὐτοῦ, Φοικοῦν ἂν ἦν καὶ αὐτό, νῦν δ' Ἀνάκλασις οὐ γίνεται ἐξ αὐῦ· διὰ τὸ μηδ' ἀπὸ παντὸς μέρους ἁπλῶς πρὸς ἅπαν ῶμα Φῶς ἔχον Ἀνάκλασιν γίνεσθαι, ἀλλ' ὡρισμένους εἶναι ς τόπους τῶν Ἀνακλάσεων γινομένων, κατὰ τὴν πρὸς ὰ Κάτοπτρα ποιὰν σχέσιν τοῦτε πεφυκότος φωτίζειν σώατος, καὶ τῆς ὄψεως. Δῆλον δ' ἐκ τῶν πρότερον εἰρημέων, καὶ διὰ τί οὐκ ἔστι καθάπερ ἡ Ἶρις, οὕτω δὴ καὶ Ἅλως ποικίλη τοῖς Χρώμασι; Πάντως γὰρ τὸ μὲν Φοικοῦν Χρῶμα προσεῖναι τῇ Ἴριδι λέλεκται, διὰ τὴν ἐκ τοῦ ιθύγρου Νέφους καὶ ἤδη ὄντος ὕδατος Ἀνάκλασιν τῆς ψεως πρὸς τὸν Ἥλιον· τὰ δὲ λοιπὰ τῶν Χρωμάτων, διὰ ὴν ἀσθενῆ τῶν Ἀνακλάσεων προσβολήν, ὅτι πόρρωθεν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ὅτι ὀλίγαι. Ἐπὶ δὲ τῆς Ἅλω ἡ Ἀνάκλασις ἀπὸ ἀέρος τε γίνεται, ὃς ἐστι τοῦ ὕδατος κατὰ φύσιν λευκότερος, καὶ ἐγγύθεν γινομένη, προσβάλλει ἐῤῥωμενέστατα. Καὶ γὰρ τὸ ἐμφαινόμενον, ὑφ᾽ ἑαυτὸ φέρει τὰ Κάτοπτρα, καὶ περὶ αὐτό, οὐ μὴν ἐξ ἐναντίας αὐτοῦ. Διὸ ἡ μὲν Ἅλως φαίνεται πολλάκις καὶ Κύκλος ὁλόκληρος· ἡ δ᾽ Ἶρις οὐδὲ μείζων ἡμικυκλίου ποτέ, διὰ τὸ μήτε πέριξ τοῦ ἐμφαινομένου συνίστασθαι καθάπερ ἡ Ἅλως, μήτ᾽ αὖ ὑπὲρ τὸν Ὁρίζοντα πλέον εἶναι τοῦ ἡμισφαιρίου, ὑφ᾽ ὃ ἡμισφαίριον ὑποτέτακται τὸ Νέφος, ἐν ᾧ ἡ ὄψις τὴν Ἶριν φαντάζεται.

Τοῦ δὲ μὴ γίνεσθαι καὶ περὶ τὸν Ἥλιον τοιαύτην κάθυγρον σύστασιν, ὁποίαν καὶ ἀπ᾽ ἐναντίας αὐτοῦ, αἴτιον ἡ τοῦ Ἡλίου θερμότης. Ἡ γὰρ ταχέως εἰς ὕδωρ μεταβάλλειν ποιεῖ τὸ Νέφος, ἢ διαλύει καὶ λεπτύνει καὶ διακρίνει τὴν σύστασιν, εἰ μὴ παχυτέρα ἔτυχεν οὖσα. Ἐξ ἐναντίας δέ, καὶ πόῤῥω τῆς τοῦ Νέφους συστάσεως τοῦ Ἡλίου τυγχάνοντος, ἐν ὅσῳ γίνεται τὸ ὕδωρ, γίνεταί καί τις διατριβὴ καὶ χρόνος, ὡς εἶναί τινα μόρια τοῦ Νέφους, ἤδη μὲν εἰς ὕδωρ μεταβεβληκότα ὅλως, οὐ μὴν δὲ καὶ ψεκάδας ὄντα· ἐφ᾽ ὧν ὑδατηρῶν τοῦ Νέφους μορίων ὥσπερ ἐπὶ Κατόπτρων ἡ Ἶρις ὁρᾶται, ποτὲ μὲν ἡμίκυκλος, ποτὲ δ᾽ ἐλάττων ἡμικύκλου, μείζων δ᾽ οὐδέποτε. Καὶ ἡμίκυκλος μέν, ὅταν ἐπὶ τοῦ Ὁρίζοντος ὁ Ἥλιος εἴη· ἐλάττων δ᾽ ἡμικύκλου, ὅταν καὶ ὁ Ἥλιος ὑπὲρ τὸν Ὁρίζοντα. Τὸ γὰρ Κέντρον τοῦ ἡλιακοῦ Σώματος, καὶ τὸ τοῦ Ὁρίζοντος Κέντρον ἐφ᾽ οὗ ἡ ὄψις, καὶ τὸ Κέντρον τοῦ τῆς Ἴριδος Κύκλου, καὶ ὁ τούτου Πόλος, ἐπὶ μιᾶς εἰσιν Εὐθείας· καὶ ἡ Εὐθεῖα, διάμετρος τῆς οὐρανίου Σφαίρας, ἐπεὶ διὰ τοῦ Κέντρου τοῦ Ὁρίζοντος, ὃς ἐστι μέγιστος Κύκλος. Ὅσον οὖν ὁ Ἥλιος ὑπὲρ τὸν Ὁρίζοντα, τοσοῦτον ὁ Πόλος τοῦ Κύκλου τῆς Ἴριδος ὑπὸ τὸν ὁρίζοντα. Καὶ εἴπερ ἀνατέλλοντος ἢ δυομένου τοῦ Ἡλίου, τὸ μὲν ἥμισυ τοῦ τῆς Ἴριδος Κύκλου φαίνεται ὑπὲρ γῆν, τὸ λοιπὸν δ᾽ ἐστιν ἀφανὲς κείμενον ὑπὸ γῆν· δῆλον ὡς ὑπὲρ τὸν Ὁρίζοντα τοῦ Ἡλίου τυγχάνοντος, ἔλαττον μὲν τμῆμα Κύκλου τὸ φαινόμενον ἔσται τῆς Ἴριδος, πλεῖον δὲ τὸ ἀφανές. Καὶ

ταῦτ᾽

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτ' ἀεὶ οὕτως ἔχον εἴη ἂν πρὸς λόγον τῆς τοῦ Ἡλίου ἐκ τοῦ Ὁρίζοντος ἀποστάσεως. Ὅταν δὲ περὶ ἀτρεκῆ Μεσημβρίαν ὁ Ἥλιος γένηται, Θέρους μὲν οὐδὲ πολλοστὸν φαίνεται τμῆμα τῆς Ἴριδος· ἐν δὲ ταῖς βραχυτέραις ἡμέραις τοῦ Χειμῶνος, δυνατὸν καὶ περὶ Μεσημβρίαν ὄντος τοῦ Ἡλίου φανῆναί τι τμῆμα τῆς Ἴριδος. Ἐπεὶ γὰρ τὸ Κέντρον καὶ ὁ Πόλος τῆς Ἴριδος, ἐπὶ τῆς τοῦ Ὁρίζοντος διαμέτρου εἰσὶν, ὅταν μὲν θερινὰς ἐπιτολὰς ὁ Ἥλιος ποιῆται βορειότατος ὢν, τότε ἡ Ἶρις ἐν τοῖς νοτιωτέροις μέρεσιν ὡς πρὸς δυσμὰς χειμερινὰς συνίσταιτ' ἄν. Ὡς πρὸς ἀνατολὰς δὲ χειμερινὰς, ὅταν καταδύσεις ὁ Ἥλιος καταδύηται θερινάς. Ὅταν δ' ἐπιτέλλῃ χειμερινὰς ἐπιτολὰς ὁ Ἥλιος νοτιώτατος ὢν, τότε ἡ Ἶρις ἐν τοῖς βορειοτέροις φαίνοιτ' ἂν μέρεσιν ὡς πρὸς δυσμὰς θερινάς· ὡς πρὸς ἀνατολὰς δὲ θερινὰς, ὅταν ὁ Ἥλιος ποιῆται καταδύσεις χειμερινάς. Τούτων οὕτως ἐχόντων, ἐπεὶ τὰ βορειότερα μέρη διὰ τὴν ἔξαρσιν τοῦ Πόλου, μείζω τμήματα Κύκλων ἔχει τὰ ὑπὲρ γῆν, καθ' ὧν ὁ Ἥλιος θέρους φερόμενος, τὰς μακρὰς ἡμέρας ἀποτελεῖ· τὰ δὲ νοτιώτατα μέρη ἀνάπαλιν ἐλάχιστα τμήματα Κύκλων ἔχει τὰ ὑπὲρ γῆν, καθ' ὧν ὁ Ἥλιος χειμῶνος φερόμενος, τὰς βραχείας ἡμέρας ποιεῖ, διὰ ταῦτα ἡ Ἶρις χειμῶνος μὲν, δύναται φαίνεσθαι καὶ κατ' αὐτὸ τὸ τῆς ἡμέρας μεσαίτατον. Πολὺ γὰρ ἡ θερινὴ δυσμὴ καὶ ἀνατολὴ τῆς χειμερινῆς Μεσημβρίας ἀφίστανται. Καὶ διὰ τοῦτο κἂν τῷ μέσῳ τῆς χειμερινῆς ἡμέρας ἔχει τόπον ἡ Ἶρις ὑπὲρ γῆν ἐν ᾧ συσταίη ἄν· Θέρους δὲ τῆς ἡμέρας μεσούσης, οὐ δύναται φανῆναι διὰ τὸ μὴ ἔχειν ὑπὲρ γῆν τόπον συστάσεως. Καὶ γὰρ ἡ χειμερινὴ δυσμὴ καὶ ἀνατολὴ, τῆς θερινῆς Μεσημβρίας ὀλίγον ἀφίστανται. Ὅθεν καὶ ὑπὸ τὸν Ὁρίζοντα νοεῖται τότε σύμπας ὁ Κύκλος τῆς Ἴριδος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

## Περὶ Ῥάβδων, καὶ Παρηλίων, ἔτι δὲ καὶ τῶν ἐν τῇ γῇ Μεταλλευτῶν τε, καὶ Ὀρυκτῶν.

Ὅταν ἐκ πλαγίων τοῦ Ἡλίου γένηταί τι νέφος, τὴν σύστασιν ἔχον ἀνώμαλον, ὡς εἶναι κατὰ μέν τι μέρος, πυκνόν· κατὰ δέ τι, μανόν· καὶ κατά τι μὲν, ὑδατωδέστερον· κατά τι δὲ, ἀερωδέστερον· τότε πρὸς τὸν Ἥλιον ἐκ τοῦ τοιούτου Νέφους γινομένης τῆς Ἀνακλάσεως, διὰ μὲν τὴν σμικρότητα τῶν Κατόπτρων οὐχ ὁρᾶται τὸ σχῆμα τὸ ἡλιακόν· τὸ δὲ τοῦ Ἡλίου χρῶμα ἐμφαίνεται κατά τι μὲν μέρος τοῦ Νέφους, Φοινικοῦν· κατά τι δὲ, Πράσινον ἢ Ξανθὸν, διὰ τὴν ἀνωμαλίαν τοῦ Νέφους, καὶ τὴν τῶν Κατόπτρων ἀνομοιότητα. Καλοῦσι δὲ Ῥάβδους τὰς τοιαύτας ἐμφάσεις, ὅτι κατ' εὐθείας ὁρῶνταί τινας. Ὅταν δὲ τοῦ Νέφους ἡ σύστασις ὁμοίως ὑπάρχῃ πυκνὴ, καὶ ὡς ὅτι μάλιστα ὁμαλὴς, τότε διὰ τὴν ὁμοιότητα τῶν Κατόπτρων καὶ τὴν ὁμαλότητα τῆς συστάσεως, Φαντασία γίνεται Χρώματος ἑνὸς συνεχοῦς, ἀλλὰ δὴ καὶ λαμπροῦ καὶ λευκοῦ. Διὰ γὰρ τὴν πυκνότητα καὶ ὁμαλότητα τῆς συστάσεως, ἅμα τε πρὸς αὐτὴν τῶν ὄψεων πιπτουσῶν, καὶ ἅμα πρὸς τὸν Ἥλιον ἀνακλωμένων, τὸ τοῦ Ἡλίου χρῶμα ἐμφαίνεται καθαρόν· ὥσπερ καὶ ἀπὸ χαλκοῦ λείου τῆς ὄψεως ἀθρόον ἀνακλωμένης, τὸ ἀληθινὸν τοῦ ὁρωμένου χρῶμα ἐμφαίνεται, διὰ τὴν ἀθρόαν Ἀνάκλασιν, ἥτις γίνεται κἀν τῷ χαλκῷ διὰ τὴν πυκνότητα καὶ ὁμαλότητα τῆς συστάσεως. Ἐκ πλαγίων δὲ τοῦ Ἡλίου καὶ αἱ Ῥάβδοι καὶ οἱ Παρήλιοι γίνονται, πρὸς τὰ βορειότερα δηλονότι μέρη τοῦ Ἡλίου καὶ τὰ νοτιώτερα. Δεῖ γὰρ συμμέτρου τινὸς διαστάσεως, ᾗ ἂν αἱ τοιαῦται συστάσεις ἐκ τοῦ Ἡλίου διΐσταιντο. Μᾶλλον μὲν γὰρ ἔγγιστα οὖσαι τοῦ Ἡλίου, διαλυθήσονται ὑπ' αὐτοῦ· πορρώτατα δὲ πάλιν, οὐ σώσουσι τὴν Ἀνάκλασιν. Ἀπὸ γὰρ ὀλίγης συστάσεως ὡς ἀπ' Ἐνόπτρου μικροῦ πόρρω ἡ Ἀνάκλασις τῆς ὄψεως ἀποτεινομένη, ἐξασθενεῖ. Τὴν οὖν εἰρημένην σύμμετρον διάστασιν ἐν τοῖς τοῦ Ἡλίου πλαγίοις

ἐστιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστιν εὑρεῖν μένουσαν ἀεὶ τὴν αὐτὴν, διὰ τὸ μήτε προσιέναι τὸν Ἥλιον τούτοις τοῖς μέρεσι διὰ τῆς καθ' ἡμέραν κινήσεως, μήτ' αὖ ἀποχωρεῖν ἐξ αὐτῶν. Ἔτι δὲ πρὸς ἀνατολαῖς ἢ δυσμαῖς ὄντος τοῦ Ἡλίου, συμβαίνει μάλιστα γίνεσθαι τοὺς Παρηλίους τε καὶ τὰς Ῥάβδους. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ διαλύει καὶ διακρίνει τὰς τοιαύτας συστάσεις, μεσουρανῶν. Ὕδατος δὲ σημεῖα καὶ οἱ Παρήλιοι καὶ αἱ Ῥάβδοι τυγχάνουσι, καὶ τῶν Ῥάβδων μάλιστα οἱ Παρήλιοι. Μᾶλλον γὰρ ἡ ὁμαλὴς καὶ ὁμοίως οὖσα πυκνὴ σύστασις ἐπιτηδείως ἔχειν τὸν ἀέρα δηλοῖ πρὸς μεταβολήν τε καὶ γένεσιν ὕδατος. Πάντων δὲ τῶν τοιούτων, ἤγουν Παρηλίων, Ῥάβδων, Ἴριδος, Ἅλω, καὶ τῶν παραπλησίων Αἴτιον ποιητικὸν ἡ Ἀνάκλασις λέγεται. Καὶ τούτων αὐτῶν πάλιν Αἴτιον ὑλικὸν, Δρόσου καὶ Πάχνης, Ὄμβρου τε καὶ Χιόνος, καὶ Χαλάζης, καὶ τῶν ὁμοίων, ἡ ἀτμιδώδης ἀναθυμίασις· ὥσπερ αὖ ἑτέρων, ἡ καπνώδης.

Ὁποῖα μὲν οὖν τὰ ἔργα τῆς διττῆς Ἀναθυμιάσεως ἤδη ἀνενεχθείσης, ὁ λόγος φθάσας ἐδήλωσε· μήπω δ' ἀνενεχθείσης τῆς τοιαύτης Ἀναθυμιάσεως, μηδὲ διακριθείσης ἀπὸ τῆς γῆς, ἀλλ' ὑπὸ γῆν ἐγκατακεκλεισμένης καὶ συμπεφυρμένης τοῖς μορίοις τῆς γῆς, καὶ οὕτω συνισταμένης καὶ πηγνυμένης, δύω εἴδη σωμάτων ἀποτελοῦνται· ὧν τὰ μὲν, Μεταλλευτὰ· τὰ δ' Ὀρυκτά. Καὶ ὅσα μὲν Ὀρυκτὰ, τῆς καπνώδους Ἀναθυμιάσεως ἐκτελέσματα· τῶν λίθων γένη τὰ μηδόλως τηκόμενα, καὶ τὸ θεῖον, καὶ τὸ ἀρρενικὸν, καὶ ἔτι τοιοῦτον. Ὅσα δὲ Μεταλλευτὰ, ἡ Ἀτμὶς τελεσιουργεῖ. Ταῦτα δὲ ἢ Χυτά ἐστιν, ἢ Ἐλατά· οἷον, Σίδηρος, Χαλκὸς, Χρυσὸς καὶ τὰ ὅμοια· ὧν τὰ μὲν καίεται καὶ ἰοῦται, καθάπερ ὁ Σίδηρος καὶ ὁ Χαλκὸς, διὰ τὸ καὶ καπνώδους Ἀναθυμιάσεως μετασχεῖν, καὶ τὴν οὐσίαν γεωδεστέραν λαχεῖν. Τὸν δὲ Χρυσὸν μήτε καίεσθαι μήτε ἰοῦσθαι φασιν, ὡς ἐξ ἀτμίδος καθαρᾶς εἰς ἓν συναχθείσης καὶ πιληθείσης γενόμενον, καὶ τὴν οὐσίαν ὑδατωδεστέραν κτησάμενον, διὰ ταῦτά τοι καὶ βαρύτατον εἶναι. Τὸ γὰρ βάρος ἢ διὰ τὸ γεῶδες, ἢ διὰ τὸ ὑδατῶδες τοῖς σώμασι πρόσεστιν· ὥσπερ αὖ ἡ κουφότης, ἢ διὰ

τὸ πυρῶδες, ἢ διὰ τὸ ἀερῶδες. Εἰ τοίνυν ὁ Χρυσὸς ὑδατωδεστέραν ἔχηκε τὴν οὐσίαν, καὶ τῆς καπνώδους εἴτουν πυρώδους ἀναθυμιάσεως ἀνεπίμικτον, εἰκότως ἐστὶ καὶ βαρύτατος.

## ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

### Περὶ Οὐρανοῦ, καὶ ὅτι οὐκ ἔστιν ὁ Κόσμος ἀΐδιος.

Τὸν Οὐρανὸν, ὅρον ἄνω εἶναι, καὶ ἡ ἀνάπτυξις δηλοῖ τοῦ ὀνόματος. Περιορισμὸς γάρ ἐστιν εἰς τὸ ἄνω, καὶ κατὰ τὸ ἄνω, κατὰ πᾶν μέρος τοῦ παντὸς Κόσμου ἔχων τὸ ἀνωτάτω. Καὶ αὐτὸ γὰρ τὸ δοκοῦν τοῖς πολλοῖς ὑποκάτω καὶ ὑπὸ Γῆν ἡμισφαίριον, ὑπεράνω κατ᾽ ἀλήθειαν τυγχάνει καὶ ὑπὲρ Γῆν. Τὸ γὰρ ἐκτὸς τῆς Γῆς, ὁπωσοῦν, ἄνω ἐστίν. ἐπείπερ ἡ Γῆ καὶ τὰ ἐν αὐτῇ σώματα καὶ περὶ αὐτὴν, τὸν κάτω χῶρον εἴτουν τὸν μέσον κεκληρῶνται. Τοίνυν ὁ κυρίως Οὐρανὸς, ὁ πρῶτος καὶ ἄναστρος, περιοχή ἐστιν ἁπάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς. Πᾶν γὰρ ὁπωσδήποτε σῶμα ἐντὸς αὐτοῦ περικλείεται. Καὶ αὐτοὶ δ᾽ οἱ νόες ἐνσώματοί πως καὶ ἔνυλοι, κἂν ἀσώματοι καὶ ἄϋλοι λέγωνται πρὸς τὰ αἰσθητὰ σώματα καὶ τὴν στοιχειακὴν ὕλην παραβαλλόμενοι. Διὸ καὶ οὗτοι τῷ Οὐρανῷ περιέχονται· μόνον δὲ τὸ θεῖον, ἀπεριόριστον, ὅτι καὶ ἀμερὲς, ὅτι καὶ αὐτοτέλειον, ὅτι καὶ ἄπειρον. Διὸ καὶ οὐδαμοῦ ἐστι, καὶ πανταχοῦ ἐστι, καὶ ὑπὲρ τὸ πᾶν ἐστιν. Ὡς μὲν γὰρ ἀμερὲς, καὶ πάντῃ παντὸς σώματος, καὶ πάσης ὕλης ὑπερεξῃρημένον, οὐδαμοῦ ἐστιν· ὡς δ᾽ αὐτὸ καθ᾽ αὑτὸ τέλειον καὶ πληρέστατον, πανταχοῦ ἐστι τὰ πάντα πληροῦν· ὡς δὲ καὶ ἄπειρον, ὑπὲρ τὸ πᾶν ἐστι καὶ πάντα περιέχει, καὶ πάντα περιορίζει, καὶ οὐδὲν τῶν ἁπάντων ἐκτός ἐστι τῆς αὐτοῦ δυνάμεως. Τὸν μὲν οὖν πρῶτον καὶ κυρίως Οὐρανὸν, ἤτοι τὴν ἄναστρον Σφαῖραν καὶ ἀπλανῆ κατ᾽ ἀλήθειαν, ὀλίγοι τινὲς τῶν Φιλοσοφησάντων ἐγνώρισαν, διὰ τὸ ἀόρατον ὑπάρχειν αὐτόν. Οἱ πλείους δὲ πρῶτον Οὐρανὸν οἴδασι τὸ Στερέωμα· μετ᾽ αὐτὸ δὲ, καὶ

τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς τῶν Πλανήτων Σφαίρας, Οὐρανὲς ὀνομάζεσιν. Ὁλοτελῶς δὲ τὸ αἰθέριον ἅπαν Σῶμα τὸ διῆκον ἀπὸ τῆς ἔξω καὶ κυρτῆς Ἐπιφανείας τῦ Στερεώματος μέχρι τῦ κοίλυ καὶ τελευταίυ τῆς σεληνιακῆς Σφαίρας, Οὐρανὸν ἕνα εἶναι λογίζονται, ὡς τῆς αὐτῆς φύσεως ὄν.

Τῦτο δὴ καὶ πέμπτον Σῶμά φασιν οἱ Ἀριστοτελικοὶ, ἕτερον δηλονότι παρὰ τὰ τέσσαρα· τὸ Πῦρ, τὸν Ἀέρα, τὸ Ὕδωρ, τὴν Γῆν. Οἱ δὲ περὶ Πλάτωνα, καὶ αὐτὸ τὸ Στερέωμα τυτέςι τὴν τὸ χῦμα τῶν Ἀςέρων περιέχυσαν Σφαῖραν, ἐκ τῶν ἀκροτήτων συγκεῖσθαί φασι τῶν ςοιχειακῶν· διὰ τὸ μετέχειν τῦ ὁρατῦ καὶ ἁπτῦ· καὶ τὸ μὲν ὁρατὸν εἶναι ἀπὸ τῦ πυρὸς· τὸ δ᾽ ἁπτὸν, ἐκ τῆς Γῆς. Εἰ δὲ μετέχει πως τὸ Στερέωμα Πυρός τε καὶ Γῆς, μετέχοι ἂν καὶ Ἀέρος καὶ Ὕδατος, τῶν Στοιχείων τύτων ὡς μέσων εἰς ἐναρμόνιον σύνδεσιν τῶν ἄκρων γεγενημένων. Οὕτως ὖν ἐκ τῆς συνδρομῆς τῶν ἀκραιφνεςάτων ἐν ςοιχείοις ὄντων καὶ καθαρωτάτων, ὡς ἐκ πρωτίςης οἱονεὶ ςοιχειακῆς ἀπαρχῆς καὶ ὑπερεχόντων ἀφαιρεμάτων συντεθειμένον τὸν ἔναςρον Οὐρανόν, ἐπικρατῦν ἐν ἑαυτῷ ἔχειν τὸ Πῦρ ἀποφαίνονται. Ὁμοίως καὶ τὸ ἐχόμενον αὐτῦ σῶμα πᾶν τὸ αἰθέριον. Οὕτω γὰρ καὶ τῶν ὑπὸ Σελήνην τεσσάρων καλυμένων Στοιχείων ἕκαςον, συνέςηκε μὲν ἐκ τῶν τεσσάρων τῶν ἁπλῶν καὶ ἀληθῶς Στοιχείων· ὐσιῦται δὲ καὶ χαρακτηρίζεται καὶ καλεῖται κατὰ τὴν τῦ ἑνὸς ἐπικράτειαν.

Τῦτον δὴ τὸν ἔναςρον Οὐρανὸν, καὶ ἀπλανῆ Σφαῖραν οἱ πολλοὶ τῶν Φιλοσόφων ὑπέλαβον καὶ ὠνόμασαν. Διέλαθε γὰρ αὐτὲς ἡ κατὰ φύσιν αὐτῦ ἰδιότροπος κίνησις ἡ ἐκ Δυσμῶν εἰς Ἀνατολὰς, διὰ τὸ βραδύτατον ἑαυτῆς. Μίαν γὰρ Μοῖραν καθ᾽ ἕκαςον ἔτος αὐτὸν κινεῖσθαι πρός τινων εἴρηται, ὡς δι᾽ ἐτῶν ἑξήκοντα πρὸς τοῖς τριακοσίοις τὴν ἰδίαν ἀπαρτίζειν περιφοράν. Τινὲς δὲ μόριόν τι Μοίρας κατ᾽ ἔτος ὅλον, ἀλλ᾽ ὐχ᾽ ὅλην Μοῖραν ἰδίως αὐτὸν φέρεσθαι λέγυσιν.

Ὅτι μὲν ὖν ὁ πρὸς αἴσθησιν ἀπλανὴς Οὐρανὸς μετέχει τῦ ὁρατῦ, καὶ ὅτι ἀλλήλων ἅπτονται τὰ ὐράνια σώ-

ματα, καὶ ἡ αἴσθησις μαρτυρεῖ· ὅτι τε τὸ μὲν ὁρατὸν ὑπάρχει διὰ τὰ Χρώματα, φωτεινοῦ τυγχάνοντα πυρὸς ἀπαυγάσματα· τὸ δ' ἁπτὸν διὰ τὴν ἀντιτυπίαν, ἥτις ἐστὶ τῆς γῆς, οὐδὲ τοῦτο δεῖται κατασκευῆς, ὡς ὁμολογούμενον. Τούτων οὕτως ἐχόντων, προδήλως ἐστὶν ἐν τῷ Οὐρανῷ τὸ Πῦρ καὶ ἡ γῆ. Τῶν τοιούτων δὲ Στοιχείων ἄκρων ὄντων καὶ δεομένων διὰ τοῦτο μεσότητος, ἔστι καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, τὰ μέσα τῶν Στοιχείων καὶ τῶν ἄκρων συνδετικά.

Ἁπλοῦν δὲ τὸ οὐράνιον λέγεται Σῶμα, καὶ ταῦτα σύνθετον ὄν, τοῖς συνθετωτέροις παραβαλλόμενον σώμασιν. Οὕτω γὰρ καὶ τὰ τέσσαρα Σώματα, σύνθετα μὲν ἐξ ἀλλήλων ἐστὶν· ἁπλᾶ δὲ καλοῦνται, πρὸς τὰ ἐξ αὐτῶν κατὰ δευτέραν ἀποτελούμενα σύνθεσιν. Τὰ γὰρ κυρίως ἁπλᾶ σώματα καὶ Στοιχεῖα καθαρὰ καὶ εἰλικρινῆ, πόρρω καθέστηκε τῆς αἰσθήσεως, νῷ μόνῳ διακρινόμενα. Καὶ ὁ πρῶτος δ' Οὐρανὸς ὁ ἄναστρος, ἐπείπερ αἰσθητῶς κινεῖται τὴν ἀπλανῆ κίνησιν, οὐχ ἁπλοῦς. Αἰσθητῶς γὰρ κινούμενος τὴν ἐξ Ἀνατολῶν εἰς δυσμὰς τὴν ὀξυτάτην καὶ σφοδροτάτην· καὶ τῷ λίαν ἀκμαίῳ τάχει συμπεριφέρων τὸ Στερέωμα τὸν δεύτερον Οὐρανὸν, καὶ τὸν ἐχόμενον Αἰθέρα σύμπαντα, καὶ τὸ Ὑπέκκαυμα, καὶ τὸν Ἀέρα, πλὴν ὀλίγου τοῦ ταῖς κοιλότησι τῆς ἐν γῇ ἐπιφανείας ἐναπειλημμένου καὶ ἐλλιμνάζοντος, πῶς ἂν εἴη ὁ τοιοῦτος ἁπλοῦς; Ὅπου γὰρ αἰσθητὴ κίνησις, αἰσθητὸν ὑπάρχει καὶ τὸ κινούμενον. Ὃ δ' οἶδεν ἡ Αἴσθησις, τοῦτο σύνθετον ὡμολόγηται. Σῶμα γὰρ ἁπλοῦν, οὐ πέφυκεν ὑφεστάναι καθ' αὑτό. Διὸ σῶμα τυγχάνων ὁμολογουμένως ὁ πρώτιστος Οὐρανὸς καὶ καθ' αὑτὸν ὑφεστὼς, ἁπλοῦς οὐκ ἔστιν, ἀλλὰ συντέθειται. (Τὴν κρείτω λέγω δὲ σύνθεσιν.) συνθέτου δ' ὄντος αὐτοῦ, πολλῷ γε μᾶλλον ὁ δεύτερος καὶ φαινόμενος Οὐρανὸς, σύνθετος ἂν εἴη καὶ οὐχ ἁπλοῦς.

Ὅθεν καθάπερ τὰ αἰσθητὰ Στοιχεῖα σύνθετα ὄντα, Κίνησιν ἁπλῆν κινεῖται τὴν ἐπ' εὐθείας· οὕτω δὴ καὶ ὁ Οὐρανὸς, μὴ ὢν ἁπλοῦς, Κίνησιν ἁπλῆν κινεῖται τὴν κυκλικήν. Κινεῖσθαι γὰρ δύναται Κίνησιν ἁπλῆν καὶ τὸ σύνθετον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θετον. Καθ' ὃ γὰρ τῶν ἐν αὐτῷ ἁπλῶν ἐπικρατεῖ τῶν λοιπῶν, κατὰ τοῦτο καὶ κινεῖται, τὴν τοῦ ἐπικρατοῦντος ποιούμενον κίνησιν. Ὥστε καὶ ὁ Οὐρανὸς σύνθετος ὤν, κινεῖται κατὰ τὴν κίνησιν τοῦ ἑαυτῷ ἐπικρατοῦντος εἰλικρινεστάτου Πυρός. Ἡ κίνησις δὲ τοῦ τέλειον εἰδοπεποιημένου καὶ καθ' ὁλοκληρίαν ἀπηρτισμένου Πυρός, ἡ Κύκλῳ ἐστίν. Ἡ γὰρ ἐπ' εὐθείας Κίνησις τῶν Στοιχείων, ἔτι γινομένων αὐτῶν ἐστὶ κἀν τῷ παρὰ φύσιν ὄντων τόπῳ, ἀλλὰ μήπω τὸν κατὰ φύσιν ἀπειληφότων, ὡς ὁμολογοῦσι Πτολομαῖος καὶ Πλωτῖνος καὶ Ξέναρχος, καί τινες ἄλλοι τῶν Φυσικῶν. Ἀλλὰ δὴ καὶ Ἀριστοτέλης, τὸ εἰς τὸν αὐτοῦ τόπον φέρεσθαι, μηδὲν ἄλλο εἶναί φησιν, ἢ εἰς τὸ αὐτοῦ φέρεσθαι εἶδος.

Τῷ ὄντι γὰρ εἴπερ ἀπὸ τῶν ἀλλοτρίων τόπων καὶ τῆς παρὰ φύσιν διαθέσεως κινεῖται τὰ Στοιχεῖα, τῶν οἰκείων ἐφιέμενα τόπων καὶ τῆς οἰκείας ὁλότητος, δῆλόν ἐστιν ὡς οὐ κατὰ φύσιν ἔχοντα τελέως κινεῖται. Κατὰ φύσιν γὰρ ἔχοντα κἀν τοῖς οἰκείοις τυγχάνοντα τόποις, ἢ μένει ἢ κύκλῳ κινεῖται. Μένει μὲν ἡ Γῆ δηλονότι, καὶ τὸ Ὕδωρ, καὶ τοῦ Ἀέρος τὸ λιμνάζον. Κύκλῳ δὲ κινεῖται τὸ Πῦρ καὶ τοῦ ἀέρος τὸ εὐαγές, τῷ Οὐρανῷ συμπεριπολοῦντα, κατὰ τὴν πρὸς αὐτὸν οἰκειότητα. Ἐπεὶ γὰρ ὅπου φέρεταί τι κατὰ φύσιν, ἐκεῖ ἐστι κατὰ φύσιν· φέρεται δ' ἐπὶ τὸ μέσον ἡ Γῆ κατὰ φύσιν· ἐπὶ τοῦ μέσου ἄρα κατὰ φύσιν ἐστίν. Ἴδιον γὰρ τῆς Γῆς τὸ φέρεσθαι πρὸς τὸ μέσον. Τοῦτο δ' ἂν εἴη αἴτιον, καὶ τοῦ μένειν ἐν τῷ μέσῳ τὴν Γῆν, ἡ πρὸς τὸ μέσον δηλονότι συγγένεια, δι' ἣν φέρεται πρὸς αὐτό. Ἐπεὶ δὲ τὸ μέσον ἀκίνητον (πάσης γὰρ Σφαίρας κινουμένης ἐν ἑαυτῇ, τὸ μέσον ἤτοι τὸ Κέντρον ἀκίνητον.) καὶ ἡ Γῆ διὰ τὴν πρὸς τὸ Κέντρον τοῦ παντὸς οἰκείωσιν ἀκίνητός ἐστι. Τὸ Ὕδωρ δὲ πάλιν ἐπεὶ φέρεται πρὸς τὴν γῆν φυσικῶς (ἴδιον γὰρ τοῦ ὕδατος τὸ ἐπιπολάζειν τῇ γῇ.) μένει διὰ τὴν πρὸς τὴν γῆν συγγένειαν ἀκίνητον καὶ αὐτό. Διὰ ταῦτα δὴ καὶ ὁ λιμνάζων Ἀήρ, ἀκίνητος, ὁ γεηρὸς καὶ ὑδατώδης καὶ θολερός· τὸ δὲ Πῦρ φέρεται κατὰ φύσιν ἐπὶ τὴν Περιφέρειαν τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σφαίρας. Τάχα γὰρ ἂν καὶ ἐφήψατο τῆς κοίλης Ἐπιφανείας τοῦ Στερεώματος, εἴγε μὴ προκατειλημμένος ἦν ὁ τόπος ὑπὸ τοῦ αἰθερίου Σώματος, εἰλικρινεστέρου τυγχάνοντος κατὰ τὸ εἶδος τὸ πύρειον, ὡς τῆς αὐτῆς τῷ Στερεώματι κοινωνήσαντος, Φύσεως. Ἐπεὶ τοίνυν τὸ Πῦρ πρὸς τὴν τῆς Σφαίρας Περιφέρειαν φέρεται φυσικῶς, αἴτιον ἂν εἴη τούτῳ καὶ τοῦ Κύκλῳ κινεῖσθαι, ἡ πρὸς τὴν Περιφέρειαν οἰκείωσις δι' ἣν φέρεται πρὸς αὐτήν. Διὰ γὰρ τὴν πρὸς ταύτην οἰκείωσιν, Κύκλῳ φέρεται καὶ αὐτό· καθάπερ ἡ Γῆ διὰ τὴν πρὸς τὸ Κέντρον οἰκείωσιν ἕστηκεν· Ὡς δὲ τὸ Ὕδωρ πάλιν οὐ κινεῖται, τῆς συγγενοῦς ἑστηκυίας Γῆς, ἐφ' ἣν καὶ φέρεται, καὶ ἧς ἀεὶ ἐφάπτεσθαι βούλεται· τὸν αὐτὸν τρόπον καὶ ὁ καθαρὸς Ἀὴρ φερομένῳ συμφέρεται τῷ Πυρὶ διὰ τὴν πρὸς τοῦτο συγγένειαν, δι' ἣν καὶ πρὸς αὐτὸ φέρεται, καὶ τοῦ συνεῖναι τούτῳ συνημμένως ἐφίεται. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι τε πᾶν τὸ ὑπὸ τὴν αἴσθησιν ἐκ τῶν τεσσάρων Στοιχείων συντέθειται, καὶ ὅτι μόνη τελεία Φορὰ καὶ κατὰ φύσιν ἡ κυκλική· (μόνη γὰρ αὕτη τῶν κατὰ φύσιν ἐχόντων καὶ τελείων ὄντων ἐστίν.) ὅτι τε ἡ Γῆ κατὰ φυσικὸν λόγον ἀκίνητος, εἶτα τὸ Ὕδωρ, εἶτα τοῦ ἀέρος ὅσον τούτοις τοῖς σώμασι συγγενές· καὶ ὅτι ὁ Οὐρανὸς σύμπας διὰ τὴν τοῦ εἰλικρινοῦς πυρὸς ἐπικράτειαν Κύκλῳ φέρεται φυσικῶς· εἶτα δι' αὐτὸν καὶ τὰ αὐτοῦ ἐχόμενα σώματα. Καθάπερ δὲ τῇ Γῇ τὸ ὑπερβάλλον ἔνεστι τῆς μονῆς, οὕτω δὴ τῷ Οὐρανῷ τῆς φορᾶς τὸ ὀξύτατον. Καὶ καθὼς ἡ Γῆ κατὰ τόπον ἀκίνητος, οὕτως ὁ Οὐρανὸς ἄστατος. Οὔτε γὰρ ἡ Γῆ τῆς ἰδίας μετατίθεται βάσεως, οὔθ' ὁ Οὐρανὸς ἐνδίδωσι τὸ τῆς ῥύμης σφοδρότατον.

Τοῦ τοίνυν Οὐρανοῦ καὶ τῆς Γῆς ἐκ διαμέτρου διεστηκότων πρὸς ἄλληλα κατὰ τὴν τῶν ἐνεργειῶν ἐναντίωσιν, ἡ μεταξὺ κλίσις, μήτε τὸ ὀξυκίνητον ἔχουσα, μήτ' αὖ τὸ ἀκίνητον, μεσιτεύει τοῖς ἄκροις δι' ἑαυτῆς, καὶ οὕτω σύμπας ὁ Κόσμος ἀλληλουχεῖται τῆς μὲν ἐξωτάτω Περιφορᾶς ἐπιτεταμένῳ τάχει χρωμένης, ὑφειμένῳ δὲ τῆς ἐντὸς κατὰ λόγον τοῦ πρὸς τὸ Κέντρον πλησιασμοῦ, μιᾶς γινομένης ὁμοῦ σφαιρικῆς περιαγωγῆς, καὶ Κύκλων ἁπάντων τῶν

ἐξω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξωτέρων τε καὶ μειζόνων, τῶν ἐνδοτέρω τε καὶ ἐλαττόνων κατὰ ταυτὸν ἀποκαθισαμένων ἐκ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ, διὰ τῆς ἐνιαίας Περιστροφῆς. Σχῆμα δὲ κέκληται ὁ Οὐρανὸς σφαιρικὸν, ὡς πολυχωρητότερόν τε τῶν ἄλλων Σχημάτων τῶν τὴν αὐτὴν ἐχόντων περίμετρον, καὶ ὡς πρὸς τὴν ἐν ἑαυτῷ κίνησιν παντὸς ἁρμοδιώτερον σχήματος, καὶ ὡς πρῶτον τῇ φύσει, κἀντεῦθεν τῇ τοῦ πρώτου σώματος οὐσίᾳ κατάλληλον. Πᾶν γὰρ Σχῆμα ἢ Εὐθύγραμμόν ἐστιν, ἢ Περιφερόγραμμον, ἢ Μικτόν. ἀλλ' εἴ τι μὲν Εὐθύγραμμον ἢ μικτὸν, ὑπὸ πλειόνων γραμμῶν περιέχεται· τὸ δὲ Περιφερόγραμμον μόνον, ὑπὸ μιᾶς γραμμῆς τῆς περιφεροῦς. Ἐν ἑκάστῳ δὲ γένει πρότερον τῇ φύσει τὸ ἓν τῶν πολλῶν, καὶ τὸ ἁπλοῦν τοῦ συνθέτου. Πρῶτον τοίνυν καὶ ἁπλοῦν τῶν ὅλων ἐπιπέδων Σχημάτων, ὁ Κύκλος. Ἀλλ' ὅπερ ὁ Κύκλος ἐν ἐπιπέδοις, τοῦτ' ἐν στερεοῖς ἡ Σφαῖρα. Μόνη γὰρ αὕτη τῶν ὅλων στερεῶν μιᾷ Ἐπιφανείᾳ περιείληπται. Ἐπεὶ τοίνυν τὸ πρῶτον Σχῆμα τῷ πρώτῳ σώματι οἰκειότατον, πρῶτον δὲ Σῶμα τῶν ὑπὸ τὴν ἡμετέραν αἴσθησιν τὸ οὐράνιον, εἰκότως ὁ Οὐρανὸς ὑπάρχει σφαιροειδής. Εἰ δ' οὗτος σφαιροειδὴς, δῆλον ὅτι καὶ πᾶν σφαιροειδὲς, ὅπερ ἐστὶν αὐτῷ συνεχές. Ἀνάγκη γὰρ τὸ πανταχόσε τῆς κοίλης Ἐπιφανείας ἁπτόμενον τοῦ σφαιροειδοῦς, εἶναι καὶ αὐτὸ σφαιροειδές.

Ἑπτὰ δὲ οὐσῶν τῶν περὶ τὰ σώματα Σχέσεων, ἔχει ταύτας καὶ ὁ Οὐρανὸς, ἐπείπερ σῶμά ἐστι. Πᾶν γὰρ σῶμα τρεῖς ἔχει διαστάσεις, Μῆκος, Πλάτος καὶ Βάθος. Δύω δ' ἐστὶ πέρατα καθ' ἑκάστην διάστασιν. Ὥστε τρεῖς συζυγίαι διάφοροι γίνονται. Τοῦ μὲν οὖν Μήκους πέρατα, τὸ Ἄνω καὶ τὸ Κάτω· τοῦ δὲ Πλάτους τὸ Δεξιὸν καὶ Ἀριστερόν· τοῦ δὲ Βάθους τὸ Ἔμπροσθεν καὶ τὸ Ὄπισθεν. Ἡ μεσότης δὲ πασῶν ὁμοῦ τῶν διαστάσεων καθ' ἓν σημεῖον συμπιπτουσῶν, τὸ μέσον ὑπάρχει τοῦ σώματος. Ἀλλ' ἐπὶ μὲν τῶν οὐκ ἐσφαιρωμένων σωμάτων διΐστανται ἀπ' ἀλλήλων τὸ κάτω καὶ τὸ μέσον. ἐπὶ δὲ τῶν σφαιρικῶν, οὐδεμίαν οὐδαμῶς ἀπ' ἀλλήλων διάστασιν ἔχουσιν. Ἀνάγκη γὰρ νεύειν ἀπὸ τῆς Ἐπιφανείας ἐπὶ τὸ ἑαυτῶν μέσον τὰ σφαιρικὰ, καὶ

οὕτω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὕτω καθ' αὑτὰ θεωρούμενα ταῦτ' ἔχειν κάτω πρὸς ἃ νενεύκασιν. Ἐν τῷ Κόσμῳ τοιγαροῦν τὸ Σχῆμα ἔχοντι σφαιρικὸν, Ἄνω μὲν ὑπάρχει τὸ ἀπὸ παντὸς τοῦ μέσου διῆκον ἐπ' αὐτὴν τῆς Σφαίρας τὴν Ἐπιφάνειαν· Κάτω δὲ, τὸ μέσον ἐστὶ, τῶν δύω σχέσεων ἐπὶ τοῦ Κόσμου συμπιπτουσῶν, καὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὄντος καὶ κάτω καὶ μέσου. Ἐμπρόσθια δὲ μέρη τοῦ Οὐρανοῦ, τὰ πρὸς δυσμαῖς ἔσονται. (καὶ γὰρ ὡς ἐπὶ Δύσιν ὁρμᾷ.) Ὀπίσθια δὲ, τὰ πρὸς Ἀνατολαῖς. (καὶ γὰρ ἐντεῦθεν πρόεισιν ἐπὶ τὰ ἔμπροσθεν.) Ὅθεν Δεξιὰ μὲν αὐτοῦ, τὰ πρὸς Ἄρκτον· τὰ δὲ πρὸς Μεσημβρίαν, εὐώνυμα.

Δογματίζουσι δὲ τὸν Οὐρανὸν οἱ τῆς περιπατητικῆς Αἱρέσεως, ἀγένητόν τε καὶ ἄφθαρτον σὺν τῷ Κόσμῳ παντί· καὶ τὸ Δόγμα τοιουτοτρόπως κατασκευάζουσιν. Εἰ γέγονεν ὁ Οὐρανὸς, ἦν ὅτε οὐκ ἦν. Ἀλλὰ χρόνον οὐδ' ἐπινοῆσαι δυνατὸν, ἄνευ Οὐρανοῦ. Καὶ γὰρ ὁ χρόνος, ἀριθμητόν ἐστι τῆς οὐρανίου κινήσεως. Ὥστε τὸ λέγειν ἦν ὅτε οὐκ ἦν ὁ Οὐρανὸς, ταυτόν ἐστι τῷ, ἦν χρόνος ὅτε χρόνος οὐκ ἦν. Τὸ γὰρ ἦν, χρόνου μέρος ἐστὶ τὸ παρῳχηκός. Εἰ τοίνυν οὐδέποτε χρόνος ἦν ὅτ' οὐκ ἦν ὁ Οὐρανὸς· ὁ δὲ χρόνος, ἀΐδιος· (παντὸς γὰρ τοῦ λαμβανομένου προηγεῖται τὸ ἦν.) δῆλον ὡς ἀγένητος ὁ Οὐρανός. Εἰ δ' ἀγένητος, πάντως καὶ ἄφθαρτος· ὅτι τε συνακολουθεῖ τῷ ἀγενήτῳ τὸ ἄφθαρτον, καὶ ὅτι καθὰς προηγεῖται τὸ ἦν χρόνου παντὸς, οὕτως ἐφέπεται τὸ ἔσται. Χρόνου δ' ἀεὶ ὄντος, ἀεὶ ἔσται καὶ ὁ συνυπάρχων αὐτῷ Οὐρανός. Ταῦτα μὲν οὗτοι.

Πλάτων δὲ φθάσας τὸ τοιοῦτον Δόγμα προδιελύσατο, φιλοσόφως ἀποφηνάμενος, ἅμα τῷ Οὐρανῷ γεγονέναι τὸν Χρόνον. Ὥστε καὶ ὁ Οὐρανὸς ἐγεγόνει καὶ ὁ Χρόνος ἐγεγόνει, ἐν ταυτῷ. Καὶ ὥσπερ ἦν ὅτ' οὐκ ἦν ὁ Οὐρανὸς, οὕτω καὶ ἦν ὅτε χρόνος οὐκ ἦν. Εἰ δὲ τὸ ἦν καὶ τὸ ἔστι καὶ τὸ ἔσται μέρη χρόνου, ἀλλὰ πρωτοτύπως ταῦτα τοῦ Αἰῶνός εἰσιν. Αἰὼν δὲ ἐστιν ἠθροισμένη παράτασις τὸ ἀεὶ ἔχουσα πρὸ χρόνου καὶ μετὰ χρόνον. Γεγονὼς ἓν ὁ Χρόνος τοῦ Αἰῶνος εἰκὼν, ἔχε καὶ τὸ λέγεσθαι ἦν, καὶ ἔστι καὶ ἔσται, μέχρις ἂν εἴη κατὰ τὴν πρὸς τὸν Αἰῶνα δηλονότι ἀναφοράν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥάν. Οἱ τοίνυν λέγοντες ἦν ὅτ' οὐκ ἦν Οὐρανὸς, οὐ λέγουσιν ἦν Χρόνος ὅτε Χρόνος οὐκ ἦν. Ἀλλ' ἦν παράτασίς τις αἰωνικὴ, καθ' ἣν οὔθ' ὁ Οὐρανὸς, οὔθ' ὁ Χρόνος εἶχεν ὑπόστασιν. Ὅτε δ' ὁ Χρόνος ἤρξατο τοῦ εἶναι, τότε καὶ ὁ Οὐρανός. Οὐκ ἐν Χρόνῳ τοίνυν ὁ Οὐρανὸς ἐγεγόνει, ἀλλ' ἐν ἀρχῇ τοῦ χρόνου. Ἡ δ' ἀρχὴ τοῦ Χρόνου, Χρόνος οὐκ ἔστιν. Ἀμερὴς γὰρ αὕτη καὶ ἄποσος. καθὼς οὖν ἐν ἀρχῇ τοῦ Χρόνου ἐγεγόνει, οὕτως οὐδὲν ἀδύνατον ἐν τῷ τέλει τοῦ χρόνου τοῦτον φθαρῆναι. Τῷ Χρόνῳ τοίνυν συνυποστὰς, τῷ Χρόνῳ καὶ συνδιαλυθῆναι πέφυκε. Καὶ οὐκ ἂν εἴποι τις, ὡς ἔσται Χρόνος, ὅτ' οὐκ ἔσται ὁ Οὐρανὸς· ἀλλ' ἔσται πάλιν αἰωνική τις παράτασις, καθ' ἣν οὔθ' ὁ Οὐρανὸς, οὔθ' ὁ Χρόνος εἶναι δυνήσεται, κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως.

Λέγουσι πάλιν. Εἴπερ ὁ Κόσμος γενητὸς καὶ φθαρτὸς, δεῖ προηγεῖσθαι τὴν σύστασιν ἐξ ἧς γέγονε καὶ εἰς ἣν αὖθις φθαρήσεται. Ἀλλ' εἷς ὁ Κόσμος· ἀγένητος ἄρα καὶ ἄφθαρτος. Εἰ μὲν οὖν ἐλέγομεν τὸν Κόσμον γενητὸν καὶ φθαρτὸν, ὡς τὰ τέσσαρα σώματα καὶ τὰ ἐξ αὐτῶν, εὖ ἂν ἔλεγον οἱ ταῦτα λέγοντες. Ἐπεὶ δ' ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ἀλλ' οὐκ ἐκ προϋποκειμένης τῆς ὕλης τοῦτον γενέσθαι φαμὲν παρὰ τοῦ Θεοῦ, ποίαν ἔχει ὁ λόγος αὐτῶν τὴν ἰσχύν; Εἰ τοίνυν ἐκ τοῦ μὴ ὅλως εἶναι γεγένητο, πέφυκε πάλιν εἰς τὸ μὴ ὅλως εἶναι φθαρήσεσθαι, κἂν ἡ τοῦ Δημιουργοῦ ἀγαθότης ὑπερνικῶσα σύμπασαν φύσιν, ὥσπερ ἐκ τοῦ μηδόλως ὄντος τὸν κόσμον παρήγαγεν· οὕτω πρὸς τὸ κρεῖττον μετασκευάσει τὴν δημιουργίαν αὐτοῦ. Ἔτι πεπερασμένος ὁ Οὐρανὸς· ἐπείπερ ἀδύνατον κινηθῆναι τὸ ἄπειρον. Εἰ γὰρ κινηθείη, χρόνον ἄπειρον ἀνάγκη διϊέναι κατὰ τὴν κίνησιν. Ὁ δὲ, περιστρέφεται σύμπας ἐν ἐλάττονι χρόνῳ τοῦ νυχθημερινοῦ διαστήματος. Ὥστε πεπερασμένος ὁ Οὐρανός. Εἰ δ' οὗτος πεπερασμένος, καὶ πᾶς ὁ Κόσμος πεπερασμένος. Εἰ γὰρ τὸ περιέχον, πεπερασμένον· καὶ τὸ περιεχόμενον, ἐξ ἀνάγκης πεπερασμένον. Οὐδὲν δὲ σῶμα πεπερασμένον, ἔχει δύναμιν ἄπειρον. Τὸ γὰρ τοῦ πεπερασμένου μέρος, ἢ ἄπειρον ἕξει δύναμιν καὶ αὐτὸ, καὶ τοῦ ἀπείρου μεῖζόν τι εὑρεθήσεται· (μεί-

ζων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζων γὰρ ἡ ἐν τῷ ὅλῳ δύναμις τῆς ἐν τῷ μέρει δυνάμεως. Ἀλλ᾽ οὐδὲν τοῦ ἀπείρου μεῖζόν ἐστιν.) ἢ πεπερασμένην ἕξει δύναμιν τὸ μέρος τοῦ πεπερασμένου, καὶ τὸ ὅλον πεπερασμένης ἔσται δυνάμεως. Τὸ γὰρ ἐκ πεπερασμένων συνεστὼς κατὰ τὴν ὁλότητα, πεπερασμένον ὁμολογουμένως ἐστὶ καὶ αὐτό. Πᾶν ἄρα πεπερασμένον σῶμα πεπερασμένης μετέχει δυνάμεως. Ὅθεν ὁ Κόσμος πεπερασμένος ὤν, πεπερασμένην κέκληται δύναμιν. Ἀδυνατήσει τοίνυν λόγῳ φύσεως, καὶ ἡ ἐνέργεια αὐτοῦ παύσεται, τῆς δυνάμεως παυσαμένης, ὅθεν ἄρχεται ἡ ἐνέργεια. Τοῦτο δὲ τί ἕτερόν ἐστιν, ἢ τελεία φθορά;

Τοίνυν ὁ Κόσμος φθορᾷ παντελεῖ κατὰ λόγον ὑπόκειται φυσικόν, μὴ δυνάμενος συνδιαμένειν τῷ ἀπειροδυνάμῳ δημιουργῷ. Καὶ τί γὰρ ἄλλο; ἢ δημιούργημα ὤν, κἀντεῦθεν καὶ μόνον τῆς τοῦ δημιουργήσαντος ὑφειμένος ἀϊδιότητος. Εἰ τοίνυν φθαρτὸς ὁ Κόσμος, πάντως καὶ γενητός. Ἀντακολουθοῦσι γὰρ ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτόν. Καὶ πάλιν τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον. Λέγουσιν αὖθις· εἰ μὴ ἅμα Θεὸς ἅμα Κόσμος, ἦν ποτὲ ὁ Θεός, οὐκ Ἐνεργείᾳ Δημιουργός, Δυνάμει δὲ μόνον. ὅθεν καὶ ἀτελής. τὸ Δυνάμει γὰρ ἀτελές. Ἐρωτητέον οὖν αὐτούς, πότερον ὁ Θεὸς Ἀπειροδύναμος ὤν, τουτονὶ μόνον ἠδύνατο τὸν Κόσμον παραγαγεῖν, ἢ καὶ ἄλλους πολλοὺς τῷ παρόντι παρισουμένους; Εἰ μὲν γὰρ οὐχ οἷός τ᾽ ἦν καὶ ἄλλους Κόσμους παραγαγεῖν, πῶς οὐκ ἀσθενὴς ὁ Ἀπειροδύναμος πάσης ποιητικῆς Ἐπιστήμης ἴσα πολλὰ δυναμένης ποιεῖν; Εἰ δὲ δυνάμενος οὐ παρήγαγε, δῆλον ὡς ἡ δύναμις, ἧπερ ἂν ἐπὶ τῶν μὴ γεγονότων Κόσμων ἐχρήσατο, παράγειν τούτους ἐθέλων, Δυνάμει μόνον ἐστὶ καὶ κατ᾽ αὐτοὺς ἀτελής.

Ἀλλ᾽ εἰδέναι χρὴ τὸ Δυνάμει τοῦτο κατὰ τὸ δεύτερον ὂν σημαινόμενον, ὃ δήπερ οὐ πέφυκεν ἀτελές. Εἰ γὰρ ἀτελὲς καὶ τὸ δεύτερον, οὐδεὶς ἔχων ποιητικὴν Ἐπιστήμην, καθ᾽ αὐτόν ἐστι τέλειος, δεόμενος τῶν ἐν οἷς ἐνεργεῖ πρὸς τελείωσιν. Καὶ οὕτω δεήσεται τοῦ χείρονος τὸ κρεῖττον· ὡς καὶ τῶν παραγομένων ὁ παράγων Θεός, εἴπερ αὐτῷ πέφυκεν αἰτία τοῦ μὴ Δυνάμει δοκεῖν αὐτὸν Ποιητήν. Διὰ

ταῦτ᾽

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτ' οὐκ ἔστιν ἅμα ποιητὴς, ἅμα ποίημα, κατ' ἐνέργειαν· ἀλλ' ἅμα ποιητὴς, ἅμα ποίημα κατὰ τοὺς ποιητικοὺς λόγους καὶ δημιουργικοὺς, προαιωνίως ὑφεστῶτας ἐν τῷ Δημιουργῷ καὶ συναϊδίους ὄντας αὐτῷ, θέλοντι μὲν ἀεὶ παράγειν καὶ τὰ ποιήματα, διότι καὶ ἀεὶ ἀγαθὸς· τότε δὲ παράγοντι, ὅτε τὰ παραγόμενα δύναται. Οὐδὲ γὰρ ἰσχύουσι τῇ ἀπείρῳ τοῦ παράγοντος ὑπάρξει συνεῖναι, τῷ μὴ Θεὸν εἶναι τούτων τὴν οὐσίαν, μηδ' ἴσα δυναμένην Θεῷ κατὰ τὸ τῆς ὑπάρξεως ἄπειρον. Εἰ μὲν γὰρ τῇ φύσει καὶ τῇ οὐσίᾳ παρῆγεν ὁ Δημιουργὸς τὰ δημιουργήματα, συνῆσαν ἂν ἐξ ἀνάγκης αὐτῷ· τῆς αὐτῆς αὐτῷ φύσεως ὄντα καὶ οὐσίας. Ἐπεὶ δὲ φύσει μὲν καὶ οὐσίᾳ γεννᾷ, θελήσει δὲ καὶ βουλήσει δημιουργεῖ· τὸ γέννημα μὲν συνυπάρχει τῷ Θεῷ, διότι καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως ἀπαραλλάκτως πάμπαν αὐτῷ, καὶ Θεὸς εἷς ὁμοῦ τὸ γεννῶν καὶ τὸ γεννώμενον, μήτε χρόνου ταῦτ' ἀπ' ἀλλήλων μερίζοντος, μήτε βουλήσεως καὶ θελήσεως, μήτε δυνάμεως ἢ δόξης ἢ ἄλλου τῶν ὄντων τινός. Ὡσαύτως καὶ τὸ ἐκπορευόμενον, καὶ αὐτὸ γὰρ οὐσιωδῶς ἐκ τοῦ Θεοῦ καὶ φυσικῶς ἐκπορεύεται. Δημιούργημα δὲ πᾶν πόῤῥω πίπτει τῆς θείας ὑπάρξεως, ὥσπερ καὶ τῆς τοῦ τεχνίτου ὑπάρξεως τὸ τεχνούργημα· Προϋπάρχει γὰρ ὁ Τεχνίτης τοῦ ὑπ' αὐτοῦ τεχνουργημένου πράγματος· ὕστερον δὲ πᾶν ἀποτέλεσμα τῆς ἑαυτοῦ ποιητικῆς αἰτίας ἐξ ἀνάγκης ἐστίν. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Ἐπεὶ δ' ἐπάνω τοῦ Στερεώματος Ὕδωρ εἶναι πολυπληθὲς ἡ θεία διδάσκει Γραφή. Τινὲς δ' ἀδύνατον οἴονται τὴν τοῦ ὕδατος φύσιν μένειν ἐπὶ τοῦ κυρτοῦ τῆς Σφαίρας, ῥυτὴν οὖσαν καὶ εὐδιάχυτον καὶ κατωφερῆ, τὴν θείαν ἐννοείτωσαν οὗτοι παντοδύναμον καὶ ὑπερδύναμον Δύναμιν, ἥτις ἰσχὺν ἐνέθηκεν ὑπερβάλλουσαν καὶ τῷ Στερεώματι, κωλυτικὴν τῆς τοῦ ὕδατος ἐπὶ τὸ κάτω φορᾶς. Διὰ τοῦτο γὰρ καὶ Στερέωμα κέκληται, ὡς στερεὸν καὶ κραταιὸν καὶ ἀνένδοτον. Ἐκεῖνο μὲν οὖν τὸ ὕδωρ λεπτότατόν ἐστι καὶ κουφότατον, ὡς προείρηται, παντὸς ὕδατος· ὅτι δημιουργικῇ προστάξει κατά τινα οἷον διάθεσιν

τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ὁμογενοῦς διακέκριται. Καὶ ἁπλῶς εἰπεῖν ὑδατηρὰ ποιότης ταῖς τοῦ πυρὸς ὁρμαῖς ἀντιπράττουσα. Δεδόσθω δὲ τὸ ὕδωρ ἐκεῖνο καὶ παχύτερον εἶναι, καὶ βαρύτερον, καὶ κατωφερὲς, καὶ φυσικὴν ἔχον ῥοπὴν πρὸς τὸ ἐπιπολάσαι τῇ γῇ. Τί τὸ ἐντεῦθεν; Ἐπεὶ τοιαύτη ἐστὶν ἡ φύσις τοῦ Στερεώματος, οἵαπερ εἴρηται, περιλαμβάνει πᾶσαν τὴν Σφαῖραν, καὶ ταύτης ἐξέχεται τὸν οἰκεῖον τόπον πανταχόθεν ζητοῦν, καὶ οὕτω ταύτῃ συμπεριφέρεται. Τὸ δι᾽ ὃ δὲ περιέχει τὸν Οὐρανὸν τοῦτον τὸν δεύτερον ἡ ὑπέρσοφος πρόνοια τῷ τοιούτῳ ὕδατι, δυνάμει προσεχῶς ἐρεῖται. Ἐπεὶ γὰρ ἀναγκαῖον ἦν τὸ Πῦρ τῶν ἄνω σωμάτων ἐπικρατεῖν, ὡς ἂν ἐκ προσήκοντος διαστήματος ζωογονῆται καὶ φωτίζηται καταλλήλως τὸ πᾶν, ἵνα μὴ ἄλλως γένηται φροῦδον διὰ τὴν ἀκμὴν τοῦ Πυρὸς, ἔταξεν ὁ σοφὸς Δημιουργὸς καὶ συνοχεὺς τοῦ παντὸς τὸ δηλωθὲν Ὕδωρ, ἄνωθεν ἀντικαθίστασθαι τῷ Πυρὶ, καὶ διὰ τῶν ἐναντίων ποιοτήτων καταθραύειν τὰς δυνάμεις αὐτοῦ· καὶ οὕτω διαμένειν τὸ σύμπαν μέχρι συντελείας ἀδιαλώβητον.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.
## Περὶ Αἰθέρος, καὶ Ἀστέρων.

Τὸ διῆκον ἀπὸ τῆς κυρτῆς Ἐπιφανείας τοῦ Στερεώματος, ἕως τοῦ κοίλου τῆς σεληνιακῆς Σφαίρας, τοῦτο δὴ καλεῖται σύμπαν Αἰθὴρ, ἐκ τοῦ ἀεὶ θεῖν τὴν κλῆσιν λαβόν. Φέρεται γὰρ ὀξυτάτην καὶ ἄληκτον φορὰν φυσικῶς, καὶ, ἵν᾽ εἴπω κατ᾽ ὄνομα, διηνεκῶς τρέχει. Τοῦτο δὴ τὸ αἰθέριον ὅλον Σῶμα καὶ πάντας τοὺς Ἀστέρας τῆς αὐτῆς οὐσίας καὶ φύσεως εἶναί φασιν οἱ τῶν φυσικῶν δοκιμώτεροι. Πλὴν ἔστιν ἐναργῶς ἐν Αἰθέρι καὶ Ἄστρασι διαφορὰ, κατά τε πυκνότητα καὶ χρωματισμόν. Ἀλλὰ ταῦτα περὶ φύσιν εἰσὶν, οὐ φύσεις. Οὐδὲ γὰρ οὐδ᾽ ὁ παχὺς Ἀὴρ καὶ μελάντερος, ἐκσταίη ἂν τῆς ἀερίου φύσεως, διὰ τὴν πυκνότητα καὶ τὸν χρωματισμόν. Ἡ μὲν οὖν ἀπλανὴς δοκοῦσα καὶ λεγομένη Σφαῖρα, πυκνότητος μετέχει καὶ χρώματος ἠρέμα λαμπροῦ. Μανώταται δὲ καὶ διαφανεῖς καὶ ἀχρωμάτι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ςοι παντελῶς, αἱ πλανώμεναι Σφαῖραι τυγχάνεσιν· οἱ δ' Ἀςέρες, πυκνοί τε καὶ λαμπροὶ πάντες εἰσίν. Ἀλλὰ κατὰ τὴν πυκνότητα μὲν ἐκ ἂν ἀλλήλων διοίσαιεν· (ὅσοι γὰρ τῶν Ἀςέρων ὑποτρέχειν Ἀςέρας δύνανται, πάντες ὁμοίως ταῖς ὄψεσιν ἐπιπροσθεῖσι ἡμῶν· ὡς μηδόλως ἰσχύειν ἡμᾶς ὁρᾶν τὲς ὑφ' οἵων δή τινων Ἀςέρων ὑποτρεχομένες Ἀςέρας.) κατὰ δὲ τὴν λαμπρότητα, πολλή τίς ἐςιν ἡ τῶν Ἀςέρων πρὸς ἀλλήλες διαφορά.

Σχῆμα δὲ κέκληνται καὶ αὐτοὶ σφαιρικὸν, καθὼς ἀπὸ τῆς Σελήνης φαίνεται τἔτο, σφαιροειδῆς μαρτυρεμένης ἐκ τῶν αὐτῆς φωτισμῶν. Εἰ δὲ σφαιροειδὴς ἡ Σελήνη, καὶ οἱ λοιποὶ Ἀςέρες εἶεν ἂν πάντως σφαιροειδεῖς. Τῆς αὐτῆς γὰρ φύσεως ἅπαντες. Εἰ δὲ καὶ τῷ Οὐρανῷ τῆς αὐτῆς κεκοινωνήκασι φύσεως, καὶ τῷ αὐτῷ μεμόρφωνται σχήματι, τῶν εὐλογωτάτων αὐτὲς, ὡς ὑπολαμβάνει Πλάτων, καὶ τὴν αὐτὴν κίνησιν ἔχειν τῷ Οὐρανῷ, καὶ κατὰ φύσιν ἕκαςον αὐτῶν ὁμαλῶς καὶ ἐγκυκλίως περὶ τὸ ἑαυτῦ Κέντρον καὶ τὸν οἰκεῖον Ἄξονα ςρέφεσθαι.

Τέτων ἔτως ἐχόντων, ἡ πρώτη μὲν καὶ ἄναςρος Σφαῖρα καὶ ὄντως ἀπλανὴς, μίαν καὶ ἁπλῆν κινεμένη κίνησιν τὴν ἀπ' Ἀνατολῶν εἰς Δυσμὰς, ἑαυτῇ συμπεριάγει τὰς ἄλλας ἁπάσας· ἡ δὲ τὸ πλῆθος φέρεσα τῶν Ἀςέρων καὶ δοκἔσα καὶ λεγομένη ἀπλανὴς, δύω κινεῖται κινήσεις ἀντιῤῥόπες ὁμἔ· μίαν μὲν, οἰκείαν, τὴν ἐκ Δυσμῶν πρὸς Ἀνατολὰς, ἥτις καὶ ἀνεπαίσθητός ἐςι διὰ τὴν τῆς βραδυτῆτος ὑπερβολήν· ἑτέραν δὲ, τὴν τῆς πρώτης Σφαίρας, καθ' ἣν ἐξ Ἀνατολῶν ὀξυτάτως συμπεριάγεται πρὸς Δυσμάς. Οἱ δ' Ἀςέρες οἱ καλέμενοι ἀπλανεῖς, τρεῖς ἂν κινοῖντο κινήσεις· τὴν οἰκείαν δίνησιν, καὶ τὴν μετὰ τῆς Σφαίρας, ἥπερ ἐνδέδενται, Περιφορὰν· καὶ τὴν διὰ τῆς κυρίως ἀπλανἔς ἀντιπεριαγωγήν. Ὡσαύτως κἀπὶ τῶν ἐφεξῆς ἔχει Σφαιρῶν καὶ τῶν ἐν ταύταις Ἀςέρων. Αἱ μὲν γὰρ, δύω κινήσεις κινἕνται τὰς ἀντιῤῥόπες· οἱ δ' Ἀςέρες πρὸς ταῖς τοιαύταις κινήσεσι κινοῖντ' ἂν καὶ τὴν ἐν ἑαυτοῖς, ὡς ἐπὶ τῶν ἀπλανῶν εἴρηται. Πλάνητες γὰρ οἱ προσεχῶς δεδηλωμένοι κατωνομάσθησαν, διὰ τὸ ἔκδηλον

 τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς μετὰ τῶν οἰκείων Σφαιρῶν ἀντιφορᾶς τῇ πρώτῃ Σφαίρᾳ καὶ κατ᾽ ἀλήθειαν ἀπλανεῖ. Καθάπερ ἡ πληθὺς τῶν ἄλλων Ἀστέρων ἀπλανὴς κέκληται, διὰ τὸ ἄδηλον τῆς τοιαύτης ἀντιφορᾶς. Περιαγομένου τοίνυν τοῦ Στερεώματος ἐξ Ἀνατολῶν εἰς Δυσμάς, ἀναγκαίως καὶ οἱ ἀπλανεῖς τῶν Ἀστέρων τούτῳ συμπεριάγονται, μηδεμίαν ἔχοντες ἰδίαν κίνησιν μεταφορητήν. Διὰ τοῦτο γὰρ καὶ τοὺς αὐτοὺς ἀεὶ κατέχουσι τόπους, καὶ οὐδέποτε τὴν ἀπ᾽ ἀλλήλων ἀπόστασιν ἐναλλάσσουσιν.

Οὕτω δὲ κινουμένων πάντων Ἀστέρων τῶν ἀπλανῶν, εἷς μόνος Ἀστὴρ ὁρᾶται πρὸς Ἄρκτον ἀκίνητος· οὐχ ὅτι μετὰ τῆς Σφαίρας τοῦ Στερεώματος οὐ περιφέρεται καὶ αὐτός, ἀλλ᾽ ὅτι τῶν δύω τοῦ Ἄξονος ἄκρων, περὶ ὃν ἡ Σφαῖρα στρέφεται, τὸ ἓν ἄκρον οὗτος ὑπάρχει τὸ Βόρειον. ὅθεν καὶ Βόρειος Πόλος ὠνόμασται. Πόλοι γὰρ τὰ πέρατα καλοῦνται τοῦ Ἄξονος. Πόλος οὖν ὑπάρχων τῆς τοῦ Στερεώματος Σφαίρας ὁ εἰρημένος Ἀστήρ. στρεφομένου τοῦ Στερεώματος, καὶ αὐτὸς ἀναγκαίως συμπεριστρέφεται. Περὶ ἑαυτὸν δὲ πάσχων τὴν στροφὴν ὡς ἄκρον τοῦ Ἄξονος, ἀκίνητος τῇ αἰσθήσει δοκεῖ, καθὰ καὶ πάντες Ἀστέρες ἀσυμφανῶς ἡμῖν δύναιντο ποιεῖν τὴν ἐν ἑαυτοῖς συστροφήν. Οὕτω μὲν οὖν οἱ ἀπλανεῖς Ἀστέρες καὶ τὴν ἐξ Ἀνατολῶν κίνησιν καὶ τὴν ἐκ Δυσμῶν, τῇ Σφαίρᾳ συγκινοῦνται τοῦ Στερεώματος.

Ἀλλὰ δὴ καὶ οἱ Πλάνητες ἑτέραις Σφαίραις ἐνδεδεμένοι, ἕκαστος τῇ ἑαυτοῦ, καὶ τὴν πρὸς Δυσμὰς φέρονται, καὶ τὴν πρὸς Ἀνατολάς, μετὰ τῶν οἰκείων Σφαιρῶν. Αἱ πᾶσαι δὲ Σφαῖραι τῶν Πλανήτων, ἑπτά εἰσιν, ἄνισα τὰ μεγέθη φέρουσαι πρὸς ἀλλήλας. Περιέχει γὰρ ἡ πρώτη τὴν δευτέραν· καὶ ἡ δευτέρα, τὴν μετ᾽ αὐτήν· καὶ τοῦτο μέχρι τῆς τελευταίας· καὶ οὕτως ἐξ ἀνάγκης αἱ περιέχουσαι, μείζους τῶν περιεχομένων εἰσί.

Πρώτη μὲν οὖν μετὰ τὴν δοκοῦσαν καὶ λεγομένην ἀπλανῆ Σφαῖραν, ἡ τοῦ Κρόνου ἐστὶ (♄) τοῦ καλουμένου καὶ Φαίνοντος, τριακονταετεῖ χρόνῳ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθισταμένη, διὰ τῆς πεπλανημένης κινήσεως. Ἐντὸς δὲ

ταύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταύτης, ἡ τοῦ Διὸς, τοῦ καὶ Φαέθοντος (♃) δωδεκαετίᾳ τὴν ὅλην ἀπεργαζομένη περιστροφήν. Ἐν ταύτῃ τοῦ πυρόεντος Ἄρεος (♂) ἡ Σφαῖρα περιλαμβάνεται, ἀτακτοτέραν ποιουμένη τὴν κίνησιν. δοκεῖ δὲ καὶ αὕτη διετίᾳ καὶ πέντε μησὶ, καὶ πρός, ὁλοτελῶς περιστρέφεσθαι. Μετὰ ταύτην, ἡ τοῦ Ἡλίου (☉) μέση τεταγμένη πασῶν, καὶ δι᾽ ἐνιαυτοῦ τὴν ἅπασαν ἀπαρτίζουσα Περιφοράν· ἤγουν διὰ νυχθημέρων τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου. Αὕτη μὲν οὖν ἡ ἐνιαυσιαία τῆς ἡλιακῆς Σφαίρας Περιφορὰ, τὰς ὥρας ἀποτελεῖ· ἡ δὲ σὺν τῇ ἀπλανεῖ περιαγωγὴ, τὰς Ἡμέρας καὶ τὰς Νύκτας ποιεῖ. Μετὰ τὴν ἡλιακὴν Σφαῖραν ἡ τῆς Ἀφροδίτης. (♀) Ἑωσφόρος ὁ Ἀστὴρ οὗτος καλεῖται· ἀλλὰ καὶ Ἕσπερος· τὸ μὲν, τῆς τοῦ Ἡλίου προανίσχων Ἐπιτολῆς, τὸ δὲ, τοῦ Ἡλίου καταδυομένου, φαινόμενος πρὸς δυσμαῖς. Ἡ τοιαύτη Σφαῖρα, τὴν περίοδον ποιεῖται κατὰ μέν τινας τῶν Φυσικῶν, ἐνιαυσιαίαν· κατὰ δέ τινας, ἐν ὀκτὼ μησί. Καλοῦσι δέ τινες τὴν Ἀφροδίτην, καὶ Φωσφόρον. Μετὰ τὴν τῆς Ἀφροδίτης Σφαῖραν, ἡ τοῦ Ἑρμοῦ (☿) τοῦ καὶ στίλβοντος, ἐν ἓξ μησὶ καὶ ἡμέραις ἓξ τὴν ἰδίαν ποιουμένη περιστροφήν. Ὑπείληπται δέ τισιν, ἐνιαυσιαίαν καὶ αὕτη τὴν περίοδον ἐκτελεῖν. Ἀκριβέστεροι δὲ μᾶλλον δοκοῦσιν οἱ ἐλάττονα τοῦ ἐνιαυτοῦ ταῖς προσεχῶς εἰρημέναις δυσὶ Σφαίραις τὸν τῆς Φυσικῆς Περιφορᾶς χρόνον ἀποφηνάμενοι, κατὰ τὴν τάξιν τῆς πρὸς τὰς ἄλλας Σφαίρας αὐτῶν ὑποβάσεως. Ὑστάτη δὲ πασῶν τῶν Σφαιρῶν ἡ τῆς Σελήνης ἐστί (☾) κατ᾽ αὐτὴν οὖσα τὴν συναφὴν τοῦ Αἰθέρος πρὸς τὸ Ὑπέκκαυμα. Διὸ καὶ αὐτὸ τὸ τῆς Σελήνης σῶμα, ζοφερόν ἐστι καθ᾽ αὐτὸ, πρὸς τὸ πέρας ὂν τοῦ Αἰθέρος· τόγε τεθολωμένον, ὡς τῷ Ὑπεκκαύματι συμμιγές. πέφυκε μέντοι τὸ τοιοῦτον σῶμα τῆς Σελήνης τὸ ζοφῶδες, καὶ ἀλαμπὲς παρὰ τῆς ἡλιακῆς λαμπηδόνος φωτίζεσθαι. Αὕτη τῆς Σελήνης ἡ Σφαῖρα, ἐν ἑπτὰ καὶ εἴκοσιν ἡμέραις καί πως ἡμίσει μιᾶς ἡμέρας, τὴν οἰκείαν ἀνύει περιφοράν. Σμικροτάτη γάρ ἐστι τῶν ὅλων Σφαιρῶν.

Κύκλοι δὲ πέντε παράλληλοι νοοῦνται κατὰ τὸν Οὐρανὸν τοῦτον δὴ τὸν φαινόμενον· εἷς μὲν Κύκλος μέγιστος ὁ

εἰς δύω τέμνων ἴσα τὴν Σφαῖραν· ὃς καὶ Ἰσημερινὸς ὀνομάζεται. τούτου δ' ἑκατέρωσε, δύω Κύκλοι· τοῦ μὲν Ἰσημερινοῦ, μείονες· ἴσοι δ' ἀλλήλοις. Καλοῦνται δὲ Τροπικοί, ὡς διὰ τῶν τροπικῶν τοῦ Ἡλίου Σημείων περιαγόμενοι. Καθ' ἑκάτερον τῶν Τροπικῶν, ἕτεροι δύω Κύκλοι· εἷς μὲν πλησίον τοῦ θερινοῦ Τροπικοῦ· εἷς δὲ πλησίον τοῦ χειμερινοῦ. Καὶ οὗτοι οἱ Κύκλοι ἴσοι ἀλλήλοις, ὧν ὁ μὲν βόρειος, καλεῖται Ἀρκτικός· ὁ δ' αὐτοῦ ἐξ ἐναντίας, ἤγουν ὁ νότιος, Ἀνταρκτικός. Ὁ μὲν οὖν Ἰσημερινὸς καὶ οἱ Τροπικοί, πάντοτέ εἰσιν οἱ αὐτοί, καὶ τοὺς αὐτοὺς κατέχοντες τόπους διηνεκῶς. Ὁ δ' Ἀρκτικὸς καὶ Ἀνταρκτικός, κατὰ τὰς τῶν Κλιμάτων διαφορὰς ἐναλλάσσονται, καὶ τοὺς τόπους ἀμείβουσι. καὶ πῆ μὲν μείζους εἰσί, καὶ πολὺ τοῖς Τροπικοῖς πλησιάζοντες· πῆ δ' ἐλάττους, καὶ τοῖς Πόλοις μάλιστα προσεγγίζοντες. Ἔστι δ' ὅπου καὶ ἀφανίζονται. Μὴ ἀφανιζομένων δ' αὐτῶν, ὁ μὲν ἀόρατός ἐστιν· ὁ δ' ἀεὶ ὁρατός· καὶ τὸ περιεχόμενον ὑπ' αὐτοῦ μέρος τῆς Σφαίρας ἅπαν τὸ πρὸς τῷ Πόλῳ, ἀειφανές· ὡς τὸ ὑπὸ τοῦ λοιποῦ περιεχόμενον, ἀφανές. Πόλοι δὲ πάντων τῶν παραλλήλων Κύκλων, οἱ τῆς Σφαίρας εἰσίν.

Ἕτερος δὲ νοεῖται μέγιστος Κύκλος, διά τε τῶν Τροπικῶν καὶ τοῦ Ἰσημερινοῦ βεβλημένος λοξῶς· καθ' ἓν μὲν σημεῖον ψαύων ἑκατέρου τῶν Τροπικῶν· εἰς ἴσα δὲ δύω κατὰ δύω Σημεῖα τέμνων τὸν Ἰσημερινόν. οὗτος ὁ λοξὸς Κύκλος, καλεῖται Ζωδιακός. Ἔστι δὲ πλατὺς καὶ φέρων Ἄστρα πολλά, σκιαγραφοῦντά πως ζῶά τινα. Ἐκ τῆς τοιαύτης σκιαγραφίας τῆς συγκεχυμένης καὶ ἀμυδρᾶς, ἐκλήθη παρὰ τῶν ἀρχαίων Ἀστρολόγων, Ζωοφόρος καὶ Ζωδιακός· καὶ τὰ σκιαγραφήματα, ἐκλήθησαν Ζώδια. Τὸ πλάτος οὖν τοῦ Ζωδιακοῦ τρεῖς διαιροῦσι Κύκλοι καὶ διανέμονται. καὶ ὁ μὲν αὐτῶν, μέσος ἐστί τε καὶ λέγεται. τούτου δ' οἱ ἑκατέρωθι, ὠνομάσθησαν ὁ μέν, Βόρειος· ὁ δέ, Νότιος· ἐκ τῶν τοῦ Κόσμου μερῶν οἷς προσπελάζουσι, κληρωσάμενοι τὰ ὀνόματα.

Ἕτερος παρὰ τὸν Ζωδιακὸν καὶ τὸν Ἰσημερινόν, μέγιστος καὶ αὐτός, νοεῖται Κύκλος· ὁ διαιρῶν ἡμῖν τὸ τῆς

Σφαίρας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σφαίρας φανερὸν ἐκ τοῦ ἀφανοῦς, ὃς καὶ Ὁρίζων διὰ τοῦτο προσαγορεύεται. Μέγιστος δέ ἐστι καὶ αὐτὸς, ἐπείπερ εἰς ἶσα δύω τὸν κόσμον διαιρεῖ. Πάντες γὰρ οἱ μέγιστοι Κύκλοι, τήν τε Σφαῖραν καὶ ἀλλήλους, εἰς ἶσα μέρη τέμνουσιν ἀναγκαίως καὶ ἶσοι ἀλλήλοις εἰσί.

Τούτων οὕτως ἐχόντων, οἱ Πλάνητες ἅπαντες τὴν ἐναντίαν τῷ Στερεώματι κατὰ τὸ δοκοῦν κίνησιν κινούμενοι, καὶ ἄλλοτ᾽ ἐν ἄλλοις τοῦ Κόσμου φαινόμενοι μέρεσιν, οὐκ ἄτακτον ποιοῦνται τὴν κίνησιν· οὐδὲ δι᾽ ὧν ἔτυχε τοῦ Κόσμου φέρονται μερῶν, ἀλλ᾽ ὑπὸ τὸν Ζωδιακὸν ἀεὶ στρέφονται. Καὶ ὁ μὲν Ἥλιος, ἀπὸ τροπῶν διαβαίνων ἐπὶ τροπὰς, τοῖς βορείοις μὲν καὶ τοῖς νοτίοις προσπελάζει τοῦ Κόσμου μέρεσιν· οὐδέποτε δὲ τὰ ὑπὸ τὸν Ζωδιακὸν βόρεια ἢ νότια καταλαμβάνει· τὸν μεσαίτατον ἀεὶ τέμνων Κύκλον τὸν καὶ ἡλιακὸν διὰ τοῦτο καλούμενον. Οἱ δὲ λοιποὶ Πλάνητες, καὶ τοῦ Κόσμου τοῖς βορείοις καὶ τοῖς νοτίοις προσπελάζουσι μέρεσιν· ἀλλὰ δὴ καὶ αὐτοῦ τοῦ ὑποτείνοντος τὸν ζωδιακὸν Κύκλον. Καὶ γὰρ ἑλικοειδῶς ἐν αὐτῷ κινοῦνται, κατιόντες ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια· κἀκεῖθεν πάλιν ἀνιόντες ἐπὶ τὰ βόρεια· καὶ οὕτω, καὶ τὸν ἡλιακὸν παραμείβοντες.

Ἡ μὲν οὖν Σελήνη, πλέον, τῶν ἄλλων Πλανήτων ἀποχωρεῖν λέγεται τοῦ μέσου καὶ ἡλιακοῦ· κατὰ τὴν πλανητικὴν αὐτῆς κίνησιν, προσιοῦσα τοῖς τε βορείοις, καὶ τοῖς νοτίοις, τοῖς ὑπὸ τὸν Ζωδιακόν. Μετὰ ταύτην ἡ Ἀφροδίτη ἑκατέρωθι, ἀνὰ Μοίρας πέντε· Ἑρμῆς δὲ, ἀνὰ τέσσαρας· Ἄρης δὲ καὶ Ζεὺς, ἀνὰ δύω καὶ ἥμισυ Μοίρας μιᾶς· Κρόνος δὲ, ἀνὰ Μοῖραν μίαν.

Ὁπόταν οὖν οἱ Πλάνητες ἀπὸ τοῦ βορείου Κύκλου, ὡς ἐπὶ τὸν μέσον φέροιντο, ὕψος ταπεινοῦσθαι λέγονται. Ὁπόταν δὲ τὸν μέσον παραλλάξαντες τῷ νοτίῳ προχωροῖεν, ταπείνωμα ταπεινοῦσθαι. Ἐκ τοῦ νοτίου δὲ φερόμενοι πρὸς τὸν μέσον, ταπείνωμα ὑψοῦσθαι λέγονται. Ἐπειδὰν δὲ τὸν μέσον ἀμείψαντες, τῷ βορείῳ πελάζοιεν, ὕψος ὑψοῦσθαι. Συμβέβηκε γὰρ τὰ μὲν βόρεια τοῦ Ζωδιακοῦ καθ᾽ ἡμᾶς, ἐπὶ πολὺ τοῦ Ὁρίζοντος ἐξῆρθαι· τὰ δὲ νότια,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλησιαίτερα φαίνεσθαι τῷ Ὁρίζοντι, διὰ τὸ ἐγκεκλίσθαι τὸν Κόσμον ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια, καθ' ἣν εἴδαμεν οἰκουμένην.

Σχηματίζονται δὲ πρὸς ἀλλήλους οἱ Πλάνητες πέντε σχηματισμοῖς· Συνόδῳ, Ἑξαγώνῳ, Τετραγώνῳ, Τριγώνῳ, καὶ Διαμέτρῳ. Τοῦ γὰρ Ζωδιακοῦ διῃρημένου εἰς τμήματα ιβʹ, τὰ καὶ Ζώδια κεκλημένα, καὶ τῶν τμημάτων ἑκάστου πάλιν εἰς τριάκοντα Μοίρας· οὕτω δὲ καὶ τῶν ὑπὸ τὸν Ζωδιακὸν κύκλων διαιρουμένων ἐφ' οὓς οἱ Πλάνητες φέρονται· ὁπόταν δύω Ἀστέρες ὑπὸ τὴν αὐτὴν Μοῖραν τοῦ αὐτοῦ Ζωδίου εὑρίσκοιντο, συνοδεύειν λέγονται. Ἂν δ' ὁ μὲν, ὑπό τι φέροιτο Ζώδιον, ὁ δ' ἕτερος ὑπὸ τὸ ἀπ' αὐτοῦ τρίτον ὑπὸ τὰς αὐτὰς Μοίρας, ἑξαγωνίζειν. Ἑξάκις γὰρ τὰ δύω, δώδεκα. Καὶ ἔστι τὸ διάστημα τῶν δύω Ζωδίων, Ἑξαγώνου πλευρά· ὥσπερ τῶν τριῶν, Τετραγώνου. Τετράκις γὰρ τὰ τρία, δώδεκα. Τῶν δὲ τεσσάρων, Τριγώνου. Τρὶς γὰρ τὰ τέσσαρα, δώδεκα· τῶν δ' ἓξ Ζωδίων τὸ διάστημα, Διάμετρος, εἰς ἴσα διαιροῦσα τὸν Κύκλον. Ὅταν οὖν μεταξὺ δύω Ἀστέρων διάστημα εἴη Μοιρῶν ἑξήκοντα, ἑξαγωνίζουσιν ἀλλήλους οἱ Ἀστέρες. Ὅταν δὲ Μοιρῶν ἐνενήκοντα, τετραγωνίζουσιν. Ὅταν δὲ Μοιρῶν εἴκοσι πρὸς ταῖς ἑκατὸν, τριγωνίζουσιν. Ὅταν δ' ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν, διαμετροῦσιν.

Ὁ μὲν οὖν Κρόνος καὶ ὁ Ζεὺς, καὶ ὁ Ἄρης, καὶ ἡ Σελήνη, πάντα σχηματισμὸν σχηματίζονται πρὸς τὸν Ἥλιον. Ἀφίστανται γὰρ διάστημα πᾶν ἀπ' αὐτοῦ. Ἡ δ' Ἀφροδίτη καὶ ὁ Ἑρμῆς, οὐκ ἀφίστανται τοῦ Ἡλίου διάστημα πᾶν. Ἀλλ' ὁ μὲν Ἑρμῆς, τὸ πλεῖστον, Μοιρῶν εἴκοσιν· ἡ δ' Ἀφροδίτη, τὸ πλεῖστον, Μοιρῶν πεντήκοντα. Σύνοδον δὲ πρὸς Ἥλιον ποιοῦνται, Κρόνος μὲν, δι' ἡμερῶν ὀκτὼ καὶ ἑβδομήκοντα πρὸς ταῖς τριακοσίαις· Ζεὺς δὲ, δι' ὀκτὼ καὶ ἐνενήκοντα πρὸς ταῖς τριακοσίαις· Ἄρης δὲ, δι' ὀγδοήκοντα πρὸς ταῖς ἑπτακοσίαις· Ἀφροδίτη δὲ, διὰ τεσσάρων καὶ ὀγδοήκοντα πρὸς ταῖς πεντακοσίαις· Ἑρμῆς δὲ, διὰ δέκα καὶ ἑκατὸν, καὶ μέσως τούτου γινομένου· Σελήνη δὲ δι' ἡμερῶν τοὐπίπαν τριάκοντα. Τῶν δὲ δώδεκα Ζωδίων τὰ ὀνόματα

ματα

ματα καὶ οἱ Χαρακτῆρες ἔχουσιν οὕτως. Κριὸς ♈. Ταῦρος ♉. Δίδυμοι ♊. Καρκῖνος ♋. Λέων ♌. Παρθένος ♍. Ζυγὸς ♎. Σκορπίος ♏. Τοξότης ♐. Αἰγόκερως ♑. Ὑδροχόος ♒. Καὶ ἰχθύες ♓.

Τοῦ μὲν οὖν ὑπὸ τὸν Κριὸν τμήματος τοῦ μέσου Κύκλου καὶ ἡλιακοῦ τῆς ἀρχῆς ὁ Ἥλιος ἁπτόμενος ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ τοῦ Μαρτίου μηνὸς, ἐαρινὴν Ἰσημερίαν ποιεῖ· τοῦ δ' ὑπὸ τὸν Ζυγὸν τῆς ἀρχῆς ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τοῦ Σεπτεμβρίου, φθινοπωρινὴν Ἰσημερίαν. Μεταξὺ δὲ τῶν δύω Ἰσημεριῶν, αἱ τροπαὶ γίνονται· κατὰ τὸ μέσον τῆς τρίτης καὶ εἰκοστῆς τοῦ Ἰουνίου ἡ Θερινή· ἀρχομένου τοῦ Ἡλίου, τὸ ὑπὸ τὸν Καρκῖνον διατρέχειν τμῆμα· κατὰ δὲ τὴν πέμπτην καὶ εἰκοστὴν τοῦ Δεκεβρίου, ἡ Χειμερινή· τὸ ὑπὸ τὸν Αἰγόκερων τμῆμα τοῦ Ἡλίου πεφθακότος. Μετὰ μὲν οὖν τὴν ἐαρινὴν Ἰσημερίαν ὑπὸ τὸν Ταῦρον ὁ Ἥλιος γίνεται, καὶ κατὰ τὴν τρίτην τοῦ Ἀπριλλίου καὶ εἰκοστήν· εἶθ' ὑπὸ τοὺς Διδύμους κατὰ τὴν τρίτην τοῦ Μαΐου καὶ εἰκοστήν· μετὰ δὲ τὴν θερινὴν Τροπὴν, ὑπὸ τὸν Λέοντα ὁ Ἥλιος ἔρχεται, τῇ πέμπτῃ τοῦ Ἰουλίου μηνὸς καὶ εἰκοστῇ· μετὰ τοῦθ' ὑπὸ τὴν Παρθένον, τῇ πέμπτῃ τοῦ Αὐγούστου καὶ εἰκοστῇ· μετὰ τὴν φθινοπωρινὴν Ἰσημερίαν, τὸ ὑπὸ τὸν Σκορπίον τμῆμα τὸν Ἥλιον δέχεται, τῇ πέμπτῃ τοῦ Ὀκτωβρίου καὶ εἰκοστῇ· μετ' αὐτὸ, τὸ ὑπὸ τὸν Τοξότην, τῇ πέμπτῃ καὶ εἰκοστῇ τοῦ Νοεμβρίου· μετὰ δὲ τὴν χειμερινὴν Τροπὴν ὁ Ἥλιος, ὑπὸ τὸν Ὑδροχόον ἀφικνεῖται, κατὰ τὴν τοῦ Ἰανουαρίου εἰκοστήν· ἔκτοτε κατὰ τὴν τοῦ Φευρουαρίου εἰκοστὴν, ὑπὸ τοὺς Ἰχθύας.

Τοῦ ζωδιακοῦ δὲ διῃρημένου εἰς ἴσα τμήματα δυωκαίδεκα τὰ λεγόμενα Ζώδια, τῶν Ζωδίων ἕκαστον εἰς τριάκοντα Μοίρας διῄρηται, ἤγουν τρεῖς Δεκανούς. Δέκα γὰρ ἔχει Μοίρας ὁ Δεκανός. Μία δ' ἑκάστη Μοῖρα τέμνεται λεπτοῖς πρώτοις ἑξήκοντα. Τούτων δ' ἕκαστον ὑποδιαιρεῖται πάλιν εἰς ἕτερα ἑξήκοντα λεπτὰ δεύτερα· καὶ τῶν δευτέρων ἕκαστον εἰς ἄλλα ἑξήκοντα τρίτα λεπτά. Καὶ τοῦτο τοῖς Ἀστρολόγοις ἐνεργεῖται μέχρι συμπληρώσεως τοῦ τῆς δωδεκάδος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεκάτος ποσοῦ. Τῇ δὲ φύσει πᾶν μέγεθος, ἐπ' ἄπειρόν ἐστι διαιρετόν. Τετήρηται δὲ δι' Ὀργάνων, ὡς ἡ μεταξὺ τῶν Τροπικῶν Περιφέρεια, ἥτις καὶ μέση καλεῖται ζώνη, Μοιρῶν ἐστιν ὀκτὼ πρὸς ταῖς τεσσαράκοντα. Ἡ ταύτης λοιπὸν ἡμίσεια, Μοιρῶν ἔσται τεσσάρων καὶ εἴκοσιν, ἥτις ἐστιν ἡ ἐξ ἑνὸς τῶν Τροπικῶν, μέχρι τοῦ Ἰσημερινοῦ. Πᾶσα δ' ἡ μεταξὺ τῶν Τροπικῶν Περιφέρεια, ἐκ τοῦ ἑνὸς ἴσα μέρους, ὀκτὼ Μοιρῶν πρὸς ταῖς τεσσαράκοντα· κἀκ τοῦ ἑτέρου μέρους, τῶν αὐτῶν ἔσται Μοιρῶν. Παράλληλοι γὰρ οἱ Κύκλοι. Οὕτως οὖν ἔσονται Μοιρῶν ἓξ πρὸς ταῖς ἐνενήκοντα, τὰ μεταξὺ τῶν Τροπικῶν δύω ἴσα τμήματα τοῦ μεγίστου Κύκλου τῆς Σφαίρας· οὗ δὴ ἡ Κύκλου μεγίστου ἑξήκοντα καὶ τριακοσίων ἔντος Μοιρῶν, ἡ ἐξ ἑκατέρου τῶν Πόλων πρὸς τὸν ἐγγὺς Τροπικὸν Περιφέρεια, ἔσται Μοιρῶν ἓξ καὶ ἑξήκοντα. Τετράκις γὰρ αἱ ἓξ καὶ Ἑξήκοντα Μοῖραι συντιθέμεναι πρὸς ἀλλήλας, τέσσαρες πρὸς ἑξήκοντα γίνονται καὶ διακοσίαις. Ταύταις τῶν ἓξ προστιθεμένων καὶ ἐνενήκοντα, αἱ ἑξήκοντα πρὸς ταῖς τριακοσίαις Μοῖραι συνάγονται, εἰς ἃς ὁ Ζωδιακὸς διαιρεῖται καὶ πᾶς ἄλλος μέγιστος Κύκλος. Τῆς περιμέτρου τοίνυν τοῦ Στερεώματος τοσούτων οὔσης Μοιρῶν, ἡ Διάμετρος ἔσται Μοιρῶν ἐλαττόνων ἢ εἴκοσι πρὸς ταῖς ἑκατόν. Εἰ γὰρ ἡ ἐκ τοῦ Κέντρου καὶ ἡ τοῦ Ἑξαγώνου πλευρὰ τοῦ εἰς τὸν αὐτὸν ἐγγραφομένου Κύκλον, ἴσαι ἀλλήλαις εἰσὶν, ὡς ἐκ τοῦ πεντεκαιδεκάτου θεωρήματος τοῦ τετάρτου βιβλίου τῶν στοιχείων πεπόρισται· οὐκ ἂν εἴη τὸ τρίτον τῆς Περιφερείας, ἴσον τῇ Διαμέτρῳ. Δύω μὲν γὰρ Ἑξαγώνου πλευραὶ, ἡ Διάμετρος· ἐπεὶ δύω ἐκ τοῦ Κέντρου. Καὶ ὑποτείνουσιν αἱ δύω τοῦ Ἑξαγώνου πλευραὶ, δύω τμήματα τῆς Περιφερείας· ὧν ἕκαστον ἕκτον μέρος τοῦ μεγίστου Κύκλου τῆς Σφαίρας· ὁμοῦ δὲ τὰ δύω, τρίτον. Εἰ τοίνυν ἡ ὅλη τῆς Περιφερείας περίμετρος, ἑξήκοντα καὶ τριακοσίων Μοιρῶν, τὸ τρίτον ταύτης εἴκοσι Μοιρῶν πρὸς ταῖς ἑκατόν. Εἰ μὲν οὖν ἴση ἦν ἡ Εὐθεῖα τῇ Περιφερείᾳ, ἦν ἂν καὶ ἡ Διάμετρος Μοιρῶν εἴκοσι πρὸς ταῖς ἑκατόν. Ἐπεὶ δ' ἐλάττων ἡ Εὐθεῖα τῆς Περιφερείας, ἣν ὑποτείνει, διὰ τοῦτο

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἡ Διάμετρος ἐλαττόνων ἔσται Μοιρῶν, ἢ εἴκοσι πρὸς ταῖς ἑκατόν.

Ὅθεν εἰ κατὰ τοὺς περὶ Ἀρχιμήδην πᾶσα δὴ Σφαῖρα καὶ πᾶς Κύκλος, λόγον ἔχει πρὸς τὴν οἰκείαν Διάμετρον, ὡς ἔγγιστα τριπλασιεφέβδομον, ἤγουν τὸ τριπλάσιον τῆς Διαμέτρου, καὶ τὸ ἕβδομον τῆς Διαμέτρου, μὴ κατ' ἀκρίβειαν· ἔσται μὲν ἡ ἐκ τοῦ Κέντρου, Μοιρῶν ἑπτὰ καὶ πεντήκοντα μετά τινος μορίου Μοίρας μιᾶς. Ἡ δὲ Διάμετρος, διπλασίων οὖσα τῆς ἐκ τοῦ Κέντρου, Μοιρῶν τεσσάρων καὶ δέκα πρὸς ἑκατὸν, οὐ κατ' ἀκρίβειαν. Αἱ δ' ἀντιφερόμεναι Σφαῖραι τῇ πρώτῃ καὶ ὄντως Ἀπλανεῖ, πρὸς ἀντώθησιν λέγονται γεγονέναι τῆς ὀξυτάτης Φορᾶς ἐκείνης, καὶ τῆς ἐπὶ τοσοῦτον ταχυδρομίας ἀναστολὴν, ἵν' ἐντεῦθεν καὶ Φυσικῷ λόγῳ τὸ πᾶν συνέχηται παρὰ τοῦ σοφοῦ πάντων τῶν ὄντων καὶ αὐτῆς τῆς Φύσεως Δημιουργοῦ, καὶ μὴ διὰ τὴν ἄκραν ὀξυκινησίαν παρασυρῇ, τῆς ἀντιρρόπου κινήσεως ἀντερειδούσης καὶ ἀντεχούσης πρὸς τὸ τῆς ῥύμης σφοδρότατον.

Τῆς τοίνυν ἐνάστρου Σφαίρας καὶ ὁρωμένης, τῆς πρώτως καὶ ἰσχυρῶς ἀντιφερομένης τῷ Οὐρανῷ, καὶ ἀπλανοῦς δοκούσης καὶ λεγομένης, τὸν Ζωδιακὸν ἐχούσης βεβλημένον ταύτης μέσον λοξῶς, εἰς ἴσα τε δυωκαίδεκα τμήματα διῃρημένον, οἱ τῶν Ἀστρολόγων ἀρχαιότεροι, τὰ τοιαῦτα δυωκαίδεκα τμήματα τὰ καὶ Ζώδια καλούμενα, οὐ τῆς αὐτῆς καὶ μιᾶς ὑπέλαβον εἶναι κράσεως, ἀλλὰ διαφέρειν ἀλλήλων κατά τε θερμότητα καὶ ψυχρότητα, κατά τε ξηρότητα καὶ ὑγρότητα. Τοῦτο δὲ κἂν τοῖς Πλάνησι πεποιήκασι· καὶ τινὰς μὲν αὐτῶν θερμοὺς εἶναι, τινὰς δὲ ψυχρούς· καὶ τινὰς μὲν, ξηρούς· τινὰς δὲ, ὑγροὺς ἀπεφήναντο· καὶ ἄλλους ἄλλων θερμοτέρους τυγχάνειν ἢ ψυχροτέρους, καὶ ξηροτέρους ἢ ὑγροτέρους.

Τοῖς ἐν ἑπτὰ Πλάνησιν εἰς Οἴκους τὰ δώδεκα Ζώδια διενείμαντο, ταῖς αὐτῶν ἰδιότησι, καταλλήλους τοὺς Οἴκους θέμενοι. Διὸ τῷ μὲν Ἡλίῳ οἷα θερμοτάτῳ δεδώκασιν Οἶκον τὸν Λέοντα τὸ παρ' αὐτοῖς κριθὲν θερμότατον Ζώδιον. Ὡς ὑγροτάτῃ δὲ τῇ Σελήνῃ, τὸν Καρκῖνον Ζώδιον ὑγρό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑγρότατον αὐτοῖς λογισθέντα. Τοῖς δὲ λοιποῖς Πλάνησιν ἀνὰ δύω Ζώδια δεδώκασιν Οἴκους ταῖς αὐτῶν ἰδιότησιν ὡς ὑπέλαβον προσφυῶς.

Ἀλλὰ δὴ καὶ Ὑψώματα, καὶ Ταπεινώματα, καὶ Ἐναντιώματα προσεξεῦρον πᾶσι τοῖς Πλάνησιν. Ἔχει τοίνυν κατ' αὐτοὺς ὁ Ἥλιος οἶκον τὸν Λέοντα, τὸ θερμότατον Ζώδιον ὁ θερμότατος. Ὅθεν καὶ τὸ τοιοῦτον ὑπερχόμενος Ζώδιον, αὔξει τὴν οἰκείαν θερμότητα· καὶ Οἶκος μὲν Ἡλίου, ὁ Λέων· Ὕψωμα, ὁ Κριός· Ταπείνωμα, ὁ Ζυγός· Ἐναντίωμα, ὁ Ὑδροχόος. Ὕψωμα μὲν ὁ κριός, ἐπείπερ ὅταν ὁ Ἥλιος τὸ ὑπὸ τὸν Κριὸν ἄρχηται τμῆμα διέρχεσθαι, ἄρχεται καὶ ὑψοῦσθαι τοῖς ὑψηλοτέροις τοῦ κόσμου μέρεσιν, ἤγουν τοῖς βορειοτέροις, ἐκ τῶν νοτιωτέρων καὶ ταπεινοτέρων ἐπιδημῶν. Τὴν ἐαρινὴν οὖν ἐκτελέσας Ἰσημερίαν, τὰς Ἡμέρας μείζους ποιεῖ· Ταπείνωμα, ὁ Ζυγός, ὅτι τὸ ὑπὸ τὸν Ζυγὸν ἀρχόμενος ὁ Ἥλιος τμῆμα διέρχεσθαι, ταπεινοῦται τοῖς κόσμου ταπεινοτέροις μέρεσιν, ἤγουν τοῖς νοτιωτέροις πλησιάζων, καὶ τὴν φθινοπωρινὴν ποιήσας Ἰσημερίαν, ἐλάττους ἐργάζεται τὰς Ἡμέρας· Ἐναντίωμα, ὁ Ὑδροχόος, ὅτι χειμερινώτατον τὸ Ζώδιον καὶ ψυχρότατον καὶ ἀντίκειται τῷ θερμοτάτῳ Ἡλίῳ. Καὶ τῷ Λέοντι δὲ τῷ τοῦ Ἡλίου οἴκῳ, καὶ κατὰ ποιότητα καὶ κατὰ τόπον ἀντίκειται, κατὰ διάμετρον ὤν.

Ἐκ τούτων δῆλον, διατί καὶ τοῖς ἄλλοις Πλάνησιν οἶκοι καὶ Ὑψώματα, καὶ Ταπεινώματα, καὶ Ἐναντιώματα λέγονται. Οἶκοι μὲν γάρ, διὰ τὴν οἰκειότητα καὶ τὸ προσφυὲς καὶ κατάλληλον· Ὑψώματα, διότι ἐντεῦθεν οἱ Πλάνητες ἄρχονται πρὸς τὰ ὑπὸ τὸν Ζωδιακὸν βορειότερα γίνεσθαι, τὸ μέσον αὐτοῦ παραμείβοντες· Ταπεινώματα, διότι πρὸς τὸ τοῦ Ζωδιακοῦ νότιον ἔνθεν ἄρχονται ὑποφέρεσθαι, τὸ τοῦ Ζωδιακοῦ μέσον καὶ αὖθις ὑπεξαλλάττοντες· Ἐναντιώματα, διότι τῆς τῶν Ἀστέρων ἰδιότητος ἀντίθεσιν φέρει τὸ Ἐναντίωμα· τῆς ξηρότητος, τὸ ὑγρόν· τῆς θερμότητος, τὸ ψυχρόν· τὸ ὑπερβάλλον, τοῦ μετρίου· καὶ τὸ μέτριον, τοῦ ὑπερβάλλοντος.

Ὁ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ μὲν οὖν Ἥλιος, οἶκον ἕνα καὶ μόνον ἔχει τὸν Λέοντα. Καὶ ἡ Σελήνη δὲ, τὸν Καρκῖνον μονώτατον· ἐπεὶ τῷ μὲν, ὑπερεκπερισσοῦ τὸ θερμὸν· τῇ δὲ, καθ᾽ ὑπερβολὴν τὸ ὑγρὸν, ὡς καὶ κατὰ ταύτας μόνας τὰς ποιότητας τοὺς τοιούτους εἰδοποιεῖσθαι Φωστῆρας.

Τῶν δὲ Πλανήτων ὁ ὑψηλότερος Κρόνος ὁ καὶ ψυχρότατος καὶ ξηρὸς ἱκανῶς, Οἴκους ἔχει δύω· τὸν Αἰγόκερων καὶ τὸν Ὑδροχόον· τὸν μὲν ὡς ξηρότητος μέτοχον, τὸν δ᾽ ὡς ὑπέρψυχρον· Ὕψωμα, τὸν Ζυγὸν· Ταπείνωμα, τὸν Κριὸν· Ἐναντιώματα, τὸν Λέοντα, οἷα ψυχρὸς· τὸν Καρκῖνον, οἷα ξηρός.

Ὁ Ζεὺς θερμὸς ὢν ἠρέμα καὶ μετρίως ὑγρὸς, Οἴκους ἔχει τὸν Τοξότην καὶ τοὺς Ἰχθύας· τὸν μὲν, ὡς μικρᾶς θερμότητος· τοὺς δ᾽, ὡς ὀλίγης ὑγρότητος ἐν μετοχῇ. Ὕψωμα, τὸν Καρκῖνον· Ταπείνωμα, τὸν Αἰγόκερων· Ἐναντιώματα, τοὺς Διδύμους καὶ τὴν Παρθένον. Τῶν μὲν γὰρ Διδύμων καυσώδη τὰ νότια καὶ ξηρά· τῆς δὲ Παρθένου πλέον τοῦ μετρίου τὸ δίυγρον.

Ὁ Ἄρης ὁ θερμὸς καὶ πλέον ξηρὸς, Οἴκους ἔχει τὸν Κριὸν καὶ τὸν Σκορπίον· τὸν μὲν, ὡς θερμόν· τὸν δὲ Σκορπίον, ὡς θερμὸν ὁμοῦ καὶ ξηρόν. Ὕψωμα, τὸν Αἰγόκερων· Ταπείνωμα, τὸν Καρκῖνον· Ἐναντιώματα, τὸν Ταῦρον καὶ τὸν Ζυγόν. Εὐκραῆ γὰρ ἄμφω τὰ Ζώδια.

Ἡ Ἀφροδίτη, μέσης τυγχάνουσα κράσεως, Οἴκους ἔχει τὸν Ταῦρον καὶ τὸν Ζυγὸν, μέσης καὶ αὐτοὺς τυγχάνοντας κράσεως. Ὕψωμα, τοὺς Ἰχθύας· Ταπείνωμα, τὴν Παρθένον· Ἐναντιώματα, τὸν Κριὸν καὶ τὸν Σκορπίον, τὴν μέσην κρᾶσιν οὐκ ἔχοντας.

Ὁ Ἑρμῆς εὐκρασίας μετέχων δὴ καὶ αὐτὸς, Οἴκους ἔχει τοὺς Διδύμους καὶ τὴν Παρθένον. Τῶν μὲν γὰρ Διδύμων, εὔκρατά εἰσι τὰ βόρειά τε καὶ τὰ μέσα· τῆς δὲ Παρθένου, τὰ νότια· τὴν Παρθένον ἔχει καὶ Ὕψωμα· τοὺς Ἰχθύας, καὶ Ταπείνωμα· τοὺς αὐτοὺς, καὶ Ἐναντιώματα. Τὰ μὲν γὰρ προηγούμενα τῶν Ἰχθύων, εὐκραῆ· τὰ μέσα, κάθυγρα· τὰ μετὰ τὰ μέσα, πυρώδη τε καὶ καυσώδη. Ἕτερον Ἐναντίωμα, τὸν Τοξότην ὁ Ἑρ-

ὁ Ἑρμῆς ἔχει. Τὰ γὰρ μετὰ τὰ μέσα, πυρῶδη φέρει τοῦτο τὸ ζώδιον· κάθυγρα δὲ, τὰ νότια, καὶ ἄμφω τῆς εὐκρασίας ἐκπίπτοντα. Ἡ ὑγροτάτη Σελήνη, τὸν ὑγρότατον Καρκῖνον, ἔχει Οἶκον· τὸν Ταῦρον, Ὕψωμα· τὸν Σκορπίον, Ταπείνωμα· τὸν Αἰγόκερων, Ἐναντίωμα. Τὰ μὲν γὰρ αὐτοῦ μέρη τὸ ξηρὸν οὐκ ἔχει· τὰ πλείω δέ γε ξηρὰ καὶ μεστὰ ψυχρότητος· ἧς δὴ ψυχρότητος, ἀμέτοχος ἡ Σελήνη, τὴν κατ' ἐπεισαγωγὴν ἐκ τοῦ Ἡλίου μερικὴν κεκτημένη θερμότητα.

# ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

## Περὶ Ἡλίου.

Ὁ Ἥλιος μείζων ἐστὶν ἁπάσης τῆς Γῆς· οὐ φαίνεται δὲ τοιοῦτος, διὰ τὴν ἀφ' ἡμῶν ἀπόστασιν, πάνυ γε πολλὴν οὖσαν· ἐπεὶ μηδ' ἄλλοτι τῶν μήκοθεν ὁρωμένων φαίνεται τοιοῦτον οἷόν ἐστι, διὰ τὸ τῆς ὄψεως ἀσθενὲς, ὃ καὶ τὰς μεγάλας νήσους ἐκ μακροῦ διαστήματος, εὐπεριγράπτους φαντάζεται. Σαφῶς δὲ δείκνυσι τὸ κατὰ τὸν Ἥλιον μέγεθος, ἡ σκιὰ τῆς Γῆς. Ὅτε γὰρ σῶμα σφαιροειδὲς ὑπὸ σφαιροειδοῦς φωτίζεται σώματος, εἰ μὲν μεῖζον ἐστὶ τοῦ φωτίζοντος, ἐκπέμπει σκιὰν ἀεὶ πρὸς τῷ τέλει μᾶλλον πλατυνομένην. Κόλουρος γὰρ Κῶνος οἷόν ἐστιν, ἔχων πρὸς τῇ ἀρχῇ τὸ στενώτερον. Εἰ δ' ἴσον ἐστὶ τὸ φωτιζόμενον τῷ φωτίζοντι, κυλινδροειδῆ τὴν σκιὰν ἀποτελεῖ, τὸ ἴσον ἑαυτῆς διασώζουσαν. Εἰ δ' ἔλαττον τοῦ φωτίζοντος ὑπάρχει τὸ φωτιζόμενον, ἡ σκιὰ τούτου τυγχάνει κωνοειδὴς, ἀεὶ κατὰ τὸ πέρας λεπτυνομένη μέχρις ἀφανισμοῦ παντελοῦς. Κωνοειδὴς οὖν οὖσα τῆς γῆς ἡ σκιὰ, δείκνυσιν ἀριδήλως τὸν Ἥλιον ὄντα μείζω τῆς γῆς. Ὅτι δὲ κωνοειδὴς ἐστὶν ἡ σκιὰ τῆς Γῆς, γνώριμον ἐκ τῶν φαινομένων. Εἰ γὰρ ἦν κυλινδροειδὴς, ὅλον ἂν τὸ πλάτος τοῦ Ζωδιακοῦ κατελάμβανε μὴ εἰς ὀξύ γε ἀποκορυφουμένη· καὶ οὕτως ἑκάστου μηνὸς ἦν ἂν ἡ Σελήνη ἐκλείπουσα, τῇ σκιᾷ τῆς Γῆς ἀναγκαίως ἐμπίπτουσα. Πρόεισι δὲ καὶ μέχρι τοῦ χύματος τῶν Ἀστέρων ἡ τοιαύτη σκιά· καὶ ποτὲ μὲν αὐτοὺς ἐποίει

φαίνε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φαίνεσθαι λαμπροτέρους, ποτὲ δὲ μὴ τοιούτους. Πᾶν γὰρ σῶμα πύρινον, ἐν μὲν τῇ σκιᾷ λαμπρότερον φαίνεται· κατὰ δὲ τὰς ἡλιακὰς ἢ καὶ τὰς σεληνιακὰς αὐγὰς, ἀμαυρότερον. Ὥσπερ καὶ οἱ Ἀστέρες ἐν ἀσελήνοις νυξὶν, αἰθρίας οὔσης, λαμπρότεροι φαίνονται. Εἰ δ᾽ ἐπλατύνετο πρὸς τῷ τέλει τὰ τῆς σκιᾶς, οὐ τῷ πλάτει τοῦ Ζωδιακοῦ μόνον, ἀλλὰ καὶ ἄλλοις τοῦ Στερεώματος συμπαρεκτέτατο μέρεσι, καὶ οὕτως ἡ Σελήνη μὴ μόνον ἑκάστου Μηνὸς, ἀλλὰ καὶ διὰ πάσης νυκτὸς ἔμεινεν ἀλαμπὴς, διὰ τὸ εἶναι ταύτην ἐν τῇ σκιᾷ. Τοιγαροῦν κωνοειδοῦς τῆς σκιᾶς οὔσης τῆς Γῆς, ἀναντιῤῥήτως ὁ Ἥλιος μείζων τῆς Γῆς.

Ἐκλείπων δ᾽ οὗτος δοκεῖ, τῆς Σελήνης ὑποθεούσης αὐτὸν, καὶ οὕτως ἐπιπροσθούσης ταῖς ἡμῶν ὄψεσιν. Ἡ γὰρ ἡλιακὴ Ἔκλειψις, πάθος ἐστὶ τῆς ἡμῶν ὄψεως, τοῦ Ἡλίου μένοντος ἀπαθοῦς. Ὁπόταν οὖν ἡ Σελήνη συνοδεύσασα τῷ Ἡλίῳ, καὶ κατὰ τὴν τοιαύτην εὑρεθεῖσα Σύνοδον ἐν τῷ μέσῳ καὶ ἡλιακῷ, τὸν Ἥλιον ὑποδράμοι, σκιὰν ἐπὶ τὴν Γῆν ἀποπέμπει κωνοειδῆ· καὶ ἡ σκιὰ λέγεται διήκειν εἰς πλάτος ἐπὶ πλέον, ἢ τετρακισχιλίων σταδίων. Πᾶς γὰρ τόπος ἐν ᾧ μὴ ὁρᾶται ὁ Ἥλιος, τῆς Σελήνης ὑποδραμούσης αὐτὸν, τῆς σκιᾶς τῆς Σελήνης πεπλήρωται.

Μέγα μὲν οὖν καὶ τὸ σῶμα τῆς Σελήνης. Εἰ γὰρ ἐπὶ τοσοῦτον τῆς Γῆς ἐκτέταται τὸ φθάνον πρὸς ἡμᾶς τῆς σκιᾶς, ποσταπλάσιον ἔσται τὸ πρὸς τῇ βάσει, τὸ καὶ τῇ διαμέτρῳ τῆς Σελήνης παρεξισούμενον; Τέως δ᾽ οὐ μόνον τοῦ ἡλιακοῦ μεγέθους τὸ τῆς Σελήνης ἔλαττον, ἀλλὰ καὶ τοῦ τῆς Γῆς, καὶ πολὺ ἔλαττον. Πάμπολυ δὲ λειπόμενον τοῦ ἡλιακοῦ μεγέθους τὸ σῶμα τῆς Σελήνης, δύναται κρύπτειν τὸν Ἥλιον ἐν ταῖς ὑποδρομαῖς, καὶ μήτ᾽ αὐτὸν ἐᾶν ἐκπέμπειν τὸ φῶς πρὸς ἡμᾶς, μήθ᾽ ἡμᾶς αὐτὸν καθορᾶν. Τοῦτο δὲ καὶ μικρά τινα σώματα ποιεῖ ὁπωσοῦν, νέφος τυχὸν, ἢ βουνὸς, ἢ τοῖχος, ἢ ἄλλο τι τοιοῦτον.

Ὅταν μὲν οὖν κατὰ τὴν Σύνοδον ἡ Σελήνη μέσον ὑποτείνουσα τὸν ἡλιακὸν εὑρεθείη, ὁλοτελὴς ἡ τοῦ Ἡλίου Ἔκλειψις γίνεται. Ὁπόταν δὲ τὸ μεσαίτατον ἐκκλίνοι

τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ ἡλιακοῦ, πρὸς λόγον φαίνεται καὶ ἡ Ἔκλειψις μερική. Κἀπὶ μὲν τῶν μερικῶν Ἐκλείψεων, ἂν μὲν ἀπὸ τῶν βορείων ὡς ἐπὶ τὰ νότια φερομένη ἡ Σελήνη τὸν Ἥλιον ὑπέλθοι, τὰ πρὸς Ἄρκτον αὐτοῦ μέρη ἐπισκοτεῖ· ἂν δ' ἐκ τῶν νοτίων ὡς ἐπὶ τὰ βόρεια, τὰ πρὸς Μεσημβρίαν· κατὰ δὲ τὰς τελείας Ἐκλείψεις τὸν ἡλιακὸν μέσον ὑπερχομένη, τὰ πρὸς δύσιν τετραμμένα τοῦ Ἡλίου πρῶτον ὑποσκιάζει· μετὰ δὲ ταῦτα Ὅλον αὐτὸν ὑποτρέχουσα καλύπτει· παρερχομένη δ' αὐτὸν, ἐκεῖνα τὰ μέρη παραχωρεῖ φαίνεσθαι πρῶτον, ἃ δὴ καὶ πρῶτον ἐκάλυψε. Τοῦτον οὖν τὸν τρόπον αἱ γεγονυῖαι τοῦ Ἡλίου Ἐκλείψεις ἅπασαι γεγονέναι ἱστόρηνται. Καὶ οὕτω πέφυκεν Ἔκλειψις ἅπασα γίνεσθαι.

Μόνη δὲ τῶν ὅλων ἡ κατὰ τὴν σωτήριον τοῦ Κυρίου γεγονυῖα Σταύρωσιν Ἔκλειψις, ὑπὲρ φύσιν γέγονεν ἅπασαν. Συνόδου γὰρ οὐκ οὔσης, μᾶλλον μὲν οὖν καὶ διαμετρούντων ἤδη τῶν Φωστήρων ἀλλήλους, ἐξ Ἀνατολῶν, ἡ Σελήνη θείῳ νεύματι κινηθεῖσα καινοπρεπῶς, τὸν Ἥλιον ὅλον ὑπέδραμε πρῶτον καλύψασα τὰ πρὸς Ἀνατολὰς αὐτοῦ μέρη, καὶ τρισὶν ὥραις ἐπισκοτήσασα τούτῳ, κατ' ἀναποδισμὸν αὖθις ὡς ἐκ Δυσμῶν πρὸς Ἀνατολὰς ἀγομένη, τὰ πρὸς Δύσιν τετραμμένα τοῦ Ἡλίου μέρη πρώτως εἴασε φαίνεσθαι. Ταῦτα περὶ τῆς τοῦ Ἡλίου Ἐκλείψεως.

Εὑρίσκεται δὲ διὰ τῶν Ὑδρολογίων ὁ Ἥλιος, πεντηκοστὸν μέρος τοῦ οἰκείου Κύκλου καὶ ἑπτακοσιοστόν. Καταμετρούμενον γὰρ τὸ ῥυὲν ὕδωρ, ἐν ᾧ χρόνῳ τὸ ἡλιακὸν ἅπαν σῶμα τοῦ ὁρίζοντος ἀνελήλυθε, μετὰ τὸ δεῖξαι τὴν πρώτην ἴτυν ὑπὲρ τὸν Ὁρίζοντα, μέρος εὑρίσκεται πεντηκοστὸν καὶ ἑπτακοσιοστὸν τοῦ ὅλου ὕδατος, ὅπερ ἔρρευσε δι' ὅλης τῆς Ἡμέρας τε καὶ Νυκτός. Αὕτη δ' ἡ μέθοδος ὑπὸ πρώτων τῶν Αἰγυπτίων ἐπινενόηται, τὸ χρήσιμον ἔν τε ταῖς τῶν Ἰσημεριῶν εὑρέσεσιν ἔχουσα, καὶ ἐν ἄλλοις πολλοῖς.

Φαίνεται δ' ὁ Ἥλιος ἀνίσχων τε καὶ δυόμενος, μείζων κατὰ τὸ μέγεθος καὶ πλέον ἡμῶν ἀφεστώς. Μεσουρανῶν δὲ, τὸ μέγεθος καὶ τὴν ἐξ ἡμῶν ἀπόστασιν ἔχων ἐλάττω δοκεῖ· καὶ ταῦτα, πανταχόθεν οἱονεὶ τὸ ἴσον ἀπέχων ἡμῶν·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῶν· εἴγε καὶ πρὸς τὴν αὐτοῦ Σφαῖραν ἐπέχει Κέντρου λόγον ἡ Γῆ. Τὸ δ᾽ αἴτιον, ὅτι πρὸς μὲν τῷ ὁρίζοντι διὰ ...οτέρου καὶ παχυτέρου ἀέρος ὁρῶμεν αὐτόν. Καὶ γὰρ τοιοῦτος ὁ πρόσγειος. Κἀντεῦθεν περικλωμένης τῆς ὄψεως ἡμῶν, μείζων τε φαίνεται ὁ Ἥλιος καὶ πορρωτέρω· μεσουρανῶν δὲ, διὰ λεπτοτέρου καὶ καθαρωτέρου ἀέρος ὁρώμενος, ἐλάττων τε τῷ μεγέθει καὶ ἡμῶν ἐγγυτέρω νομίζεται· πολὺ δὲ μείζων ἱστόρηται φαίνεσθαι καὶ πόῤῥω πλέον ἀφεστηκὼς, τοῖς ἐκ βαθέων Φρεάτων ὁρᾷν δυναμένοις αὐτόν. Δύνανται δὲ τοῦτο πάντως, οἵ, τε τῆς Συήνης οἰκήτορες, κατὰ κάθετον ἐπιβάλλοντος τοῦ Ἡλίου τὰς ἀκτῖνας αὐτοῖς, ἐν ἀτρεκεῖ Μεσημβρίᾳ κατὰ τροπὰς θερινὰς, καὶ ἄσκιον ποιοῦντος τὴν γῆν αὐτῶν ὡς ἐπὶ σαδίους τριακοσίους τὴν διάμετρον, καὶ ὅσοι ἄλλοι πλησίον τῆς διακεκαυμένης ἔλαττον ἔχειν τὴν οἴκησιν. Φαίνεται δὲ τούτοις ὁ Ἥλιος μείζων ἤπερ ἡμῖν, διὰ παχέος ἀέρος καὶ νοτεροῦ καὶ καθύγρου τοῦ ἐν τοῖς Φρέασιν ὄντος ὁρώμενος, πολλῆς ἐκ τούτου τῇ ὄψει γινομένης τῆς περικλάσεως. Καὶ εἴπερ ἦν διὰ παχυτέρων καὶ σερεῶν σωμάτων ὁρᾶσθαι τὸν Ἥλιον, ἔτι μεῖζον ἂν ἔδοξεν ἔχων τὸ μέγεθος, καὶ τὴν ἐξ ἡμῶν ἀπόσασιν πλείονα· πλέον πάντως περικλωμένης τῆς ὄψεως. Καὶ τῶν περὶ αὐτὸν δὲ θεωρουμένων διαφόρων Χρωμάτων ἄλλοτε ἄλλων, ἡ τοῦ ἀέρος ἐσὶ ποιότης αἰτία· παχούσης ἐντεῦθεν τῆς ἡμετέρας ὄψεως, καὶ ἄλλοτε ἀλλοῖα φανταζομένης τὰ ὁρατὰ, κατά τε Χρῶμα καὶ Μέγεθος, ἀλλὰ δὴ καὶ Σχηματισμόν.

## ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

### Περὶ Σελήνης.

Ἡ Σελήνη κατωτέρα τε καὶ προσγειοτέρα τῶν ὅλων Πλανήτων ὑπάρχουσα, πολλὰς μὲν ἐν τῷ ἀέρι τροπὰς ἐργάζεται· πολλὰ δὲ τῶν ἐπὶ γῆς ἀλλοιοῖ ἑαυτῇ ταῦτα συμμεταβάλλουσα· τοὺς Πλανήτας τε πάντας ὑποτρέχει καὶ ὑποσκιάζει· ταύτην δὲ τῶν ὅλων οὐδείς. Κατ᾽ αὐτὸ γάρ ἐσι τὸ τοῦ

Αἰθέρος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αἰθέρος ἔσχατον, καθ᾽ ὃ συνάπτει τῷ ὑπεκκαύματι ὁ Αἰθήρ. Διὸ καὶ ζοφερὸν καθ᾽ αὑτὸ τὸ τῆς Σελήνης σῶμα. Πέφυκε δὲ τὰς ἡλιακὰς δέχεσθαι λαμπηδόνας, καὶ ὑπ᾽ αὐτῶν καταλάμπεσθαι, καὶ ἀποπέμπειν πρὸς τὸν ἀέρα τὸ φῶς.

Τινὲς μὲν οὖν κατ᾽ Ἀνάκλασιν φωτίζειν λέγουσι τὴν Σελήνην, ἅτε πυκνότητος μετέχουσαν ἱκανῆς, κἀντεῦθεν δυναμένων τῶν ἡλιακῶν ἀκτίνων μετὰ τὸ προσβαλεῖν αὐτῇ, πάλιν ἀπ᾽ αὐτῆς ἀνακλᾶσθαι καὶ τὸν ἀέρα φωτίζειν. Ἕτεροι δὲ πρὸς ταύτην τὴν δόξαν καλῶς ἐνιστάμενοι, λέγουσιν· ὅτι τὰ κατ᾽ Ἀνάκλασιν φωτίζοντα, καὶ τόπον ὀλίγον φωτίζει, καὶ πρὸς ὀρθὰς γωνίας ἐκπέμπει τὸ φῶς. Εἰ τοίνυν οὕτω καὶ ἡ Σελήνη ἐφώτιζεν, οὔτε πρὸς αὐτὴν τὴν γῆν τὸ φῶς διεβίβαζεν, οὔτε Μηνοειδὴς ἢ Διχότομος οὖσα, τὴν Γῆν φωτίζειν ἠδύνατο. Περιφεροῦς γὰρ τῆς Σελήνης οὔσης, πρός τε Δύσιν καὶ πρὸς Ἀνατολήν, ὡς ἐπ᾽ αὐτὸν τὸν Ἥλιον τὸ ταύτης ἀπεπέμπετο φῶς, ἔν τε τοῖς Μηνοειδέσι Σχήμασι καὶ τοῖς Διχοτόμοις. Φαίνεται γοῦν ἐντεῦθεν, μὴ κατ᾽ Ἀνάκλασιν ἐκ τῆς Σελήνης εἶναι τὸ φῶς, ἀλλὰ κατ᾽ ἰδιότητα δεχομένης αὐτῆς τὰς ἡλιακὰς ἀκτῖνας εἰς βάθος, οὐκ εἰς μόνην τὴν Ἐπιφάνειαν· οὕτως ἐξ αὐτῆς τὸν ἀέρα φωτίζεσθαι καὶ τὴν Γῆν. Εἰκὸς οὖν δέχεσθαι τὴν Σελήνην τὸ φῶς, ὡς τοὺς Σπόγγους τὸ ὕδωρ· μὴ φέρειν δ᾽ αὐτὸ δι᾽ ὅλης αὐτῆς διϊκνούμενον· ὅτι τε τὸ ταύτης σῶμα παχύτητος καὶ πυκνότητος οὐκ ὀλίγης μετέχει, καὶ ὅτι καὶ μήκοθεν ἐπιβάλλει ταύτῃ τὰς ἀκτῖνας ὁ Ἥλιος. Πολὺ γὰρ ἀφέστηκεν ἐξ αὐτῆς, εἴπερ μεῖζον ἢ ἑπτακαιδεκαπλάσιον, οὗπερ ἀφέστηκεν ἡ Σελήνη τῆς Γῆς, ὡς δείκνυται γραμμικῶς.

Εἴη δ᾽ ἂν Ἰδιότης μάλιστα τῆς Σελήνης, ὥσπερ τὸ τὰς ἡλιακὰς ἀκτῖνας εἰσδέχεσθαι καὶ ὑπ᾽ αὐτῶν αὐγάζεσθαι καὶ αὐταυγάζειν τὸ περιέχον. Οὕτω καὶ τὸ μὴ δι᾽ ὅλου τοῦ σώματος αὐτῆς ἔχειν διαβιβαζομένας αὐτάς· ἀεὶ δὲ τὸ πρὸς τὸν Ἥλιον τετραμμένον μέρος ἡ Σελήνη περιαυγάζεται, καὶ ἄλλοτε ἄλλο. Διὸ καὶ Σελήνη λέγεται διὰ τὸ σέλας νέον ἔχειν ἀεί, καὶ οὔποτε παλαιόν. Εἰ

μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν γὰρ τὴν αὐτὴν σχέσιν ἐφύλαττε διαπαντὸς πρὸς τὸν Ἥλιον, ἓν ἂν εἶχε μέρος καὶ τὸ ὑπ᾽ αὐτοῦ φωτιζόμενον. Ἐπεὶ δὲ κατὰ τὴν πλανητικὴν αὐτῆς πορείαν, ποτὲ μὲν προσέρχεται τῷ Ἡλίῳ, ποτὲ δ᾽ ἀπ᾽ αὐτοῦ μακρύνει· διὰ τοῦτο ἄλλοτε ἄλλο μέρος λαμπρύνεται. Καὶ ὅπερ ἐςῶσα πέπονθεν ἡ γῆ πρὸς τὸν ἡλιακὸν φωτισμὸν, τοῦτο καὶ ἡ Σελήνη κινουμένη. Καὶ γὰρ ὥσπερ ἡ Γῆ τὸ ἶσον ἀπὸ τοῦ Ἡλίου ἔχουσα φῶς, ἄλλοτε ἄλλα καταλάμπεται μέρη κατὰ τὴν τοῦ Ἡλίου περίοδον, συμπερινοςούσης αὐτῷ καὶ
1 τῆς λαμπηδόνος, καὶ τῆς κατὰ τὴν γῆν σκιᾶς· οὕτω καὶ ἡ Σελήνη, τὸ αὐτὸ μὲν ἔχει φῶς ἐκ τοῦ Ἡλίου διηνεκῶς, ἐκ ποτὲ μὲν μείζονος, ποτὲ δ᾽ ἐλάττονος ἐλλαμπομένου μέρους αὐτῆς· πλὴν οὐκ ἀεὶ τὸ αὐτὸ καὶ ἓν καταφωτίζεται μέρος, διὰ τὸ διάφορον τῶν πρὸς τὸν Ἥλιον σχέσεων αὐτῆς.
1 Προσιούσης γὰρ τῷ Ἡλίῳ καὶ πάλιν μακρυνομένης αὐτοῦ, ἄλλοτε ἄλλα μέρη ταύτης λαμπρύνεται τὸ ἡλιακὸν ἐχούσης φῶς περὶ τὸ ἅπαν ταύτης σῶμα ςρεφόμενον κυκλικῶς.

Ὁπότε μὲν οὖν σύνοδος εἴη, τὸ πρὸς Οὐρανὸν τετραμμένον
2 μέρος αὐτῆς καταυγάζεται. Τότε γὰρ αὐτὸ πρὸς τὸν Ἥλιον ἀφορᾷ. Παραμειβούσης δὲ τῆς Σελήνης τὸν Ἥλιον, ἐπιςρέφεται πρὸς αὐτὸν τὸ μέρος αὐτῆς, ὃ βλέπει πρὸς Γῆν. Καὶ τοῦτο γίνεται πρὸς λόγον τοῦ μακρυσμοῦ. Καὶ οὕτως ἐκ τῶν πλαγίων ἀρχομένη φωτίζεσθαι
2 ἡ Σελήνη, γίνεται πρῶτον Μηνοειδής· μακρύνουσα δ᾽ ἐπὶ πλέον, Διχότομος· εἶτ᾽ Ἀμφίκυρτος· διαμετρήσασα δὲ τὸν Ἥλιον, πλήρης ἀπαρτίζεται καὶ Πανσέληνος. Ἤδη δὲ τὴν διάμετρον παραμειβούσης αὐτῆς, καὶ τῷ Ἡλίῳ πάλιν προσερχομένης, εἰς τὸ πρὸς οὐρανὸν τετραμμένον
3 μέρος αὐτῆς ἐκ τοῦ πρὸς ἡμᾶς ὁρῶντος, κατὰ λόγον τὸ φῶς περιάγεται· μέχρις ἂν Συνόδου γενομένης ἀφώτιςον καταλειφθείη τελείως ἅπαν τὸ πρὸς ἡμᾶς βλέπον μέρος αὐτῆς. Οὕτω μὲν οὖν ὁ τρόπος τῆς σεληνιακῆς Αὐξήσεως καὶ Μειώσεως.

3 Ἔτι δὲ διὰ τῶν ἐπαγομένων ἔςαι σαφέςερα τὰ περὶ αὐτῶν. Δύω Κύκλοι νοείσθωσαν ἐν τῇ Σελήνῃ· εἷς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν, ᾧ διακρίνεται τὸ σκιερὸν αὐτῆς, ἀπὸ τοῦ πεφωτισμένου, ὃς καὶ ἀεὶ μεταπίπτει· ἕτερος δὲ, ᾧ χωρίζεται τὸ ταύτης ὑφ' ἡμῶν ὁρώμενον ἀπὸ τοῦ μὴ ὁρωμένου· ὃς ἀμετάπτωτός ἐστι καὶ ἀκίνητος. Τούτων ἑκάτερος οὐκ ἔστι μέγιστος Κύκλος, εἰς ἴσα τέμνειν ταύτην δυνάμενος. Ὅ, τε γὰρ Ἥλιος μείζων τῆς Σελήνης ὢν, πλέον φωτίζει τοῦ ταύτης ἡμίσεος· καὶ διὰ τοῦτο μείων ὁμολογουμένως τῶν ἐν τῇ Σελήνῃ μεγίστων Κύκλων ἐστὶν, ὁ τὸ ταύτης σκιερὸν ἐκ τοῦ πεφωτισμένου διαχωρίζων· ὅ, τε ἀπὸ τῆς ἡμετέρας ὄψεως, ὁμοίως ἐλάττων ἐστὶ τῶν ἐν τῇ Σελήνῃ μεγίστων Κύκλων· ἐπεὶ τοῦ ἡμίσεος ἔλαττον ὁρῶμεν αὐτῆς· διὰ τὸ σμικρὸν εἶναι τὸ ὁρῶν ὄμμα· καὶ τὸ ὁρώμενον, πολυμέγεθες· Ὥστε καὶ οὗτος ὁ Κύκλος, οὐ τέμνων εἰς ἴσα τὴν Σελήνην, ἀλλ' εἰς ἄνισα, τῶν ἐν αὐτῇ μεγίστων Κύκλων μείων ἐστίν. Ὡς μέντοι πρὸς αἴσθησιν οἱ εἰρημένοι καὶ ἄμφω Κύκλοι, φαίνονται μέγιστοι· καὶ τὸ μὲν αὐτὸ μέγεθος ἔχειν δοκοῦσιν ἀεὶ, σχέσιν δὲ πρὸς ἀλλήλους οὐ διαφυλάττουσι τὴν αὐτήν· ἀλλὰ πολλαχῶς ἐναλλάσσονται καὶ πολυειδῶς μετασχηματίζονται· καὶ ποτὲ μὲν, ἐφαρμόζουσιν ἀλλήλοις· ποτὲ δ' ἐγκλίνονται εἰς τομήν. Καὶ τῶν τομῶν αἱ παραλλαγαὶ, πλεῖσταί εἰσιν· ἀλλ' αἱ γενικαὶ, δύω· πρὸς ὀρθὰς, καὶ κατ' ἔγκλισιν. Γίνονται δὲ καὶ ἐφαρμογαὶ τῶν τοιούτων Κύκλων, δύω μόνως· ἔν τε Συνόδῳ καὶ Πανσελήνῳ.

Παραθεούσης δὲ τῆς σελήνης ἀπὸ Συνόδου τὸν Ἥλιον, διΐστανται οἱ Κύκλοι καὶ ἀποκλίνουσιν εἰς τομήν· ὡς ὀλίγον τὸ μεταξὺ τῆς Περιφερείας ἀμφοῖν ἀπολειπόμενον, τοῦτο μόνον εἶναι πεφωτισμένον ὡς πρὸς ἡμᾶς. Καὶ ἡ τοιαύτη τῶνδε τῶν Κύκλων παράβασις ἀπὸ τῆς ἐφαρμογῆς εἰς τομὴν, ἀποτελεῖ τὸ τῆς Σελήνης Μηνοειδές. Ἐπεὶ δ' ἀεὶ προάγοντες εἰς τὸ πρὸς ὀρθὰς τέμνειν ἀλλήλους καὶ τὴν τοῦ φωτισμοῦ φαῦσιν προσαύξουσι, τοῦ μέσου τῆς τῶν Κύκλων τομῆς φωτιζομένου κατὰ τὴν τοιαύτην πρόοδον, ὅταν τὸ πρὸς ὀρθὰς γένηται τῆς τομῆς, φαίνεται ἡ Σελήνη Διχότομος. Ἀπὸ δὲ τοῦ Σχήματος τούτου πρὸς ἀμβλείας ἤδη γωνίας προϊόντες οἱ Κύκλοι, ποιοῦσι τὸ τῆς σελήνης Ἀμφίκυρτον. Τῇ δὲ κατὰ τὴν διάμετρον πάλιν ἐφαρμο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αρμογῇ, τὴν Πανσέληνον ἀπαρτίζουσιν· εἶτ' ἐκ ταύτης ὶ τὴν ἑτέραν αὖθις προϊόντες ἐφαρμογὴν, καὶ τὰ αὐτὰ ήματα καὶ κατὰ τὴν μείωσιν ἐκτελοῦντες, τὸν τῆς ὅλης μπηδόνος ἀφανισμὸν ἀπεργάζονται, τῇ ἀτρεκεῖ τούτων τὸ πρὸς τὸν κόσμον μέρος ἐφαρμογῇ.

ύνοδος μὲν οὖν λέγεται, ὁπόταν ἐν τῇ αὐτῇ Μοίρᾳ γένηται ἡ Σελήνη, ἐν ᾗ ἐστι καὶ ὁ Ἥλιος. Γέννα δὲ, αν ἀποστῇ τοῦ Ἡλίου Μοῖραν μίαν· Ἀνατολὴ, ὅταν νέα ώτως φανῇ. Τῇ μὲν γὰρ πρώτῃ ἡμέρᾳ μέχρι τοσούτου ίρεται ὑπὲρ γῆν ἡ Σελήνη, μέχρις ἂν ἔτι καὶ τὸ τοῦ λίου φῶς ἐστιν ἐπικρατοῦν. Ὥστ' ἐν ταύτῃ μὲν, τῷ τοῦ λίου συγκαταδύεται φωτὶ, ποτὲ δὲ καὶ προκαταδύεται. Πρῶτον δὲ σαφὴς, ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν φαίνεται· καὶ ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον. Τοῦτο δὲ τὸ συμπίπτει, παρὰ τὸ ποσὸν τῆς πρὸς τὸν Ἥλιον ποστάσεως· αὐτὸ δὲ τὸ τῆς ἀποστάσεως ποσὸν, ἄλ-τ' ἄλλο γίνεται, διά τε τὴν ἰδίαν τῆς Σελήνης κίνησιν· ὐ γὰρ ἴσον ἀεὶ κινεῖται κατὰ πρόβασιν, διὰ τὴν τοῦ λάτους ἐξάλλαξιν τοῦ Ζωδιακοῦ·) καὶ διὰ τὸ μὴ πάντων ῶν Ζωδίων ἰσόχρονον τὴν δύσιν γίνεσθαι, ὡς τινῶν μὲν θῶς, τινῶν δὲ λοξῶς καταδυομένων· καὶ πρὸς τούτοις ι, διὰ τὸν τῆς προγεγονυίας Συνόδου καιρὸν, εἴτ' ἀρχομένης Ἡμέρας, εἴτ' ἀρχομένης Νυκτὸς, εἴτε κἂν τοῖς μεταξὺ πολλοῖς οὖσι καὶ διαφόροις, ἡ προηγησαμένη Σύνοδος γεγόνει. Ὥστ' οὐκ ἀεί ἐστιν εἷς χρόνος ἐν ᾧ φαίνεται σαφῶς ἡ Σελήνη· οὐδὲ κατὰ τὰς ὅλας πρώτας φαύσεις τὸ χφὲς ἀπαράλλακτον.

Λέγεται δ' οὖν Ἀνατολὴ, ὅταν νέα πρώτως φανῇ ὁπωσοῦν. Μηνοειδὴς δ', ὅταν ἀποστῇ τοῦ Ἡλίου, Μοίρας ήκοντα· καὶ πρὸς τὸν Ἥλιον, Ἑξάγωνον ποιήσηται ὸν σχηματισμόν. Διχότομος, ἐπειδὰν ἀποχωρήσῃ τοῦ Ἡλίου Μοίρας Ἐνενήκοντα, καὶ σχηματισθῇ Τετράγωνος ρὸς αὐτόν. Ἀμφίκυρτος, ὁπόταν μοίρας εἴκοσι πρὸς αῖς ἑκατὸν ἀποστῇ τοῦ Ἡλίου, καὶ Τρίγωνον ἐκτελέσῃ χηματισμόν. Πλησισέληνος δὲ καὶ πλησιφαὴς, ἀποχωρή-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σασα τοῦ Ἡλίου Μοίρας πεντήκοντα (ἴσ. ὀγδοήκοντα) πρὸς ταῖς ἑκατόν. Πανσέληνος δὲ, τὸν Ἥλιον διαμετρήσασα.

Τὸν μὲν οὖν οἰκεῖον Κύκλον ἡ Σελήνη, δι' ἡμερῶν ἀνύει κατά τινας μὲν, ἑπτὰ πρὸς ταῖς εἴκοσι· προστιθεμένου καί τινος ἡμίσεος ἡμέρας μιᾶς· κατά τινας δὲ, δι' ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν· καὶ τρίτου μάλιστά πως τῆς ἡμέρας μορίου. Τέως δ' οὖν πάντοτε τὸν οἰκεῖον περιτρέχουσα Κύκλον, εἰς τὸ αὐτὸ σημεῖον ἐκ τοῦ αὐτοῦ, διὰ τοῦ ἴσου χρόνου ἀποκαθίσταται.

Ποιεῖται δὲ τὰς πρὸς τὸν Ἥλιον Συνόδους, οὐ πάντοτ' ἐν ἴσῳ χρόνῳ κατὰ τελείαν ἀκρίβειαν· ἀλλὰ ποτὲ μὲν, ἐν πλείονι· ποτὲ δ' ἐν ἐλάττονι. Καὶ τὸ αἴτιον, ὅτι πάντων τῶν Πλανήτων αἱ Σφαῖραι πρός τε τὴν δοκοῦσαν καὶ λεγομένην ἀπλανῆ σφαῖραν, καὶ πρὸς ἀλλήλας ἔκκεντροί εἰσι. Κατὰ τοῦτον οὖν τὸν λόγον καὶ ἡ τοῦ Ἡλίου Σφαῖρα, καὶ ἡ τῆς Σελήνης πρός τ' ἀλλήλας, καὶ πρὸς τὴν δοκοῦσαν καὶ λεγομένην ἀπλανῆ, τυγχάνουσιν ἔκκεντροι. Διῃρημένου γοῦν τοῦ Ζωδιακοῦ εἰς ἴσα δώδεκα τμήματα, καὶ συνδιαιρουμένων καὶ τῶν ὑποκειμένων Κύκλων αὐτῷ τῆς τε ἡλιακῆς Σφαίρας καὶ τῆς σεληνιακῆς, ἔσονται τὰ δωδεκατημόρια τούτων τῶν Κύκλων ἄνισα· καὶ μείζω μὲν, τὰ ὑψηλότερα· ἐλάττω δέ γε, τὰ προσγειότερα. Τοίνυν ἐπείπερ ἔνθα ὁ Ἥλιος ὑψηλότερος, ἡ Σελήνη προσγειοτέρα, καὶ τοὔμπαλιν διὰ τὸ ἔκκεντρον τῶν Σφαιρῶν· τοῖς μείζοσι τοῦ ἡλιακοῦ τμήμασιν, ὑποκείσονται τὰ ἐλάττω τοῦ σεληνιακοῦ· τοῖς ἐλάττοσι δὲ, τὰ μείζω. Τμῆμα δὲ μεῖζον τοῦ ἡλιακοῦ, τὸ τοῖς Διδύμοις ὑποκείμενον, ὅτι καὶ ὑψηλότερον· (οὕτω γὰρ καὶ τοῖς Ἀστρονόμοις τετήρηται.) τὸ δ' ὑποκείμενον τῷ Τοξότῃ, διότι ταπεινότερον, ἔλαττον. Ἔμπαλιν οὖν μεῖζον ἔσται τμῆμα τοῦ σεληνιακοῦ, τὸ τὸν Τοξότην ὑποτεῖνον, ὡς ὑψηλότερον· ἔλαττον δὲ, τὸ τοὺς Διδύμους, ὡς χθαμαλώτερον. Ἐν πλείονι γοῦν χρόνῳ διελεύσεται τοὺς Διδύμους ὁ Ἥλιος· ἐν ἐλαχίστῳ δὲ τὸν Τοξότην. Ἡ Σελήνη δὲ τοὔμπαλιν.

Ὁπόταν οὖν ἐν ἀρχῇ τῶν Διδύμων γένηται Σύνοδος, ἐνταῦθα τῆς μὲν Σελήνης προσγειοτέρας φερομένης,

ὑψηλο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑψηλοτέρου δ' ὄντος τοῦ Ἡλίου, γενήσεται σύντομος ὁ Μήν. Ἡ γὰρ Σελήνη μετὰ τὴν τοῦ οἰκείου Κύκλου περίοδον, καὶ τὴν ἐκ τοῦ αὐτοῦ Σημείου πρὸς τὸ αὐτὸ πάλιν ἀποκατάστασιν, ἔτι ἐν Διδύμοις ὄντα, μάλιστα δ' ὑπὸ Διδύμους τὸν Ἥλιον καταλήψεται, δυσὶν ἡμέραις ὡς λέγεται καὶ τριάκοντα τοῦτο τὸ τμῆμα διερχόμενον.

Εἰ δὲ περὶ τὰς ἀρχὰς τοῦ Τοξότου γένηται Σύνοδος, οὐκ ἐν τῷ Τοξότῃ καταλήψεται τὸν Ἥλιον ἡ Σελήνη· (καὶ γὰρ ἐν ὀκτὼ καὶ εἴκοσιν Ἡμέραις ἢ καὶ μικρόν τι πρὸς, ὁ Ἥλιος διέρχεσθαι λέγεται, μᾶλλον δ' ὑπέρχεσθαι τοῦτο τὸ Ζώδιον.) ἀλλὰ τὸν οἰκεῖον Κύκλον περιοδεύσασα, καὶ πρὸς τὴν τοῦ Τοξότου γενομένη ἀρχὴν, πρὸς τὸ τέλος εὑρήσει τοῦ τοιούτου Ζωδίου τὸν Ἥλιον. Ἐν ὅσῳ δὲ χρόνῳ τὸν Τοξότην ἡ Σελήνη διέρχεται, δύω ἡμερῶν καὶ πλείονος ἢ ἡμίσεος ἡμέρας δεομένη πρὸς τὸ διελθεῖν αὐτὸν, ὁ Ἥλιος τὸν Τοξότην διελθὼν, τὸν Αἰγόκερων καταλήψεται, καὶ ἡ Σελήνη γενομένη πρὸς τὸν Αἰγόκερων, εὑρήσει τὸν Ἥλιον τοῦ τοιούτου Ζωδίου τὴν ἀρχὴν παραμείψαντα, καὶ δεήσει ταύτῃ καί τινος ἑτέρου χρονικοῦ διαστήματος εἰς τὸ φθάσαι τὸν Ἥλιον. Καὶ οὕτως ὁ Μὴν γενήσεται μήκιστος, τῆς μὲν Σελήνης βραδέως, τὸ ὑπὸ τὸν Τοξότην τοῦ ἑαυτῆς Κύκλου τμῆμα διερχομένης· τοῦ Ἡλίου δὲ ταχέως, τὸ ὑπ' αὐτὸν δὴ τὸν Τοξότην τοῦ οἰκείου Κύκλου μόριον διανύοντος, καὶ διὰ ταῦτα βράδιον ὑπὸ τῆς Σελήνης καταλαμβανομένου.

Ταῦτα μὲν ἐν τῷ Τοξότῃ καὶ τοῖς Διδύμοις· ἐν δὲ τοῖς μεταξὺ Ζωδίοις, συμβήσεται τὸ ἀνάλογον. Καὶ οὕτως οὖν ἐν τοῖς Ζωδίοις ἐλέγχεται τὰ τῶν Πλανήτων Ὑψώματά τε καὶ Ταπεινώματα· ἐν ἄλλοις ἄλλων. Ὁπόταν γὰρ εἰς τριάκοντα Μοίρας ἑνὸς ἑκάστου τῶν Ζωδίων διῃρημένου· τὰ μὲν τῶν Ζωδίων βράδιον· τὰ δὲ, τάχιον οἱ Πλάνητες ὑποτρέχουσι· δῆλον ὡς ἔνθα μέν εἰσι ταπεινότεροι, στενοτέραις ταῖς τῶν Κώνων ἀποτομαῖς ἐντυγχάνοντες, θᾶττον αὐτὰς διατρέχουσιν· ἔνθα δ' ὑπάρχουσιν ὑψηλότεροι, πλατυτέρας οὔσας τὰς τῶν Κώνων ἀποτομὰς διεξέρχονται βράδιον. Τῶν γὰρ τοιούτων Κώνων τῶν διαι-

ρέντων εἰς δωδεκατημόρια, τόν τε Ζῳδιακὸν καὶ τοὺς τῶν Πλανήτων Κύκλους, αἱ μὲν κορυφαὶ τυγχάνουσιν ἐπὶ γῆς, ἀρχὰς ἔχουσαι τὰς ὄψεις τῶν ὁρώντων· αἱ δὲ βάσεις, ἐν τῷ Στερεώματι· καὶ ἀναλόγως πλατύτερα μὲν αὐτῶν, τὰ ὑψηλότερα· στενότερα δὲ, τὰ προσγειότερα.

Διατρέχουσα δὲ τὸν ἑαυτῆς Κύκλον ἡ Σελήνη, καὶ ὑποτρέχουσα τὸν Ζῳδιακόν· ὁπόταν διαμετρήσασα τὸν Ἥλιον ὑπὸ τὸ μεσαίτατον εὑρεθείη τοῦ Ζῳδιακοῦ, τὸν ἡλιακὸν Κύκλον αὐτοῦ ὑποτείνουσα· τότ' ἐκ Πανσελήνου καὶ Παμφαοῦς, ἀφώτιστος ὅλη γίνεται, τῇ σκιᾷ περιπίπτουσα μέσῃ τῆς Γῆς. Ἐπὶ μιᾶς γὰρ εὐθείας τότε τὰ τρία εὑρίσκονται σώματα, τὸ τοῦ Ἡλίου, τὸ τῆς Σελήνης, καὶ μεταξὺ αὐτῶν τὸ τῆς Γῆς. Ὑφαπτομένη δὲ τοῦ διὰ μέσων τῶν Ζῳδίων ἡ Σελήνη κατὰ τὰς πρὸς τὸν Ἥλιον διαμετρήσεις, ἢ μέρος αὐτῆς ὑπ' αὐτὸν ἔχουσα, μερικὴν πρὸς λόγον πάσχει τὴν Ἔκλειψιν· Ὑπὸ δὲ τὰ βόρεια ἢ τὰ νότια τοῦ Ζῳδιακοῦ εὑρισκομένη, διαδιδράσκει τὴν σκιάν. Διὰ τοῦτο καὶ οὐκ ἐν πάσαις ταῖς πανσελήνοις Ἔκλειψις γίνεται. Τοῦ μὲν οὖν Ἡλίου Ἔκλειψις, τῆς τῶν ὁρώντων ὄψεως πάθος ἐστίν· οὐκ οὖσα κατ' ἀλήθειαν Ἔκλειψις, ἡμῖν δὲ δοκοῦσα τῶν ἡλιακῶν στερουμένοις αὐγῶν, διὰ τὴν τοῦ σεληνιακοῦ σώματος ἐπιπρόσθεσιν. Ἡ δὲ τῆς Σελήνης Ἔκλειψις, αὐτῆς τῆς Σελήνης πάθος ἐστὶ, καὶ κατ' ἀλήθειαν, οὐ κατὰ δόκησιν Ἔκλειψις. Ἐκλείπει γὰρ οὕτως ἡ Σελήνη, τῆς Γῆς ὑποσκιαζούσης αὐτὴν, καὶ κωλυούσης δέχεσθαι τὸν ἐκ τοῦ Ἡλίου αὐγασμόν. Ἐνίοτε δ' οὕτως ἐκλείπει, ὡς μηδὲ σκιὰν γοῦν ἀμυδρὰν αὐτῆς περισώζεσθαι, ἀλλ' ἀγνοεῖσθαι καὶ τὸν τόπον ἔνθα τότε τὸ ταύτης ἐστὶ σῶμα. Τοιαύτης καὶ ἡμεῖς σεληνιακῆς Ἐκλείψεως ἅπαξ αὐτόπται γεγόναμεν· κατὰ μῆνα Μάϊον γεγονυίας περὶ ὥραν ἑβδόμην νυκτός· ὀκτωκαίδεκα ἡμέραι τοῦ Μαΐου παρήλθοσαν· Ἰνδικτιὼν διέτρεχε πρώτη· τὸ ἔτος, ἕκτον πρὸς τῷ ἑξηκοστῷ καὶ ἑπτακοσιοστῷ καὶ ἑξακισχιλιοστῷ· τὸ περιέχον εὐδιεινότατον. Ταύτην ἰδόντες τὴν Ἔκλειψιν, ἐθαυμάσαμεν· εἰ ὅλως ἔχει φῶς ἴδιον ἡ Σελήνη, καθώς τινες λέγουσιν.

Ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν ταῖς εἰλικρινέσι δὲ τῶν Ἐκλείψεων, τὰ πρὸς Ἀνατολὰς τετραμμένα μέρη τῆς Σελήνης ἀμαυροῦνται πρώτως, καὶ πάλιν ταῦτα πρώτως φωτίζονται, διὰ τὸ τὴν μὲν σκιὰν τῆς Γῆς, ἐξ Ἀνατολῶν φέρεσθαι πρὸς Δυσμάς· τὴν δὲ Σελήνην πλανητικῶς ἐκ Δυσμῶν πρὸς Ἀνατολάς, καὶ οὕτω τῇ σκιᾷ περιπίπτειν. Ἐν δὲ ταῖς μερικαῖς Ἐκλείψεσιν, ἂν μὲν ἀπὸ τῶν βορείων ὡς ἐπὶ τὰ νότια κατέρχοιτο ἡ Σελήνη· τὰ πρὸς Μεσημβρίαν αὐτῆς ἐκλείπει· (ταῦτα γὰρ ἐν τῇ καθόδῳ προηγούμενα, τῇ σκιᾷ περιπίπτει.) τὰ δὲ πρὸς Ἄρκτον, διαφεύγει τὴν Ἔκλειψιν. (οὐδὲ γὰρ ὑπεισέρχεται ταῦτα τῇ σκιᾷ.) Ὁπόταν δὲ ἀπὸ τῶν νοτίων ἡ Σελήνη ἀνέρχοιτο ὡς ἐπὶ τὰ βόρεια, σκοτίζεται μὲν τὰ πρὸς Ἄρκτον· τὰ δὲ πρὸς Μεσημβρίαν ἔχει τὸ φαεινόν. Ἐκλείπει δ' ἡ Σελήνη καὶ ὑψηλοτάτη καὶ προσγειοτάτη καὶ μέσως ἔχουσα. Καὶ ὑψηλοτάτη μὲν ἐκλείπουσα, τάχιον ἐκφαίνεται, τῷ στενοτέρῳ τῆς σκιᾶς ἐντυγχάνουσα· προσγειοτάτη δὲ, βράδιον, πλατυτέρᾳ τῇ σκιᾷ περιπίπτουσα· μέσως δ' ἔχουσα τοῦ ὕψους καὶ ταπεινώματος, μέσον καὶ τὸν χρόνον ἔχει τῆς κρύψεως. Ἐντεῦθεν οὖν δῆλον, ὅτι τε κωνοειδὴς ἡ σκιά, καὶ ὁ Ἥλιος μείζων τῆς Γῆς, καὶ ἡ Σελήνη ἐλάττων πολλῷ τῆς Γῆς. Εἰ γὰρ τοσοῦτον χρόνον τῷ τῆς σκιᾶς στενώματι κρύπτεται, πόσον ἂν ἐκρύβη τῷ πλάτει περιπεσοῦσα τῆς σκιᾶς, ὃ περὶ τὴν ἐπιφάνειαν συμβαίνει τῆς Γῆς; Ὅτι δὲ τῇ σκιᾷ τῆς Γῆς ἡ Σελήνη περιπίπτουσα, πάσχει τὴν Ἔκλειψιν· δῆλον μὲν καὶ ἀπὸ τοῦ τὰς Ἐκλείψεις ἐν μόναις γίνεσθαι Πανσελήνοις, ὅτε δυνατὸν καὶ τὴν Σελήνην περιπεσεῖν τῇ σκιᾷ· δῆλον δὲ καὶ ἀπὸ τῶν φαινομένων μετὰ τὴν τελείαν Ἔκλειψιν τῆς Σελήνης μερῶν περιφερῶν ὄντων· ἀλλὰ δὴ καὶ ἀπὸ τῶν ἐπὶ μέρους Ἐκλείψεων. Μηνοειδεῖς γὰρ τότε τυγχάνουσι τῶν φωτισμῶν αἱ ἀποτομαί· διότι σφαιρικοῦ σχήματος κωνοειδεῖ ἐντυγχάνοντος σχήματι καὶ ὑπ' αὐτοῦ τεμνομένου, περιφερῆ καὶ μηνοειδῆ γίνονται τὰ σχήματα τῶν τομῶν. Τούτων οὕτως ἐχόντων, ἀδύνατον ἀμφοτέρων ὑπὲρ τὸν Ὁρίζοντα τῶν Φωστήρων ὁρωμένων Ἔκλειψιν ὅλως γενέσθαι. Πολλῶν

δὲ γινομένων περὶ τὸν Ἀέρα παθῶν, εἰκός ἐστί ποτε καταδεδυκότα τὸν Ἥλιον, ὑπὲρ τὸν Ὁρίζοντα δόξαι τισὶν εἶναι, ἢ Νέφους ὄντος πρὸς τῇ δύσει παχυτέρου καὶ συνεχοῦς, καὶ ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων λαμπρυνομένου, καὶ φαντασίαν Ἡλίου τοῦ τοιούτου Νέφους παρέχοντος· ἢ καὶ τῶν ὄψεων ἀνακλωμένων ἔκ τινος Νέφους ὁμαλοῦς πρὸς τὸν Ἥλιον, καὶ ὡς ἐν Κατόπτρῳ λείῳ τῷ τοιούτῳ Νέφει, τῆς τοῦ Ἡλιακοῦ χρώματος γινομένης ἐμφάσεως, Ἀνθηλίου τοῦ καὶ Παρηλίου συνισταμένου. Δύναιτο δ' ἂν καὶ ἄλλως ἡ ἐκ τῶν ὀμμάτων ἀποχεομένη ἀκτὶς, ἐνίκμῳ καὶ νοτερῷ τῷ πρὸς δυσμαῖς ἀέρι προσομιλοῦσα κατακλᾶσθαι, καὶ τῷ Ἡλίῳ ἐντυγχάνειν κεκρυμμένῳ μικρὸν ὑπὸ τὸν Ὁρίζοντα.

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

### Περὶ Γῆς, καὶ τῶν ταύτης Ζωνῶν, καὶ πρῶτον ὅτι ἡ Γῆ κέντρου λόγον ἐπέχει πρὸς τὴν οὐράνιον Σφαῖραν, ἀλλὰ καὶ πρὸς αὐτὴν τὴν ἡλιακήν.

Ἡ Γῆ, Κέντρου λόγον ἐπέχει πρὸς τὴν Σφαῖραν τοῦ Στερεώματος· οὐχ ὅτι σύμπασα Κέντρον ἐστί· (πᾶν γὰρ Κέντρον, ἀδιάστατον ὑπάρχει καὶ ἀμερές, εἴγε Σημεῖόν ἐστιν.) ἀλλ' ὅτι συγκρινομένη πρὸς τὸ τῆς Σφαίρας μέγεθος, οὐδένα λόγον ἔχειν δοκεῖ πρὸς αὐτήν. Ὥσπερ γὰρ αἱ μυριάκις μύριαι τῶν τοῦ ὕδατος Ἀμφορέων μυριάδες, πολὺ μὲν τὸ πλῆθος ἔχουσι καθ' αὑτὰς θεωρούμεναι· πρὸς δὲ τὴν θάλασσαν, οὐδὲν εἶναι δοκοῦσιν, ἀλλ' οὐδὲ πρὸς μέγαν τινὰ Ποταμόν· οὕτω δὴ καὶ ἡ Γῆ, καθ' αὑτὴν μὲν ἐξεταζομένη, πολυμεγέθης ἐστί· πρὸς δὲ τὴν οὐράνιον Σφαῖραν, ἢ καὶ πρὸς τὴν Ἡλιακὴν, οὐδένα λόγον ἔχουσα φαίνεται. Τότε γὰρ λόγον ἔχειν μέγεθος πρὸς μέγεθος λέγεται, ὅταν τὸ Μεῖζον οἷόν τε εἴη καταμετρηθῆναι ὑπὸ τοῦ Ἐλάττονος· μυριοπλάσιον ἴσως ὂν, ἢ καὶ ἄλλον τινὰ μείζω λόγον ἔχον

ἀριθμη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀριθμητόν. Ἡ Θάλασσα δὲ καὶ πᾶς μέγας Ποταμὸς, οὐκ ἂν ὑπὸ τῶν μυριάκις μυρίων μυριάδων τῶν Ἀμφορέων καταμετρηθείεν τοῦ ὕδατος. Οὖσαν δὲ τὴν Γῆν στιγμιαίαν οἱονεὶ πρὸς τὸν Οὐρανὸν, καὶ οἱ Ἀστέρες παριστῶσιν, ἐκ παντὸς αὐτῆς μέρους αὐτοὶ ἑαυτοῖς ἴσοι φαινόμενοι, καὶ τοῖς Σχήμασιν ὅμοιοι. Τούτων δ' οὐδέτερον συνέβαινεν ἄν, μὴ τῶν πρὸς πάντα τὰ μέρη τοῦ Οὐρανοῦ προσπιπτουσῶν εὐθειῶν ἐκ παντὸς μέρους τῆς Γῆς ἴσων ἀλλήλαις οὐσῶν ὡς πρὸς αἴσθησιν. Ἀλλὰ καὶ τὰ ἓξ Ζώδια φαινόμενα ὑπὲρ γῆν ἀκριβῶς, παριστῶσι τὴν Γῆν ἐπέχουσαν Σημείου λόγον πρὸς τὸ Στερέωμα· τοῦ κατ' αὐτὴν βάθους μηδεμίαν Μοῖραν ἢ πολλοστὸν Μοίρας ἀποκρύπτειν ἰσχύοντος.

Τοῦτον δὲ τὸν τρόπον ἡ διάγνωσις γίνεται τοῦ τὰ ἓξ ὑπὲρ γῆν Ζώδια φαίνεσθαι. Δύω τινὲς ἀπλανεῖς Ἀστέρες ἀλλήλοις παραπλήσιοι, κατά τε μέγεθος καὶ χροιὰν, διαμετροῦσιν ἀλλήλους· ὁ μὲν, τὴν τοῦ Σκορπίου πεντεκαιδεκάτην κατέχων Μοῖραν· ὁ δὲ, τὴν αὐτὴν τοῦ Ταύρου, μέρος ὢν τῶν Ὑάδων. Οὗτοι τῷ Ἄρεϊ τὸ Χρῶμα παρόμοιοι. Δυομένου γοῦν τοῦ ἑνὸς αὐτῶν, ὁ λοιπὸς εὐθὺς ἀνατέλλει, καὶ ὁρῶνται καὶ ἄμφω κατὰ ταυτὸν ἐπὶ τοῦ Ὁρίζοντος· ὁ μὲν, ἀνατέλλων· ὁ δὲ, δυόμενος. Ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ μέρει τινὶ τοῦ Ζωδιακοῦ τὸ τῆς Γῆς οἷόντ' ἦν βάθος ἐπιπροσθεῖν. Ἀλλὰ δὴ καὶ τὸ ἥμισυ τοῦ Ἰσημερινοῦ, διηνεκῶς ἐστιν ὑπὲρ Γῆν. Καὶ τοῦτο δῆλον ἐκ τῶν Ἰσημερινῶν· ὁπόταν γὰρ ἀνατέλλων ὁ Ἥλιος ἢ δυόμενος τοῦ ὑπὸ τὸν Ἰσημερινὸν ἐφάψηται Σημείου, τότε λαμβάνουσιν ἥθ' Ἡμέρα καὶ ἡ Νὺξ τὸ ἰσαίτατον.

Ἀλλὰ καὶ πρὸς τὴν ἡλιακὴν Σφαῖραν ἡ Γῆ Κέντρου λόγον ἐπέχουσα φαίνεται. Κατασκευάζεται γὰρ ἐπὶ γῆς Ὡρολόγια, τὰς τῶν γνωμόνων σκιὰς ἔχοντα τῇ σκιᾷ συμπερινοστούσας τῆς Γῆς· καὶ δεῖ πάντα τὰ τῶν Γνωμόνων ἄκρα Κέντρου λόγον ἐπέχειν, πρὸς τὴν ἡλιακὴν Σφαῖραν. Ἐπεὶ γοῦν οὐδέν ἐστιν Ὡρολόγιον δυνάμενον ἐπ' αὐτῷ τῷ μεσαιτάτῳ στῆναι τῆς Γῆς. Ἐν παντί δε μέρει τῆς Γῆς, Ὡρολόγια κατασκευάζεσθαι δύναται· φανερὸν ὅτι Κέντρου λόγον ἐπέχει καὶ πρὸς τὴν ἡλιακὴν Σφαῖραν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡ πᾶσα Γῆ. Μιᾶς γὰρ Σφαίρας, ἓν καὶ τὸ Κέντρον. Οὕτως οὖν ἔχουσι πρὸς τὴν Γῆν οἱ Γνώμονες ἅπαντες, ὡς εἰ καὶ εἰς ἓν ἦσαν συνηγμένοι Σημεῖον. Πρὸς μὲν οὖν τὴν ἡλιακὴν Σφαῖραν Κέντρου λόγον ἐπέχειν τὴν Γῆν, ἐκ τῶν εἰρημένων δεδήλωται· προσυπακουομένου πανταχοῦ τοῦ πρὸς αἴσθησιν.

Πρὸς δὲ τὴν τῆς Σελήνης Σφαῖραν μὴ λόγον ἐπέχειν Σημείου τὴν Γῆν, οὕτω δείκνυται. Τὰ πρὸς τοὺς Ἀστέρας διαστήματα τῆς Σελήνης, οὐκ ἴσα φαίνεται κατὰ πᾶν Κλίμα τῆς Γῆς, ἀλλὰ παρὰ μὲν τοῖς, μείζω· παρὰ δὲ τοῖς, ἐλάττω. Τοῦτο δ' οὐκ ἂν ἦν, τῶν πρὸς τὸ σεληνιακὸν ὕψος προσπιπτουσῶν ἀπὸ τῆς Γῆς εὐθειῶν, ἴσων ἀλλήλαις οὐσῶν. Εἰ τοῦτο γάρ, ἴσ' ἂν ἀλλήλοις ἐφαίνετο καὶ τὰ διαστήματα. Καὶ ἡ τοῦ Ἡλίου δ' Ἔκλειψις μὴ παρὰ πᾶσιν ἡ αὐτὴ φαινομένη πιστοῦται τὸν λόγον. Εἰ γὰρ πρὸς τὸ σεληνιακὸν ὕψος, τὸ αὐτὸ διάστημα πανταχόθεν ἦν ἀπὸ Γῆς· οὐκ ἂν παρά τισι μὲν ἀνθρώποις ὁ Ἥλιος ὅλος ἐκλείπων ἐδόκει, παρά τισι δ' οὐχ ὅλος, ἀλλὰ μέρος ἔχων ἐκλελοιπός· παρ' ἑτέροις δ' ὅλος πάμπαν ἀνέκλειπτος καθ' ἕνα καιρὸν τὸν αὐτόν.

Ἔνιοι δέ φασι, μηδὲ πρὸς αὐτὸν τὸν ὁρώμενον Οὐρανόν, Σημείου λόγον ἐπέχειν τὴν Γῆν· καὶ πιστοῦνται δῆθεν τὴν ἔνστασιν, ἐκ τοῦ τὴν ὄψιν εἰς ὕψος ἐξαιρομένην, ὁρᾶν τὰ ἐν ἐπιπέδοις οὐχ ὁρώμενα, κεκρυμμένα δ' ὑπὸ τὸν Ὁρίζοντα· κἀντεῦθεν ἐπιφέρουσιν, οὐκ ἀπὸ παντὸς μέρους τῆς Γῆς εἰς ἴσα διαιρεῖσθαι τὸν Οὐρανόν, καὶ διὰ τοῦτο πρὸς αὐτὸν μὴ Κέντρου λόγον ἐπέχειν τὴν Γῆν. Ἀλλ' οὗτος ὁ λόγος τότ' ἂν εἶχεν ἰσχύν, ὅταν ἐκ τῶν Πεδίων καὶ τῆς Θαλάσσης οὐχ ὡρᾶτο τὸ ἡμικόσμιον. Τοῦ δὲ τῆς ὄψεως εἰς ὕψος ἐξαιρομένης φαίνεσθαι πλέον τοῦ ἡμισφαιρίου, τὸ σχῆμα τῆς Γῆς ἐστιν αἴτιον, ἐπεὶ σφαιρικόν. Ἀνεμποδίστως οὖν αἱ ἀπὸ τῶν ὀμμάτων ἀκτῖνες κύκλωσε τῆς Γῆς χεόμεναι, πλέον τοῦ ἡμικοσμίου περιλαμβάνουσι, γινομένων τότε τῶν Ὁριζόντων κωνοειδῶν, διὰ τὸ σφαιροειδῆ τυγχάνειν τὴν Γῆν. Οὐδὲ γὰρ αἵ, τε φάραγγες, αἵ, τε τῶν ὀρῶν ἐξοχαὶ τὸ τῆς Γῆς σφαιρικὸν ἀναιρήσουσιν· Ὅτι

μήδ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μήδ' αἱ περὶ τὰ Σφαιρία τῶν Πλατάνων ἐξοχαὶ καὶ κοιλότητες ἐξισῶσι ταῦτα τοῦ σφαιρικοῦ· καίπερ αὗται πλείονα λόγον ἔχουσι πρὸς τὰς τῶν Σφαιρίων ὁλότητας, ἢ τῆς Γῆς αἱ κοιλότητες καὶ ὑπεροχαὶ πρὸς τὸ μέγεθος ἅπαν αὐτῆς. Οὔτε γὰρ Ὄρος πεντεκαίδεκα σταδίων ὑψηλότερον κατὰ κάθετον ἱστόρηταί που, οὔτε τόπος Θαλάσσης τοσούτων σταδίων βαθύτερος. Εἰ δὲ καὶ πλειόνων σταδίων ὕψος καὶ βάθος ὑποτεθείη, πόσον λόγον ἕξει τὸ τοιοῦτον πρὸς τὴν διάμετρον ὅλην τῆς Γῆς; Εἰ μὴ ἦν ἡ Γῆ σφαιροειδής, πῶς ἂν μετέπιπτον ἐπ' αὐτῆς οἱ Ὁρίζοντες; πῶς ἄλλοι παρ' ἄλλοις Ἀστέρες τῶν ἀπλανῶν πρὸς Ἄρκτῳ καὶ Μεσημβρίᾳ ἑωρῶντο; πῶς τὸ τοῦ Πόλου ὕψος διάφορον ἐν τοῖς διαφόροις ἦν Κλίμασι; Πῶς τὸ μέγεθος ἐνηλλαγμένον τοῦ Ἀρκτικοῦ; Πῶς Ἡμερῶν μεγέθη καὶ Νυκτῶν ἑτέροις ἐτύγχανεν ἕτερα; Ταῦτα δὴ πάντα πιστοῦνται τὴν γῆν εἶναι σφαιροειδῆ.

Καὶ τὸ Ὕδωρ δέ πως σφαιροειδές, ἐκ τοῦ τὰς ῥανίδας εἴς τι λεῖον ἐμπιπτούσας συστρέφεσθαί τε καὶ σφαιροῦσθαι καὶ ἠρεμεῖν δείκνυται, καθὼς ἐν τοῖς τῶν Λαχάνων καὶ Δένδρων Φύλλοις ὑπάρχει καταφανές· ἔκ τε τοῦ τοὺς πλέοντας τὰ πελάγη, πολλάκις μὲν ἀπὸ τῶν Πλοίων αὐτῶν, μὴ τὴν Γῆν καθορᾶν· ἐπὶ δὲ τοὺς ἱστοὺς ἀναβάντας, ὡς οὖσαν αὐτὴν πλησίον καθορᾶν, ὑπερθεμένους διὰ τῆς εἰς ὕψος ἀναβάσεως τὰ τῆς τοῦ Ὕδατος ἐπιφανείας κυρτώματα, τὰ πρὶν ἐπιπροσθοῦντα ταῖς τούτων ὄψεσιν.

Εἰς πέντε δὲ μέρη διαιροῦσιν οἱ Φυσικοὶ τὴν σύμπασαν Γῆν· Ἓν μέν, τὸ ὑπὸ τοῦ ἀρκτικοῦ Κύκλου περιεχόμενον· Ἕτερον, ὅπερ ὑπόκειται τῷ μεταξὺ τοῦ Ἀρκτικοῦ καὶ τοῦ θερινοῦ Τροπικοῦ διαστήματι· Τρίτον, ὅπερ ὑπερκείμενον ἔχει τὸ ἐκ τοῦ θερινοῦ Τροπικοῦ διῆκον εἰς τὸν χειμερινὸν Τροπικόν, καὶ κατὰ τὸ μεσαίτατον αὐτοῦ τὸν μέγιστον Κύκλον τὸν Ἰσημερινόν· Τέταρτον, ὅπερ ὑπὸ τὸ μέσον ἐστὶ τοῦ τε χειμερινοῦ Τροπικοῦ καὶ τοῦ Ἀνταρκτικοῦ· Πέμπτον, ὅπερ ὑπὸ τοῦ Ἀνταρκτικοῦ περιέχεται. Ταῦτα τὰ μέρη τῆς γῆς ὀνομάζουσι Ζώνας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῶν οὖν τοιούτων Ζωνῶν, ἑκατέραν μὲν τῶν ἄκρων, ἀοίκητον ὑπὸ κρύους εἶναί φασιν· ὑπὸ φλογμοῦ δέ γε τὴν μεσαιτάτην· εὐκράτους δὲ τὰς λοιπάς, καὶ οἰκεῖσθαι πεφυκείας εἰκότως λέγουσιν, ἐπειδὴ κέκραται τούτων ἑκάστη, καὶ τὴν συμμετρίαν τῆς τε θέρμης καὶ ψύξεως, καὶ τὸ ζωογόνον ἀπείληφεν, ἔκ τε τῆς διακεκαυμένης καὶ τῆς πλησιαζούσης κατεψυγμένης· τοῦ δέ, τὰ μὲν τῆς Γῆς διακεκαῦσθαι· τὰ δέ, κατεψύχθαι· τὰ δ᾽ εὔκρατα τυγχάνειν, ὁ Ἥλιος αἴτιος, καὶ τὸ σχῆμα τῆς Γῆς σφαιρικὸν ὑπάρχον ὡς εἴρηται. Κινούμενος γὰρ ἐν τῷ Κόσμῳ τὸ μεταξὺ τῶν Τροπικῶν πλάτος ὁ Ἥλιος, ἀναγκαίως διακαίει τὴν ὑποκειμένην τῷ τοιούτῳ διαστήματι Γῆν, ὀρθίους καὶ ἐντόνους ἐκπέμπων τὰς ἀκτῖνας αὐτῇ. Πάλιν ἐπείπερ οὔτ᾽ ἀπὸ τῶν νοτίων ὡς ἐπὶ τὰ βόρεια γινόμενος, ὑπερβαίνει τὸν θερινὸν Τροπικόν, οὔτ᾽ ἐντεῦθεν ὡς ἐπὶ τὰ νότια τὸν χειμερινόν, διὰ τοῦτο τὰ ὑπὸ ταῖς Ἄρκτοις μέρη κατεψύχθαι συμβέβηκεν· ὡς πορρωτάτω τοῦ Ἡλίου, καὶ διὰ τοῦτο πλαγίας καὶ ἀνειμένας τὰς ἡλιακὰς ἀκτῖνας δεχόμενα. Αἱ δὲ λοιπαὶ Ζῶναι μέσως πως τὰς ἀκτῖνας τοῦ Ἡλίου λαμβάνουσαι, τὸ εὔκρατον ἔχουσι.

Τούτων τῶν εὐκράτων ἑκατέραν πάλιν εἰς δύω διαιροῦντες οἱ Φυσικοὶ κατά τε τὸ ὑπὲρ Γῆν καὶ ὑπὸ Γῆν δοκοῦν ἥμισυ, τέσσαρας οἰκουμένας εἶναί φασιν· ὧν μίαν μέν, ἔχειν ἡμᾶς τοὺς ἱστορουμένους ἀνθρώπους· μίαν δέ, τοὺς καλουμένους Περιοίκους, οἳ κατὰ τὴν αὐτὴν ἡμῖν ὑπάρχειν εὔκρατον πλάττονται, καὶ τὸ δοκοῦν ὑπὸ γῆν οἰκεῖν Κλίμα· τρίτην, τοὺς Ἀντοίκους, καὶ λοιπὴν τοὺς Ἀντίποδας, οἳ καὶ ἄμφω τὴν Ἀντεύκρατον οἰκεῖν ὀνειρώττονται· πλὴν οἱ μὲν Ἄντοικοι, κατὰ τὸ ὑπὲρ γῆν Κλίμα· (καλοῦνται δ᾽ οὗτοι καὶ Ἄντωμοι.) κατὰ δὲ τὸ δοκοῦν ὑπὸ Γῆν, οἱ Ἀντίποδες. Πάντων γὰρ τῶν ἐπὶ γῆς βεβηκότων τὰ ἴχνη βλέπειν ἐπ᾽ αὐτὸ τὸ μεσαίτατον τῆς Γῆς, ἤτοι τὸ Κέντρον, ἀνάγκην ἔχει. Καὶ γὰρ τῆς Γῆς σφαιρικῷ σχήματι κεχρημένης, τὸ μέσον καὶ κάτω Κέντρον ταὐτό. διόπερ οὐχ οἱ Περίοικοι γίνονται καὶ Ἀντίποδες. ἀλλ᾽ οἱ τὸ κατὰ τὴν ἀπέναντι Ζώνην κατοικοῦντες ἀντεύκρατον Κλίμα τὸ ὑπὸ γῆν,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ κατὰ διάμετρον ὄντες. Ὅτι τὰ ἴχνη τούτων ἀντικρὺ τῶν ἰχνῶν ἐστι τῶν ἀνθρώπων ἐκείνων πρὸς οὓς Ἀντίποδες λέγονται. Διὸ λέγοιντ᾽ ἂν ἡμῶν Ἀντίποδες, οἱ τῶν ἡμετέρων Ἀντοίκων Περίοικοι· τῶν δ᾽ ἡμετέρων Ἀντοίκων Ἀντίποδες, οἱ Περίοικοι πάλιν ἡμῶν· οἱ δ᾽ Ἀντίποδες ἡμῶν, ἡμᾶς Ἀντίποδας ἔχουσι· καὶ Περιοίκους οἱ Περίοικοι, καὶ Ἀντοίκους οἱ Ἄντοικοι· τῶν ἐν τούτοις σχέσεων ὁμοίως τῆς ἐν φίλοις καὶ ἀδελφοῖς ἀντιστρεφουσῶν. Ὁ γὰρ ἀντίπους ἀντίποδος ἀντίπους· καὶ ὁ περίοικος περιοίκου περίοικος· καὶ ὁ ἄντοικος ἀντοίκου ἄντοικος. Οἰκεῖσθαι γοῦν καὶ τὰς τέσσαρας εὐκράτους Μοίρας τῆς γῆς, οἱ Φυσικοὶ τερατεύονται· μὴ δύνασθαι δέ τινας πρὸς τοὺς περιοίκους πορεύεσθαι, διὰ τὸ διείργειν αὐτοὺς ἀπ᾽ ἀλλήλων τὸν Ὠκεανὸν, θηριώδη πεφηνότα καὶ ἄπλωτον· μήτε μὴν πρὸς τοὺς τὴν Ἀντεύκρατον οἰκοῦντας, διὰ τὸ μὴ τὴν μεταξὺ διακεκαυμένην εἶναι πορεύσιμον. Ταῦτα Φυσιολογίας τὰ ἐξευρήματα.

Πρὸς δ᾽ ἀλήθειαν οὐκ εἰσὶν οὔτε Περίοικοι, οὔτ᾽ Ἄντοικοι, οὔτ᾽ Ἀντίποδες. Εἰ γὰρ κατὰ τὴν ἡμετέραν ταύτην σύμπασαν γῆν πολλῷ πλείων τῆς οἰκουμένης ἀοίκητος εὔκρατος, τίς ἀνάγκη πλείους οἰκουμένας ἐπινοεῖν; Τόπους μέντοι πολλοὺς ἀοικήτους εὐκράτους ὑπολαμβάνειν, τὸ κωλύον οὐδέν. Ὑπερεκπερισσοῦ γὰρ ἅπαντα πεποίηκεν ὁ Θεός. καὶ ὥσπερ ὀλίγον Πῦρ, ὀλίγος Ἀὴρ, ὀλίγον Ὕδωρ τὰ πρὸς χρῆσιν ἐξαρκοῦντα τοῖς οἷς χρήσιμα ταῦτα γινώσκονται· πάμπλειστα δὲ παρὰ τῆς δημιουργικῆς Μεγαλειότητος καὶ Πλουσιοπαροχίας γεγόνασιν· οὕτω καὶ τῆς γῆς ὀλίγον μὲν τὸ οἰκούμενον, πάνυ δὲ πολὺ τὸ εὔκρατον καὶ πρὸς οἴκησιν πεφυκός. Ἡ γὰρ τῆς θείας δωρεᾶς ἀκατάληπτος ἄβυσσος, ὑπὲρ ἅπασαν χρείαν ὑπερεξέχεεν ἅπαντα. Περὶ δὲ τοῦ τῆς Γῆς μεγέθους διάφοροι λόγοι γεγόνασιν· ὧν οὐδεὶς ἔχει τὸ ἀναντίρρητον· Τέως δ᾽ οὖν βελτίω τάχα τῶν ἄλλων δοκοῦσι λέγειν, Ἐρατοσθένης καὶ Ποσειδώνιος. Ὁ μὲν οὖν Ἐρατοσθένης γραμμικῶς δεικνύναι προάγεται τὴν τῆς Γῆς περίμετρον, Σταδίων μυριάδων πέντε καὶ εἴκοσιν, ὑπόθεσιν πρὸς τὴν οἰκείαν δεῖξιν ποιούμενος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενος, τὸ Σταδίων εἶναι πεντακισχιλίων, τὸ ἀπὸ Συήνης μέχρις Ἀλεξανδρείας διάστημα· καὶ πρῶτον, τὸ τὰς Πόλεις ταύτας ὑπὸ τῷ αὐτῷ κεῖσθαι Μεσημβρινῷ. Ποσειδώνιος δὲ τήν τε Ῥόδον καὶ τὴν Ἀλεξάνδρειαν ὑποτιθεὶς ὑπὸ τῷ αὐτῷ κεῖσθαι Μεσημβρινῷ, καὶ τὸ μεταξὺ τῶν Πόλεων διάστημα, Σταδίων πεντακισχιλίων δι' ἁπλουστέρας ἐφόδου τὴν τῆς γῆς περίμετρον ἀποδίδωσι σταδίων μυριάδων τεσσάρων καὶ εἴκοσι. Μεσημβρινοὶ δὲ Κύκλοι εἰσὶν, οἱ διά τε τῶν τοῦ Στερεώματος Πόλων γραφόμενοι, καὶ διὰ Σημείου τινὸς, ὃ τῆς κορυφῆς ἑκάστου τῶν ὑπὲρ γῆς βεβηκότων ὑπέρκειται. Πόλοι μὲν οὖν οἱ αὐτοὶ πάντων Μεσημβρινῶν· τὸ δὲ κατὰ κορυφὴν Σημεῖον ἕτερον ἑτέρων ἐστίν. Ὅθεν καὶ ἄπειροι δύνανται γράφεσθαι Μεσημβρινοί. Πάντες δ' οὖν οἱ Μεσημβρινοὶ, μέγιστοι Κύκλοι ὄντες, καὶ τὸν Κόσμον πρὸς ἀλλήλους εἰς δύω τέμνοντες ἴσα· ἴσοι καὶ τῷ Ζωδιακῷ καὶ ἀλλήλοις εἰσὶν· ἐπεὶ καὶ ὁ Ζωδιακὸς, μέγιστος Κύκλος ἐστίν. Εἰ δ' ὅλοι ὅλοις ἴσοι, καὶ τὰ ὅμοια μέρη ἀλλήλων, ἴσα ἔσονται. Τὴν αὖ Ῥόδον καὶ τὴν Ἀλεξάνδρειαν, ὑπὸ τῷ αὐτῷ κεῖσθαι Μεσημβρινῷ λέγων ὁ Ποσειδώνιος, καὶ σταδίων εἶναι πεντακισχιλίων τὸ τὰς Πόλεις ἀπ' ἀλλήλων διεῖργον διάστημα, λαμπρότατον Ἀστέρα τινά φησι καλούμενον Κάνωβον, φαίνεσθαι πρὸς Μεσημβρίαν ὡς ἐπὶ τῷ Πηδαλίῳ τῆς Ἀργοῦς· ἐν Ἑλλάδι μὲν οὐδ' ὅλως ὁρώμενον· (ὅθεν οὐδ' Ἄρατος ἐν τοῖς Φαινομένοις εἴρηκέ τι περὶ αὐτοῦ.) τοῖς δ' ἀπὸ τῶν ἀρκτικωτέρων μερῶν ὡς πρὸς Μεσημβρίαν ἐρχομένοις, ἀρχὴν ἐν Ῥόδῳ τοῦ ὁρᾶσθαι λαμβάνοντα· κἀπὶ τοῦ Ὁρίζοντος ὀφθέντα μικρὸν, εὐθὺς κατὰ τὴν τοῦ Κόσμου συστροφὴν καταδύεσθαι. Τοῖς ἀπὸ Ῥόδου δὲ μέχρι τῆς Ἀλεξανδρείας πεντακισχιλίους σταδίους ἐκπλεύσασι, φαίνεσθαι τὸν Ἀστέρα τοῦτον κατ' Ἀλεξάνδρειαν, ὕψος ἀπέχοντα τοῦ Ὁρίζοντος, ἐπειδὰν ἀκριβῶς μεσουρανήσῃ, τετάρτου μέρους Ζωδίου ἑνὸς, ὅπερ ἐστὶ τεσσαρακοστόγδοον μόριον παντὸς τοῦ Ζωδιακοῦ. Καὶ τὸ μεταξὺ τοίνυν τῆς τε Ῥόδου καὶ τῆς Ἀλεξανδρείας διάστημα, τουτέστιν, οἱ πεντακισχίλιοι στάδιοι, τεσσαρακοστόγδοον ἔσται τμῆμα τοῦ μεγίστου Κύκλου τῆς Γῆς. Τεσσαρακοντάκις δὲ καὶ

ὀκτάκις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀκτάκις οἱ πεντακισχίλιοι Στάδιοι, μυριάδες ἐκτελοῦνται Σταδίων τέσσαρες πρὸς ταῖς εἴκοσιν. Ἔσται γοῦν κατὰ Ποσειδώνιον ἡ περίμετρος τῆς γῆς, Σταδίων μυριάδων τεσσάρων καὶ εἴκοσιν· εἴ γε τὸ ἐκ Ῥόδου πρὸς Ἀλεξάνδρειαν διῆκον (διάστημα) εἰς πεντακισχιλίους ποσοῦται Σταδίους· εἰ δὲ μή, πρὸς λόγον αὐτοῦ. Τῆς περιμέτρου δὲ τῆς Γῆς μυριάδων οὔσης Σταδίων τεσσάρων καὶ εἴκοσιν, ἡ Διάμετρος ἔσται ταύτης, οἱονεὶ Σταδίων τριῶν ἑξήκοντα τριακοσίων, καὶ χιλιάδων ἓξ, πρὸς μυριάσιν ἑπτά. Τὴν γὰρ τῆς Σφαίρας Περίμετρον τὸ τριπλάσιον ἔχειν τῆς οἰκείας διαμέτρου, πρὸς δὲ καὶ τὸ ἕβδομον, οὐ κατ᾽ ἀκρίβειαν, ἀλλ᾽ ὡς ἔγγιστα, τοῖς περὶ Ἀρχιμήδην δοκεῖ· παντὸς Κύκλου καὶ πάσης Σφαίρας περίμετρον, λόγον ἔχειν ἀποφαινομένοις πρὸς τὴν οἰκείαν Διάμετρον ὡς ἔγγιστα τριπλασιεφέβδομον.

# ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

## Περὶ Ἡμερῶν, καὶ Νυκτῶν, καὶ τῶν τεσσάρων τοῦ ἔτους Ὡρῶν.

Ὁ Ἥλιος διττὴν φερόμενος κίνησιν· τὴν μέν, διὰ τῆς οἰκείας Σφαίρας τὴν πλανητικήν· τὴν δέ, διὰ τῆς βιαίας περιαγωγῆς τοῦ ἀπλανοῦς Οὐρανοῦ· διὰ μὲν τῆς πεπλανημένης κινήσεως, τὰς ὥρας ἀπαρτίζει· διὰ δὲ τῆς ἄλλης τῆς σὺν τῷ Οὐρανῷ, τὰς Ἡμέρας καὶ τὰς Νύκτας ἀποτελεῖ· τὰς Ἡμέρας, τὸν περὶ ἡμᾶς ἀέρα φωτίζων διὰ τῶν ἀκτίνων αὐτοῦ· τὰς Νύκτας, ὑπὸ τὸν Ὁρίζοντα κεκρυμμένος, καὶ μηκέτι διαπέμπων τὰς λαμπηδόνας αὐτοῦ πρὸς ἡμᾶς, διὰ τὴν τῆς γῆς ἐπιπρόσθησιν. Οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ Νύξ, ἢ τὸ τῆς γῆς ἀποσκίασμα.

Ταῖς Ἡμέραις δὲ καὶ ταῖς Νυξὶν αὐξήσεις καὶ μειώσεις προσγίνονται, καὶ τῶν Ὡρῶν ἐκτελεῖται ἡ τετρακτύς, διὰ τὸ ἐγκεκλίσθαι τὸν Κόσμον· καὶ τὸν μὲν τῶν Πόλων Βόρειον, ἄνω τοῦ Ὁρίζοντος εἶναι, καὶ διὰ παντὸς ἡμῖν φανερόν· τὸν δέ, κάτω καὶ διηνεκῶς ἀφανῆ· κἀντεῦθεν, πάντας τοὺς ἐν τῷ Στερεώματι παραλλήλους Κύκλους ἐφ᾽ οὓς φέρεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φέρεται ὁ Ἥλιος εἰς ἄνισα τμήματα ὑπὸ τοῦ Ὁρίζοντος διαιρεῖσθαι πλὴν μόνου τοῦ μεγίστου τοῦ Ἰσημερινοῦ· τά τε Κλίματα τῆς γῆς μὴ τὴν αὐτὴν ἔχειν σχέσιν πρὸς τὸν Ζῳδιακὸν, ὡς ἄλλων ἄλλοις ὑποκειμένων τοῦ Στερεώματος μέρεσι, κἀντεῦθεν διαφόρων ὄντων κατὰ τὰς κράσεις.

Ἐν μὲν οὖν τῷ ὑπὸ τὸν Ἰσημερινὸν Κλίματι μεσαιτάτῳ τῆς Γῆς ὄντι, θέσιν ἔχει τὴν ἰσαιτάτην ὁ κόσμος, ἑκατέρου τῶν Πόλων ἐπὶ τοῦ Ὁρίζοντος φαινομένου, καὶ Κύκλων ἀρκτικῶν οὐχ ὑπαρχόντων ἐν τούτῳ τῷ Κλίματι· πάντων δὲ τῶν Ἀστέρων ἀνισχόντων τε καὶ καταδυομένων, μηδενὸς ὄντος ἀειφανοῦς, μήτ᾽ αὖ ἀφανοῦς.

Ἀπὸ δὲ τούτου τοῦ Κλίματος ὡς ἐπὶ τὰς εὐκράτους, ἡ θέσις ἀλλοιοῦται τοῦ Κόσμου· τοῦ μὲν, ἀποκρυπτομένου τῶν Πόλων· τοῦ δ᾽ ἐξαιρομένου· πρὸς μὲν τὴν καθ᾽ ἡμᾶς οἰκουμένην ἐξαιρομένου τοῦ βορείου· πρὸς δὲ τὴν ἀπέναντι, τοῦ νοτίου. Σφαιρικοῦ γάρ πως τοῦ σχήματος ὄντος τῆς Γῆς, ὁ μὲν ὑπὸ τοῦ περὶ τὴν γῆν κυρτώματος ἐπιπροσθέμενος, κρύπτεται τοῖς ἀφισταμένοις αὐτοῦ, καθ᾽ ὅσον ἀφίστανται· ὁ δὲ, φαίνεται τοῖς πλησιάζουσι, καθ᾽ ὅσον πλησιάζουσιν.

Ὑποκείσθω γοῦν τις ἐκ τῆς διακεκαυμένης πρὸς τὴν καθ᾽ ἡμᾶς ἐρχόμενος εὔκρατον. Τούτῳ δὴ τὸ ὑπὸ τὸν ἰσημερινὸν ἔτι διαπορευομένῳ Κλίμα, τῶν Πόλων οὐδεὶς ἐξῃρημένος ὀφθήσεται· (καὶ ἄμφω γὰρ ὁμοίως ἐπὶ τοῦ Ὁρίζοντος.) καὶ οὔτ᾽ ἀειφανὴς τῶν Ἀστέρων ἔσται τις, οὔτ᾽ ἀφανής. Ὅθεν οὐδὲ Κύκλος τις ἀρκτικὸς· οὔτ᾽ αὖθις Ἀνταρκτικός. Ἀρκτικὸν γὰρ Κύκλον εἶναι δεῖ καθ᾽ ἡμᾶς, τὸν τοὺς ἀειφανεῖς περιέχοντα τῶν Ἀστέρων· τὸν δὲ τοὺς ἀποκεκρυμμένους, Ἀνταρκτικόν. παραμείψαντι δὲ τὸ ὑπὸ τὸν Ἰσημερινὸν Κλίμα, Πόλος μὲν ὁ νότιος αὐτῷ πάμπαν ἀποκρυβήσεται. Καθ᾽ ὅσον δ᾽ ἂν οὗτος ἀποκρυβείη, κατὰ τοσοῦτον ἐξαρθείη πρὸς ὕψος ὁ βόρειος· καὶ οὕτως ἔγκλισιν ἀπὸ τῶν βορείων ὡς ἐπὶ τὰ νότια τοῦ Κόσμου λαμβάνοντος, οἱ μὲν, τῶν περὶ τοὺς Πόλους Ἀστέρων ἀειφανεῖς γίνοιντο· οἱ δ᾽ ἀφανεῖς. καὶ οἱ τούτους περιέχοντες Κύκλοι τὸ αὐτὸ πάσχοιεν ἀναγκαίως, κατὰ τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προκοπὴν τῆς πορείας μεταποιούμενοι, καὶ μείζους ἀεὶ κατ᾽ ἰσότητα καὶ ἄμφω γινόμενοι.

Τοιουτοτρόπως οὖν ἐγκεκλιμένου τοῦ Κόσμου, δεῖ νοεῖν τῶν ἀπλανῶν Ἀστέρων ἕκαστον τῷ Στερεώματι συμπεριφερόμενον, Κύκλον περιγράφειν διὰ τῆς τοιαύτης περιφορᾶς. Πάντες οὖν οἱ τοιοῦτοι Κύκλοι, παράλληλοι μέν εἰσι· μεγίστου δ᾽ ἐν αὐτοῖς ὄντος τοῦ Ἰσημερινοῦ, μείονες ἁπάντων οἱ περὶ τοὺς Πόλους ὑπάρχουσιν. Ὥστε πρὸς λόγον, οἱ μὲν ἀπὸ τοῦ Ἰσημερινοῦ ὡς πρὸς τοὺς Πόλους, ἀεὶ ἐλάττους· οἱ δ᾽ ἐκ τῶν Πόλων ὡς πρὸς τὸν Ἰσημερινόν, ἀεὶ μείζους.

Συμπάντων τοίνυν τῶν Παραλλήλων, καὶ τοῦ μεγίστου, καὶ τῶν ἐλαχίστων, καὶ τῶν μεταξύ· κατὰ μὲν τὸ ὑπὸ τὸν Ἰσημερινὸν Κλίμα, τὰ ἡμίση τμήματα ὑπὲρ γῆν, καὶ τὰ λοιπὰ ἡμίση ὑπὸ γῆν. Τῷ δ᾽ ἐκεῖθεν ἀφικνουμένῳ πρὸς τὰ ἐνταῦθα, καθάπερ ὁ βόρειος Πόλος ἐξαίρεται καὶ ὁ Κόσμος ἐγκλίνεται· τοῦτον τὸν τρόπον καὶ οἱ Κύκλοι τὴν αὐτὴν σχέσιν οὐκ ἔτι διατηροῦσιν· ἀλλὰ τοῦ μὲν Ἰσημερινοῦ μεγίστου ὄντος, καὶ εἰς ἴσα δύω τέμνοντος τὸν Κόσμον, τὸ ἥμισυ μένει πάντοτε ὑπὲρ γῆν, καὶ τὸ λοιπὸν ἥμισυ ἀκριβῶς ὑπὸ γῆν· τῶν δ᾽ ἀπ᾽ αὐτοῦ ὡς πρὸς τοὺς Πόλους Κύκλων, ὁπόσοι μὲν ὡς πρὸς τὸν Βόρειον, τὰ μείζω τμήματα ἔχουσιν ὑπὲρ γῆν, τὰ δ᾽ ἐλάττω ὑπὸ γῆν· ὁπόσοι δ᾽ ὡς πρὸς τὸν Νότιον, ἔμπαλιν. Ἀλλὰ δὴ καὶ ὁ Ἀνταρκτικὸς ὅλος κεκρυμμένος ἐστίν, ὥσπερ ἀειφανὴς ὅλος ὁ Ἀρκτικός. Καὶ κατὰ μὲν τὴν ἡμετέραν εὔκρατον, οὕτως ἔχει·

Κατὰ δὲ τὴν Ἀντεύκρατον, ἀντεστραμμένως. Τὰ γὰρ ἡμῖν ὑψηλά, τοῖς ἐκεῖ ταπεινά· καὶ ἔμπαλιν. Ἐγκέκλιται γὰρ ὁ Κόσμος ἐκείνοις, ὡς ἀπὸ τῶν Νοτίων ἐπὶ τὰ Βόρεια. Καὶ ὁ μὲν ἀρκτικὸς Κύκλος ὑπὸ τὸν Ὁρίζοντα κέκρυπται· ὁ δ᾽ Ἀνταρκτικός, τὸ ἴσον ἐξῆρται ἀπὸ τοῦ Ὁρίζοντος.

Τούτων οὕτως ἐχόντων, ὁ Ἥλιος ἀπὸ Τροπῶν ἐπὶ Τροπὰς τὴν πλανητικὴν ὑπὸ τὸν Ζωδιακὸν φερόμενος κίνησιν, φανερὸν ὅτι τοὺς Κύκλους ἐξαλλάσσει πάντας, ὁπόσοι μεταξὺ νοοῦνται τῶν Τροπικῶν. Ὅταν μὲν οὖν ἀπὸ τῶν Βορείων ἐπὶ τὰ Νότια φερόμενος, ἐφάψηται τοῦ χειμερινοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τροπικοῦ, βραχυτάτην ἡμῖν τὴν Ἡμέραν ποιεῖ· τὴν δὲ Νύκτα, μεγίστην. Ὁ γὰρ Κύκλος οὗτος, πάντων, ὧν ψαύει Κύκλων ὁ Ἥλιος, ὑπὸ γῆν ἔχει τμῆμα μέγιστον· ὑπὲρ γῆν δ᾽, ἐλάχιστον.

Ὅταν δὲ τοῦ χειμερινοῦ Τροπικοῦ ὁ Ἥλιος ἐφαψάμενος, γίνηται πάλιν ὡς πρὸς ἡμᾶς, ἐπὶ τὰ ὑψηλότερα τοῦ Κόσμου ὁρώμενος, ἐντυγχάνει Κύκλοις ἔχουσιν ὑπὲρ γῆν τμήματα μείζω τοῦ ὑπὲρ γῆν τμήματος τοῦ χειμερινοῦ Τροπικοῦ. Καὶ ὅσῳ τὰ τῶν Κύκλων ὑπὲρ γῆν τμήματα μείζω, τοσούτῳ καὶ τὴν ἡμέραν αὐξομένην πρὸς λόγον παρέχεται, μέχρι μὲν τοῦ πρὸς τὸν Ἰσημερινὸν καταντήματος, ἔτι μικροτέραν τῆς νυκτὸς διαμένουσαν.

Ἐπὰν δ᾽ ἐφάψηται τοῦ Ἰσημερινοῦ, τοῦ τὸ ἥμισυ ἔχοντος ὑπὲρ γῆν καὶ τὸ ἴσον μέρος ὑπὸ γῆν, ἐαρινὴν Ἰσημερίαν ποιεῖ· πάντη μὲν ἀκριβῆ τοῦ Ἰσημερινοῦ ἐφαψάμενος καθ᾽ ἓν τῶν δύω σημείων, καθ᾽ ἃ τέμνουσιν ἀλλήλους ὅ,τε Ὁρίζων καὶ ὁ Ἰσημερινός· οὐκέτι δὲ τοιαύτην ἠκριβωμένην, ὅταν καθ᾽ ἕτερον σημεῖον παρὰ τὰ εἰρημένα, τοῦ αὐτοῦ ἐφάψηται Ἰσημερινοῦ.

Τελέσας οὖν ὁπωσοῦν τὴν Ἰσημερίαν ὁ Ἥλιος, καὶ ἀπὸ τοῦ Ἰσημερινοῦ ἀνατρέχων ὡς ἐπὶ τὸν θερινὸν Τροπικόν, ἐπεὶ Κύκλοις ἐντυγχάνει μείζω τὰ ὑπὲρ γῆν ἔχουσι τμήματα, μείζους τῶν Νυκτῶν καὶ τὰς Ἡμέρας ἐξ ἀνάγκης παρέχεται, τῆς τοιαύτης αὐξήσεως προϊούσης, μέχρις ἂν πελάσοι τῷ θερινῷ Κύκλῳ, ὃς μέγιστον καθ᾽ ἡμᾶς ἔχει τμῆμα πάντων, ὧν ἐφάπτεται Κύκλων ὁ Ἥλιος, καὶ διὰ τοῦτο τὴν ἐν τῇ θερινῇ τροπῇ Ἡμέραν μεγίστην ποιεῖ.

Ἐντεῦθεν δ᾽ ὡς ἐπὶ τὰ Νότια κατιών, Κύκλοις ἐντυγχάνων τμήματα ἔχουσιν ὑπὲρ γῆν ἐλάττω, πρὸς λόγον τοῦ ὑπὲρ γῆν τμήματος τοῦ θερινοῦ Τροπικοῦ, καὶ τὴν Ἡμέραν ἀναλόγως μειουμένην παρέχεται· μείζω μὲν τῆς Νυκτός, μέχρις ἂν πελάσοι τῷ Ἰσημερινῷ. Τούτου δ᾽ ἐφαψάμενος, τὴν Φθινοπωρινὴν Ἰσημερίαν ποιεῖ· καθὼς ἐπὶ τῆς ἐαρινῆς Ἰσημερίας δεδήλωται. Καὶ οὕτω Κύκλοις ἐντυγχάνων ἑξῆς τὰ ὑπὸ γῆν ἔχουσι τμήματα μείζω τῶν ὑπὲρ γῆν, καὶ τὰς Νύκτας ἀποτελεῖ μείζους τῶν Ἡμερῶν.

Ὑπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑπὸ τὸν ζωδιακὸν τοίνυν ὁ Ἥλιος τὴν πλανητικὴν ποιούμενος κίνησιν, καὶ ἄλλοις ἄλλοτε μέρεσιν ὑποβαίνων αὐτοῦ, καὶ οὕτω τὰς Ὥρας ἐπιτελῶν, τροπὴν μὲν Θερινὴν ποιεῖ τῆς οἰκήσεως ἡμῶν γενόμενος ἔγγιστα· καὶ ὑψηλὸς ἡμῖν ὀφθεὶς ὅτι μάλιστα, καὶ βορειότατον διελθὼν Κύκλον, καὶ μεγίστην ἐκτελέσας Ἡμέραν τῶν ὅλων τοῦ Ἐνιαυτοῦ Ἡμερῶν· ἐλαχίστην δὲ Νύκτα τῶν ὅλων Νυκτῶν. Τροπὴν δὲ χειμερινὴν ποιεῖ τῆς οἰκήσεως ἡμῶν ποῤῥωτάτω γενόμενος, καὶ ταπεινότατος ἡμῖν ὁραθείς, καὶ ὡς πρὸς αὐτὸν τὸν Ὁρίζοντα, καὶ διανύσας Κύκλον νοτιώτατον, καὶ μεγίστην ἐκτελέσας Νύκτα Νυκτῶν ἁπασῶν, Ἡμέραν δ' ἐλαχίστην Ἡμερῶν ἁπασῶν.

Ἰσημερίαν δὲ ποιεῖ ἐαρινὴν ὁπόταν ἀπὸ τῶν χειμερινῶν Τροπῶν ἐπὶ τὰ βόρεια, καὶ τὸν θερινὸν ἐρχόμενος Τροπικόν, καὶ μέσως ἀμφοτέρων τῶν Τροπικῶν κατὰ τὴν πορείαν γενόμενος, ὁδεύσῃ Κύκλον εἰς ἴσα δύω διαιροῦντα τὸν Κόσμον.

Ἰσημερίαν δὲ φθινοπωρινήν, ὅταν ἐπὶ τὰ Νότια καὶ τὸν χειμερινὸν Τροπικὸν ὑποστρέφων ἀπὸ τοῦ θερινοῦ Τροπικοῦ, καὶ μεσαίτατος ὁμοίως ἀμφοῖν γενόμενος, τὸν αὐτὸν πορεύσηται Κύκλον τὸν ἰσημερινόν· Αὐξομένας μὲν παρέχεται τὰς Ἡμέρας, ἐπὶ τὰ βόρεια τοῦ κόσμου ἐρχόμενος ἀπὸ τοῦ χειμερινοῦ Τροπικοῦ· Μειουμένας δέ, κατιὼν ἀπὸ τῶν τοῦ κόσμου βορείων ἐπὶ τὰ Νότια καὶ τὸν χειμερινὸν Τροπικόν.

Οὐ κατ' ἰσότητα δὲ Προσθήκης γίνονται τῶν Ἡμερῶν αἱ Αὐξήσεις καὶ τῶν Νυκτῶν· ἀλλ' ὁπόταν ἄρξηται ἡ Ἡμέρα τοῦ αὔξεσθαι κατὰ μὲν τὸν πρῶτον Μῆνα, δωδέκατον αὔξεται τῆς ὅλης ὑπεροχῆς, ἣ τῆς ἐλαχίστης Ἡμέρας ὑπερέχει ἡ μεγίστη· κατὰ τὸν δεύτερον, ἕκτον· κατὰ τὸν τρίτον, τέταρτον· κατὰ τὸν τέταρτον, ὁμοίως τέταρτον· κατὰ τὸν πέμπτον, ἕκτον· καὶ κατὰ τὸν ἕκτον, δωδέκατον. Ὥστε εἰ ἓξ Ὥραις ὑπερέχει τῆς ἐλαχίστης Ἡμέρας ἡ μεγίστη, τὸν μὲν πρῶτον Μῆνα προστεθήσεται τῇ αὐξομένῃ Ἡμέρᾳ, Ἡμιώριον· τὸν δεύτερον, Ὥρα· τὸν τρίτον, Ὥρα καὶ Ἡμιώριον· ὡς οὕτω γενέσθαι τριῶν Ὡρῶν Προσθήκην κατὰ τὸ τρίμηνον· κατὰ τὸν τέταρτον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μῆνα πάλιν Ὥρα καὶ Ἡμιώριον προστεθήσεται· κατὰ τὸν πέμπτον, Ὥρα· καὶ κατὰ τὸν ἔσχατον, Ἡμιώριον. τὸ δ' αὐτὸ κἀπὶ τῶν Νυκτῶν.

Ἡ δ' αἰτία τοῦ μὴ γίνεσθαι τὰς Προσθήκας ἴσας, τοιάδε τίς ἐστιν. Ὁ Ζωδιακὸς Κύκλος, ὑφ' ὃν ὁ Ἡλιακός, ἔνθα ποιεῖται τὴν πορείαν ὁ Ἥλιος, λοξὸς ὤν, καὶ κατὰ δύο μὲν Σημεῖα τέμνων τὸν Ἰσημερινόν, ἑκατέρου δὲ τῶν Τροπικῶν καθ' ἓν σημεῖον ἁπτόμενος, τὸν μὲν Ἰσημερινὸν καὶ τοὺς πλησίον παραλλήλους, ὀρθότερος τέμνει, καὶ ὀλίγου δεῖν πρὸς γωνίας ὀρθάς· τοῖς δὲ Τροπικοῖς, πλαγιώτερος παράκειται, κἀπὶ πλέον ἐγκεκλιμένος. Ὡσαύτως καὶ ὁ ἡλιακός. Ὀξειῶν τοίνυν οὐσῶν τῶν Γωνιῶν παρὰ τοῖς Τροπικοῖς, σχολαιότερον αὐτοῖς ὁ Ἥλιος πρόσεισιν· ὁμοίως δὲ καὶ τούτων ἀφίσταται. Κατὰ δὲ τὸν Ἰσημερινόν, ὀρθοτέρου τοῦ τῶν Ζωδίων Κύκλου τυγχάνοντος, ὡσαύτως δὲ καὶ τοῦ ὑπ' αὐτὸν ἡλιακοῦ, τὰς πρὸς αὐτὸν δὴ τὸν Ἰσημερινὸν προσόδους, καὶ τὰς ἀπ' αὐτοῦ ἀναχωρήσεις ἀθρουστέρας ποιεῖται ὁ Ἥλιος· τῇ τῆς προνοίας Σοφίᾳ τὴν τοιαύτην σχέσιν κληρωσαμένου τοῦ Ζωδιακοῦ πρὸς τοὺς Τροπικούς, ὑπὲρ τοῦ μὴ τὰς μεταβολὰς αἴφνης γίνεσθαι τῶν Ὡρῶν.

Ἀπὸ μὲν οὖν ἐαρινῆς Ἰσημερίας ἕως Τροπῶν θερινῶν, τέσσαρες Ἡμέραι πρὸς ἐνενήκοντα, καὶ Ἡμέρας ἥμισυ· ἀπὸ δὲ Τροπῶν θερινῶν ἕως φθινοπωρινῆς Ἰσημερίας, Ἡμέραι τρεῖς πρὸς ἐνενήκοντα, καὶ Ἡμέρας ὁμοίως ἥμισυ. Ἀπὸ ταύτης τῆς Ἰσημερίας ἕως Τροπῶν χειμερινῶν, μία Ἡμέρα πρὸς ἐνενήκοντα· καὶ ἀπὸ χειμερινῶν Τροπῶν ἕως ἐαρινῆς Ἰσημερίας, ἓξ καὶ ὀγδοήκοντα Ἡμέραι καὶ Ἡμέρας τέταρτον.

Ἴσων οὖν ὄντων τῶν τοῦ Ζωδιακοῦ τεταρτημορίων, οὐκ ἐν ἴσῳ χρόνῳ ταῦτα διέξεισιν ὁ Ἥλιος· ἐπείπερ οὐ δι' αὐτοῦ τοῦ Ζωδιακοῦ ποιεῖται τὴν πορείαν, ἀλλὰ διὰ τοῦ ἡλιακοῦ. Ὁ δ' Ἡλιακός, ἔκκεντρός ἐστι πρὸς τὸν Ζωδιακόν. Τεμνομένου γοῦν εἰς ἴσα τέσσαρα τοῦ Ζωδιακοῦ, ὁ ἐντὸς αὐτοῦ Ἡλιακός, εἰς ἄνισα τέμνεται· καὶ αἱ ἀπὸ τῶν Τροπικῶν καὶ τοῦ Ἰσημερινοῦ ἑλκόμεναι Διάμετροι, τὸν μὲν Ζωδιακὸν εἰς ἴσα τέμνουσιν· οὐκ ἔτι δέγε καὶ τὸν Ἡλιακόν, διὰ τὸ μὴ

τυγχά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τυγχάνειν ὁμόκεντρον τῷ Ζωδιακῷ. Μόνοι γὰρ οἱ τοῖς αὐτοῖς Κέντροις κεχρημένοι Κύκλοι, τεμνομένας ἔχουσιν εἰς ἴσα τὰς Περιφερείας ὑπὸ τῶν Διαμέτρων. Ἂν τοίνυν ὁ Ἡλιακὸς εἰς δώδεκα τμήματα συνδιαιρεθῇ τῷ Ζωδιακῷ, τοῖς τοῦ Ζωδιακοῦ τμήμασιν ἴσοις οὖσιν, ἄνισα τὰ τοῦ Ἡλιακοῦ ὑποκείσεται τμήματα· καὶ μέγιστον μὲν αὐτοῦ τμῆμα ἔσται, τὸ ὑποκείμενον τοῖς Διδύμοις· ἐλάχιστον δὲ, τὸ ὑποκείμενον τῷ Τοξότῃ· καὶ ἄλλα ἄλλων μείζω καὶ ἐλάττω πρὸς λόγον ἔσονται. Διὸ τοὺς μὲν Διδύμους ὁ Ἥλιος ἐν μηκίστῳ χρόνῳ ὑπέρχεται· (καὶ γὰρ ἐν Διδύμοις ἐστὶν ὑψηλότατος·) τὸν δὲ Τοξότην, ἐν ἐλαχίστῳ· (καὶ γάρ ἐστιν ἐν αὐτῷ ταπεινότατος·) ἐν δὲ τοῖς ἄλλοις Ζωδίοις ἀναλόγως ὑψηλότερος ὢν ἢ ταπεινότερος, ἐνδιατρίβει καὶ πολυχρονιώτερον ἢ βραχυχρονιώτερον.

Ἀλλ' οὐδὲ τὰ νυχθήμερα πάντα τὸ ἰσαίτατον ἀλλήλοις ἔχει κατ' ἀκρίβειαν, ἀλλὰ μόνον πρὸς αἴσθησιν ἴσα δοκεῖ. Παντὸς μὲν γὰρ νυχθημέρου, μείων ἐστὶν ἡ τοῦ Κόσμου Περιφορά· διὰ τὸ καὶ τὸν Ἥλιον ἰδίαν ποιεῖσθαι κίνησιν, ἐναντίως τῷ Οὐρανῷ· κἀντεῦθεν ἀπὸ τοῦ αὐτοῦ Σημείου πρὸς ταὐτὸ τοῦ Οὐρανοῦ καταντήσαντος, μήπω κατὰ τὴν Ἀνατολὴν ὁρᾶσθαι τὸν Ἥλιον· ἀλλ' ὁπόταν ἡ Περιφέρεια τοῦ Κύκλου ἀνενεχθῇ· ἣν δὴ τῷ νυχθημέρῳ κατὰ τὴν ἑαυτοῦ διήνυσεν ὁ Ἥλιος κίνησιν, τότε καὶ αὐτὸν ἐπὶ τῇ Ἀνατολῇ φαίνεσθαι. Πάντα δὲ τὰ Νυχθήμερα τὸ ἄνισον ἀλλήλοις ἔχουσι, διὰ τὴν τοῦ Ἡλίου κίνησιν τὴν πλανητικὴν, καὶ τοῦ ἡλιακοῦ Κύκλου τὸ ἔκκεντρον πρὸς τὸν Οὐρανόν. Εἰ μὲν γὰρ ἰδίαν κίνησιν οὐκ εἶχεν ὁ Ἥλιος, τῷ Οὐρανῷ δὲ συμπεριήγετο μόνον, ἴσα ἦν ἀλλήλοις ἂν ἅπαντα τὰ νυχθήμερα τῶν ὀρθῶς ἀναφερομένων τοῦ Ζωδιακοῦ τμημάτων, ἤγουν τῶν Θερινῶν, καταδυομένων λοξῶς· καὶ τῶν λοξῶς ἀναφερομένων, ἤγουν τῶν Χειμερινῶν, καταδυομένων ὀρθῶς· καὶ οὐδὲν ἐντεῦθεν τὸ τῆς τῶν Νυχθημέρων ἀνισότητος αἴτιον, ἴσων ἀεὶ γινομένων τῶν τοῦ Αἰθέρος περιστροφῶν. Ἐπεὶ δὲ καὶ ὁ Ἥλιος ἄληκτον ποιεῖται τὴν ἑαυτοῦ κίνησιν τὴν πλανητικὴν, οὐ μένει ἐν ᾧπερ ἀνέτειλε μορίῳ τοῦ ζωδιακοῦ, ἵνα καὶ δύνῃ ἐν αὐτῷ· ἀλλ' ἐν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλῳ μὲν ἀνατέλλει, ἐν ἄλλῳ δὲ δύνει. τοῦτο δὲ δι᾽ ὅλου ποιῶν, ἄνισα πρὸς ἀκρίβειαν τίθησι τὰ Νυχθήμερα, τῶν ὑπὸ τὸν ζωδιακὸν τοῦ ἡλιακοῦ μορίων ἐν οἷς ὁ Ἥλιος, ἄλλων ἄλλως ἀναφερομένων, καὶ ἄλλων ἄλλως δυομένων, διὰ τὸ τῆς τοῦ Ἡλίου φυσικῆς κινήσεως ἄληκτον. Πάλιν εἴπερ ἰδίαν ἔχων ὁ Ἥλιος κίνησιν, οὐ τὸν ἑαυτοῦ Κύκλον εἶχεν ἔκκεντρον πρὸς τὸν Οὐρανόν· καὶ οὕτως ἂν ἴσα πάντα τὰ Νυχθήμερα ἦν, ταῖς τοῦ Αἰθέρος ἴσαις περιστροφαῖς ἴσων ἀεὶ προστιθεμένων τῶν Ἡλιακῶν πεπλανημένων κινήσεων, διὰ τὴν ἰσότητα τῶν μερῶν *), ἐφ᾽ οἷς περ ἡ κίνησις. Ἀλλὰ τοῦτο οὐκ ἔστιν. Ὥστε τοῦ Ἡλίου ἡ κίνησις ὁμοῦ καὶ τὸ ἔκκεντρον τοῦ Κύκλου αὐτοῦ, τῆς τῶν νυχθημέρων ἀνισότητος αἰτία.

# ΚΕΦΑΛΑΙΟΝ Λ΄.

## Περὶ Οἰκήσεων.

Οἰκουμένης καθ᾽ ὑπόθεσιν ὅλης τῆς Γῆς, τῶν Οἰκήσεων, αἱ μὲν, Περίσκιοι γενήσονται· αἱ δ᾽ Ἀμφίσκιοι· αἱ δ᾽ Ἑτερόσκιοι. Περίσκιοι μὲν, αἱ ὑπὸ τοὺς Πόλους, ἐν αἷς ὁ Ἐνιαυτὸς εἰς Ἡμέραν καὶ Νύκτα διαιρεθήσεται· γινομένου μὲν Ὁρίζοντος ἐν ταύταις τοῦ Ἰσημερινοῦ, ζωδίων δὲ διαπαντὸς ἓξ ὄντων ὑπὲρ γῆν τῶν αὐτῶν, καὶ ἓξ ὑπὸ γῆν. Κύκλον οὖν ἐν ταῖς τοιαύταις Οἰκήσεσιν αἱ Σκιαὶ περιγράφουσαι, Περισκίους ποιοῦσιν αὐτὰς, παραπλησίως τοῖς Μύλοις ἐν τοῖς ὑπὸ τοὺς Πόλους Κλίμασι στρεφομένου τοῦ Στερεώματος.

Ἀμφίσκιοι δὲ Οἰκήσεις, αἱ ὑπὸ τὸν Ἰσημερινόν. Πρὸς Νότον μὲν γὰρ ἀπιόντος τοῦ Ἡλίου καὶ ὡς πρὸς χειμερινὸν Τροπικὸν ἀπὸ τοῦ ἰσημερινοῦ Κύκλου, πρὸς τὸν Βοῤῥᾶν ἀποκλινοῦσιν αὐτῶν αἱ Σκιαί· πρὸς δὲ τὸν θερινὸν Τροπικὸν ἀπὸ τοῦ ἰσημερινοῦ Κύκλου πορευομένου τοῦ Ἡλίου, αἱ Σκιαὶ πρὸς Νότον τραπήσονται.

Ἑτερόσκιοι δέ εἰσιν, αἱ Εὔκρατοι. Καὶ γὰρ ὅταν πρὸς Μεσημβρίαν ὁ Ἥλιος γένηται, τῶν μὲν τὴν βορείαν ἐχόντων Ζώνην, πρὸς Βοῤῥᾶν ἀποκλίνουσιν αἱ Σκιαί· τῶν

*) ἐν ἄλλοις. Ἡμερῶν, ἐφ᾽ αἷς περ.

τῶν δὲ τὴν Ἀντεύκρατον ἡμῖν, πρὸς Νότον. Συμπεριέρχεται μὲν γὰρ ἡ Σκιὰ τῆς Γῆς πάντοτε τῷ Ἡλίῳ, καὶ διαμετρεῖ τοῦτον. Ὥστε ἡ διὰ τοῦ ἄκρου τῆς Σκιᾶς ἀγομένη Διάμετρος, ἐπὶ τὸ τοῦ Ἡλίου Κέντρον πεσεῖται. Καὶ σύμπασαι δὲ τῶν ὑπὸ τοῦ Ἡλίου φωτιζομένων σωμάτων αἱ Σκιαὶ, τῇ Σκιᾷ συμπερινοστοῦσι τῆς Γῆς. Ὅθεν ἐν μὲν ταῖς Ἰσημερίαις ἀνατέλλοντος τοῦ Ἡλίου, πρὸς δύσιν ἰσημερινὴν ἀποκλίνουσιν αἱ Σκιαί· δυομένου δὲ, πρὸς Ἀνατολὴν ἰσημερινήν· ἐν δὲ ταῖς χειμεριναῖς Τροπαῖς ἀνατέλλοντος μὲν τοῦ Ἡλίου, πρὸς Δύσεις θερινὰς ἡ τῶν Σκιῶν ἀπόκλισις γίνεται· δυομένου δὲ, πρὸς Ἀνατολὰς θερινάς. Ἐν δὲ ταῖς θεριναῖς Τροπαῖς, ἀνίσχοντος μὲν τοῦ Ἡλίου, πρὸς Δυσμὰς αἱ Σκιαὶ χειμερινὰς ἀποτείνονται· δυομένου δὲ, πρὸς Ἐπιτολὰς χειμερινάς· κατὰ Χιασμὸν γινομένης ἐν Θέρει καὶ Χειμῶνι τῆς τῶν Σκιῶν ἀποκλίσεως.

Διαιροῦντες δ' οἱ Φυσικοὶ τὰς Εὐκράτους, εἰς οἰκούμενα τέσσαρα τμήματα, καὶ Περιοίκους ἡμῖν ἐπινοοῦντες Ἀντοίκους τε καὶ Ἀντίποδας, λέγουσι καὶ κοινότητας ἡμῖν εἶναι πρὸς ἐκείνους καὶ ἑτερότητας. Πρὸς μὲν οὖν τοὺς Περιοίκους κατὰ τὸν τῶν Φυσικῶν λόγον ἔσται κοινὸν ἡμῖν, πρῶτον μὲν, τὸ τὴν αὐτὴν οἰκεῖν Εὔκρατον· ἔπειτα, τὸ κατὰ ταυτὸν ἔχειν τὰς ὥρας τοῦ Ἐνιαυτοῦ, καὶ τὰς Αὐξήσεις καὶ τὰς Μειώσεις τῶν Ἡμερῶν τε καὶ τῶν Νυκτῶν. Διάφορον δὲ πρὸς ἡμᾶς, τὸ παρ' ἡμῖν ἡμέρας οὔσης, παρ' ἐκείνοις εἶναι Νύκτα· καὶ ἔμπαλιν, πλατύτερον τούτου λεγομένου. Οὐδὲ γὰρ ἀκριβῶς, ὁπόταν καταδύηται παρ' ἡμῖν ὁ Ἥλιος, ἀρχὴν λαμβάνει τοῦ παρ' ἐκείνοις ἀνίσχειν. Οὕτω γὰρ ἂν παρ' ἡμῖν οὔσης μακρᾶς τῆς ἡμέρας, ἡ Νὺξ ἐγίνετο παρ' ἐκείνοις μακρά· καὶ ἦν ἡμῖν τὰ κατὰ τὰς ὥρας ἐνηλλαγμένα, καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις τῶν Ἡμερῶν τε καὶ τῶν Νυκτῶν. Νυνὶ δὲ σφαιροειδῆ τὴν Γῆν οὖσαν περιιὼν ὁ Ἥλιος καὶ κυκλῶν, οἷς ἑκάστοτε μέρεσιν ἐπιβάλλει τὰς ἀκτῖνας, ταῦτα λαμπρύνει τε καὶ φωτίζει, τὰ τῆς Γῆς κυρτώματα κατὰ τὴν πορείαν ὑπερτιθέμενος. Ὅθεν ἔτι παρ' ἡμῖν ὁρώμενος ὑπὲρ Γῆν, τοῖς Περιοίκοις ἡμῶν ἀνίσχων φανήσεται. Πρὸς δὲ τοὺς Ἀντοίκους ἡμῖν ὑπάρχει κοινὸν, τὸ κα-

κείνȣς καὶ ἡμᾶς, ὑπὸ τὸ ὑπὲρ γῆν εἶκειν Ἡμισφαίριον· ἀλλὰ καὶ τὸ κατὰ ταυτὸν ἔχειν τὰς Ἡμέρας τε καὶ τὰς Νύκτας· λεγομένȣ καὶ τȣ́τȣ πλατύτερον. Παρ' ἡμῖν γὰρ Ἡμέρας ȣ̓́σης μεγίστης, ἐλαχίστη παρ' ἐκείνοις ὑπάρχει· καὶ ἔμπαλιν. Ἐνήλλακται γὰρ ἡμῖν πρὸς αὐτȣ̀ς τὰ κατὰ τὰς Ὥρας, καὶ τὰς Αὐξήσεις, καὶ τὰς Μειώσεις τῶν Ἡμερῶν τε καὶ τῶν Νυκτῶν. Πρὸς δὲ τȣ̀ς Ἀντίποδας, ȣ̓δὲν ἡμῖν ὅλως κοινὸν· ἀλλ' ἀντέστραπται τὰ πάντα. Καὶ γὰρ τὰ ὑπὸ γῆν ἀλλήλων ἔχομεν Κλίματα, καὶ τὰ κατὰ τὰς Ὥρας ἡμῖν ἐνήλλακται, καὶ τὰ κατὰ τὰς Ἡμέρας, καὶ τὰς Νύκτας, καὶ τὰς Αὐξήσεις καὶ Μειώσεις αὐτῶν. Τȣ̃ δ' ἐνηλλάχθαι τὰ κατὰ τὰς Ὥρας, καὶ τὰς Αὐξήσεις καὶ τὰς Μειώσεις τῶν Ἡμερῶν τε καὶ τῶν Νυκτῶν ἐν ταῖς Εὐκράτοις, ἡ τȣ̃ Κόσμȣ ἔγκλισις αἰτία ἐστὶ, καὶ ἡ εἰς ἄνισα τῶν ἐν Οὐρανῷ νοȣμένων παραλλήλων Κύκλων τομή. Πάντες γὰρ ȣ̃τοι, πλὴν τȣ̃ Ἰσημερινȣ̃, μείζοσι καὶ ἐλάττοσι τέμνονται τμήμασιν, ἀτμήτων μόνων ὄντων τῶν Ἀρκτικῶν καὶ Ἀνταρκτικῶν.

Ὅσοι μὲν ȣ̃ν τῶν παραλλήλων Κύκλων ἡμῖν ταπεινοὶ, τοῖς τὴν Ἀντεύκρατον ἔχȣσιν, ὑψηλοὶ, κἀπὶ πολὺ ἐξηρμένοι· καὶ ἔμπαλιν. Ὅθεν καὶ ὁ μὲν ἡμέτερος χειμερινὸς Κύκλος, Θερινὸς ἐκείνοις, μέγιστον ἔχων τμῆμα τὸ ὑπὲρ γῆν· ὁ δ' ἐκείνων Θερινὸς, ἡμῖν Χειμερινὸς, μηδενὸς τοιȣ́τȣ συμβαίνοντος ἐν τῷ ὑπὸ τὸν Ἰσημερινὸν Κλίματι, ἀλλ' Ἰσημερίας ȣ̓́σης διαπαντὸς· ὅτιπερ ȣ̓δαμῶς ἐν ἐκείνῳ τῷ Κλίματι ὁ Κόσμος ἐγκέκλιται, ἀλλ' ὅμοια τυγχάνει πάντων τῶν Παραλλήλων τὰ τμήματα· τάθ' ὑπὲρ γῆν, τάθ' ὑπὸ γῆν. Ἡμικύκλια γάρ.

Αἱ δ' Αὐξήσεις καὶ αἱ Μειώσεις τῶν Ἡμερῶν τε καὶ τῶν Νυκτῶν, κατὰ ταυτὸν μὲν γίνονται πᾶσι τοῖς τὴν ἡμετέραν οἰκȣ̃σιν Εὔκρατον· ὥσπερ αὖ κατὰ ταυτὸν καὶ πᾶσι τοῖς ἔχȣσι τὴν Ἀντεύκρατον. Οὐ μὴν ἡ ἴση γε Προσθήκη καὶ Ὑφαίρεσις παρὰ πᾶσίν ἐστιν· ἀλλὰ πολλὴ ἡ ἐν τȣ́τοις παραλλαγή· τοῖς μὲν, ἐλαχίστης γινομένης Προσθήκης καὶ Ὑφαιρέσεως· τοῖς δὲ, μεγίστης. Αἴτιον δὲ τȣ́τȣ, τὸ μὴ παρὰ πᾶσιν ἐπίσης ἐγκεκλίσθαι τὸν Κόσμον,

μηδὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μηδὲ τὸν βόρειον Πόλον· ἁπανταχοῦ τὰς ἴσας ἀπὸ τοῦ Ὁρίζοντος ἐξῆρθαι μοίρας· ἀλλὰ τοῖς μὲν πρὸς Μεσημβρίαν οἰκοῦσιν, πρὸς ὀλίγον· τοῖς δὲ πρὸς Ἄρκτον, ἐπὶ πλέον· τοῖς δὲ Μέσοις αὐτῶν, μέσως. Ὅθεν τοῖς μὲν κατὰ τὴν Μερόην τῆς Αἰθιοπίας, ἐπεὶ ὀλίγον, ἐκείνοις ὁ Κόσμος ἐγκέκλιται, τὴν μεγίστην Ἡμέραν τριῶν ἰσόρηται καὶ δέκα τυγχάνειν Ὡρῶν Ἰσημερινῶν· τοῖς δὲ κατὰ τὴν Ἀλεξάνδρειαν, τεσσάρων καὶ δέκα, πλείονα τὴν ἔγκλισιν δηλονότι τοῦ Κόσμου λαμβάνοντος· τοῖς δὲ κατὰ τὸν Ἑλλήσποντον, πεντεκαίδεκα· τοῖς δὲ κατὰ τὴν Ῥώμην, πεντεκαίδεκα καὶ πρὸς· τοῖς δὲ κατὰ τὴν Μασσαλίαν, πεντεκαίδεκα καὶ ἡμίσεος ὥρας μιᾶς· τοῖς δὲ Κελτοῖς ἑξκαίδεκα· τοῖς δὲ κατὰ τὴν Μαιῶτιν, ἑπτακαίδεκα· τοῖς δὲ Βρεττανοῖς, ὀκτωκαίδεκα, τὴν Νύκτα δ' Ὡρῶν ἰσημερινῶν ἕξ. Ὅθεν καὶ φῶς εἶναι τούτοις Νυκτὸς κατὰ τοῦτον λέγεται τὸν καιρόν. ἤτοι κατὰ τὴν θερινὴν Τροπήν, τοῦ Ἡλίου τότε περὶ τὸν Ὁρίζοντα διερχομένου, καὶ τὰς αὐγὰς ὑπὲρ γῆν ἀναπέμποντος, ὅπερ γίνεται καὶ παρ' ἡμῖν ὁπόταν τοῦ Ἡλίου πελάζοντος τῷ Ὁρίζοντι, πολὺ τοῦ Φωτὸς τὴν τοῦ Ἡλίου προλαμβάνῃ Ἀνατολήν, καὶ πάλιν ἐναπομένῃ μετὰ τὴν τοῦ Ἡλίου Κατάδυσιν. Ἥμισυ γὰρ Ζωδίου, τουτέστι, πεντεκαίδεκα Μοίρας ἀπέχων ὁ Ἥλιος τοῦ Ὁρίζοντος ὑπὸ γῆν, φῶς οὐκ ὀλίγον πέμπει τοῖς ὑπὲρ τὸν Ὁρίζοντα. Φῶς τοίνυν τοιοῦτον εἶναι λέγεται Νυκτὸς ἐν Βρεττανίᾳ, γενομένου τοῦ Ἡλίου περὶ τὸν Καρκῖνον· ἐπεὶ περὶ τὸν Ὁρίζοντα ποιεῖται τότε τὴν πορείαν ὁ Ἥλιος. Ἐλάχιστον γάρ ἐστιν ὑπὸ γῆν τμῆμα τοῦ θερινοῦ Κύκλου τοῖς Βρεττανοῖς. Περὶ δὲ τὴν Θούλην νῆσον, ὅλον τὸν θερινὸν ὑπὲρ γῆν εἶναι λόγος ἐστίν, αὐτὸν ὄντα καὶ Ἀρκτικόν. Ὁπόταν, οὖν ὁ Ἥλιος τὸν Καρκῖνον διέρχηται, μηνιαῖον ἐν ταύτῃ τῇ Νήσῳ φανήσεται χρόνον ὑπὲρ τὸν Ὁρίζοντα· τῶν τοῦ Καρκίνου μερῶν πάντων ὄντων ἀειφανῶν· ἐπείπερ ἐφ' ὅσον ἐν τοῖς τοῦ Καρκίνου ἀειφανέσιν ὁ Ἥλιος, ἐπιτοσοῦτον ἔσται καὶ ὑπὲρ τὸν Ὁρίζοντα. Προϊοῦσι δ' ἐντεῦθεν ἐπὶ τὰ ἀρκτικώτερα καθ' ὑπόθεσιν, οὐ μόνον ὅλος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ Καρκῖνος, ἀλλὰ καὶ πλείω τοῦ Ζῳδιακοῦ μέρη τῶν ἀειφανῶν εὑρεθήσεται.

Ταῦτα τοίνυν ὁ Ἥλιος διερχόμενος, οὐδόλως ὑπὸ τὸν Ὁρίζοντα καταδύσεται. Καὶ οὕτως ἔσται τινὰ Κλίματα τῆς γῆς, ἐν οἷς καὶ διμηνιαία καὶ τριμηνιαία καὶ μείζων Ἡμέρα γενήσεται. Τοῖς δ' ὑπ' αὐτὸν τὸν Πόλον τὸν βόρειον, ἓξ Ζῳδίων ὑπὲρ γῆν ὄντων ἀειφανῶν, ἐφ' ὅσον ὁ Ἥλιος ταῦτα διέρχεται, καὶ αὐτὸς ἐπὶ τοσοῦτον οὐδόλως κρυβήσεται. Διέρχεται δὲ ταῦτα δι' Ἡμερῶν ἑπτὰ καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατόν. Τὰ δὲ λοιπὰ, δι' Ἡμερῶν ὀκτὼ πρὸς ταῖς ἑβδομήκοντα καὶ ταῖς ἑκατὸν, προστιθεμένου καὶ τετάρτου μιᾶς ἡμέρας. Ἐπεὶ γοῦν τοῖς ὑπὸ τὸν βόρειον Πόλον ὁ Ἥλιος ὑπὲρ γῆν ἐφ' ἡμέρας ἑπτὰ, καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν, ἥμισυ δὲ ζῳδίου ἀπέχον τοῦ Ὁρίζοντος ὑπὸ γῆν, φῶς οὐκ ὀλίγον ἐκπέμπει τοῖς ὑπὲρ γῆν· προλάβοι ἂν τὴν τοῦ Ἡλίου Ἀνατολὴν ἡλιακὸν φῶς ἐφ' Ἡμέραις τοὐπίπαν πεντεκαίδεκα τοῖς βορειοτάτοις· καὶ μετὰ τὸ καταδῦναι τὸν Ἥλιον, ἔσται τούτοις τὸ τοιοῦτον ἡλιακὸν φῶς ἐφ' ἡμέραις ὁμοίως πεντεκαίδεκα. Τοῖς ὑπὸ τὸν βόρειον Πόλον λοιπὸν, Ἡμέρα μὲν ἔσται μείζων ἢ ἑπταμηνιαία, Νὺξ δὲ πενταμηνιαία μάλιστά πως. Ἀεὶ γὰρ οἱ φωτισμοὶ πλεονεκτοῦσι τοὺς σκοτασμούς.

Τοῖς μὲν οὖν ἐν τῇ Θούλῃ Νήσῳ ὁ θερινὸς Τροπικὸς συμπίπτει τῷ Ἀρκτικῷ· τοῖς δὲ βορειοτέροις καὶ τὸν θερινὸν ὑπερβαίνει Τροπικὸν, πρὸς λόγον ὁ Ἀρκτικός· τοῖς δὲ ὑπ' αὐτὸν τὸν Πόλον καὶ βορειοτάτοις, ὁ πᾶσιν ἰσημερινὸς Κύκλος, Ἀρκτικός τε γίνεται καὶ Ὁρίζων, οὐκ ἤδη δὲ κατὰ τὸν ἀκριβῆ λόγον καὶ Ἰσημερινός. Ἀρκτικὸς μὲν γὰρ, ὅτι περιέχει τοὺς τῶν Ἀστέρων ἀειφανεῖς, μηδενὸς ἀνατέλλοντος ἢ καταδυομένου· Ὁρίζων δὲ πάλιν, ὅτι διαχωρίζει τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν Ἡμισφαίριον. Οὐκ ἀκριβὴς δ' Ἰσημερινὸς, ἐπείπερ εἰς μίαν Ἡμέραν, καὶ μίαν Νύκτα τὸν ὅλον τέμνων Ἐνιαυτὸν, εἰς ἄνισα τὸ τοιοῦτον Ἡμερόνυκτον διαιρεῖ.

ΚΕΦΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

## Περὶ Κενοῦ.

Ἔνθα μή ἐστιν ὅλως τὶ τῶν σωμάτων, δύναται δὲ γενέσθαι σώματος τόπος, ἐκεῖνο Κενὸν ὀνομάζουσιν οἱ Φυσικοί. Τόπον γὰρ ἐστερημένον σώματος οἴδασι τὸ Κενόν. Τινὲς μὲν οὖν ὄνομα μόνον Κενόν τε καὶ ἀνύπαρκτον λέγουσι τὸ Κενόν· Τινὲς δὲ, τὸ ἔξω τῆς κυρτῆς Ἐπιφανείας τοῦ πρώτου καὶ κατ᾽ ἀλήθειαν ἀπλανοῦς Οὐρανοῦ Κενὸν ἀποφαίνονται· Κενὸν σώματος, οὐ Θεοῦ. Τὸ πᾶν γὰρ, ἤτοι τὸν Κόσμον, καὶ τὸ ὑπὲρ πᾶν, ἤτοι τὸ ὑπερκόσμιον πληροῖ ὁ Θεός. Τοῦτο δὴ τὸ ὑπερκόσμιον, ἔφασαν τὸ Κενόν· ὃ μάλιστα καὶ τόπον ἰδίως εἶπον εἶναι μόνου Θεοῦ· ἀπείρου, ἄπειρον· καὶ ἀσωμάτου, ἀσώματον· καὶ αἰωνίου, αἰώνιον. Τοιοῦτον μὲν οὖν οὐκ ἔστιν ἐν τῷ Κόσμῳ Κενόν. Σωμάτων καὶ γὰρ συμφυῶν ἀλλήλοις ἅπας ὁ Κόσμος πεπλήρωται. Τοῦτο γὰρ ὁ Κόσμος ἐστὶ, τὸ ἐξ Οὐρανοῦ καὶ Γῆς καὶ τῶν ἐν μέσῳ Πυρὸς, Ἀέρος, καὶ Ὕδατος, σύστημά τε καὶ σύγκριμα, συμφυὲς καὶ εὐάρμοστον, καὶ ἄξιον ὑπὸ τοιούτου παραχθῆναι πανσόφου καὶ παντοδυνάμου Δημιουργοῦ· ὑφ᾽ οὗ καὶ τοῦ μηδαμῶς ὄντος, ἔκτισται καὶ διακεκόσμηται. Κενὸν οὖν κατὰ τὸν Κόσμον, οὐκ ἔστι τὸ οἱονοῦν. Εἰ γὰρ ἦν ὅλως ἐν τῷ Κόσμῳ Κενὸν, οὔτ᾽ ἂν συμπάθειά τις ἐφαίνετο τῶν τοῦ Κόσμου μερῶν πρὸς ἄλληλα, ταύτην τοῦ κενοῦ διακόπτοντος· οὔτ᾽ αὖ ταῖς αἰσθήσεσι καὶ μᾶλλον τῇ ὁράσει τοσαύτη τις ἦν ἡ Ἐνέργεια. Πῶς γὰρ ἦν δυνατὸν ἐξικνεῖσθαι τὴν ὄψιν μέχρι τοῦ Στερεώματος, μὴ τοῦ ἀέρος ὄντος διόλου συνεχοῦς ἑαυτῷ, καὶ ἡνωμένου τῷ Ὑπεκκαύματι· καὶ δι᾽ αὐτοῦ τῷ Αἰθέρι, κατὰ συμφυΐαν ἀδιάσπαστον; Ὄντων γὰρ ἐν τῷ μεταξὺ τινων κενωμάτων, ἤργουν ἂν αἱ αἰσθήσεις ἐμποδιζόμεναι τοῖς κενώμασι· τά, τε στενόστομα τῶν σκευῶν περιτρεπόμενα ἐν τοῖς ὕδασιν, ἐπίμπλαντο πάντως παρεμπίπτοντος διὰ τῶν κενωμάτων τοῦ ὕδατος. Νῦν δ᾽ οὐ γίνεται τοῦτο, διὰ τὸ εἶναι ταῦτα πλήρη ἀέρος, καὶ

τοῦτον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτον ἐκβληθῆναι μὴ δύνασθαι· τῶν στομάτων αὐτῶν περιεχομένων ὑπὸ τοῦ ὕδατος.

Ἀπὸ δὲ τῆς Κλεψύδρας ἐναργέστερον μαρτυρεῖται μὴ κατὰ Κόσμον εἶναί τι Κενόν. Ἔστι δ' ἡ Κλεψύδρα, σκεῦος κωνοειδὲς μικραῖς τισιν ὀπαῖς τὴν βάσιν ἔχον διάτρητον· τὸ δὲ στόμιον, ἐστενωμένον κατ' αὐτὴν φέρον τὴν κορυφήν. Τοῦτο τὸ σκεῦος πληρούμενον ὕδατος καὶ μετεωριζόμενον, ἐπιπωματιζομένου τοῦ στομίου διὰ τοῦ ἀντίχειρος, ἢ ἄλλως πως ἀσφαλῶς, ὥστε μὴ ἔχειν ἐντεῦθεν τὸν ἀέρα παρείσδυσιν, στέγει πᾶν τὸ ὕδωρ, ὅτι μηδ' ἐκ τῶν κατὰ τὴν βάσιν πόρων ὅλως, δύναται περεισδῦναί τις Ἀήρ, προκαταληφθέντων τῷ τοῦ ὕδατος σώματι, καὶ οἱονεὶ ἀποφραγέντων, καὶ τὴν διέξοδον ἀποκλεισάντων τῷ πνεύματι. Μένει τοιγαροῦν τὸ ὕδωρ ἐντὸς, διὰ τὸ μὴ πεφυκέναι κατὰ Κόσμον εὑρεθῆναί που Κενὸν μηδὲ πρὸς βραχύ. Καταῤῥέοντος γὰρ ἂν τοῦ ὕδατος, καὶ τὰς ἐν τῇ βάσει τοῦ ἄγγους ὀπὰς οὐκ ἀπολιμπάνοντος τῇ συνεχείᾳ τῆς ῥεύσεως, οὐκ εἶχέ ποθεν ὁ ἀὴρ εἰσδύναι, καὶ τὴν χώραν ἐκείνην καταλαβεῖν, ἣν προκατέχον τὸ καταῤῥέον ὕδωρ ἀπέλιπε· Καὶ ἦν ἂν ἐξ ἀνάγκης ἐντὸς τοῦ ἄγγους, τὶς τόπος Κενός. Ὅτι δ' οὐ πέφυκε τοῦτο, μένει τὸ ὕδωρ ὅλον ἀμείωτον. Ἐπὰν δ' ἐκ τοῦ στομίου λάβῃ παρείσδυσίν τινα ὁ ἀήρ, τότε καταῤῥεῖ τοσοῦτον τοῦ ὕδατος, ὅσον τοῦ ἀέρος εἰσέρχεται· καὶ τοῦ στομίου πάλιν φραττομένου διακοπτομένη παρ' εὐθὺ τοῦ ὕδατος ἡ κατάῤῥευσις παύεται. Καὶ μένει τὸ τοῦ ὕδατος ἐναπολειφθὲν τῇ Κλεψύδρᾳ, καθὰ τὸ ὅλον ὕδωρ ἔμενε πρότερον. Φανερὸν οὖν ὡς οὐκ ἔστιν ἐν τῷ Κόσμῳ τὶ Κενόν.

Ἔξω δὲ τοῦ Κόσμου τὸ τοιοῦτον Κενὸν ὑπονοεῖται διήκειν εἰς Ἄπειρον. Ἐπεὶ γὰρ πᾶν τὸ περιεχόμενον ἑτέρῳ τινὶ περιέχεται, καθὼς ἐπὶ τῶν μερικῶν σωμάτων ἐκφαίνεται· (τὰ μὲν γὰρ αὐτῶν ἀέρι, τὰ δ' ὕδατι, τὰ δ' ἄλλῳ τινὶ περιέχεται.) Καὶ ὁ Κόσμος πάντως πεπερασμένος ὑπάρχων, ὑφ' ἑτέρου τινὸς ἂν περιέχοιτο. Σῶμα δ' οὐκ ἔστιν ἐκτὸς τοῦ Κόσμου. Καὶ γὰρ οὗτός ἐστιν ἡ σύλλη-

ψις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψις παντὸς σώματος καὶ περίληψις, καὶ οἷον εἰπεῖν, ὁλότης σωματική. Τοιγαροῦν ἀσώματον ἔσται, τὸ τὸν Κόσμον περιέχον. Εἰ γὰρ σῶμα καὶ τοῦτο, περιληφθήσεται πάντως ὑπ' ἄλλου τινός. Σῶμα γὰρ Ἄπειρον, οὐκ ἔστιν ἐπινοῆσαι. Διόπερ ἀναγκαίως ἀσώματον ἂν εἴη τὸ περιέχον ἐσχάτως τὴν σύμπασαν ἐγκόσμιον σύστασιν. Ὡς δ' ἁπάντων ἔσχατον, ἔσται καὶ Ἄπειρον. Τὴν ὑστάτην οὖν τῶν ὄντων περιοχὴν τὴν ἀσώματόν τε καὶ Ἄπειρον, Κενὸν ὀνομάζουσιν· ὡς μήτι τῶν σωμάτων ἔχουσαν ὅλως ἐν ἑαυτῇ.

## ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

### Ἐκ τῆς εἰς τὸν ὄγδοον Ψαλμὸν Ἐξηγήσεως.

Εἰπὼν ὁ Προφήτης πρὸς τὸν Θεόν· ὅτι ὄψομαι τοὺς Οὐρανοὺς ἔργα τῶν δακτύλων σου, καὶ τῶν Οὐρανῶν καὶ Θεοῦ ἀμφοτέρων μνησθεὶς, Δημιουργὸν ἁπάσης τῆς κτίσεως ἐκήρυξε τὸν Χριστὸν, τῇ περιοχῇ τὰ περιεχόμενα συμπεριλαβών. Ὁ γὰρ κατ' ἀρχὰς γεγονὼς Οὐρανὸς, ὁ φύσει πρῶτος καὶ ἄναστρος, περιοχή ἐστιν ἁπάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς. Καὶ αὐτοὶ γὰρ οἱ Νόες, τῷ τοιούτῳ περιέχονται σύμπαντες Οὐρανῷ· μόνον δὲ τὸ Θεῖον, ἀπερίοριστον. Ὄψομαι δέ φησιν, ἀντὶ τοῦ γνώσομαι. Νοῦς γὰρ ὀφθαλμὸς Ψυχῆς ὢν, κρεῖττον ὁρᾷ τῶν σωματικῶν ὀφθαλμῶν. Γνώσομαι τοὺς Οὐρανοὺς ἔργα σὰ, μεταφορικῶς τε καὶ περιφραστικῶς. Γνώσομαι διὰ παντὸς, οὔποτε τῆς τοιαύτης ἐκστήσομαι γνώσεως· ὅτι σὺ Δημιουργὸς εἶ τοῦ παντός. Διηγηματικὸν δὲ τὸ ὅτι καὶ βεβαιωτικὸν, οὐκ αἰτιολογικόν. Ἀπὸ κοινοῦ, γνώσομαι τὴν Σελήνην καὶ τοὺς Ἀστέρας ἔργα τῶν δακτύλων σου, ἅτινα σὺ τεθεμελιωμένα καὶ μόνιμα, καὶ τὴν αὐτὴν φυλάττοντα τάξιν πεποίηκας, εἰς ὃ διαμένειν ἐθέλοις τὸ πᾶν. Διαλαβὼν δὲ περὶ Σελήνης καὶ Ἀστέρων, οὐ παρῆκε τὸν Ἥλιον· ἅμα μὲν μετὰ τῶν Ἀστέρων τάξας ὡς Ἀστέρα καὶ αὐτὸν ἐξοχώτατον, καὶ βασιλικώτατον, καὶ λαμπρότατον, καὶ Ἀστεράρχην ὠνομασμένον ὑπό τινων προσφυῶς· ἅμα δ' ὡς τῇ Σελήνῃ συνεξακουόμενόν τε καὶ

συννοου-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συννοούμενον, εἴγε ταύτῃ τὸ φῶς ἐξ αὐτοῦ καθ' ὃ φαίνει καὶ οὐκ ἐκ φύσεως. Ἰδίᾳ δὲ περὶ τῆς Σελήνης εἴρηκε, καὶ μὴ συνεκφωνήσας ταύτην τοῖς Ἄστρασι, δι' ἃ πρὸς τοὺς Ἀστέρας ἀκοινώνητα φέρει πολλά· τὰς τοῦ φωτὸς αὐξήσεις καὶ μειώσεις, ἀποκρύψεις τε καὶ πληρώσεις, καὶ τοὺς ποικίλους σχηματισμούς, καὶ ὅτι περ, οὐδεὶς τῶν Ἀστέρων ἔξωθεν ἔχει τὸ φῶς, ὡς αὕτη κατ' ἐπεισαγωγήν· ἀλλ' οἴκοθεν ἔχουσιν αὐτὸ πάντες καὶ ἀναπόβλητον, εἰ καὶ μὴ μεθ' ἡμέραν ὁρῶνται τῆς ἡλιακῆς αὐτοὺς ἀποκρυπτούσης πλησμίου φωτοχυσίας καὶ ὑπερβαλλούσης λαμπρότητος. Ὁ μὲν οὖν Ἥλιος, ὑψηλότερός ἐστι τῆς Σελήνης ἐπὶ πλέον ἢ ὅσον ἀφέστηκεν αὕτη τῆς Γῆς, καὶ πολλαχῶς ἐπὶ πλέον· ἡ δὲ, χθαμαλωτάτη παντὸς Ἀστέρος γινώσκεται.

Τῶν γὰρ Ἀστέρων, οἱ μὲν, Ἀπλανεῖς· οἱ δὲ, Πλάνητες λέγονται. Καὶ οἱ μὲν Ἀπλανεῖς ὁμοτίμως ὑψηλότατοι πάντες καὶ πάμπολλοι· τὸ χῦμα λέγω τῶν Ἀστέρων αὐτὸ τὸ πολυπληθές· οἱ δὲ Πλάνητες μετὰ καὶ τῆς Σελήνης ἑπτά, καὶ ἄλλος ἄλλου χθαμαλώτερός τε καὶ προσγειότερος. Τοῦ Στερεώματος δὲ κυκλικῶς κινουμένου κίνησιν ὀξυτάτην καὶ ἄληκτον, ἐξ Ἀνατολῶν εἰς Δυσμὰς ὡς πρὸς Αἴσθησιν, συμπεριφέρονται καὶ πάντες Ἀστέρες αὐτῷ, καὶ σύμπας Αἰθήρ. Πολὺ δὲ πάνυ καὶ μυρίον τὸ τοῦ Αἰθέρος διάστημα τὸ ἐκ τοῦ Στερεώματος ἕως τοῦ Ὑπεκκαύματος· ὅπερ Ὑπέκκαυμα τὸ Πῦρ ἐστι τὸ στοιχεῖον αὐτό. Τὸ γὰρ ἡμῖν γινωσκόμενον Πῦρ, ἔξαψίς ἐστι τοῦ τοιούτου στοιχειώδους Πυρὸς, ὑπερβολὴν ἔχον τῆς πυρώδους θερμότητος, ὥσπερ ὁ Κρύσταλλος τῆς ἐν ὕδατι θεωρουμένης ψυχρότητος.

Οἱ μὲν οὖν ἀπλανεῖς Ἀστέρες, πεπήγασιν ἐν τῷ Στερεώματι, καὶ σὺν αὐτῷ μόνῳ φέρονται, μηδεμίαν ἰδίαν κατὰ τόπον ποιούμενοι κίνησιν· οἱ δὲ Πλάνητες οὐ πεπήγασιν ἐν τῷ Στερεώματι· κατωτέρω δὲ τούτου κατά τινας βαθμίδας ἐν τῷ Αἰθέρι μετέωροι φέρονται. Καὶ τοῦ Στερεώματος φερομένου μετὰ τῆς τῶν Ἀπλανῶν παμπλη-

θείας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θείας ἐξ Ἀνατολῶν εἰς Δυσμὰς ὡς ἡ αἴσθησις, αὐτοὶ τοὐναντίον ἐκ Δυσμῶν εἰς Ἀνατολὰς ἰδίαν χολαιοτέραν κινοῦνται κίνησιν. Ὅθεν καὶ Πλάνητες ὠνομάσθησαν, ὡς δῆθεν ἀποπλανηθέντες τῆς τοῦ Στερεώματος πορείας, καὶ τοῦ τοσούτου τῶν Ἀστέρων ἑσμοῦ, καὶ τὴν ἐναντίαν βαδίζοντες. Ταῦτα δὲ λέγω πρὸς τὸ φαινόμενον· ἐπείτοιγε μόνος ὁ πρῶτος Οὐρανὸς ἐξ Ἀνατολῶν εἰς Δυσμὰς φερόμενος ἔγνωσται, συμπεριάγων ἑαυτῷ καὶ τὸν δεύτερον, τὸ Στερέωμα. Τὸ γὰρ Στερέωμα καὶ αὐτό, πρὸς Δυσμὰς ἐξ Ἀνατολῶν μετὰ τῶν λεγομένων ἀπλανῶν Ἀστέρων φέρεται φυσικῶς· διὰ δὲ τὸ βραδύτατον τῆς τοιαύτης πλανητικῆς κινήσεως διαλανθάνει τὴν αἴσθησιν. Εἰς Μοίρας γὰρ ἑξήκοντα καὶ τριακοσίας τοῦ παντὸς Κύκλου διῃρημένου, μίαν Μοῖραν καθ᾽ ἕκαστον ἔτος, τετήρηται διέρχεσθαι πλανητικῶς τὸ Στερέωμα. Κατά τινας δ᾽ οὐ Μοῖραν, ἀλλὰ τμῆμα Μοίρας ἐλίγιστον. Διὸ δὴ καὶ τῆς τοιαύτης ἰδίας καὶ φυσικῆς κινήσεως τοῦ Στερεώματος, ὁ πρῶτος Οὐρανὸς ὁ μὴ ὁρώμενος ἑώραται νοερῶς τοῖς τὴν ἐξέτασιν ταύτην φιλοπόνως ποιησαμένοις.

Τὴν μὲν οὖν ἰδίαν κίνησιν οἱ Πλάνητες ποιοῦνται τοιαύτην, οἵαν εἰρήκαμεν· Συμπεριάγονται δὲ καὶ τῷ Οὐρανῷ, τῇ ῥύμῃ τῆς αὐτοῦ φορᾶς ἐκνικώμενοι. Κἀντεῦθεν ὁ Ἥλιος δι᾽ ἐνιαυτοῦ τὴν ἰδίαν κίνησιν ἐκπληρῶν, τὴν πλανητικήν, τὴν ἐκ Δυσμῶν εἰς Ἀνατολάς, ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτί, διὰ τῆς ἐναντίας ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτό, καί τι πλέον ἀποκαθίσταται, ὑπὸ τῆς Οὐρανοῦ ῥύμης ἑλκόμενος καὶ περιαγόμενος. Διὰ μὲν οὖν τῆς σὺν Οὐρανῷ περιαγωγῆς, αἴτιος γίνεται τῶν Ἡμερῶν τε καὶ τῶν Νυκτῶν· ὑπέργειος φερόμενος, τῶν Ἡμερῶν· ὑπόγειος, τῶν Νυκτῶν. Διὰ δὲ τῆς οἰκείας κινήσεως τῆς πλανητικῆς, τῶν τεσσάρων Ὡρῶν. Ἔχων γὰρ τὸν τῆς τοιαύτης αὐτοῦ κινήσεως Κύκλον, ὑπὸ τὸ Στερέωμα βεβλημένον λοξῶς, τῶν μὲν δύω μερῶν αὐτοῦ τῶν κατὰ διάμετρον, ἀντικρυ τεταγμένων τοῖς μέσοις τοῦ Στερεώματος μέρεσι, τῶν ἑτέρων δ᾽ αὖ δύω μερῶν, κατὰ διάμετρον καὶ αὐτῶν, τοῦ μὲν

ὑπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπονεύοντος πρὸς τοῖς βορειοτέροις τοῦ Στερεώματος· τοῦ δὲ, πρὸς τοῖς νοτιωτέροις· ὅτε μὲν διέρχεται τὰ ὑπὸ τὰ μέσα τοῦ Στερεώματος, τὰς Ἰσημερίας ποιεῖ· τὴν Ἐαρινὴν, ἀπὸ τῶν νοτίων ἐρχόμενος· ὑποστρέφων ἐκ τῶν βορείων, τὴν Φθινοπωρινήν. Ὅτε δὲ τὸ τοῦ οἰκείου Κύκλου τμῆμα τὸ βορειότατον δίεισι, τότε τὴν θερινὴν Ὥραν ἀποτελεῖ· τὴν Χειμερινὴν πάλιν, ὅτε τὸ νοτιώτερον.

Ἀφέστηκε δὲ πρῶτος τοῦ στερεώματος πλάνης Ἀστὴρ Κρόνος, ὁ καὶ Φαίνων καλούμενος, τὸν οἰκεῖον Κύκλον δι' ἐτῶν τριάκοντα διερχόμενος. Κατωτέρω τούτου, Ζεὺς, ὁ καὶ Φαέθων, δωδεκαετίᾳ τὴν αὐτοῦ πλανητικὴν ἀπαρτίζων περίοδον. Μετ' αὐτόν τε καὶ ὑπ' αὐτὸν, Ἄρης ὁ καὶ πυρόεις ἔτεσι δύω καὶ Μησὶ πέντε καὶ πρὸς, τὴν ἰδίαν περιστροφὴν ἐκπληρῶν. Εἶτα τέταρτος καὶ κατὰ τὸ τοῦ Αἰθέρος μεσαίτατον, Ἥλιος, δι' ἐνιαυτοῦ περαιῶν τὴν αὐτοῦ περιέλευσιν· ἤγουν διὰ Νυχθημέρων τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου. Μετ' αὐτὸν Ἀφροδίτη, καὶ ὑπ' αὐτὸν· Ἑωσφόρος ὁ Ἀστὴρ οὗτος· ἀλλὰ καὶ Ἕσπερος. Τὸ μὲν γὰρ ἐστι καὶ καλεῖται τῆς Ἡλίου προανίσχων ἐπιτολῆς· τὸ δ', αὐτοῦ καταδυομένου, φαινόμενος πρὸς δυσμαῖς. Περὶ τῆς αὐτοῦ φυσικῆς κινήσεως, οἱ Ἀστρολογήσαντες, διεφώνησαν. Καὶ οἱ μὲν, ἔφασαν αὐτὸν, ἰσοδρομεῖν τῷ Ἡλίῳ· τοῖς δὲ, μησὶν ὀκτὼ περιτρέχειν τὸν ἴδιον Κύκλον ἔδοξεν οὗτος. Ἕκτος, ὁ Ἑρμῆς, ὁ καὶ Στίλβων, ἐν ἓξ Μησὶ καὶ Ἡμέραις ἓξ, τὴν ὅλην αὐτοῦ ποιούμενος περιπόρευσιν. Τισὶ δε τῶν Ἀστρολόγων, ἐνιαυσιαῖον καὶ οὗτος ποιεῖσθαι τὸν δρόμον ὑπείληπται, καθάπερ ὁ Ἥλιος. Ἀκριβέστεροι δὲ μᾶλλον δοκοῦσιν, οἱ ἐλάττω τοῦ Ἐνιαυτοῦ τοῖς εἰρημένοις δυσὶ Πλάνησι τὸν τῆς φυσικῆς κινήσεως χρόνον ἀποφηνάμενοι, κατὰ τὴν τάξιν τῆς πρὸς τοὺς ἄλλους Πλάνητας ὑποβάσεως.

Μετὰ πάντας Ἀστέρας, ἡ Σελήνη τέτακται κατωτάτω· πρὸς δὴ τὸ πέρας αὐτὸ τοῦ Αἰθέρος τόγε τεθολωμένον, ὡς τῷ Ὑπεκκαύματι συμμιγές. Αὕτη σμικρότατον ἔχουσα Κύκλον ὡς χθαμαλωτάτη καὶ προσγειοτάτη,

συντό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συντόμως αὐτὸν ἀνύει. Δι' ἡμερῶν γὰρ ἑπτά τε καὶ εἴκοσι καί τινος ἡμίσεος μάλιστά πως ἡμέρας μιᾶς. Διὸ καὶ πολλάκις τοῦ Ἐνιαυτοῦ καὶ φθάνει καὶ παραμείβει τὸν Ἥλιον. Οὖσα δὲ κατωτάτω τοῦ Αἰθέρος, καὶ κατὰ τὰς αὐτοῦ πρὸς τὸ Ὑπέκκαυμα συναφὰς καὶ συμμίξεις, ὡς εἴρηται, ζοφερὸν ἔχει τὸ σῶμα καὶ φύσει ἀλαμπές· Ἐκ δὲ τῶν ἡλιακῶν ἀκτίνων, ἐπείσακτον κατ' ἰδιότητα πέφυκε δέχεσθαι τὸ φῶς. Διὸ καὶ Σελήνη κατονομάζεται, διὰ τὸ σέλας νέον ἔχειν ἀεὶ, καὶ οὔποτε παλαιὸν* ἄλλοτε ἄλλων μερῶν φωτιζομένων αὐτῆς. Οὖσα γὰρ καὶ αὐτὴ σφαιροειδὴς ὡς ὁ Ἥλιος καὶ πᾶς ἄλλος Ἀστὴρ· ὅτε μὲν κατὰ διάμετρον ἔχει τὸν Ἥλιον, ἀφεστηκυῖα τὴν πλείστην αὐτοῦ καὶ μεγίστην ἀπόστασιν, ὅλα δὴ τότε καταλάμπεται τὰ κάτω μέρη καὶ πρὸς ἡμᾶς, καὶ γίνεται παμφαής· Ὅσῳ δὲ τῷ Ἡλίῳ πελάζει, τοσούτῳ φαίνεται τὰ πρὸς ἡμᾶς ἀλαμπής· ἐκ τῶν ἡμῖν ὁρωμένων ταύτης μερῶν, εἰς τὰ μὴ ὁρώμενα μεταβιβαζομένων τῶν ἡλιακῶν αὐγασμῶν. Ὅτε δὲ συνέλθῃ τῷ Ἡλίῳ πρὸς τὸν αὐτὸν τόπον ὥστε συνοδεύειν αὐτῷ, τότε τὰ ὑψηλότερα μέρη πάντα φωτιζομένη τὰ πρὸς τὸν Οὐρανὸν, ἀφώτιστος εὑρίσκεται διόλου τὰ κάτω, καὶ πρὸς ἡμᾶς. Ὅτε δ' αὖ παραμείψῃ τὸν Ἥλιον, ἄρχεται τὰ κάτω φωτίζεσθαι, πρὸς λόγον τῆς παραμείψεως γινομένης ἀεὶ τῆς φαύσεως.

Ἔστι δὴ μέσον τοῦ Στερεώματος, πλάτος πολὺ κυκλικὸν καὶ λοξόν· ὑφ' ὃ ποιοῦνται τὴν κίνησιν πάντες οἱ Πλάνητες. Οὐδὲ γὰρ τὸ Στερέωμα πᾶν ὑποτρέχουσι. Τὸ τοιοῦτον πλατύτατον κύκλωμα τὸ λοξὸν, Ἄστρα φέρει πολλὰ, σκιαγραφοῦντά πως Ζῶά τινα. Κἀκ τῆς τοιαύτης σκιαγραφίας τῆς συγκεχυμένης καὶ ἀμυδρᾶς, Ζώδια κεκλήκασιν οἱ τῶν Ἀστρολόγων ἀρχαιότεροι, τὰ σκιαγραφήματα· καὶ τὴν περιοχὴν αὐτῶν πᾶσαν, Κύκλον ζωδιακὸν, καὶ λίαν καταχρησάμενοι τοῖς ὀνόμασιν.

Ὑπὸ τὸ τοῦ ζωδιακοῦ τὸ μεσαίτατον, ὁμαλῶς ὁ Ἥλιος κινεῖται διηνεκῶς, τὴν ἀπὸ Δυσμῶν εἰς Ἀνατολάς· οἱ δ' ἄλλοι Πλάνητες, ἑλικοειδῶς φερόμενοι, τὸ ὑπὸ τὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ζωδιακὸν πλάτος πᾶν, ἐξαλλάττουσι· καὶ ποτὲ μὲν ἐπὶ τὰ Βόρεια γίνονται τέτου, ποτὲ δ', ἐπὶ τὰ Νότια, ποτὲ δὲ καὶ πρὸς τὸ μέσον εὑρίσκονται. Μάλιστα δὲ τῶν ἄλλων, ἡ Σελήνη ποιουμένη τὴν τοιαύτην ἐξαλλαγὴν, ποτὲ μὲν ἄνεισιν ὡς πρὸς Βόρεια· ποτὲ δὲ κάτεισιν ὡς πρὸς Νότια· ποτὲ δὲ καὶ τὸν μέσον ὁδεύει τὸν ὑπὸ τὸν ἡλιακόν.

Κατὰ γοῦν τὴν αὐτῆς πρὸς τὸν Ἥλιον Σύνοδον, βορειοτέρα μὲν οὖσα καὶ νοτιωτέρα, τὸν Ἥλιον Ὑποσκιάσαι καὶ κρύψαι οὐ δύναται· κατὰ δὲ τὸν μέσον εὑρισκομένη καὶ τῷ Ἡλίῳ γινομένη, τότε δὴ καὶ κατὰ κάθετον φραγμὸν ἑαυτὴν καὶ διατείχισμα τίθησι μέσον Ἡλίου καὶ ἡμῶν, καὶ οὕτως ἀποκρύπτει τὸν Ἥλιον ἀφ' ἡμῶν· καὶ οὔτ' αὐτοῦ τὰς ἀκτῖνας ἐᾷ διϊκνεῖσθαι πρὸς τὸν καθ' ἡμᾶς Ἀέρα καὶ φωτίζειν αὐτὸν, οὐθ' ἡμᾶς τὸν Ἥλιον καθ' ὅπερ ἂν ὑποδράμοι μέρος αὐτὸν καθορᾷν. Καὶ τὴν τοιαύτην σύμπτωσιν, Ἔκλειψιν Ἡλίου προσηγορεύκασιν, οὐ ταῖς ἀληθείαις τοῦ Φωστῆρος ἐκλείποντος, ἀλλὰ δοκοῦντος ἐκλείπειν, ἐκ τοῦ μήτ' αὐγάζειν μήθ' ὁρᾶσθαι, τοῦ τῆς Σελήνης διείργοντος σώματος. Ἐν δὲ ταῖς τοιαύταις γίνεται τῆς Σελήνης ὑποδρομαῖς ὁ Ἥλιος ἡμῖν ἀφανὴς, ἐνίοτε μὲν ὅλος· τὰ πολλὰ δὲ, κατά τι μέρος αὐτοῦ, πρὸς λόγον τῆς ὑποκρύψεως. Ὅσον γὰρ ὑποβέβηκεν ἡ Σελήνη, τοσοῦτον καὶ ἡμῖν ἀκαθόρατον· τοῦτο καὶ πρὸς ἡμᾶς οὐκ ἐκπέμπει τὸ φῶς. Ἀλλ' ἡ μὲν λεγομένη κατὰ τὸν Ἥλιον Ἔκλειψις, οὐκ ἔστι πάθος αὐτοῦ. Πάντη γὰρ ἀμείωτον ὁ Ἥλιος ἔχει τὸ φῶς ἀεὶ καὶ εἰλικρινές. Ἡ δὲ τῆς Σελήνης Ἔκλειψις, αὐτῆς τῆς Σελήνης πάθος ἐστὶ· καὶ κατ' ἀλήθειαν, ἀλλ' οὐ κατὰ δόκησιν Ἔκλειψις. Ὅτε γὰρ ἡ Σελήνη τῷ Ἡλίῳ κατὰ διάμετρον γίνεται, πρὸς μὲν τοῖς ὑπὸ τὸν Ζωδιακὸν εὑρισκομένη Βορείοις ἢ καὶ Νοτίοις, μένει μηδὲν πάσχουσα παμφαής. Ἐν τῷ μέσῳ δὲ τυχοῦσα, καὶ τὸν ἡλιακὸν ὑποτείνουσα, τότε τῆς γῆς διατειχιζούσης, οὐ δέχεται τὰς ἐξ Ἡλίου αὐγάς· καὶ καθ' ὃ μέρος οὐ δέχεται ταύτας, οὐδὲ φωτίζεται. Καὶ ὅπερ αὐτὴ κατὰ τὴν λεγομένην ἡλιακὴν Ἔκλειψιν ἐν Συνόδῳ ποιεῖ, διαφράττουσα τὸν Ἥλιον ἐξ ἡμῶν, τοῦτ' ἐν διαμέτρῳ πά-

χει

χει παρὰ τῆς Γῆς. Ἡλίου γὰρ καὶ Σελήνης εὑρισκομένη τηνικαῦτα μέσον ἡ Γῆ, κατὰ μίαν εὐθεῖαν, κωλύει τὴν Σελήνην ταῖς ἐξ Ἡλίου λαμπηδόσιν αὐγάζεσθαι. Καὶ ὅσον αὐτῆς μέρος ταῖς ἡλιακαῖς ἀκτῖσιν οὐ καταλάμπεται, μένει τοῦτο πάμπαν ἀφώτιστον. Ἐνίοτε δὲ καὶ πᾶσα ζοφοῦται, καὶ τὸ φῶς ὅλον ἀπόλλυσιν, ὡς καὶ δοκεῖν ἠφαντῶσθαι, καὶ μηδὲ τὸν τόπον ἐν ᾧπερ ἦν, ὅλως διαγινώσκεσθαι, τῷ μηδὲ σκιὰν αὐτῆς κἂν γοῦν ἀμυδράν τινα περιστάζεσθαι. Τοιαύτης καὶ ἡμεῖς σεληνιακῆς Ἐκλείψεως αὐτόπται γεγόναμεν.

Ὁ μὲν οὖν Ἥλιος ἐκ τῶν Φαινομένων περὶ τὰς τῆς Σελήνης Ἐκλείψεις, μείζων τῆς γῆς ἀνενδοιάστως γινώσκεται· καὶ διὰ τοῦτο γινόμενος ὑπὸ γῆν, οὐ κωλύεται παρ' αὐτῆς εἰς τὸ τοῦ Αἰθέρος ὕψος τὰς οἰκείας ἐκπέμπειν αὐγάς. Περιεχομένης γὰρ ὑπὸ τοῦ Ἡλίου τῆς γῆς διὰ τὴν ταύτης σμικρότητα, πῶς ἂν κωλυθεῖεν αἱ ἀκτῖνες ἐκ τῶν ἄκρων αὐτῆς, εἰς τὸ τοῦ Αἰθέρος ὕψος διαβιβάζεσθαι; Διὸ καὶ καταλάμπεται τὰ ὑψηλότερα τοῦ Κόσμου, κἂν τῷ ὑπὸ γῆν εἶναι τὸν Ἥλιον. Ἐν Νυκτὶ δὲ εἰσι τότε τὰ χθαμαλώτερά τε καὶ προσγειότερα. Νὺξ γὰρ οὐδὲν ἕτερον, ἢ τῆς γῆς ἡ Σκιά. Τῆς τοιαύτης οὖν Σκιᾶς, διὰ τὸ μέγεθος τοῦ Ἡλίου γινομένης κωνοειδοῦς, καὶ τὴν μὲν βάσιν ἐχούσης πλατεῖαν, συμπαρεκτεταμένην τῷ μέρει τῆς γῆς, ὅσον οὐ καταλάμπει ὁ Ἥλιος· τὴν δὲ κορυφὴν, εἰς ὀξὺ λήγουσαν· τὰ μὲν ἄνω τῆς Σελήνης καὶ ὑψηλότερα τὴν τοιαύτην καὶ κατὰ μῆκος ὑπερβαίνει Σκιάν. Ὅθεν οὐδεὶς ἱστόρηταί ποτε τῶν Ἀστέρων ταύτῃ περιπεσεῖν. Ἦ γὰρ ἂν ἐφάνη λαμπρότερος ἑαυτοῦ. Τὰ φῶτα γὰρ ἐν Νυκτὶ μᾶλλον, ἢ ἐν Ἡμέρᾳ λαμπρότερα φαίνεται. Διὸ καὶ οἱ Ἀστέρες αἰθρίας οὔσης ἐν ἀσελήνῳ Νυκτὶ, πλέον ἔχουσι τὸ λαμπρὸν, ἢ τῆς Σελήνης διαυγαζούσης. Οἱ μὲν οὖν Ἀστέρες ἅπαντες ὑπερφέρονται τῆς Σκιᾶς, μὴ φθανούσης εἰς τὸ ὕψος αὐτῶν. Ἡ δὲ Σελήνη πρόσγειος οὖσα, τῷ τῆς γῆς ἐντυγχάνει Κώνῳ περὶ τὸ ἄκρον, ὅτε διαμετροῦσα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν Ἥλιον, ὑπὸ τὸν αὐτοῦ φέροιτο Κύκλον· μήτε πρὸς τὰ Βόρεια, μήτε πρὸς τὰ Νότια νεύουσα.

Δῆλον δ' ἐντεῦθεν, ὅτι καὶ πολὺ σμικρὸν ὅσον πρὸς τὴν Γῆν, τὸ σῶμα τῆς Σελήνης ἐστίν· εἴγε τὰ περὶ τὸ ἄκρον τῆς ἐκ γῆς Σκιᾶς καὶ Νυκτὸς, ὅλον αὐτὸ δύναιντο περιέχειν. Καὶ τοῦθ' ἡμῖν ἐπὶ τοῖς δεδειγμένοις οὐ γραμμικῶς, ἀλλὰ λογικῶς. Ἔστω δὴ Πόρισμα ταῦτα μὲν, ἐκ τῆς εἰς τὸν ὄγδοον Ψαλμὸν Ἐξηγήσεως.

Ἐπεὶ δὲ περὶ Ὑψωμάτων καὶ Ταπεινωμάτων καὶ Οἴκων καὶ Ἐναντιωμάτων τῶν ἐν τοῖς Πλάνησιν, ἔφθημεν προδιαλαβεῖν, εἴη ἂν διττὸν τὸ Ὕψωμα, καὶ Ταπείνωμα· τὸ μὲν, κατὰ τὸ ὑπεργειότερον καὶ προσγειότερον τῶν ἐν τοῖς Πλάνησι Σφαιρῶν· (ἔκκεντροι γάρ εἰσιν αἱ πᾶσαι πρὸς τὴν Σφαῖραν τοῦ Στερεώματος, καὶ πρὸς ἀλλήλας· καὶ τὰ μὲν, τῶν μερῶν ἔχουσιν ὑψηλότερα· τὰ δὲ, ταπεινότερα·) τὸ δὲ Ταπείνωμα καὶ Ὕψωμα, κατὰ τὴν τοῦ Ζῳδιακοῦ ὑπεξάλλαξιν. Πάντες γὰρ οἱ Πλάνητες πλὴν τοῦ Ἡλίου, καὶ τοῖς Βορείοις καὶ τοῖς Νοτίοις καὶ τοῖς ὑπὸ τὸν Ζῳδιακὸν, ἐν τῷ ἑλικοειδῶς κινεῖσθαι, προσέρχονται. Περὶ τούτου τοῦ Ταπεινώματος καὶ τούτου τοῦ Ὑψώματος, οἶμαι τοὺς Ἀστρολόγους διαλαμβάνοντας, διηγεῖσθαι καὶ Ὑψώματα τῶν Πλανήτων εἶναί τινα Ζῴδια, καὶ ἄλλα δὴ Ταπεινώματα. Πῶς γὰρ ἂν ἄλλως, εἴη ὁ Ταῦρος, Ὕψωμα τῆς Σελήνης, εἰ μὴ ὅτιπερ ὑπ' αὐτὸν γινομένη πρὸς τὰ βορειότερα τὰ ὑπὸ τὸν Ζῳδιακὸν ὑψοῦσθαι ἄρχεται; Τῆς γὰρ σεληνιακῆς Σφαίρας τὸ μέσον, οὐκ ἔστι τὸ ὑπὸ τὸν Ταῦρον· ἵν' ὁ Ταῦρος εἴη τῆς Σελήνης Ὕψωμα, κατὰ τὴν Σφαῖραν αὐτῆς· ἐπεὶ μηδὲ τὸ ὑπὸ τὸν Καρκῖνον, τῆς σεληνιακῆς Σφαίρας τὸ ὑψηλότατον· ἀλλὰ μέσον μὲν ταύτης, τὸ ὑπὸ τὸν Ζυγόν· ὑψηλότατον δὲ, τὸ ὑπὸ τὸν Τοξότην. Ὥσπερ γὰρ ὁ Ἥλιος ὑπὸ τοὺς Διδύμους γινόμενος, τῆς οἰκείας Σφαίρας καταλαμβάνει τὸ ὑψηλότατον· οὕτως ἡ Σελήνη τὸν Τοξότην ὑποθέουσα, τῆς οἰκείας Σφαίρας ἔχει καὶ αὐτὴ τὸ ὑψηλότατον.

Ὁ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ μὲν οὖν Ἥλιος τὸν μέσον ὑποτρέχων ἀεὶ τοῦ Ζωδιακοῦ, πρὸς τὰ τοῦ Κόσμου βορειότερα καὶ ὑψηλότερα γίνεται, διὰ τῆς τῶν βορειοτέρων Ζωδίων ὑποδρομῆς· διὰ δὲ τῆς τῶν νοτιωτέρων, πρὸς τὰ νοτιώτερά τε καὶ ταπεινότερα. Ἔχει δὲ καὶ τὸ ὑψηλότατον τῆς Σφαίρας αὐτοῦ, πρὸς τὰ βορειότερα Ζώδια· καὶ διὰ τοῦτο γινόμενος ὑπὸ τὸν Κριὸν, ἔχει διπλοῦν Ὕψωμα τὸν Κριόν. Οὐ μόνον γὰρ τοῖς ὑψηλοτέροις τοῦ κόσμου μέρεσιν ἐντεῦθεν ἄρχεται προσφοιτᾶν· ἀλλὰ καὶ τὰ τῆς οἰκείας Σφαίρας ζητεῖν ὑψηλότερα· καὶ ὕψος ὑψοῦται μέχρι Διδύμων ὅλων. Τὸν δὲ Καρκῖνον ὑποτρέχων, οὐ ποιεῖται μὲν πρὸς τὰ τοῦ κόσμου μέρη ταπείνωσιν· (ἐκ Λέοντος γὰρ αὕτη.) τῆς δ' οἰκείας Σφαίρας ἄρχεται ταπεινοῦσθαι τοῦ ἀκροτάτου ὑψώματος· καὶ διὰ τοῦτο καὶ κατὰ κορυφὴν ὢν ἡμῶν ἐκ τῆς τοῦ Κόσμου ἐγκλίσεως καὶ προσγειότερος ἀρχόμενος γίνεσθαι, καὶ ἡμῶν ἐγγυτέρω κατὰ κάθετον, Καὶ τὸ θερμότατον ἐν Ζῳδίοις ἔχων ἐγγειτονοῦν, λέγω δὴ τὸν Λέοντα, μειζόνων γίνεται καυμάτων αἴτιος, ἢ ὅτε τὸ ὑπὸ τοὺς Διδύμους περιενόστει τμῆμα, τῆς οἰκείας Σφαίρας τὸ ὑψηλότατον. Καὶ ὁ μὲν Ἥλιος, οὕτως.

Οἱ δὲ λοιποὶ Πλάνητες, πρὸς μὲν τὰ νοτιώτερα ὑπὸ τὸν Ζωδιακὸν ἀρχόμενοι φέρεσθαι, λέγοιντ' ἂν Ταπεινοῦσθαι· τῇ δ' ἐντεῦθεν ἀνόδῳ μετὰ τὴν τοῦ μέσου παραλλαγὴν, πρὸς τὰ ὑπὸ τὸν Ζωδιακὸν βορειότερα νεύοντες, λέγοιντ' ἂν Ὑψοῦσθαι· καὶ τὸ Ζώδιον ὑφ' ὃ τὴν πρὸς τὰ βορειότερα νεῦσιν ὁ Πλάνης ἄρχεται ποιεῖσθαι, λέγοιτ' ἂν τοῦ τοιούτου πλάνητος Ὕψωμα· τὸ δ' ὑφ' ὃ νεύειν ἄρχεται πρὸς τὰ Νότια, τοῦτο Ταπείνωμα. Τὸ μέν τοι τῇ φύσει τοῦ Πλάνητος οἰκεῖον Ζώδιον, Οἶκος αὐτοῦ τοῦ Πλάνητος κέκληται· τὸ δ' ἀνοίκειον καὶ ἀπροσφυὲς, Ἐναντίωμα.

Διὸ τοῦ μὲν Ἡλίου τοῦ θερμοτάτου τὸ θερμότατον ζώδιον Οἶκον ἔθεντο οἱ Ἀστρολόγοι, τὸν Λέοντα· Ὕψωμα, τὸν Κριόν· Ταπείνωμα, τὸν Ζυγόν· Ἐναντίωμα, τὸν Ὑδροχόον, τὸ τῶν ζῳδίων ψυχρότατον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρὸς δὲ τὸν ψυχρότατον Κρόνον, τοὔμπαλιν πεποιήκασιν· Οἶκον αὐτῷ δόντες, τὸν Ὑδροχόον· Οἶκον ἕτερον, τὸν Αἰγόκερων, καὶ αὐτὸν χειμερινὸν ζώδιον καὶ ψυχρὸν· ἀλλὰ δὴ καὶ ξηρὸν, ἐν τοῖς αὐτοῦ πλείοσι μέρεσιν· Ὕψωμα, τὸν Ζυγὸν· Ταπείνωμα, τὸν Κριὸν· Ἐναντίωμα, τὸν Λέοντα. Ἐπεὶ δ᾽ ὁ Κρόνος καὶ ἱκανῶς ξηρὸς, δεδώκασιν αὐτῷ καὶ ἕτερον Ἐναντίωμα, τὸν Καρκῖνον, ζώδιον ὑγρότατον.

Οἶκος Διὸς τοῦ ἐν μεσότητι κράσεως, Τοξότης καὶ Ἰχθύες· Ὕψωμα, Καρκῖνος· Ταπείνωμα, Αἰγόκερως· Ἐναντιώματα, Δίδυμοι καὶ Παρθένος.

Οἶκοι Ἄρεως, τοῦ θερμοῦ καὶ πλέον ξηροῦ, Κριὸς καὶ Σκορπίος· Ὕψωμα, Αἰγόκερως· Ταπείνωμα, Καρκῖνος· Ἐναντιώματα, Ταῦρος καὶ Ζυγός.

Οἶκοι Ἀφροδίτης τῆς ἐν μεσότητι κράσεως, Ταῦρος καὶ Ζυγὸς· Ὕψωμα, Ἰχθύες· Ταπείνωμα, Παρθένος· Ἐναντιώματα, Κριὸς καὶ Σκορπίος.

Οἶκοι Ἑρμοῦ εὐκράτως ἔχοντος, Δίδυμοι καὶ Παρθένος· Ὕψωμα, Παρθένος. Ταπείνωμα, Ἰχθύες, οἱ αὐτοὶ καὶ Ἐναντίωμα· ἕτερον Ἐναντίωμα, Τοξότης.

Οἶκος Σελήνης τῆς ὑγροτάτης, Καρκῖνος· Ὕψωμα, Ταῦρος· Ταπείνωμα, Σκορπίος· Ἐναντίωμα, Αἰγόκερως.

Πρῶτον Ζώδιον ἐαρινὸν ἰσημερινὸν, ὁ Κριὸς ♈, τὴν κρᾶσιν, θερμόν. Διὸ καὶ Οἶκος Ἄρεως ὡς θερμοῦ· τῆς δ᾽ Ἀφροδίτης Ἐναντίωμα, γνωριζομένης ἐν μεσότητι κράσεως· ᾗ δὴ μεσότητι, τὸ θερμὸν ἀντίκειται· καθάπερ καὶ τἄλλα, τὰ πόῤῥω μεσότητος.

Δεύτερον Ζώδιον, ὁ Ταῦρος ♉, ἐν μεσότητι γνωριζόμενος κράσεως. Διὸ καὶ τῆς Ἀφροδίτης, Οἶκος ὁ Ταῦρος· Ἄρεως δ᾽ Ἐναντίωμα τὸ τῆς κράσεως μέσον οὐκ ἔχοντος. Τρίτον, οἱ Δίδυμοι ♊, τοὐπίπαν εὐκρασίας μεστόν. Διὸ καὶ Οἶκός ἐστιν Ἑρμοῦ· φέρον δὲ τὰ νότια θερμὰ καὶ

ξηρὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξηρὰ κατ᾽ ἐπίτασιν, τοῦ Διός ἐστιν Ἐναντίωμα, μεσότητα κράσεως ἔχοντος.

Τέταρτον, ὁ Καρκῖνος ♋, Ζώδιον ὑγρότατον τῆς ὑγροτάτης Σελήνης Οἶκος· Ἐναντίωμα δὲ τοῦ Κρόνου τοῦ σὺν ἐπιτεταμένῃ ψυχρότητι καὶ πολλὴν κεκτημένου ξηρότητα.

Πέμπτον, ὁ Λέων ♌, τὸ τῶν ὅλων ζωδίων θερμότατον, Ἡλίου μὲν Οἶκος τοῦ θερμοτάτου· ἐναντίωμα δὲ Κρόνου τοῦ ψυχροτάτου.

Ἕκτον, ἡ Παρθένος ♍, εὐκράτως ἔχουσα κατὰ μέρη τὰ νότια, καὶ διὰ τοῦτο δεύτερος Οἶκος Ἑρμοῦ τυγχάνουσα· κατὰ τἄλλα δὲ μέρη αὐτη, καὶ θερμοτέρα τοῦ μετρίου καὶ ὑγροτέρα. Ὅθεν καὶ Διὸς ἐναντίωμα.

Ἕβδομον, ὁ Ζυγὸς ♎, Ζώδιον φθινοπωρινὸν Ἰσημερινὸν καὶ ὡς ἐπίπαν, εὔκρατον. Ὅθεν Ἀφροδίτης ἕτερος Οἶκος, Ἄρεος δ᾽ Ἐναντίωμα.

Ὄγδοον ὁ Σκορπίος ♏, Ζώδιον θερμὸν καὶ ξηρὸν, κἀντεῦθεν Ἄρεος ἕτερος Οἶκος· Ἐναντίωμα δ᾽ Ἀφροδίτης.

Ἔννατον, ὁ Τοξότης ♐, μετρίας μετέχων ὑγρότητος, καὶ μετρίας θερμότητος ἐν τοῖς ἔμπροσθεν μέρεσιν· ἃ προηγέμενα λέγονται· πολλῆς δ᾽ εὐκρασίας ἐν τοῖς μέσοις. Διὸ καὶ πρῶτος Οἶκος Διός. Ἐπεὶ δὲ πυράδη φέρει τὰ ὄπισθεν ἅπερ ἑπόμενα λέγονται, ξηρὰ δὲ τὰ βόρεια καὶ τὰ νότια κάθυγρα, διὰ τὴν τοιαύτην ἀνωμαλίαν, Ἐναντίωμά ἐστιν Ἑρμοῦ.

Δέκατον, ὁ Αἰγόκερως ♑, τινὰ μὲν ἔχων ἔνυγρα μέρη· τὰ πλείω δὲ, ξηρὰ· καὶ τὸ σύμπαν, πόῤῥω τοῦ μετρίου ψυχρὸς· Ὅθεν Οἶκος τοῦ Κρόνου· τῆς δὲ Σελήνης, Ἐναντίωμα, μηδεμίαν ἐχούσης ἐν ψυχρότητι Μοῖραν, ἀλλ᾽ ἤδη καὶ θερμότητός τινος μετεχούσης ἐκ τοῦ Ἡλίου κατ᾽ ἐπεισαγωγὴν, πόῤῥω τε πάσης οὔσης ξηρότητος.

Ἑνδέκατον, ὁ Ὑδροχόος ♒, Ζώδιον ψυχρότατον, Κρόνου μὲν ἕτερος Οἶκος, Ἡλίου δ᾽ Ἐναντίωμα.

Δωδέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δωδέκατον οἱ Ἰχθύες ♓, τὰ προηγούμενα μέρη περιφέροντες εὔκρατα· δίυγρα δέ πως, τὰ Μέσα τε καὶ Νότια, κἀντεῦθεν ἕτερος Οἶκος ὄντες Διός. Ἐπεὶ δὲ τἄλλα μέρη τῶν Ἰχθύων πυρώδη τε καὶ καυσώδη, κατὰ ταῦτα τὸ τοιοῦτον ζώδιον, Ἑρμοῦ ἐστὶν Ἐναντίωμα. Γράφεται δὲ καὶ οὕτως ὁ τοῦ Κριοῦ χαρακτὴρ ♈, καὶ οὕτως ὁ τοῦ Ταύρου ♉, καὶ ἀπολύτως ὁ τοῦ Ὑδροχόου.

Ταῦτα πρὸς τὴν ἡμετέραν ἐν λόγοις Ἕξιν ἐκτεθειμένα τὴν ἀδρανῆ καὶ ὀλιγίστην ἐν μαθήμασιν εἴδησιν, τοῖς Φιλολόγοις καὶ Φιλομαθέσιν ἐκδέδοται· τοῦ τὴν ἐπ' ἀμαθίᾳ καὶ ἀφυΐᾳ διαδρᾶναι κατάγνωσιν, τὸ τῇ Φιλολογίᾳ τὶ συνεισενεγκεῖν προθεμένων ἡμῶν ὡς λόγου ἄξιον. Εἰ δὲ λόγου καὶ ἡ εὐγνωμοσύνη, πῶς ἂν καταγνοῖεν οἱ Φιλολόγοι; μᾶλλον μὲν οὖν καὶ χάριν ὁμολογήσαιεν τῷ Θεῷ.

Ὁ Θεὸς δόξα σοι τοῦ Τέλους χάριν.

ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.



ΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΙΝΑΞ ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ

Τῶν ἀκριβῶς ἐμπεριειλημμένων τῇ παρούσῃ ΦΥΣΙΚΗ Ὑποθέσεων·

Ἐν ᾧ,

Διὰ μὲν τοῦ Πρώτου Ἀριθμοῦ αἱ Σελίδες· διὰ δὲ τοῦ Δευτέρου, οἱ Στίχοι παρίστανται.

## Α


Ἀέρος, ὅσον περὶ γῆν, ὁποῖον. 64. κβ.

Ἀήρ, ὁποῖός ἐστιν ὁ συγκινούμενος καὶ μή, τῷ ὑπεκκαύματι. 65. ι. 121. λδ. 122. ιβ.

Αἰθήρ, πόθεν. 128. κδ. Τούτου μεῖζον καὶ ἧττον εἰλικρινές. 64. λδ. Τίς ὁ αὐτοῦ τόπος; 64. ι.

Αἰθρία, τί. 76. κε.

Αἴξ, τί ὀνομάζεται. 66. κζ.

Αἰσθήσεις, πῶς εἰσιν ἐν Αἰσθανομένοις. 19. ε.

Αἰσθητῶν, τὰ μὲν ἀόρατα, τὰ δ' ἀνήκουστα. 56. ιδ.

Αἴτιον καὶ Ἀρχή, διαφέρουσιν. 1. ι.

Αἴτιον, πολλαχῶς. 1. κα.

Αἴτια κυρίως. 1. λα.

Αἴτιον καὶ Συναίτιον, διαφέρει. 1. λδ.

Αἴτια καὶ Αἰτιατὰ Καθ' αὑτό, καὶ κατὰ Συμβεβηκός. 10. λα. Προσεχῆ καὶ πόῤῥω. 11. θ. Δυνάμει καὶ Ἐνεργείᾳ. 12. ς.

Ἀπολελυμένα καὶ συμπεπλεγμένα. 11. λδ. Τίνα ἀλλή-


a λων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λων Αἴτια. 13. ιζ. Αἴτια κατὰ Συμβεβηκὸς, ἡ Τύχη καὶ τὸ Αὐτόματον. 13. κζ.
Αἴτιον ἀκρότατον ἑκάστου, ζητητέον. 12. κ.
Αἰτιατοῖς, καταλλήλως ἀποδοτέον τὰ Αἴτια. 12. κδ. Αἰτιατῶν ἑκάστῳ, πάντα ἐνθεωροῦνται τὰ Αἴτια. 12. κθ. Ἐπίτινων Αἰτιατῶν, τινὰ τῶν αἰτίων συνέρχεται εἰς ταὐτό. 13. ς.
Ἅλω Αἴτιον, ὁποῖον. 106. λδ.
Ἅλως πότε, καὶ πόση γίνεται. 108. ζ. Ἔστι σημειώδης. 108. ια. Περὶ τὸν Ἥλιον ἐλαττονάκις συνίσταται. 108. κζ. Διὰ τί οὐποικίλη τοῖς χρώμασιν ὥσπερ ἡ ἶρις. 113. λ. 114. κ. ε.
Ἀμεταβλησία, τί. 37. ς.
Ἀναθυμίασις διττή. 65. λς. 86. κβ.
Ἀναφυσήματα ἐκ τῆς γῆς, τί. 86. λβ. 91. λ.
Ἀνέμων ὕλη, τίς. 88. γ. Οἱ ἐλάχιστοι, πῶς αὔξονται. 88. κβ. Ἡ πάντων Κίνησις πλαγία τε καὶ λοξή. 88. λγ. Οἱ πάντες δυωκαίδεκα. 88. λδ. Αἴθριοι, τίνες. 89. ιδ. Ὑγροὶ, τίνες. κζ. Ξηροί. κη. Νιφετώδεις. λ. Καυματώδεις. λα. Ἀστραπαῖοι. λδ. Χαλαζώδεις. 90. ε. Ἐκνεφίαι. η. Τίνες τίσιν ἀντιπνέουσιν. κβ. Ἀνατολικοί. κθ. Δυτικοί. λα. Ἀρκτῷοι. λδ. Μεσημβρινοί. 91. ε. Ἀπόγειοι. ιβ. Ἐγκολπίαι. ιγ. Τυφωνικοί. ις. Ἐκνεφίαι. ιζ. Ἐξυδρίαι. ιθ. Εὐθύπνοοι. κ. Ἀνακαμψίπνοοι. κβ. Ἐτησίαι. κβ. Ὀρνιθίαι. κδ.
Ἀντιπερίστασις, τί. 77. ιε.
Ἀντίποδες, τίνες. 156. λε. 157. ιθ. Τούτων πάντα ἀντέστραπται. 168. η.
Ἄντοικοι, τίνες. 156. κη. 157. δ.
Ἀντοίκων κοινὰ καὶ ἕτερα. 167. λς. 168. α.
Ἄπειρον, πενταχῶς. 53. ε. Οἷσπερ ἔνεστι, δυνάμει γινώσκεται. 54. κα. Ἐνεργείᾳ οὐκ ἔστιν ἐν Κόσμῳ. 55. ε.
Ἀπηλιώτης, ποσαχῶς λέγεται. 88. λε.
Ἄποτα καὶ Ἄτομα, τίνα. 52. ιζ.
Ἁπλόμενα, τίνα. 53. ια.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀρεταὶ, ταῖς Ἀσυμμετρίαις ἐναντιῦνται. Καὶ αἱ ἀσυμμετρίαι ἀλλήλαις μάχονται. 32. κγ.
Ἀριθμὸς καὶ Ἀριθμύμενον, διττόν. 50. ιθ.
Ἀρκτικοὶ καὶ Ἀνταρκτικοὶ Κύκλοι, τίνες. 160. κς. Ἐναλλάττονται. 132. ια. 160. λε. 161. α.
Ἀρχὴ, πολλαχῶς λέγεται. 1. ιγ. Σημαινόμενα ταύτης. 2. ις.
Ἀρχαὶ τρεῖς τῶν Φυσικῶν. 3. λ. 7. ιε. Πῶς μὲν τρεῖς. Πῶς δὲ δύω. 4. ζ. 7. ιζ.
Ἀςέρες διάττοντες, πῶς γίνονται. 67. ε. κγ. 68. ιζ.
Ἀςέρες, πυκνοὶ καὶ λαμπροὶ πάντες. 129. β. Σφαιροειδεῖς. θ. Διαιρῦνται. 174. ις. Οἱ Ἀπλανεῖς κινῦνται τριχῶς. 129. κη. Καὶ οἱ Πλάνητες. 130. κε. 175. ς. Διὰ τὶ Πλάνητες ὠνομάσθησαν. 129. λε. 175. γ. Οὐ πεπήγασιν ἐν τῷ Στερεώματι. 174. λβ. Οὐ κινῦνται ἀτάκτως. 133. η. Ἀλλ᾽ ἑλικοειδῶς. ιη. Ἀμείβυσι τὸν Ἡλιακόν. κ. Ὑψῦνται καὶ ταπεινῦνται. λ. Σχηματίζονται πρὸς ἀλλήλυς πενταχῶς. 134. δ. Τίνες τῦ Ἡλίυ πᾶν ἀφίςανται διάςημα, καὶ τίνες ὑπᾶν. κε. Συνοδεύυσι τῷ Ἡλίῳ. κθ. Τύτων Οἶκοι. 137. λβ. Ὑψώματα καὶ Ταπεινώματα, καὶ Ἐναντιώματα. 138. δ. κδ. Ἡ τύτων Τάξις καὶ περιοδικὴ Κίνησις. 130. λγ. 176. η.
Ἀςέρες ἀνίσχοντες καὶ δυόμενοι, διὰ τὶ Φοινικοί. 101. κε.
Ἀςραπὴ πότε καλεῖται. 97. ιε. Γίνεται μετὰ τὴν Βροντήν. ις.
Ἀτμὶς, τί. 65. λδ. 66. γ. 74. δ. Ὁ ταύτης τόπος, διττός. 73. θ. Πόθεν ἡ ταύτης Ἀρχή. κγ. 75. α. Πότε Δρόσον καὶ Πάχνην ἀποτελεῖ. η.
Αὔξησις Φυσικὴ, πῶς γίνεται. 39. λα. 23. λδ. 24. ιβ. Μαθηματική. ιγ. Διαφέρει ἐμπνευματώσεως καὶ Ἀλλοιώσεως. 40. ιδ.
Αὐτόματον, τίσιν ἐμφαίνεται. 13. κζ. Διὰ τὶ ὕτω κέκληται. 14. κα.
Αὐτὸ, καὶ Ἓν τῶν Ἐναντίων Αἴτιον. 6. ια. Πῶς δύναται εἶναι ὂν καὶ μὴ ὄν. 8. ιγ.

Αὐχμὸς, τί. 93. κβ.
μετὰ Αὐχμηρὰ ἔτη, διὰ τί ἐπομβρίαι. 73. λε.
Ἁφὴ, πρώτη τῶν Αἰσθήσεων. 56. ιβ.
Ἀφροδίτης ὀνόματα καὶ Κινήσεις. 131. ιβ. 176. ιζ.

## B

Βαθέα τοῦ Πόντου. 83. ϛ.
Βεβρεγμένον, τί. 58. ια.
Βόθυνοι, πῶς γίνονται. 102. γ.
Βορέας, λέγεται καὶ Μέσης. 89. ι.
Βρετανῶν Νὺξ κατὰ τὴν θερινὴν τροπὴν, ὅση. 169. ιδ.
Βροντὴ, τί, πόθεν, καὶ ὅπου, καὶ πῶς γίνεται, καὶ τί ἐστι. 96. ιϛ.
Βροντῶν ψόφοι, ἀνώμαλοι. 97. ϛ.

## Γ

Γάλα, τί. 72. κη.
Γαλαξίας Κύκλος, πῶς γίνεται. 71. κε. κθ. Μέγιστός ἐστι καὶ λοξός. 72. ϛ.
Γένεσις, τί. 24. λγ. 35. λα. Διττή. 25. ϛ. Γένεσις καὶ Φθορὰ, μεταβολαί. 33. κζ. 34. ε. 35. λδ. Γένεσις, οὐκ ἔστι Κίνησις ἢ Ἠρεμία. 36. κη.
Γέννημα καὶ Δημιούργημα Θεοῦ, διαφέρουσι. 127. ιγ.
Γῆ, Κέντρου λόγον ἔχει πρὸς τὸ Στερέωμα. 152. κβ. 153. γ. 154. κα. καὶ πρὸς τὴν ἡλιακὴν Σφαῖραν. 153. κη. Διὰ τί καὶ οὐ πρὸς τὴν τῆς Σελήνης. 154. ζ. Ἔστι Σφαιροειδής. 154. λα. Ταύτης τὰ πέντε μέρη Ζώνας καλοῦσιν. 155. λδ. Περίμετρος αὐτῆς. 157. λε. 159. β. Διάμετρος. 159. θ.

## Δ

Δαλὸς, τί. 66. λγ.
Δαλοὶ, πῶς ἀπὸ Βοθύνων τε καὶ Χασμάτων πολλάκις ἐξέπεσον. 102. κ.
Διάκρισις, κρείττων τῆς Συγκρίσεως. 38. λ.
Διερὸν, τί. 58. η.
Δῖναι, πῶς γίνονται. 98. κη.

Δημιουρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δημιεργίαν, εἰς τὸ κρεῖτlον μετασκευάσει Θεός. 10. θ. 125. κε.
Δρόσος, τί. 76. λδ. Πότε γίνεται. 75. ιδ.
Δροσοπάχνη, τί, 77. η.
Δυνάμει, τί. 17. λϛ. 18. α. 20. κϛ. Διτlόν ἐςιν. 21. ε. 126. λ.
Δυνάμει, καὶ Δύναμις διαφέρει. 20. κα.

# Ε

Εἶδος, ἐσία τις. 5. β. Διαφέρει τῦ Συμβεβηκότος. θ. Οὐκ ἔςι κυρίως ἐσία, ὥσπερ ἐδὲ ἡ Ὕλη. κ. Μᾶλλον ἐσιώδη, ἢ ἐσίαι. κϛ. Μᾶλλον κατά τι τὸ Εἶδος ἐσία τῆς Ὕλης. λγ.
Εἰδῶν ἕκαςον τῶν τελείων, καὶ ὄν, καὶ μὴ ὄν. 8. ιζ.
Εἶδος, διὰ τί περιέχει τὴν Ὕλην. 37. λδ. Διὰ τί δευτέρα καὶ πρώτως ἐσία. 60. η. Ὁ ποῖον τὸ κυριώτατόν τε καὶ πρώτως καὶ μάλιςα. ιη.
Εἰρεσία. 97. κα.
Ἐκνεφίας Ἄνεμος, πῶς γίνεται. 97. λβ. 98. ε.
Ἐναντίων τὰ πρῶτα καὶ ἀνωτάτω, Εἶδος καὶ Στέρησις. 3. ιε.
Ἐναντία, ἢ Εἴδη καὶ ἄμφω, ἢ θάτερον ἐχάτη θατέρε ἀπέπlωσις. 4. ιζ. Ὑπὸ τὸ αὐτὸ γένος, τίνα εἰσί. κθ.
Ἐναντίωσις ἀρχικὴ, ἡ Ἁπlή. 56. θ.
Ἐναντιώσεις ἁπlαί, τίνες. 56. κζ.
Ἐναντία, Ἐναντίοις ὑπάρχει. 57. λβ.
Ἐναντία, πῶς εἰσι μᾶλλον τὸ πῦρ καὶ τὸ Ὕδωρ, καὶ πᾶς τὸ Πῦρ καὶ ἡ Γῆ. 62. κβ.
Ἐνδεχόμενον, τριτlόν. 13. λα.
Ἐνεργῦν καὶ Ἐνεργέμενον, ὁ ποῖον. 12. η.
Ἐνεργεία, ἴδιον. 17. κδ. 18. β. κδ. 20. λ. Ἐνεργείᾳ καὶ Ἐνέργεια διαφέρεσι. κβ. Ἐνεργείᾳ διτlόν. 21. ιθ. Ἐνέργεια, τί. 20. λγ.
Ἔνοπlρα τῶν Νεφῶν, ὁ ποῖα. 104. α. 109. κε. λα.
Ἐντελέχεια, ποσαχῶς λέγεται. 16. ιη.
Ἐπομβρία ποτὲ μὲν ἐν μέρει. Ποτὲ δὲ ἐν ὅλῃ χώρᾳ γίνεται. 87. γ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἔργον, ποσαχῶς. 20. λε.
Ἑρμῆ περιστροφὴ, διὰ πόσε γίνεται χρόνε. 131. ιη. 176. κδ.
Ἔτη ἔπομβρα ἀνεμώδη καὶ αὐχμηρὰ, πότε. 86. λς. 87. α.
Εὐθεῖαν γραμμὴν, ἐκ ἔςιν ἄπειρον εὑρεῖν. 27. η.
Εὐτυχεῖν, τίσι κυρίως λέγεται. 14. ιγ.

Ζ

Ζῶα, πῶς αὐτοκίνητα καὶ ἑτεροκίνητα. 28. λ. 23. ια. ιη.
Ζωδιακὸς Κύκλος, ὁ ποῖος. 132. κε. 177. κδ. Τὸ αὐτῆ πλάτος τρεῖς διαιρεῖσι Κύκλοι. 132. κθ. Τέμνει τὲς παραλλήλες Κύκλες. 164. η.
Ζώδια, τίνα ἐκλήθησαν. 132. κθ. 177. κη.
Ζωδίων ὀνόματα καὶ Χαρακῆρες. 135. α. Πότε τέτων ἑκάςε ἅπτεται ὁ Ἥλιος. ε. Τέτων διαίρεσις εἰς Μοίρας καὶ λεπτά. κη. Οὐ τῆς αὐτῆς εἰσι Κράσεως. 137. κδ. Τὰ ἓξ παριςᾶσι τὴν Γῆν λόγον ἔχειν σημείε ὑπὲρ Γῆν ὄντα. 153. θ.
Ζῶναι τῆς γῆς, πέντε. 155. λε. 156. α.
Ζωνῶν εὐκράτων διαίρεσις. 156. κα.
Ζώνη μέση καλεῖται ἡ τῶν Τροπικῶν περιφέρεια. 136. γ.

Η

Ἥλιος, ὁ ποῖός ἐςιν Ἀςήρ. 173. λγ. Πῶς αἴτιος παθῶν ἐναντίων. 74. λε. Πῶς κινεῖται. 133. ια. Μείζων ἐςὶ τῆς γῆς. 140. ιδ. Ἀνίσχων καὶ δυόμενος, διὰ τὶ μείζων. 142. λγ. Πῶς ἄλλοτε ἄλλα ἔχει Χρώματα. 143. κβ. Ἔνθα ὑψηλότερος ἡ Σελήνη προσγειοτέρα. 148. κγ. Πᾶσας τὰς Ὥρας καὶ τὰς Ἡμέρας καὶ Νύκτας ἀπαρτίζει. 159. κ. 175. κζ. Οὐκ ἐν ἴσῳ χρόνῳ τὰ ἴσα διέξεισι τεταρτημόρια τῆ Ζωδιακῆ. 164. κθ. Διὰ τὶ πολυχρονιώτερον ἔν τισι Ζωδίοις ἐνδιατρίβει. 165. θ. Σελήνη ἐπιβάλλει τὰς ἀκτῖνας πολὺ ἀφεςώς. 144. κς. 174. ια. Πῶς ἡ τέτε Ἔκλειψις γίνεται. 141. ιγ. 178. ζ. Ὁλοτελής. 141. λδ. Μερική. 142. α. Ἡ κατὰ τὴν Σταύρωσιν τῆ Κυρίε. ιδ. Τὸ τέτε μέγεθος πῶς εὑρίσκε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίσκεται. κδ. Τέτε οἱ παράλληλοι Κύκλοι ὑπὸ τε ὁρίζοντος τέμνονται. 159. λϛ. 160. α. Πῶς τέτες ἐξαλλάσσει. 161. λβ.
Ἡλιακὸς Κύκλος τίς. 133. ιδ. Ἔκκεντρός ἐςι πρὸς τὸν Ζωδιακόν. 164. λα.
Ἡλιακῷ φωτὶ οἱ προσβαλόντες λυμαίνονται. 106. ιε.
Ἡμέρα βραχυτάτη, πότε γίνεται. 162. α. Μεγίςη. λα.
Ἡμερῶν τε καὶ Νυκτῶν αὐξήσεις, πῶς γίνονται. 163. κϛ. Τέτων αἴτια ἀνισότητος. 168. ια.
Ἠρεμία, τί. 4. κδ. 22. γ. 26. ιδ. 30. κε.
Ἠρεμίαι, ὡς ἄκρα ἀλλήλαις ἀντίκεινται. 32. λδ.
Ἠρεμεῖν κυρίως, ὁποῖον λέγεται. 22. ιβ.

Θ

Θάλασσα, Στάσιμος. 82. ζ. Οὐκ ἄναρχος. 83. ιθ. Διὰ τί ἐ μείζων γίνεται. 84. ιϛ. Οὔτ᾽ ἐλάττων, ὔτε γλυκυτέρα, ἐθ᾽ ἁλμυροτέρα. κϛ. Τόπος ταύτης, τίς. 83. λα. Πόθεν ἡ ταύτης πικρία καὶ Ἁλμυρότης. 84. α.
Θεῖον, διὰ τὶ ἀπεριόριςον. 118. κδ.
Θεὸς, ποιητικὸν αἴτιον ἁπάσης τῆς Κτίσεως. 15. λγ. 47. ϛ. Οὐ λέγεται προσφυῶς ἠρεμεῖν. 22. ιθ. Πρῶτος καὶ Ἀληθὴς Τεχνίτης καὶ Δημιεργός. 46. ιδ.
Θέσις διττή. 48. κ. 50. ιδ.
Θέσις τε κινεμένε, τίς. 49. λδ.
Θέσις, πῶς νοεῖται ἐν ἀσωμάτοις. 50. ι.
Θύελλα, τί. 91. κζ.
Θέλη Νήσῳ μηνιαία ἡ Ἡμέρα. 169. κη. 170. κγ.

I

Ἴριδος Αἴτιον. 109. ε. Πῶς γίνεται. ια. ιβ. Πρώτη ταύτης περιφέρεια. 110. η. Δευτέρα. ιϛ. Τρίτη. κ. Τίσι τέτων ἐλάττες αἱ Ἀνακλάσεις, καὶ μείζες. κϛ. Ξανθὸν Ἴριδος Χρῶμα, πόθεν. 111. κβ. Δύω πολλάκις φαίνονται ἀπὸ τε Ἡλίε. 112. ϛ. Τὰ τέτων χρώματα. ιβ. 113. ιγ. Ὁποῖα τὰ τῆς δευτέρας. 112. κγ. Πῶς αὐτη γίνεται. 112. ιζ. κβ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἶρις, πότη Φαίνεται. 114. ς. Ἡ ἐκ τῆς Σελήνης ὁποία. 111. λβ.

Ἰσημερινὸς Κύκλος, ὁ ποῖος. 132. α. Τέτε τὸ ἥμισυ διηνεκῶς ὑπὲρ γῆν. 153. κγ. Γίνεται Ἀρκτικὸς τε καὶ Ὁρίζων τοῖς ὑπὸ τὸν Βόρειον Πόλον. 170. κε.

Ἰσημερία ἐαρινή, πότε. 162. ιγ. 163. ιγ. Φθινοπωρινή. 162. λβ. 163. ιη.

K

Καικίας Ἄνεμος, ὁ ποῖος. 89. ιη.

Κάνωβος Ἀςήρ, ὁ ποῖος. 158. κα.

Καπνώδης Ἀναθυμίασις, πόθεν. 65. λε. 66. α.

Καταιγίς, τί. 91. κς.

Κεάδας, δυσδιαπόρευτος. 53. κη.

Κεκινῆσθαι, τί. 26. κε.

Κενόν, τί, καὶ ποσαπλῶν. 171. δ. Οὐκ ἔςιν ἐν Κόσμῳ. ιε.

Κέντρον, τίνων ἀρχὴ καὶ μέσον, καὶ πέρας. 29. ια.

Κεραυνός, πῶς γίνεται. 99. λ.

Κεραυνῶ εἴδη διάφορα. 100. ς. κα.

Κίνημα, ἀρχὴ Κινήσεως. 2. κε. 27. δ.

Κίνησις, καὶ ἡ τελεία ἐνέργεια. 16. ε.

Κίνησις, τί. ις. Ὁποία ἐςὶν Ἐντελέχεια. 17. δ. Ὁποία Ἐνέργεια. ζ. κς. Οὐκ ἐν τῷ Κινῦντι, ἀλλ' ἐν τῷ κινυμένῳ ἐςί. 18. λδ. Πῶς ὡς ποίησίς ἐςι καὶ ὡς πάθησις. 19. λδ. 20. α. Τίσιν ἐνθεωρεῖται Κατηγορίαις. 20. ια. 22. κθ. Πῶς Ὁμώνυμος. 22. λε. 23. γ. Κυριωτάτη πασῶν κινήσεων, ἡ κατὰ τόπον. 23. ε. ιβ. κγ. Καὶ τῆς Γενέσεως καὶ Φθορᾶς. 24. κ. Κίνησις τοπικὴ Τριτλή. 22. λγ. 25. κ. Κινήσεις ἐξ ἀντικειμένων γίνονται εἰς ἀντικείμενα. 25. κς.

Κίνησις συνεχής, τί. 26. γ. Κινήσεως Ἀρχὴ καὶ πέρας, ἀδιαίρετα. ις. Ἐπ' εὐθείας Κίνησις, ἄπειρος ὐδὲ μία. 27. ια. 28. θ. Κινήσεις Ἐφεξῆς, ὁποῖαι. 27. ιδ. Συνεχεῖς. ιη. Κίνησις Ζωϊκή, ἀνώμαλος. 28. κη. Κινήσεις συμβληταί, ὁποῖαι. 29. κε. 30. ε. ιη. Πῶς διαφέρυσιν αἱ Κινήσεις κατὰ γένος. 29. λα. Κατ' εἶδος. 30. α. Κατ' ἀριθμόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόν. δ. Ἔχει ἑκάστη τῶν Κινήσεων Ἠρεμίαν ἀντικειμένην καὶ στάσιν. κδ. Κινήσεις ἐναντίαι, τίνες. 31. γ. Αἱ κατὰ τόπον, τρεῖς εἰσιν Ἁπλαῖ. θ. Κίνησις Ἁπλῆ, τίς. ιϛ. Κινήσεις αἱ ἐξ Ἀνατολῶν καὶ ἐκ Δυσμῶν, ἐκ Ἐναντίαι. κα. Οὔτε ἡ ἐπ' εὐθείας τῇ περιφερεῖ. λ. 32. ιγ. Κινήσεις Κινήσεσιν, ὡς καὶ Ἠρεμίαι Ἠρεμίαις ἀντιθετῦνται ἀλλήλαις. κϛ. Ἄλλως τῇ Ἠρεμίᾳ, καὶ ἄλλως ἀντίκειται τῇ Κινήσει ἡ Κίνησις. λα. Κινήσεων Ἀρχαὶ, Θεὸς, Ψυχὴ, Φύσις. 47. ϛ. Κίνησις κατὰ τόπον, ὁποία. 49. λα. Κίνησις διπλῆ. 51. κη.

Κινέμενα ἐπ' εὐθείας, ἀνομάλως κινεῖται. 28. κ.

Κύκλῳ Κίνησις, πασῶν προτερεύει τῶν κατὰ τόπον κινήσεων. 25. ιζ. Μόνη δύναται συνεχὴς εἶναι. κε. Δύναται γενέσθαι ἄπειρος. 28. ιβ. Ἐστιν ἀσύμβλητος τῇ ἐπ' εὐθείας. 29. κ.

Κυκλοφορία, ὁ μαλῆ Κίνησις. 28. ιη. 29. ζ.

Κύκλος, πρῶτον τῶν ὅλων ἐπιπέδων Σχημάτων. 123. ιγ.

Κύκλων λόγος πρὸς τὴν οἰκείαν διάμετρον. 159. ιβ.

Κλεψύδρα, τί. 172. δ.

Κλίμα τὸ ὑπὸ τὸν Ἰσημερινὸν, ὁποῖον. 160. κα. 168. κδ.

Κλίμασι διαφόροις, πῶς διάφοροι αἱ Ἡμέραι ἐνθεωρῦνται, καὶ αἱ Νύκτες· κατ' αὔξομείωσιν δηλονότι. 168. κη. 169. δ.

Κομήτης, πῶς γίνεται. 70. α.

Κομητῶν σύστασις, πυρώδης. 71. α. Διὰ τί μὴ πολλοὶ, μηδὲ πλειστάκις, μηδ' ἐντὸς τῶν Τροπικῶν, ἀλλ' ἐκτὸς γίνονται. 71. θ.

Κόμη, πότε μὲν συγκινεῖται τοῖς Ἄστρασι· πότε δ' ἔ. 70. κδ.

Κόσμος, τί. 171. ιζ. 172. λε. 173. α.

Κρῆναι, ἐξ ὀρῶν ἀπορρέεσιν. 80. ιϛ.

## Λ

Λαβύρινθος, πῶς λέγεται ἄπειρος. 53. κζ.

Λαῖλαψ, τί. 91. κθ.

Λίμναι, πότε καλῦνται. 82. γ. Τέτων διαφοραί. λε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Λίμνη ἡ ὑπὸ τὸν Καύκασον, ὁποία. 83. β.
Λὶψ, ποσαχῶς ὀνομάζεται. 89. δ.

## Μ

Μάτην, τί, καὶ ποσαπλῦν. 15. γ.
Μείωσις, πῶς γίνεται. 40. δ.
Μεσημβρινοὶ Κύκλοι, τίνες. 158. ιγ.
Μεταβολὴ, τί. 33. κη. Πῦ θεωρεῖται. λδ. Τίς ἡ πῆ καὶ ἁπλῶς. 34. ιγ. Ἔστιν ἐπὶ πλέον τῆς Κινήσεως. ιε.
Μεταβολαὶ κατὰ Συμβεβηκὸς, πῶς γενέσεις καὶ Φθοραί. 37. ιβ.
Μεταβολὴ ἐπὶ τὰ κρείττω, Γένεσις λέγεται. Φθορὰ ἐπὶ τὰ Χείρω. κδ.
Μεταλλευτὰ, ποσαχῶς λέγεται. 117. κς.
Μεταξὺ, τί. 34. α.
Μέτρα τέσσαρα. 52. ζ.

## Ν

Νέφος, τί. 76. κα.
Νεφῶν Πυκνότης, ἀνώμαλος. 97. α.
Νιφετὸς, τί. 77. ε.
Νόες, πῶς Ἔνυλοι, καὶ πῶς ἄϋλοι. 118. κ.
Νῦς, ὀφθαλμὸς Ψυχῆς. 173. κγ.
Νῦν, Ἀρχὴ χρόνυ. 2. κε.
Νῦν, τί, καὶ ποσαπλῦν. 52. ιγ.
Νυχθήμερα πάντα, ὐκ εἰσὶν ἴσα κατ᾽ ἀκρίβειαν. 165. ιε.

## Ξ

Ξηρὸν, τί. 57. ιη. 58. κδ.

## Ο

Οἰκήσεων διαφοραί. 166. ιη.
Οἰκήσεις Περίσκιοι. 166. κε. Ἀμφίσκιοι. κη. Ἑτερόσκιοι. λδ.
Ὄμβρος, πῶς γίνεται. 73. κβ. κς. 74. κ. Διαφέρει τῆς Δρόσυ. 76. γ. Διαφοραὶ τύτυ. κθ.
Ὁμίχλη, τί. 74. θ. 76. κβ. Σημεῖον Εὐδίας. 74. ις. Πῶς γίνεται. 76. κδ.
Ὂν καὶ μὴ Ὂν, διχῶς λέγεται. 7. λα.

Ὄντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὄντων Συςοιχεῖαι δέκα, κατὰ Πυθαγορείους. 39. α.
Ὀπτικὰ Θεωρήματα. 110. ι. ιζ. 111. β. κβ. κδ. 112. κη. 113. ς. 116. κδ. 141. α.
Ὀπτικὸν φῶς, πολλὴν ἔχει οἰκείωσιν πρὸς τὸ ἐκτός. 105. κθ.
Ὅρασις, πῶς γίνεται. 103. κδ.
Ὅρασις, τριχῶς. 103. λ.
Ὁρατοῦ χρῶμα, οὐκ ἀνάγκη κατ' αὐτὸ ἐμφαίνεσθαι τὰ ἔνοπτρα. 107. λς. 108. α.
Ὁρίζων Κύκλος, τίς. 132. λε. 133. α.
Ὀρυκτὰ, τί. 117. κγ.
Ὁρώμενα, διττά εἰσιν. 106. κδ.
Οὐρανὸς, γεννητός. 33. ις. Πῶς κινητὸς καὶ ἀκίνητος. 47. λα. Πόθεν εἴρηται. 118. θ. Ὁποῖος ὁ πρῶτος. ιζ. λε. 173. ιθ. 175. ις. Οὐρανοὶ καὶ αἱ τῶν Πλανήτων Σφαῖραι. 119. α. Οὐρανὸς πέμπτον σῶμα, ἢ οὔ. ς. Τινὲς Ἀπλανῆ Σφαῖραν τὸν ἔναςρον ὑπέλαβον οὐρανόν. κς. Ὁ ἄναςρος οὐχ ἁπλοῦς. 120. ις. Ἀλλὰ σύνθετος. κη. Ἐπικρατεῖ ἐν Οὐρανῷ τὸ πῦρ. 119. ιθ. 121. α. 128. ια. Τὸ τούτου Σχῆμα σφαιρικόν. 123. γ. Τὰ τούτου μέρη, ὁποῖα. 124. β. Ἀγένητος κατὰ περιπατητικοὺς καὶ ἄφθαρτος. ιβ. Γεννητὸς κατὰ Πλάτωνα. κζ.
Οὐσίᾳ τινὶ, οὐδὲν ἐναντίον. 5. ιζ. Λέγεται κατὰ τὸ μᾶλλον καὶ ἧττον. κε.
Ὀφθαλμῶν Πνεῦμα, αὐγοειδὲς καὶ φωτοειδές. 104. ιδ. Τὰ τούτων Νεῦρα κοῖλα. ιζ.
Ὄψις, δεῖται τοῦ ἔξω φωτός. 104. κα. Ἐνεργεῖ κατὰ συναύγειαν. 106. κγ.

# Π

Παραδειγματικὸν Αἴτιον, τί. 2. α.
Παράλληλοι Κύκλοι, πέντε. 131. λε.
Παρήλιοι, πῶς γίνονται. 116. κζ. 152. θ. Πότε. 117. γ. Σημεῖά εἰσιν Ὕδατος. ζ.
Πατὴρ, αἴτιον ποιητικὸν τοῦ Υἱοῦ, ἐπὶ τῆς ὑλικῆς γεννήσεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεως. 15. κ. Ἐπὶ τῆς αὔλε, ἐδ᾽ ὅλως, ἀλλ᾽ ἐσιῶδες εἰλικρινῶς. κς.
Πάχνη, πῶς, καὶ πότε, καὶ ποῖ γίνεται. 75. θ. ιγ. τί ἐςι. 76. ιβ.
Πεπηγὸς, τί. 58. κ.
Πέρας ἄποσον, τί. 26. λδ.
Περίοικοι, τίνες. 156. κε. Κοινότητες τέτων καὶ ἑτερότητες. 167. ιθ.
Πηγαὶ καὶ Κρῆναι, διαφέρεσιν. 80. ιβ.
Πηγαὶ, εἰ ἐκ τῆς Θαλάσσης ἔχεσι τὰς ἀρχάς. 81. ϛ.
Πλάνητες, ὅρα ἔνθα Ἀςέρες.
Ποιητικὸν μὲν πάντων ὁ Θεὸς Αἴτιον· προσεχὲς δὲ ποιητικὸν ἡ Φύσις. 2. γ.
Ποιητικὸς λόγος, διτλός. 41. κε.
Ποιότητες εἰδοποιοί, πότε ὡς εἴδη, καὶ πότε ὡς συμβεβηκότα ἐννοῦνται. 59. λα.
Πόλοι, τί. 130. ιε.
Πόλος, πῇ κινητὸς, καὶ πῇ ἀκίνητος. 130. ιϛ.
Πόλῳ βορείῳ οἱ ἐνόντες, μείζω ἔχεσι τὴν ἡμέραν, ἢ ἑπταμηνιαίαν. 170. κ.
Ποταμοὶ, τίνες Ἀέναοι, καὶ τίνες ὄ. 80. λγ. 81. α.
Πρηςὴρ χθόνιος, τί. 91. λγ. ἀέριος. 99. κη.
Προθερμανθέντα, ἰσχυρότερον ψύχεται. 79. δ.
Πῦρ ςοιχειῶδες, ὑπέκκαυμα λέγεται. 61. λ. Διαφέρει τῷ διακονικῷ. λε. 64. κ.
Πῦρ ἐκκρινόμενον, πῶς φέρεται. 68. κδ.
Πυρῶδες καὶ λευκὸν, πῶ, καὶ πῶς δείκνυσι πολλὰς χρωμάτων διαφοράς. 101. λα.
Πυρὸς τελεία κίνησις, ἡ Κύκλῳ ἐςίν. 121. ε. 122. ε.
Πωγωνίας, τί. 69. λε. 70. γ.

# Σ

Σεισμὸς, πῶς γίνεται. 92. δ. Πότε. ια. κγ. Ποῖ. 93. γ. ια. Πῶς γίνονται Σεισμοὶ ἐν Αὐχμοῖς τε καὶ Ἐπομβρίαις. 93. κα. Σεισμὸς Τρομώδης. 94. α. Σφυγματώδης

τώδης ἢ Παλμώδης. ϛ. Σεισμῶν πλείω εἴδη. 95. ιη. Σεισμῶν Ἀνάλογον, καὶ ἐν Θαλάσσῃ γίνεται. λε.

Σελήνης Σῶμα, ὁποῖον. 144. β. κε. 174. α. 177. ε. Πόθεν Σελήνη λέγεται. 144. λε. 177. η. Πῶς Ἔκλειψιν πάσχει. 151. κε. Αὐτῆς ἐςὶ τὸ πάθος. 150. κβ. 178. κϛ. Ἔκλειψις ταύτης ὁλοτελής. 150. θ. 179. ε. Μερική. 150. ιε. Πότε ἐ δυνατὸν γενέσθαι Ἔκλειψιν, καίπως γενέσθαι. 151. λε. 179. ιϛ. Σελήνης Σύνοδος. 147. ϛ. Γέννα. ζ. Ἀνατολή. η. Περίοδος. 148 γ. Πῶς φωτίζει. 144. ϛ. Ἰδιότης αὐτῆς. λ. Φάσεις αὐτῆς. 145. κε. 146. λε. 147. κη. Αὐξομειώσεως ταύτης τρόπος. 145. λγ. Οὐτὸ αὐτὸ καὶ ἓν ἀεὶ καταφωτίζεται μέρος αὐτῆς. 145. ιγ. 177. ια. Μὴν αὐτῆς σύντομος. 149. α. 177. α. Μήκισος. 149. κ. Πόση ἡ ταύτης σκιά. 141. ιθ. Ἔςι καὶ ἐλάττων τῆς γῆς, ἐ τῷ Ἡλίῳ μόνον. κϛ.

Σκιὰ Καλαθοειδής. 140. κβ. Κυλινδροειδής. κε. Κωνοειδής. κθ. Τοιαύτη ἡ τῆς γῆς. λ.

Σκιαὶ Σωμάτων τῇ Σκιᾷ συμπερινοσῶσι τῆς γῆς. 167. ε.

Σπέρματος δύναμις. 6. λγ. 35. η.

Στάσις, τί. 30. κϛ.

Στερέωμα τῆς αὐτῆς ἐςὶ τῷ Ἡλίῳ φύσεως. 86. ια. 128. κζ. Διὰ τὶ ὅτω κέκληται. 127. λγ. Πῶς κινεῖται. 129. κβ. 174. κ. Ἡ αὐτῷ περίμετρος καὶ Διάμετρος. 136. κ. Διάςημα αὐτῷ ἕως τῷ ὑπεκκαύματος. 174. κγ.

Στέρησις, Ἀρχὴ κατὰ Συμβεβηκός. 3. λϛ. Διπλῆ. 4. ι. Πῶς τῷ εἴδει ἀντίκειται. κϛ. Αἴτιόν ἐςι καθ' αὐτὸ τῆς μεταβολῆς, καὶ ἐ καθ' αὐτό. 6. α. ζ. Ταύτης ἡ ἄγνοια, τὴν Φυσικὴν ἀνεῖλε Γένεσιν καὶ Φθοράν. 7. κα. Καθ' αὐτὸ μὴ ὄν. λδ. Κατὰ Συμβεβηκὸς ὄν. 8. α.

Στοιχεῖα καὶ ἁπλᾶ Σώματα, διὰ τὶ λέγονται. 55. λϛ. 56. α. 120. ιγ.

Στοιχεῖα, πῶς εἰδοποιεῖται. 59. α. Ἐξ ἀλλήλων γίνεται. θ. Πῶς Ἐναντία. ιη. Διὰ τὶ Τέσσαρα. 60. κδ. Πῶς κατὰ τὰς ῥοπὰς συνάπτονται καὶ διΐςανται. 61. ια.

Στοι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Στοιχείων καὶ Ἀρχῶν διαφορά. 62. κη.

Στοιχεῖα εἰλικρινῆ, Νοῦς μόνος διακρίνει. 63. ϛ. Καθ' ἑαυτὰ οὐ δαμοῦ ἐστιν. κ. Ἢ μένει ἐν τοῖς οἰκίοις τόποις, ἢ Κύκλῳ κινεῖται. 121. ιδ. Ἡ ἐπ' εὐθείας αὐτῶν Κίνησις, ἀτελής. 120. λγ. 121. ζ. Στοιχειῶδες πῦρ, διὰ τὶ Ὑπέκκαυμα. 64. κη.

Στρόβιλος, τί. 91. κθ.

Σφαῖρα, πρῶτον πάντων τῶν στερεῶν. 123. ιε. Ἡ Ἀπλανὴς, ὁποία. 128. λδ. 129. ιθ. Ἡ δοκοῦσα Ἀπλανὴς, διττῶς κινεῖται. κβ.

Σφαῖραι Πλανητῶν, καὶ κατὰ Φύσιν, καὶ ὑπὲρ φύσιν κινοῦνται. 31. κγ. Ὁποῖαι κατὰ λαμπρότητα καὶ Σχῆμα. 128. λϛ. 129. θ. Πῶς κινοῦνται. λα. Ἑπτά εἰσιν. 130. κη. Τάξις αὐτῶν καὶ Κίνησις περιοδική. λγ. 131. Πῶς εἰσιν Ἔκκεντροι. 148. ιγ. Αἱ ἀντιφερόμεναι τῇ πρώτῃ καὶ Ἀπλανεῖ, συνέχουσι τὸ πᾶν. 137. ια.

Σύνθετα, πῶς γίνεται. 6. κη.

Σύνθετον, πότε ἀποτελεῖται. 62. θ.

Συήνης οἰκήτορες, ἄσκιον τὴν Γῆν ἔχουσιν. 143. ι.

Σωμάτων Σχέσεις, ἑπτά. 123. κδ. Πῶς αἱ τούτων ἔχουσι Σχέσεις ἐν τοῖς οὐκ ἐσφαιρωμένοις, καὶ ἐν τοῖς σφαιρικοῖς Σώμασιν. λβ.

## Τ

Τέλματα, τίνα. 82. δ.

Τόπου ὅρος. 48. ιη. 47. ιη. Ἔστιν ὁ Τόπος ἀγγεῖον ἀμεταφόρητον. κδ. Προσεχὴς, τίς. 48. ε. Ἔστι διττός. κα. Ὁ ἀχώριστος, τίς, καὶ ὁ χωριστός. 49. κ. κγ. Τίς ὁ ἐν πλάτει. λ. Ὁ ἴδιος. 50. γ. Πῶς ἐν τόπῳ, καὶ οὐκ ἐν τόπῳ τὰ κατὰ τόπον κινούμενα. 49. κδ.

Τροπικοὶ Κύκλοι, διὰ τὶ καλοῦνται. 132. γ. Πάντοτε εἰσὶν οἱ αὐτοί. θ.

Τροφὴ καὶ Αὔξησις, πότε γίνεται, ἢ Τροφὴ μόνη, ἢ Τροφὴ καὶ Μείωσις. 40. κθ.

Τυφὼν, πότε ὀνομάζεται. 98. θ. 99. κα. Ὅσα κακὰ ἐργάζεται. 99. ζ.

Τύχη, Αἴτιον ποιητικὸν κατὰ Συμβεβηκός. 13. κζ. Ἐν τοῖς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατὰ προαίρεσιν γινομένοις. λδ. 14. ζ. Ἀγαθή καὶ Φαύλη τίς. ια.

## Υ

Ὑγρὸν, τί. 57. θ. ιζ. 58. κβ.
Ὕδωρ, πῶς σφαιροειδὲς δείκνυται. 155. ιζ. Τὸ ἄνω τῦ Στερεώματος ὅτον. 85. λγ. 127. κς.
Ὑδάτων ἐκ Γῆς ἀναδιδομένων αἴτια. 79. λα. Τύτων διαφοραί. 81. κδ.
Ὑετὸς, πότε λέγεται. 74. κδ. 76. λβ.
Ὕλη, τί. 3. κη. Ὑπόκειται τῷ εἴδει. λβ. Πῶς μᾶλλον ὐσία τῦ εἴδυς. 5. λ. Ἔςι κατὰ Συμβεβηκὸς μὴ ὂν, καὶ καθ᾽ αὐτὸ ὄν. 7. λγ. λς. Πῶς γινώσκεται. 8. κα. Ὠνόμαςαι μέγα καὶ μικρόν. λδ. Δεδέξαςαι Σῶμα καὶ ἀσώματον. 9. η. Ἄφθαρτος, καὶ ἀγέννητος πεφάντασαι. ιζ. Οὐσίωται κατὰ τὸ Δυνάμει. κβ. Πῶς ἀγέννητος καὶ ἄφθαρτος, καὶ γεννητὴ, καὶ φθαρτή. λ. Πῶς ἀναλλοίωτος καὶ Ἀλλοιωτή. 10. ιβ. Οὐχ ὑφέςηκε καθ᾽ ἑαυτήν. 36. θ. Ἔςι πρῶτον ὑποκείμενον. Δεύτερον τὰ Στοιχεῖα. 9. λγ. 55. λ.
Ὑπέκκαυμα, τί. 64. κθ. 66. ιδ. 174. κε. Τύτυ διαίρεσις. 65. β. Συγκινεῖται τῷ Αἰθέρι. θ.

## Φ

Φασμάτων ἐν Οὐρανῷ διαίρεσις. 102. λδ.
Φθορὰ, τί. 24. κα. 35. λδ. 36. λβ.
Φλὸξ, τί. 94. λβ. Ταύτης χρῶμα ἄλλοτε ἀλλοῖον. 101. λγ.
Φοινικῦν καὶ πορφυρῦν, πόθεν γίνεται. 101. κα.
Φορὰ, τί, καὶ ποσαπλῆ. 22. λβ. Πρώτη καὶ Κυριωτάτη τῶν Κινήσεων. 23. ε. ιβ. κς. Φορὰ, πλαγίατε καὶ μικτή. 68. κθ. Ἡ Κυκλικὴ μόνη τελεία. 122. ις.
Φρέατα, τί, 81. λα.
Φύσις Ὀργανικὸν Αἴτιον. 2. ς. 25. θ. 46. κγ. Φυσικοῖς τὸ αὐτὸ ἔνεςιν εἶδος καὶ τέλος. 13. ς. ιβ. Φύσις ἕνεκα τῦ εἴδυς πάντα μηχανᾶται. 13. η. Τί ἐςι. 41. η. 46. κθ. Ταύτης Αἰτία, ὁ Θεός. 41. κβ. Ποιεῖ κατὰ λόγον. κδ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κδ. Φύσει καὶ κατὰ Φύσιν διαφέρει. 43. ιβ. Διὰ τὶ λέγεται τὴν Φύσιν ἀποτυγχάνειν. 43. λ. Διαφέρει καὶ τὸ παρὰ Φύσιν καὶ ὑπὲρ Φύσιν. 43. λδ. Φύσις Ὕλη ἐστὶν, 44. θ. Ἢ Εἶδος, ιϛ. Ἢ Σύνθετον, κγ. Ἢ Ἔκφυσις, κϛ. Διαφέρει τὸ αὐτῆς ὄνομα τῆς ἐννοίας τοῦ αὐτῆς ὀνόματος. λε. Ἀναλογία ταύτης τῇ Ἀνδριαντοποιητικῇ. 45. γ. λβ.

## Χ

Χάλαζα, ποῦ, πότε, καὶ πῶς γίνεται. 77. ιβ. 78. η. ιζ. κζ. λϛ.

Χάσμα, πότε καλεῖται. 102. ιϛ.

Χιὼν, πῶς συνίσταται. 75. λϛ. 76. β. 77. α. Τί ἐστιν. 76. ια.

Χρόνος, τί. 50. ιθ. 51. θ. Διὰ τὶ ἐκ ἐν πάσῃ ἀριθμεῖται κινήσει. 51. α. Οὐ τῶν Κινήσεων μόνον, ἀλλὰ καὶ τῶν Ἠρεμιῶν μέτρον ἐστί. λα. Διὰ τὶ λέλεκται Ἀριθμός. 52. α. Διαιρεῖται. ιβ. Τίς ὁ ἐνεστώς. κθ. Τὰ τούτου μέρη πρωτοτύπως τοῦ Αἰῶνος εἰσίν. 124. λα.

Χρυσὸς, διὰ τὶ οὐκ ἰοῦται, οὔτε καίεται. 117. λα.

Χρωμάτων, τίνα, τὴν ὄψιν κύκλωρ λανθάνουσιν. 102. λ.

## Ψ

Ψεκὰς, τί. 74. κγ.

Ψυχὴ, τί. 16. κϛ.

## Ω

Ὡρῶν τοῦ ἔτους Τετρακτὺς, πόθεν. 159. λβ. 175. λ.

**ΤΕΛΟΣ.**

ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΛΟΓΙΟΥ ... ΑΥΞ

Ἡ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Ἡ τῶν Σφαλμάτων ἐπιδιόρθωσις.

Σελίδι 7. Στίχῳ κ. Στέρησις. Γρ. Στέρησις.
— 9 — λδ. καθ᾿ αὐτὸ. Γρ. καθ᾿ αὑτό.
— 12 — λ. Ἀιτιον. Γρ. Αἴτιον.
— 13 — ιβ. Ταυτὸ. Γρ. ταὐτό· οὕτω καὶ ὅπηπερ ἄλλοθι εὕρῃς.
— 22 — η. λέγοιντο λέγοιντο. Γρ. λέγοιντο.
— 32 — κ. Ἶσον. Γρ. Ἴσον. οὕτω καὶ ὅπηπερ ἄλλοθι εὕρῃς.
— 34 — ιε. ἐπιπλέον. Γρ. ἐπὶ πλέον.
— 37 — β. Κικήσας. Γρ. Κινήσας.
— 65 — λβ. ἦτοι. Γρ. ἤτοι.
— 70 — κβ. Ἀστράσιν. Γρ. Ἄστρασιν.
— 84 — ια. διδοσθαι. Γρ. δίδοσθαι.
— 86 — γ. Θαλάσση. Γρ. Θαλάσσῃ.
— 100 — θ. διίων. Γρ. διϊὼν.
— 106 — λα. Ἀνάκλασεις. Γρ. Ἀνακλάσεις.
— 108 — ιγ. γαρ. Γρ. γὰρ.
— 110 — ιη. ὀπταίνεται. Γρ. ὀπτάνεται.
— 115 — α. ἐκτε. Γρ. ἐκτῦ.
— 117 — ιε. Χίονος. Γρ. Χιόνος.
— 121 — α. ἐν αὐτῶ. Γρ. ἐν αὐτῷ.
— 123 — κθ. καὶ Ἀριστερὸν. Γρ. καὶ τὸ Ἀριστερόν.
— 126 — κβ. αὐτὲς, Πότερον ὁ Θεός. Γρ. αὐτές. Πότερον; ὁ Θεός.
— 127 — δ. θέλοντι. Γρ. θέλοντι.
— 136 — ι. ιη. ἐνενήκοντα. Γρ. ἐννενήκοντα· οὕτω καὶ 147. λβ. 164. κβ.
— 145 — λς. ἐς. Γρ. ἐς.
— 162 — ζ. ὁρώμενος· ἐντυγχάνει. Γρ. ὁρώμενος, ἐντυγχάνει.
— — — η. τμήματα μείζω. Γρ. τμήματα, μείζω.
— 172 — ια. περασδύναίτις. Γρ. παρασδυναίτις.
— 173 — Κεφάλ. αβ. Γρ. Κεφάλ. λβ.

## Τὰ ἐν τῷ ὑποθετικῷ Πίνακος Σφάλματα.

Ἄλω, διατὶ ἐποικίλη. κ. Γρ. α.
Ἀρκτικοί. Γρ. Ἀρκτικοί.
Μεταλλευτὰ, πσαχῶς. Γρ. ποσαχῶς.

Ἡ τῶν

## Ἡ τῶν Σφαλμάτων ἐπιδιόρθωσις, τȣ ἐφεξῆς τρίτȣ Βιβλίȣ.

| | | | |
|---|---|---|---|
| Σελίδι | 25 | Στίχῳ | κδ. Ἥμερῶν Γρ. Ἡμερῶν. |
| — | 28 | — | λ. Ἡμέρας. Γρ. Ἡμέραι. |
| — | 30 | — | κδ. Ὀργανα. Γρ. Ὄργανα. |
| — | 59 | — | λα. Ἀνθρώπινον. Γρ. τὸ Ἀνθρώπινον. |
| — | 62 | — | ϛ. περιεστράπτον, Γρ. περιαστράπτον. |
| — | 63 | — | β. τό, τε ȣ̉ν πλείω. Γρ. τό, τε ȣ̉ν ἢ καὶ τὰ πλείω. |
| — | 77 | — | ιε. προηγησαμενῳ. Γρ. προηγησαμένῳ. |
| — | 80 | — | κα. την. Γρ. τὴν. |
| — | 82 | — | γ. ἐγητιζομένης. Γρ. ἐγκτιζομένης. |
| — | 87 | — | κθ. τυρῶ. Δέρμα. Γρ. τυρῶ· Δέρμα. |
| — | 100 | — | λα. ων. Γρ. ὧν. |
| — | 109 | — | ιη. ὑπερτάτης, Θεότητος. Γρ. ὑπερτάτης Θεότητος. |
| — | 111 | — | κ. Μήτρα. Γρ. Μήτρᾳ. |
| — | 120 | — | ια. Κύριος. Γρ. Κυρίως. |
| — | 131 | — | ιε. βεβηλον. Γρ. βέβηλον. |

## ΚΟΙΝΟΙ ΣΤΙΧΟΙ.

Δεῖ τὰ βέβηλα καθαίρειν τῶν Σφαλμάτων,
Ὧδε Ῥεύμασι Δακρύων ἢ Αἱμάτων.
Ῥυπωδέστατος ὁ ὑποθεὶς τὸν Λόγον,
Ὅθεν τληπαθῶς σπεύδω καὶ πρὸς τὸ Ἔργον.
Θεῖν γὰρ εἰ Ὕλη ὠθῆμε πρὸς τὰ χέρω,
Ἐλεεινὸς φεῦ ἀποστὰς τῶν ἀγήρω.
Οἰκτρὸς Στυγητὸς Ἀνάξιος τὴν Κλῆσιν,
Σύμπασαν ἔπερ εὐδιδάξω τὴν Κτίσιν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........................

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ·

Ἐν ᾧ,

Τοῦ αὐτοῦ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ ὅ, τε περὶ ΣΩΜΑΤΟΣ καὶ περὶ ΨΥΧΗΣ ἐκτέθειται Λόγος.

Μεθ᾽ ὃν,

ΘΕΟΦΑΝΟΥΣ τε τοῦ Μηδείας, καὶ ΓΕΝΝΑΔΙΟΥ τοῦ Σχολαρίου, ὁ περὶ τῆς αὐτῆς Ὑποθέσεως τῆς ΨΥΧΗΣ·

Καὶ Τελευταῖον,

Ὅ, τε περὶ ΠΙΣΤΕΩΣ καὶ ἈΡΕΤΗΣ καὶ ἈΣΚΗΣΕΩΣ τοῦ αὐτοῦ ΒΛΕΜΜΙΔΟΥ, προηγουμένης τούτων τῆς καθολικωτέρας αὐτοῦ ἘΠΙΣΤΟΛΗΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

## Λόγος περὶ Σώματος.

Ἐπειδὴ περὶ Σώματος ἡμῖν ὁ Λόγος, εὔλογον ἂν εἴη περὶ τῶν σωματικῶν Ἀρχῶν καὶ Στοιχείων πρὸ παντὸς ἑτέρου διαλαβεῖν. Τινὲς μὲν οὖν καὶ ἄμφω τὰ ὀνόματα, τὸ τοῦ Στοιχείου δηλονότι, καὶ τὸ τῆς Ἀρχῆς, ἐπὶ τῶν αὐτῶν παρειλήφεσαν, Ἀρχὰς ὁμοῦ καὶ Στοιχεῖα καλέσαντες, τὰ πρῶτα καὶ ἀσύνθετα Σώματα· τὸ μὲν, ὡς παντὸς οὐχ ἁπλοῦ Σώματος προηγούμενα· τὸ δ', ὡς τοῦ τοιούτου Σώματος συντελεστικά. Τινὲς δὲ τὴν διάνοιαν πορρωτέρω διαβιβάσαντες, Ἀρχὰς μὲν, τὴν ἀνείδεον καὶ ἄποιον Ὕλην, καὶ τὸ Εἶδος, καὶ τὴν Ποιότητα κατωνόμασαν. Στοιχεῖα δὲ, τὰ πρώτως ἐξ Ὕλης καὶ Ποιότητος τέσσαρα σώματα, Γῆν, Ὕδωρ, Ἀέρα, καὶ Πῦρ· ὧν ἡ μὲν Γῆ, ξηρὰ καὶ ψυχρά· τὸ Ὕδωρ, ψυχρὸν καὶ ὑγρόν· ὁ Ἀὴρ, ὑγρὸς καὶ θερμός· τὸ δὲ Πῦρ, θερμὸν καὶ ξηρόν· ἁπλᾶ Σώματα, συνθέτων Σωμάτων συστατικά. Δεῖν γὰρ ἀπεφήναντο τὰ μὲν Στοιχεῖα, τοῖς, ὧν Στοιχεῖα, τυγχάνειν ὁμογενῆ· τὰς δ' Ἀρχὰς, οὐκ ἐξ ἀνάγκης ὁμογενεῖς εἶναι τοῖς, ὧν Ἀρχαί. Διαφερουσῶν γὰρ τῷ γένει, συνεληλυθυιῶν ἐς ταυτὸ τῶν Ἀρχῶν, οὐκ ἀδυνατεῖν τὸ ἀποτελέμενον, ἐξ ἄλλης μὲν, τὸ ἔνυλον, ἐξ ἑτέρας δὲ, τὸ πεποιωμένον κληρώσασθαι· τῆς μὲν Ὕλης ὑπομενούσης, εἰδοποιούσης δὲ τῆς Ποιότητος. Οὔτε δὲ τὴν Ὕλην ἐστὶν αὐτὴν καθ' αὐτὴν ὁραθῆναί πῃ κατ' αἴσθησιν,

A ἢ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ τὰς Ποιότητας διακεκριμένας τῆς Ὕλης. Οὐ γάρ ἐστιν οὐκ ἔστιν Ὕλην εὑρεθῆναι, λειπούσης ἁπάσης Ποιότητος· ἢ Ποιότητα, συνούσης Ὕλης οὐδεμιᾶς. Οὔτε τὰ τέσσαρα πρῶτα Σώματα πραγματικῶς ἔν τινι τόπῳ θεάσοιτό τις εἰλικρινῆ, καὶ ἀλλήλων ἐς τὸ παντελὲς ἀμιγῆ. Θεωρία γὰρ μόνη, κἀκ τῆς Ὕλης τὴν Ποιότητα, κἀκ τῆς Ποιότητος τὴν Ὕλην διΐστησι, καὶ τῶν εἰρημένων Σωμάτων ἕκαστον ἀλλοτριοῖ τῆς ἑτερότητος ἐς ὁλόκληρον· ἐπείπερ ἀλλήλων ὁπωσοῦν ταῦθ' ἅπαντα συμμετέσχηκεν. Εἰ μὴ τοῦτο γάρ, οὔτ' ἂν Γῆ συνεστήκει· μετεβίβαστο γὰρ πρὸς Κόνιν, ὑπὸ τῆς ἀκράτου ξηρότητος· οὔτ' αὖ Ὕδωρ, ἀλλ' ὑπὸ τῆς ὁμοίας ψυχρότητος, εἰς Κρύσταλλον μετενήνεκτο. διερρύη δὲ πάμπαν καὶ ὁ Ἀὴρ, ἐξ ἐπιτεταμένης ὑγρότητος, καὶ εἰς οὐδὲν χρήσιμος ἦν οὐδ' αὐτός. Πῦρ δὲ τὸ στοιχειῶδες ὑπερεξῆπτο, θερμότητος ὑπερβολὴν προσκτησάμενον· αὐτό φημι τὸ κατωνομασμένον Ὑπέκκαυμα, κατέφλεξεν ἂν ἅπαντα καὶ κατηνάλωσεν. Ὅθεν ἐπινοηματικῶς τοῖς Στοιχείοις, ἀλλ' οὐκ αἰσθηταῖς αἱ τῶν Ποιοτήτων ἀκρότητες.

Ἐκ δὴ τῶν Στοιχείων ἀναισθήτων ὄντων οὐ μὴν ἀπαθῶν, ἀλλὰ ποικίλως πασχόντων κεραννυμένων ὅλων δι' ὅλου καὶ ἀλλοιουμένων, καὶ πολλὰς ἑαυτοῖς δεχομένων ἐναλλαγάς, ἅπαν οὐχ ἁπλοῦν Σῶμα ἔχει τὴν σύστασιν, καὶ τοιαύτης ἄνευ συνδρομῆς, καὶ δράσεως εἰς ἄλληλα, καὶ ὑπ' ἀλλήλων παθήσεως, καὶ πολυπλόκου μεταβολῆς καὶ μετατροπῆς, οὐκ ἂν εἴη σύνθετον συντελεσθὲν, οὐκ αἰσθητικὸν, οὐκ ἀναίσθητον.

Ἐξ αὐτῶν τῶν πρώτων καὶ Σωμάτων καὶ Στοιχείων, οἱά τινα Στοιχεῖά που προσεχῆ καὶ δεύτερα Σώματα, Χυμοὶ τέσσαρες· Αἷμα, Φλέγμα, Χολὴ ξανθὴ, Χολὴ μέλαινα. Τὸ μὲν ὑγρὸν καὶ θερμὸν, Ἀέρι παρόμοιον. Τὸ δὲ ψυχρὸν καὶ ὑγρόν, Ὕδατι παραπλήσιον. Τῶν Χολῶν ἡ ξανθὴ, θερμὴ καὶ ξηρά, Πυρὶ καθεστηκυῖα παρεμφερής· Ἡ μέλαινα, ξηρὰ καὶ ψυχρὰ, φέρουσα ἀναλογίαν πρὸς Γῆν.

Τῇ τῶν Χυμῶν συνελεύσει καὶ κράσει τὰ τῶν ζώων ἔχει Σώματα τὴν οὐσίωσιν· προηγουμένως συνεστηκότων ἐκείνων τῶν μορίων, ὧν ἑκάστου τὰ μέρη πάντα τῷ τὴν αὐτὴν ἔχειν ἰδέαν ἀλλήλοις ὅμοια, καὶ διὰ τοῦτο καλουμένων

ὁμοιομε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁμοιομερῶν· Ἀρτηρίας, Φλεβὸς, Νεύρου, Σαρκὸς, Ὀστοῦ, Δέρματος, καὶ τῶν τοιούτων· ἃ δὴ καὶ αὐτὰ καλέσαι Στοιχεῖά τινες οὐ κατώκνησαν, ὡς ἁπλούστερα καὶ συνθετικὰ τῶν ὀργανικῶν· Ὀφθαλμοῦ, καὶ Ὠτὸς, Ῥινός τε, καὶ Στόματος, καὶ Χειρὸς, καὶ Ποδὸς, καὶ τῶν ἄλλων ὅσοις ἡ Ψυχὴ πρὸς τὰς προαιρετικὰς ἐνεργείας ὑπηρετοῦσιν ὀργάνοις κέχρηται. Ναὶ δὴ κἀκείνων πως, οὐ μὴν ὁλικῶς, δι' ὧν ἡ Φύσις καὶ τῶν ζώων μὴ προαιρουμένων πράττει τὰ ἴδια· Καρδίας, Ἥπατος, Πνεύμονος, Σπληνὸς, καὶ Νεφρῶν, καὶ πάντων τῶν ἐντὸς ὀργάνων τῶν τῆς Φύσεως ὑπηρετικῶν· ἃ καὶ τοῖς ὁμοιομερέσι τὴν οὐσίαν προσέοικεν, ἰδιαιτάτην κεκληρωμένα ταύτην καὶ ὀλίγων μετεσχηκέναι τῶν ἔξωθεν. Τῶν γὰρ Ἀρτηριῶν καὶ Φλεβῶν καὶ Νεύρων τῶν ἐν τοῖς εἰρημένοις ἐξαιρουμένων, ἕκαστον αὐτῶν ὁμοιομερὲς ἄντικρυς καὶ ἁπλοῦν ὡς πρὸς αἴσθησιν· ὅπερ οὐκ ἔστιν ἐν τοῖς ἐκτὸς ὀργάνοις εὑρεῖν.

Οὔτε δὲ τῶν πρώτων Σωμάτων τῶν ὄντως Στοιχείων, ἡ Κρᾶσις κατὰ τὸ ἰσαίτατον ἐν τοῖς ἐξ αὐτῶν, οὔθ' ἡ τῶν Χυμῶν ἔν τινι τῶν ζώων ἰσόμοιρος ἀκριβῶς, Ἀλλὰ μέση μὲν ἡ Κρᾶσις ἐπινενόηται. Πῇ δὲ τὸ θερμὸν ἐπλεόνασε, καὶ πῇ τὸ ψυχρὸν· κατὰ τὸ μᾶλλον καὶ ἧττον γενομένων τῶν πλεονασμῶν ἐς ἀόριστον. Ὡσαύτως πῇ τὸ ξηρὸν ὑπερέχε καὶ πῇ τὸ ὑγρὸν κατὰ Συζυγίαν· ἔντισι μὲν τὸ ξηρὸν καὶ θερμὸν, ἔντισι δὲ τὸ θερμὸν καὶ ὑγρὸν, ἀλλαχόθι τὸ ψυχρὸν καὶ ξηρὸν, ἑτέρωθι τὸ ψυχρὸν καὶ ὑγρόν. Ὡς εἶναι τὰς τῆς Κράσεως διαφορὰς ἐν αἷς ὁ πλεονασμὸς, τὰς καὶ δυσκράτους λεγομένας ὀκτὼ, τέσσαρας ἐν Ἁπλότητι, καὶ τέσσαρας ἐν Συνδυασμῷ· μίαν δὲ τὴν Μέσην τὴν ἐπαινουμένην, ὡς εὔκρατον. Τὸν δ' εἰρημένον πλεονασμὸν, οὐ μόνον ἐν ταῖς ὁλότησι τῶν, ἐν οἷς ἡ Κρᾶσις, ἔστι καταμαθεῖν, ἀλλὰ κἀν τοῖς μορίοις αὐτῶν· οὐκ ἰσοτίμως οὐδ' ἐν αὐτοῖς, ἀλλ' ἐν ἄλλῳ μορίῳ μᾶλλον, ἐν ἄλλῳ δ' ἧττον, κατὰ προβάσεις καὶ ὑποβάσεις, ὧν οὐκ ἔστι τις ἐξαρίθμησις.

Ἐπεὶ δ' οὐχ οἱ τυχόντες, ἀλλ' οἱ καὶ κλεινὸν φέροντες ὄνομα τὴν ἄνισον Κρᾶσιν, τήν τ' ἐν ὁλότησι, τήν τ' ἐν

μορίοις θέμενοι δύσκρατον, μετ' αὐτῆς τετάχασι, καὶ τὴν ὑγρὰν ὁμοῦ καὶ θερμὴν, ἴσως ἂν εἴη δέον ἐπιστῆσαι, πῶς αὕτη δύσκρατος; Εἰ μὲν οὖν πέρα τοῦ μετρίου τὸ πλεονέκτημα τῇ Κράσει, τὸ δύσκρατον ἀναμφίλεκτον. Εἰ δὲ τῶν τῇ Φύσει γινωσκομένων ὅρων ἔν τις, (ἐν ᾗ δὴ φύσει τὸ Θερμὸν οὐσιωδῶς τὸ καλούμενον ἔμφυτον, οὐ θερμότητος ὂν ἐν μεσότητι καὶ ψυχρότητος, ἀλλ' ὁμολογουμένως Θερμὸν· οὐδ' ὑγρότητος μεταξὺ καὶ ξηρότητος, ἀλλ' Ὑγρὸν καὶ ἀτμῶδες· διὸ καὶ ἡ Πέψις ἕψησίς τις, ὡς ἔργον οὖσα προδήλως ὑγροῦ καὶ θερμοῦ μεμαρτύρηται.) λίαν εὔκρατος ἡ τῇ Φύσει συγγενεστάτη Κρᾶσις, εἰ καὶ τὸ μέσον ὅλως παρήλλαξε. Τάχα δ' ἄν τις μᾶλλον τῇ μεσαιτάτῃ δοίη τὸ δύσκρατον· εἴγε τὴν θερμότητα καὶ τὴν ὑγρότητα, τῆς ψυχρότητος ἐπὶ πλέον καὶ τῆς ξηρότητος, κἀν ταῖς Πόαις ὁρῶμεν εὐδοκιμούσας ὁσημέραι, κἀν τοῖς Φυτοῖς, εἴπερ ἐκτραποῖεν εἰς ἀμετρίαν, καὶ πόῤῥω χωρήσαιεν τοῦ καθήκοντος. Ἀλλ' οὐδὲ τοὺς Κηπεύοντας ξηρᾶναί ποτε τὴν γῆν ἀκηκόαμεν σπεύδοντας, μᾶλλον μὲν οὖν ὑγραίνειν ὡς ἐγχωροῦν· ὥσπερ οὐδὲ ψυχρᾶναι, θερμαίνειν δ' ὅσον εἰκός. Τὸ μὲν αἱ τῶν ὑδάτων Ὀχετηγίαι κεκράγασι, τὸ δ' οἱ Κοπρῶνες διαγορεύουσι· εἰ μὴ τελματώδης ἡ γῆ καὶ κάθυγρος· εἰ μὴ πυρώδους οὐσίας, καὶ καυστικῆς. Ὥστε τὸ τὴν ὑγρὰν καὶ θερμὴν Κρᾶσιν ἀδιορίστως δύσκρατον, ἢ πάλιν εὔκρατον λέγειν, οὐκ ἀνεπίληπτον.

Ἐντεῦθεν ῥᾷδιον συνιδεῖν ὡς καὶ τῶν πλεονασμῶν οἱ λοιποὶ, μετρίως μὲν, κατά τε τὴν πρώτην τοῦ ζῴου γινόμενοι σύμπηξιν, κατά τε τὴν τῆς ἡλικίας εὐθὺς ἀρχὴν, κατά τινα ταύτης παράμειψιν, εἴτ' ἔν τινι τῶν μορίων, εἴτ' ἐν ὅλῳ τῷ σώματι, κἂν ἡ Κρᾶσις ἔχοι τὸ δύσκρατον, οὐ σαφῶς τὴν ὑγίειαν παραβλάπτουσιν. Ὑπερβαίνοντες δὲ τὸ μέτριον ἐν τῇ διαιτίᾳ, νοσῶδες ἐκτελοῦσι τὸ ὑποκείμενον· Μετὰ δὲ ταύτην οὐ πρώην οὖσαν ἀσθένειαν ἐπιφέρουσιν. Ἐπίτασιν δὲ λαμβάνοντες, ἐσχάτης αἴτιοι βλάβης καθίστανται. Τὰ γὰρ εἰς ἀμετρίαν ἥκοντα παντελῆ, συνιόντα μὲν, οὐδὲν ἂν τῶν ὄντων συστήσειαν· ἐπιόντα δὲ, τὸ συνεστηκὸς ὠκέως ἂν διαλύσειαν. Τοῦ θερμοῦ γὰρ

εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς τέλος ἐπικρατήσαντος· ἢ τοῦ ξηροῦ, φροῦδον τὸ ἀντικείμενον· καὶ ἀνάπαλιν. Ἐκλελοιπότος δέ τινος Στοιχείου, ποίαν ἕξει χώραν μένειν τὸ ἐκ τῶν τεσσάρων συντεθειμένον, καὶ δι᾽ αὐτῶν ὅλων ὁμοῦ διαρκοῦν; Διά τοι τοῦτο πάσας τὰς ἀμετρίας πόρρωθεν ἀναγκαῖον κολάζεσθαι διὰ τῶν ἁρμοζουσῶν ἀντιπράξεων.

Πρὸς τὰ Στοιχεῖα λόγον ἔχει τινὰ καὶ τὰ τοῦ παντὸς ἐνιαυτοῦ μέρη τέσσαρα. Πρὸς Ἀέρα, τὸ Ἔαρ. Ἔστι γὰρ ὑγρὸν συμμέτρως, θερμὸν συμμέτρως, (εἴπερ οὐκ ἐκσταίη τοῦ κατὰ φύσιν) καὶ διὰ τὴν εὐκρασίαν ὑγιεινότατον. Πρὸς τὸ Πῦρ, τὸ Θέρος. Θερμὸν γὰρ ὁμοῦ καὶ ξηρόν. Πρὸς Γῆν, τὸ Φθινόπωρον, ὅτι ξηρὸν καὶ ψυχρόν. Πρὸς Ὕδωρ, ὁ Χειμὼν, ἐπείπερ ψυχρὸς καὶ ὑγρός.

Οἱ Καιροὶ καὶ τοὺς Χυμοὺς αὔξουσι, τὸν ἑαυτῷ παρόμοιον ἕκαστος. τὸν αἱματικὸν, ὁ Ἐαρινός. Τῶν Χολωδῶν· τὸν μὲν πικρὸν καὶ ξανθόν, ὁ Θερινός· ὁ δὲ Φθινοπωρινὸς, τὸν ὀξύν τε καὶ μέλανα· τὸν φλεγματικὸν, ὁ Χειμερινός. Οὕτως ἔχει τὰ τῶν Ὡρῶν, μὴ τοῦ παρὰ φύσιν ἐπεισφρήσαντος, καὶ ταύτας μετατρέψαντος καὶ νοθεύσαντος.

Ὥσπερ δὲ τῶν Στοιχείων οὐκ ἔστιν οὐδὲν οὐδαμοῦ καθ᾽ αὑτὸ, τὸν αὐτὸν τρόπον οὐδὲ τῶν Χυμῶν εἰλικρινής τις ἐν Σώματι ὅλως. Καὶ τῶν Ὡρῶν ὡσαύτως οὐκ ἔστιν οὐδεμίαν εὑρεῖν, ἢ μονώτατα θερμὴν, ἢ ψυχρὰν ἄκρατον. Ἀλλ᾽ οὐδὲ ὑγρὰν ξηρότητος ἀνεπίμικτον, ἢ ξηρὰν μὴ μετέχουσαν ὅλως ὑγρότητος. Εἰ μὴ γὰρ πάνθ᾽ ὁμοῦ τῆς ἀλλήλων ὁπωσοῦν κεκοινώνηκε μίξεώς τε καὶ κράσεως, οὔτ᾽ ἂν Ἐνιαυτὸς εἶχεν ὕπαρξιν, οὔτε τι συνέστη τῶν ὑπὸ γένεσιν· ἀνῄρητο δὲ τὸ πᾶν, ἧστινοσοῦν ἐς τὸ παντελὲς ἐπικρατησάσης ἐναντιότητος. Διὰ τοῦτο τρέφεσθαι μᾶλλον ὑπ᾽ ἀλλήλων, ἵν᾽ οὕτως εἴπω, καὶ συντηρεῖσθαι τάτε Στοιχεῖα, καὶ τοὺς Χυμοὺς, καὶ τὰς Ὥρας ἔταξεν ὁ Δημιουργὸς, οὐ μὴν ἄρδην ἀπόλλυσθαι, μὴ τῶν ἐπικρατειῶν ὁλικῶς ἐνεργουμένων, ἀλλ᾽ ἐπὶ μέρους καὶ μετὰ τῆς τῶν ἐπικρατουμένων διαμονῆς.

Οὐ μόναις δὲ ταῖς Ὥραις, ἀλλὰ καὶ ταῖς Ἡλικίαις, τὸ τοὺς Χυμοὺς αὔξειν ἑτέραν ἕτερον πρόσεστι. Τὸ μὲν γὰρ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ Αἷμα, τοῖς πρὸ τῆς ἀκμῆς ἐπιδιδοῦσι. Τὸ χολῶδες δὲ, τοῖς Ἀκμάζουσι. Τοῖς Παρηκμακόσιν, ὁ μέλας Χυμός. Καὶ τὸ Φλέγμα, τοῖς Γέρουσι, διασωζουσῶν δηλαδὴ τῶν Ἡλικιῶν τὰς αὐτῶν ἰδιότητας. Ὅθεν εἰ καὶ ξηροὺς τοὺς Γέροντας λέγουσί τινες ὡς ἱμαντώδεις καὶ ἀπεσκληκότας τοῖς Στερεοῖς, ἀλλ' ὑγροὶ τυγχάνουσιν ὄντες οὗτοι, φλέγματος περιουσίᾳ πολυειδοῦς. Εἰ μὲν οὖν διὰ τὰ Στερεὰ λέγοι τις τοὺς ἀκμάζοντας θερμοὺς καὶ ξηρούς, ἀλλ' οὐ διὰ τὸν ἐπικρατοῦντα χολώδη Χυμὸν, λεγέτω διὰ ταῦτα, καὶ τοὺς Γηραιοὺς ψυχροὺς καὶ ξηρούς. Εἰ δὲ διὰ τὸν Χυμὸν τοῖς Ἀκμάζουσι, τὸ θερμοῖς λέγεσθαι καὶ ξηροῖς, ἀκόλουθον καὶ τὸ τοῖς Πρεσβύταις ἀντιθέτως τοῖς ἐν ἀκμῇ, ψυχροῖς εἶναι καὶ ὑγροῖς διὰ τὸν Χυμόν.

Σκοπητέον δὲ καὶ κατὰ τὴν ἑτέραν Ἀντίθεσιν ὁπόθεν ἐστί. τὸ τοὺς μὲν, ὑγροὺς λέγεσθαι καὶ θερμούς· τοὺς δὲ, ξηροὺς καὶ ψυχρούς. Πότερον; ἐκ τῆς Φύσεως τῶν Στερεῶν, ἢ μὴν ἐκ τοῦ τοῖς μὲν, τὸν αἱματικὸν ἐπαύξεσθαι Χυμὸν, τοῖς δὲ, τὸν μελάντερον· πρὸς ταῖς Ὥραις καὶ ταῖς Ἡλικίαις, καὶ τῇ καθ' ὅλον τὸ σῶμα Κράσει, καὶ τῇ ταύτης ἐν τοῖς μορίοις διαφορᾷ;

Στοχάζεσθαι δεῖ, καὶ τῶν Ἐπιτηδευμάτων, καὶ τῶν Ἐθῶν, καὶ τῶν Διαιτημάτων, ἤδη δὲ καὶ αὐτῶν τῶν Οἰκήσεων τὸν τῆς Φύσεως Θεωρητήν. Ἐπεὶ καὶ ταῦτα πάντα, καὶ μᾶλλον τὰ Τρέφοντα, μεγάλας Μεταβολὰς ἐν τοῖς σώμασι πέφυκε δρᾷν· τὰ μὲν, ὤκιστα· τὰ δὲ, ἐκ τοῦ παρὰ μικρὸν ἀνεπαισθήτως ἐν χρόνῳ μακρῷ. Καὶ καθὼς ἡ πέτρα κοιλαίνεται καὶ σιδήρου πληγῇ, καὶ ῥανίδος φορᾷ, τρόπον δ' οὐ τὸν αὐτόν. Οὕτω καὶ τὸ Σῶμα, τισὶ μὲν ἀλλοιοῦται παραχρῆμα τροφαῖς, τισὶ δὲ ἐν παρατάσει καὶ χολαιότητι. Πλὴν ὁ Χρόνος τὸ πρὶν λανθάνον ἔκδηλον τίθησιν. Οὐκ ἀγεννῶς μὲν οὖν πρὸς τὸ τῆς Ἀλλοιώσεως τάχος, ἢ τὴν βραδυτῆτα, καὶ ἡ τοῦ τρεφομένου Κρᾶσις συμβάλλεται. Τῶν δ' ἄλλων τῶν συναπηριθμημένων ἕκαστον εἰσφέρει τὸ ἑαυτοῦ, καθ' ἣν ἔλαχεν ἔχειν δύναμιν. Ὥστε περιφρονητέον τῶν ὅλων οὐδέν.

Εἰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰ δὲ τ' Ἀναντία τῶν Ἐναντίων ἰάματα, πάντως ἀναγκαῖον τὰς τῶν Ποιοτήτων ὑπερβολὰς, εἴτε μονομερεῖς εἶεν, εἴτ' ἐν συνδυασμῷ, καταθραύεσθαι διὰ τῆς τῶν ἀντικειμένων προσαγωγῆς, οὐ ῥύβδην ἐνεργουμένης ἀνεπισχέτοις ὅλαις ὁρμαῖς· ἵνα μή τις ἐπισυμβαίη πρὸς ἑτεροκλινῆ δυσκρασίαν ἀπρόοπτος ἔκπτωσις.

Ὅσα μὲν οὖν τῶν Διαιτημάτων μετὰ τοῦ τρέφειν αὐτάρκως καὶ ἀλλοιοῖ· καλοῖτό τις, εἴπερ ἐθέλοι, Τροφὰς ἀλλοιωτικάς. Εἰ δ' οὖν Τροφαὶ ὁμοῦ τε καὶ Φάρμακα. Φάρμακα μὲν, διὰ τὸ πεφυκέναι δρᾶν ἀλλοίωσιν ἐν τῷ Σώματι· Τροφὰς δ', ὡς ὑπὸ τῆς ἐμφύτου θερμότητος εἰς τὴν κυρίως οὖσαν τροφὴν μεταβάλλοντα, τὴν ἐξομοίωσιν, δηλονότι τοῦ τρέφοντος ἐν τῷ τρεφομένῳ, προηγουμένης Προσφύσεως· ἧς προτέρα, Πρόσθεσις· καὶ πρὸ ταύτης, Αἱμάτωσις· καὶ πρὸ τῆς Αἱματώσεως, Ἀνάδοσις· πρὸ δὲ τῆς Ἀναδόσεως, Χύλωσις, καὶ Πέψις ἐν τῇ γαστρί. Τὰ δὲ πάντῃ μὲν ἀμυδρὰν παρέχοντα καὶ λεληθεῖαν τροφήν· ἐκφανῆ δὲ πρὸς τὰς ἰάσεις ἐνδεικνύμενα τὴν ἰσχὺν, εἰκότως ἐκ τοῦ λίαν ὑπερέχοντος, Φάρμακα λέγοιντ' ἂν μόνως, οὐ μὴν καὶ Τροφαί. Καὶ ἄμφω δ' ὅμως οἰκείως ἔχει πρὸς τὴν οὐσίαν τοῦ Σώματος.

Ἀλλοτρίως δ', ὅσα τῶν Φαρμάκων καθαρτικὰ, καὶ τούτων ἐπὶ πλέον ἔτι καὶ πολεμίως ἄγαν τὰ Δηλητήρια. Τὰ μὲν γὰρ εἰ καὶ τοῦ Σώματος οὐ συστατικὰ, διαλυτικὰ δὲ μᾶλλον, λέγω δὲ τὰ καθαίροντα, πλὴν πέφυκεν ἕλκειν, ἀποσπᾶν, ἐξάγειν τοὺς τὸ Σῶμα λυποῦντας Χυμοὺς, ἕτερον ἕτερα Φυσικαῖς τισιν ἰδιότησι, μετὰ τοῦ μηδὲν, ὅτ' εὐστόχως προσφέρονται, παρεισάγειν ἀδίκημα. Θερμὰ ταυτὶ καὶ δριμέα, καὶ τῷ σώματι τῆς Γαστρὸς ἔστιν οὐ κακώσεως, εὐχερῶς καὶ προφυλαττομένης καὶ διορθουμένης, Παραίτια. Τοῖς Δηλητηρίοις δὲ, πολυειδῶς ἐνυπάρχει τὸ ἀδικεῖν. Τὰ μὲν γὰρ αὐτῶν διαβιβρώσκει, τὰ δὲ τήκει διὰ τῆς ἐν ἀμφοῖν ἐκφύλου θερμότητος, οὐχ ὑπὸ τῆς οἰκείας, τῷ Ζώῳ κατακρατούμενα. Μᾶλλον μὲν οὖν ὑπὸ τοῦ ταύτης ἀτμώδους τὴν αὐτοῖς ἐνοικουροῦσαν ὀλεθριότητα, διὰ τῆς εἰς τὸ πρόσω γινομένης ἐξαγωγῆς, ἐνεργ-

γῇ τιθέμεθα καὶ δραστήριον· ὡς ἡ Τίτανος τὸ ἐν αὐτῇ πυρῶδες ἐκφέρει προσψαύσει νοτίδος, καὶ παρασκευάζει καίειν ὡς ἔχει φύσεως. Τὰ δ' ὡς ὑγρότητα προτκεκλημένα φθοροποιὸν, τῷ δεδέχθαι τινὰ ῥοπὴν ἀλλοιώσεως ὑπὸ τοῦ πεπτικοῦ σηπόμενα, συσσήπει καὶ συνδιαφθείρει φθειρόμενα. Τὰ δ' ὑπεναντία τοῖς ἄλλοις, ἀλλοκότῳ ψυχρότητι ναρκοῖ καὶ νεκροῖ· καὶ γὰρ καὶ Κρύους ἐπίτασις, εἴτ' ἐντὸς, εἴτ' ἐκτὸς ἐπιμονώτερον ὁμιλήσασα. Πάντα δ' ὁμοῦ τὰ λυμαντικὰ, τὴν τοῦ δρᾷν ἀρχὴν ἐκ τῆς τῷ Ζώῳ συμφυοῦς λαμβάνει θέρμης οἷα κινητικῆς. Ἐκτῶν αὐτῶν μόρι' ἄττα σμικρότατα τοῖς ἰατηρίοις ἐνίοτε συνεισάγεται. Τινὰ δὲ παντάπασιν ἐν τοῖς ἐκτὸς ἀποτρόπαια. Ποτὲ δ' ἐν τοῖς ἐκτὸς, ἔστιν ἃ καὶ τῶν τοιούτων σὺν λόγῳ παραλαμβάνεται. Καὶ τ' ἄλλα δὲ πρὸς ὄνησιν ἔχει τινὰ συντελοῦντα. Τῶν γὰρ ὑπὸ τῆς Προνοίας πεπηγμένων, οὐδὲν τῶν ὅλων ἀνωφελές. Εἰ καὶ τινί τις Ὅτῳ μὴ δεῖ, καὶ Ἔνθα, καὶ Ὅτε, καὶ Ὅπως, καὶ Διὸ μὴ προσήκει χρησάμενος, οὐκ ὠφελείας, ἀλλὰ βλάβης ἔσοιτ' ἂν πάροχος.

Τούτων δὲ τῶν Διορισμῶν ἐν ἅπασι καὶ Φαρμάκοις καὶ Διαιτήμασιν, ἐν Ἀσιτίαις, ἐν Ἀφαιρέσεσιν αἵματος, ἐν Κεναγγείαις ἁπλῶς, κἀν ταῖς λοιπαῖς ἀγωγαῖς, ἀναγκαῖον μεμνῆσθαι τὸν Ἐπισκεπτῆρα τῆς Φύσεως· καὶ μὴν καὶ πρὸς τὸ Περιέχον, ὡς τῶν Σωμάτων αὐτῷ συνδιατιθεμένων, ὁρᾷν· καὶ μὴ τὰς ὥρας ἡγεῖσθαι πιστὰς, εἰ μὴ καὶ τὰς Κράσεις αὐτῶν συνᾳδούσας ἔχοιεν τοῖς ὀνόμασιν. Εἰ γάρ τοι μέρος τυχὸν τοῦ Ἀέρος, ἢ καὶ πᾶν αὐτὸ φανείη χειμέριον, τίς ἐκ τῆς αὐτοῦ προσηγορίας γένοιτ' ἂν ἐπικουρία τοῖς Σώμασιν, ὑγραινομένοις ὑπὲρ τὸ δέον καὶ ψυχομένοις, εἰ μὴ διὰ τῶν ἐναντίων ὡς ἐν χειμῶνι θερμαίνοιντο καὶ ξηραίνοιντο, καθ' ὅσον εἰκός; Οὕτω χρὴ καὶ τὰς τῶν ἄλλων καιρῶν μεταμείψεις ἐπιτηρεῖσθαι· καὶ καθ' ὅτι ἂν ἐν αὐταῖς ἐξίσταιτο τῆς εὐκρασίας τὸ Σῶμα, διὰ τῶν ἐπιτηδείων βοηθημάτων πρὸς αὐτὴν ἐπανάγεσθαι. Τὰ μὲν οὖν εὔκρατα τῶν Σωμάτων ταῖς τοῦ Ἀέρος εὐκράτοις συντηρεῖται πως, ὑπὸ τῶν ἰσχυρῶν δυσκράτων βλαπτόμενα.

τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὰ δὲ δύσκρατα, μᾶλλον ὑπὸ τῶν δυσκράτων εὐεκλεῖ Καταστάσεων, ἀνομοίως αὐτοῖς ἐχουσῶν, ὡς εἴπερ ὅμοια πάσχει κακῶς καὶ κινδυνωδῶς, ὅτε καὶ γενναιοτέρας δεῖται τῆς ἐκ τῶν σιτίων, ποτῶν, ἐθημάτων, γυμνασίων, καὶ τῶν ἄλλων τῶν ἐοικότων ἀντιφορᾶς, ὡς πρὸς πολέμια διττὰ γινομένης ὁμόφυλα. Καὶ ταῖς Ἡλικίαις δὲ μηδὲν ἄτοπον ἐπιφέρων ὁ πρὸς αὐτὰς ἀλλοτρίως ἔχων Ἀήρ, ἔτι καὶ συνοίσει τὰ μάλιστα. Τό γε μὴν οἰκείως ταύταις κεκρᾶσθαι αὐτὸν καὶ συγγενῶς, βλαπτικόν. Ὅθεν ἁρμοστέον τά τε Διαιτήματα, τά τ' Ἐπιτηδεύματα, καὶ ταῖς Κράσεσι καὶ ταῖς Ἡλικίαις ὑπεναντία τῷ Περιέχοντι.

Πλὴν ἐπιστασίας τε καὶ μνήμης ἄξιον, ὡς ὅσα μεμπτά, δεῖται καὶ τῆς διὰ τῶν ἐναντίων ἐπανορθώσεως. Τὰ δὲ κατὰ Φύσιν ἀμέμπτως ἔχοντα, φυλακῆς μᾶλλον χρήζει καὶ συντηρήσεως, οὐκ ἀνασκευῆς. Ὅθεν ἐξ ἑνὸς ὑποδείγματος, ἐπὶ μὲν τῶν θερμότητι καὶ ξηρότητι συνεσχημένων, ἐκ δυσκρασίας ἢ σφοδροτέρου πάθους, οἷον ὁ Πυρετός, παρατροπῇ τῆς ἐμφύτου θερμότητος, ἐπὶ τὸ πυρῶδες ὤν, κατὰ τοὔνομα τὴν ἀνασκευαστικὴν παραλαμβάνειν ἀγωγήν, εὐλογώτατον. Καί ποτε τῆς διαθέσεως ἐπιπεπλεγμένας ἐχούσης τὰς ἐναντιότητας, καὶ πρὸς ἁπάσας ἀντικαθίστασθαι, καὶ μειζόνως καὶ κατηπειγμένως πρὸς τὴν μείζω καὶ κατεπείγουσαν. Τοῖς δέ, τὴν ὡς ἐν πλάτει πρώτην ἄγουσιν Ἡλικίαν, ὑγροῖς οὖσιν, οἰκείως τῇ φύσει μετὰ θερμότητος πραείας καὶ προσηνοῦς τἀναντία πειρᾶσθαι προσάγειν, οὐκ εὔλογον. Τὰ δ' ὅμοια καὶ προσφυῆ διαίτης ὑγροτέρας καὶ συντονίας ἀπηλλαγμένα, γυμνάσια. Τὸν αὐτὸν τρόπον κἂν τοῖς ἄλλοις, ὅσοι κεχρῆσθαι τροφαῖς εἰωθότες ὑγραῖς ἢ ξηραῖς, ἢ κατὰ τὰς ἄλλας οὔσαις ποιότητας, οὐδ' ὅλως ὑπ' αὐτῶν παραβλάπτονται.

Τηρητέον τὸ Ἔθος ὡς ἄλλην Φύσιν· ἐπείπερ οὐ σφαλερόν. Εἰ δέ τινα σημεῖα μέλλοντος πάθους ἐκ τῶν ἐξ Ἔθους προφαίνοιντο Διαιτήσεων, κατὰ μικρὸν ὑπαλλακτέον αὐτάς. Ἐπεὶ μηδενὸς αἰτίου κακώσεως ὅλως προκύπτοντος, τὰς συνήθεις, εἰ καί πως ἀνάρμοστοι δοκοῖεν, οὐ παραιτητέον Τροφάς. Ἐν ταῖς ἐπὶ μέρους γὰρ Κράσεσιν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἰδιοτροπίαι διάφοροι· καὶ τὰ κατάλληλά τισιν αὐτῶν, οὐκ ἤδη τοιαῦτα καὶ πάσαις ὁμοῦ· καὶ τὸ βλάπτον ἄλλους, ἑτέρους ὀνίνησι· καὶ πρὸς ἅπερ τῶν τ' οἴκοθεν δρωμένων, τῶν τ' ἔξωθεν ἐπιγινομένων εὖ τινες ἔχουσιν, οὐκ εὖ ἄλλοι διάκεινται.

Τὰς μὲν οὖν ὁπωσοῦν τοῦ Ἀέρος μετατροπὰς, ἄλλοτ' ἄλλας γινομένας ἐπιτηρεῖσθαι, καὶ ταύταις ἀντιθετικῶς καθ' ἑκάστην ἀκριβάζεσθαι τὰς προσαγωγὰς, ἐργῶδες ὅτι καὶ δυσεξάνυστον. Τὸ δὲ τὰς ἐπισήμους ὑπὲρ ὧν ὁ λόγος ἐπισκέπτεσθαι καταστάσεις τὸν τῆς Φύσεως ἐξεταστὴν καὶ συνέριθον, καὶ ταύταις Ὅποι δεῖ, καὶ Ὅσον ἀντικαθίστασθαι, καὶ Ὅτε, καὶ Ὅπως, οὐ δυσχερές.

Οὐσῶν δὲ κἂν τῷ Σώματι Καταστάσεων κατὰ τὸ προσῆκον, κἂν ταύταις διοικητέον εὐτάκτως αὐτό. Τεσσάρων γὰρ ἐγνωσμένων τῶν ἁπασῶν· μιᾶς μὲν, τῆς Ὑγιεινοῦς τῆς Πρώτης καὶ κρείττονος· Δευτέρας δὲ, ἀφ' οὗ περ ἡ Νόσος εἰσφρήσασα, καὶ τὴν εἰς τὸ πρόσω ποιησαμένη φορὰν, καὶ στᾶσα πάσης ὁρμῆς καὶ σφοδρότητος, ἄρξοιτ' ἂν πρώτως ὀκλάζειν καὶ ὑποτήκεσθαι· Τρίτης, ἐπὰν τὸ πιέζον κατὰ μικρὸν χαυνούμενον καὶ σπαραττόμενον ἤδη, καὶ πρὸς ἀργίαν καταντήσῃ παντελῆ καὶ διάλυσιν· καὶ Λοιποῦ, ὁπόθ' ἡ πρὸς τὴν Ὑγιείαν τελεῖται τὴν καθ' ἕξιν ἐπάνοδος, (ἣ δὴ Κατάστασις ἐνομίσθη τῆς Ἀναλήψεως, ὡς εὐσαρκίαν καὶ ῥώμην ἀναλαμβάνοντος τηνικαῦτα τοῦ Σώματος, ἔκτε τοῦ πάθους καὶ τῆς ὀλιγοτροφίας ἰσχνανθέντος καὶ ἀτονήσαντος.) οὐκ ἀσφαλὲς ἐξαπίνης εἰς μέγα προέρχεσθαί τινα Διαίτης μεταβολὴν ἔν τινι τῶν Καταστάσεων, οὐδαμῶς. Οὔφημι τῆς μὲν αὐτῶν παυσαμένης, τῆς δ' ἀρξαμένης, (Τοὐναντίον γὰρ ἅπαν, μετακεχωρηκυίας τῆς ὑγιεινῆς, ἀναγκαῖον συμμεταχωρεῖν αὐτῇ καὶ τὴν Δίαιταν.) ἀλλ' ὅτι τῆς αὐτῆς μενούσης, δέον ἐπιεικῶς καὶ κατὰ μικρὰς μεταβάσεις γενέσθαι τὰς ἐναλλαγάς. Ὅθεν οὐδ' αὐτὴν ἀθρόον τὴν Φαύλην Τροφὴν, ἀλλὰ κατὰ βαθμίδας συμφέρει πρὸς ἑτέραν χρῆσιν μεταμείβεσθαι. Τὸ γὰρ Ἔθος ἐν πᾶσιν ἁπανταχῇ Φύσις ἑτέρα καθεστηκὸς, κλονεῖ καὶ ταράττει τὴν τοῦ Σώματος οὐσίαν, αἴφνης με-

τατρε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τατρεπόμενον. Ἀλυσιτελὲς ἐν καὶ τὸ πρὸς πλήρωσιν ἐξ ἄκρας ἐνδείας ἐν τῷ παραχρῆμα μεταβιβάζεσθαι, καὶ τὸ πρὸς ἄκραν ἔνδειαν πολυδιάςατον ἐκ πληρώσεως.

Τούτων οὕτως ἐχόντων, οὐχρὴ τοὺς νοσαζομένους ἀσιτεῖν εἰς μακρὸν ἐν ταῖς τῶν νόσων ἀρχαῖς, κἀπειδὰν ἐξατονήσωμεν τρέφεσθαι πρὸς ἀνάγκην καὶ μὴ λεπτῶς· εἴγε τέως νῦν εἰσί τινες οὕτως ὑφηγούμενοι καὶ διαπραττόμενοι. Κατὰ γὰρ τὴν τῆς Νόσου σφοδροτέραν ὁρμὴν, καὶ μάλιςα τὸν αὐτῆς ἑδρασμὸν, προσήκει τοὺς κάμνοντας ἐν ἀσιτίᾳ τελείᾳ, μὴ τῆς δυνάμεως ἀπαγορευούσης, διατελεῖν. Ἢ μὴν διαιτᾶσθαι λεπτότερον, ὅσον τὸ ἐγχωροῦν· ὅτε καὶ τὴν Φύσιν διεγειρομένην εἰς τὴν πρὸς τὰ νοσερὰ γενναιοτέραν ἀντικατάςασιν οὐκ εἰς βρωμάτων ἕλκεσθαι κατεργασίαν ἐπιπρεπὲς, οὐ τῇ τῶν μοχθηρῶν σχολάζουσαν Πέψει χυμῶν τῶν τῆς Νόσου ποιητικῶν, πρὸς ἑτέραν Πέψιν μετάγεσθαι.

Κἀν τοῖς ἐπερχομένοις δὲ Παροξυσμοῖς περιοδικῶς, οὔτ' ἐνοχλούντων οὔτε γογγυζόντων αὐτῶν εἰσβαλεῖν, ἀλλὰ παρακμαζόντων καὶ παυομένων, τὰς ἁρμοζούσας προσενεκτέον τροφὰς, εἴτ' αὐτομάτως, εἴτε τρόπον ἕτερον προεκκεκριμένων τῶν περιττῶν. Καὶ τοῦτο γὰρ ὡς τῶν ὅτι δεόντων, εἰ καὶ περιπέζιον ὑπηγόρευται. Καὶ ἁπλῶς εἰπεῖν, ὅτ' εὐφορότερον ὁ κάμνων διάγει, τότ' αὐτὸν καὶ τρέφεσθαι βέλτιον, ὡς ἐν τοσούτῳ τῆς Φύσεως, ἣ τὸ ζῶον ὁλικῶς διοικεῖ, διὰ τῶν ἐπὶ μέρους αὐτῆς δυνάμεων διακειμένης ἀθορυβώτερον, καὶ πρὸς τὴν τῶν ἐνδεδεσμένων ἐναχολουμένης εὐμαρέςερον παράληψίν τε καὶ μεταποίησιν.

Ἐχούσης δὲ τῆς Νόσου τὸ κατὰ τὴν Φορὰν ὁμαλὲς καὶ ἀνένδοτον, καὶ μηδένα παραδεικνύσης καιρὸν ὑφέσεως, ἐν τῷ κρείττονι τῆς ἡμέρας, ἐν ᾧ καὶ τῶν ἰαμάτων, ἀνάγκης οὐκ ἐπειγούσης, ἐπίλεκτος ἡ προσαγωγὴ, τρέφεσθαι τὸν κάμνοντα χρήσιμον· Θέρους μὲν, πρωϊαίτερον. Ἐν Χειμῶνι δὲ, τοῦ ψύχους ἐπικρατοῦντος, μετὰ τὴν ἐπιτολὴν Ἡλίου, καὶ τὴν τοῦ Κρύους ὁπωσοῦν ὑπολώφησιν. Ἑωθινὸν τοῦτο τὸ μέρος, καὶ τὴν ἐαρινὴν Ὥραν σκιαγραφοῦν, ὡς τὸ περὶ Μεσημβρίαν ἕως δείλης ὀψίας, τὴν Θερινήν· καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τ᾽ ἐντεῦθεν ἐς αὐτὰς ἐπικρύψεις ἀκτίνων, τὴν Φθινοπωρινήν· καὶ τὸ νυκτερινὸν, τὴν Χειμέριον. Ὅ, τε γὰρ τῆς Ἡμέρας χρόνος, ὅ, τε τῆς διαδεχομένης ταύτην Νυκτὸς, Ἡμέρα μία κοινῶς καὶ κατὰ πᾶσαν πρᾶξιν, καὶ κατὰ πᾶσαν πάθησιν ἐκ τοῦ περιέχοντος ὀνομάζονται.

Τεσσάρων δὲ τῶν ἐν Νόσοις ὄντων καιρῶν, Ἀρχῆς, Ἀναβάσεως, Ἀκμῆς, Παρακμῆς. Ἐν μὲν ταῖς Ἀρχαῖς λεπτῆς μὲν χρεία Τροφῆς, οὐ μὴν ἐς πολὺ, τῷ πόῤῥωθεν τὴν τῆς δυνάμεως οἰκονομεῖσθαι συντήρησιν, τὴν ἕως λύσεως τοῦ Νοσήματος. Ἐν ταῖς Ἀναβάσεσι, λεπτοτέρας ἢ πρότερον. Ἐν ταῖς Ἀκμαῖς, εἴπερ ἡ δύναμις ἐξαρκεῖ καὶ λίαν λεπτῆς. Ἐν δὲ ταῖς Παρακμαῖς, προποδιζούσης πρὸς τὸ ἁδρότερον, καθ᾽ ὅσον ὑποποδίζει τὸ νόσημα.

Τριῶν δ᾽ ὄντων ἐν Νοσήμασι Καταστάσεων, (τὰ μὲν γὰρ αὐτῶν Ὀξύτατα φέρεται, τὰ δὲ, Βραδύτατα, τὰ δ᾽ ἐν τῷ Μεταξύ.) κατὰ μέτρα διάφορα πρὸς τὴν Κατάστασιν τοῦ Νοσήματος, ἀλλὰ δὴ καὶ τὴν Ἡλικίαν καὶ τὴν Κρᾶσιν τοῦ πάσχοντος, ἤδη δὲ καὶ τὴν Ὥραν, καὶ τὴν Οἴκησιν, καὶ τὸν Ἐθισμὸν, νουνεχῶς ἁρμοστέον τὴν Δίαιταν, σκοποῦ πρώτου προτεθειμένου μὴ καταβεβλῆσθαι τὴν δύναμιν. Αἱ γὰρ ἐσχάτως λεπταὶ Δίαιται, καὶ μᾶλλον ἐν πολυημέροις Νοσήμασιν, ἔν τε νεαζούσαις Ἡλικίαις, καὶ Κράσεσιν ἰδίως θερμαῖς, καὶ Σώμασιν εὐδιαφορήτοις, ἔν τε θερμοτέρῳ τῷ Περιέχοντι, καὶ Χώραις ἀλεειναῖς, καὶ πολυτροφίαις Ἔτεσιν, ὡς τὴν ἰσχὺν καταλύουσαι, πάμπαν ἀσύμφοροι, καθὼς ἐν τοῖς ἐναντίοις ἐπωφελεῖς. Τὸ γὰρ ἔμφυτον Θερμὸν ἔξωθεν οὐκ ἔχον Ὑπέκκαυμα, πρὸς τὸ τοὺς ἔνδον περιττοὺς, καὶ τῆς ὑγιείας λυμαντικοὺς τρέπεται καταναλίσκειν Χυμούς. Εἰ μὲν οὖν σθένους αὐτῷ μέτεστιν, ἀνύει τὸ σπουδαζόμενον· εἰ δ᾽ ἐφ᾽ ὅσον οὐ δέον ἠσθένησεν ἐξ ἄκρας λιμάξεως, κρατεῖται μᾶλλον ὑπὸ τοῦ πάθους, καὶ οἷα παρειμένον, οὐδ᾽ ἀντισχεῖν, οὐδ᾽ ἐπὶ βραχὺ διανίσταται. Διὸ δὴ φευκτέον ἀκαίρους θρέψεις ὁμοῦ, καὶ μακρὰς ἀσιτίας, ὡς ἐκ διαμέτρου πολεμίους καὶ ἄμφω τῆς Φύσεως. Αἱ μὲν γὰρ, ὕλην τῇ νόσῳ διδόασιν εἰς ἐπίδοσιν. Αἱ δὲ, καθαιροῦσιν ἐκτόπως τοῦ νοσοῦντος τὴν δύναμιν.

Παραλη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Παραληπτέον δὲ, κατὰ τὲς ἐπιτηδειοτέρες καιρὲς, ἁρμόζοντα Διαιτήματα, μὴ παχυμερῆ, μὴ δαψιλῆ, μὴ πολυειδῆ. Τὸ μὲν, ὅτι τὸ πέτ[?]ον ἐκ τῆς Νόσε ταλαιπωρὲν, εὐκατεργάςων χρήζει τῶν ἔτω λαμβανομένων, καὶ ὧν ῥαδίως ἂν περιγένοιτο. Τὸ δ', ὅτιπερ ἐπεὶ φορτίε δίκην ἄχθος ἐπάγει τὸ πλῆθος ἐπεισιὸν, ὃ δεῖ τὸν καταβεβαρημένον ὑπὸ τῶν ἐνοχλέντων καὶ πιεζόντων ἐκ τῶν ἐντὸς, ἤδη κἀκ τῶν ἐκτὸς ἐπικαταβαρεῖσθαι τῇ πλησμονῇ. Τὸ δ' αὖ, ὅτι κἀν τοῖς ὑγιαίνεσι τῇ τῶν ἐδεσμάτων ποικιλίᾳ καθ' ὅσον ἀσυγγενῆ τὰ συντεθειμένα, δυσκατέργαςος ἡ ἀλλοίωσις· ἑτέρε τῶν ἀνομοίων ἀνομοίας δεομένων κατεργασίας, κἀντεῦθεν ἀνωμάλε καὶ ταραχώδες ὄντος ἐπὶ τῇ τῶν ἐδηδεσμένων διαφορότητι τελεμένης τῆς Πέψεως· εἰ μήπε καὶ δυσμεταβλήτων ὄντων αὐτῶν, κατευθενήσει ῥώμης περιεσίᾳ τὸ πεπτικόν. Ἀλλ' ὅτε καὶ τε πρὸς εὐπεψίαν ἐμποδιςικε σύμπαντος, αἱ μὴ τῷ νοσεντι κατάλληλοι καθυπερτερήσαιεν Δίαιται, τότε διὰ τετ' αὖ μόνον τὸ τὴν θρέψιν γίγνεσθαι πλήσμιον σφαλερὰ, τὴν Νόσον (ἧς ἄμεινον διὰ τῆς μεμετρημένης ἐνδείας ὑπεκλύεσθαι τὸν τόνον, ἀναςέλλεσθαι τὴν ὁρμὴν.) ἐπὶ πλέον κρατύνεσαι. Ποτὲ δὲ καὶ πνιγμονὴν ἐμποιεσιν αἱ τε εἰκότος πόῤῥω Τροφαὶ, μὴ νοσαζομένοις μόνοις, ἀλλὰ καὶ τῶν ὑγιαινόντων ἐνίοις τὴν ἔμφυτον, ὅτ' ἀσθενῶς ἔχεσα τύχῃ, σβεννῦσαι θερμότητα, καθάπερ φλόγα σμικρὰν, ὕλης ἐπισωρευθεῖσα καυσίμε πληθύς. Ἐπισυμβαίη δ' ἂν τὸ πάθος καὶ δυσεξάπτε τῆς ὕλης ἔσης, εἰ μὴ καὶ πάνυ πολλῆς. Ἀναγκαῖον τοίνυν τὸ τῆς Διαίτης λελογισμένον, καὶ ποσότητι καὶ ποιότητι, κατὰ πάντα τῆς νόσε καιρὸν, ἐξαιρέτως δ' ἐν ταῖς Ἀκμαῖς, ἐν τοῖς Παροξυσμοῖς, ἐν ταῖς προσδοκίαις τῶν Κρίσεων. Ἐν τοῖς ἠριθμημένοις τέτοις, καὶ τὴν ἀσιτίαν ἐκ ἀποδοκιμαςέον τὴν παντελῆ, μή τινος αἰτίε παρόντος ἀναλωτικε τῆς δυνάμεως.

Οὐ χρὴ δ' ὅλως οἴεσθαι τοῖς ἐν Νόσῳ καιροῖς ἴσον ἅπασιν, ἢ μὴ ὡρισμένον αὐτῶν ἑκάςῳ τὸ τε διαςήματος εἶναι ποσόν. Ἔςι γὰρ ἄλλοτ' ἄλλον καιρὸν ἄλλε γενέσθαι μακρότερον ἢ βραχύτερον, ἢ καὶ τοῖς λοιποῖς συνεληλυθότα,

μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ δή τινα δόκησιν ὡς ἐνδεδήμηκε παραχεῖν. Καιρὸς ὁ πρῶτος, Ἀρχή.

Λέγεται δ' Ἀρχὴ Νόσȣ τριχῶς, ἤτε τῆς παρὰ φύσιν διαθέσεως ἁπλατὴς εἰσβολὴ, τῶν τε Παροξυσμῶν ἁπάντων ὁ προηγȣ́μενος ὅλος ὁλομερῶς, ἔν τε καιροῖς ἐκκατακλίσεως αὐτῆς, ἐφ' ὅσον ἂν ἡ Νόσος ὁμοίαν ποιοῖτο τὴν κίνησιν, ἐς ὃ φανείη τε Πέψεώς τι σημεῖον σαφὲς, εἴπερ ἐστι. Τῶν δὲ τῆς Πέψεως, ἢ τῶν Παροξυσμῶν, ἢ καὶ ἀμφοῖν ἐπιτεινομένων, Ἀνάβασις. Εἰ ληφότων δ' ἰσχὺν καὶ μονὴν, καὶ τȣ̃ προϊέναι πεπαυμένων, Ἀκμή. Πρώτως δ' ὑποχωρȣ̃ντος τȣ̃ βλαπτικȣ̃, καὶ τȣ̃ τῶν Παροξυσμῶν ὑποθραυσμένȣ σφοδρȣ̃, δῆλον ὡς ἐφέστηκε Παρακμή.

Τὰ δὲ τῆς Πέψεως, ἢ τὰ τῆς Ἀπεψίας τῶν ἐξ ὧν ἡ Νόσος, ὁποῖα ποτ' ἂν εἶεν, ἐκ τῶν ἐκκρινομένων διαγινώσκεται, τῶν τ' ἄνω μετὰ Βηχὸς διὰ Ῥινός τε καὶ Στόματος· (οἷς δὴ τὰ κατ' Ἐγκέφαλον καὶ Πνεύμονα καὶ Θώρακα μηνύεται συστάσει καὶ χρώματι.) τῶν τε κάτω, δι' ὧν ἡ τῶν κατὰ Γαστέρα σημαίνεται καὶ Φλέβας διάθεσις, καὶ ἡ τῶν τόπων ἐν οἷς ἀθροίζονται, καὶ δι' ὧν παράγονται, καὶ ὅθεν ἄρχονται φέρεσθαι. Καὶ τȣ̃το γὰρ ἐνθυμήσεως ἄξιον.

Πέρας δὲ ταῖς νόσοις ἤτε κατὰ βραχὺ Λύσις, ἤτ' Ἀπόστασις, καὶ ἡ Κρίσις τὸ συντομώτατον. Κρίσις γάρ ἐστιν ὀξύῤῥοπος σὺν ἀγῶνι μεταβολή· καὶ πρότερον σφοδρά τις ἀντικατάστασις Νόσȣ καὶ Φύσεως, ἑκατέρας σπευδȣ́σης, εἴπερ ποτε, τὴν ἑτέραν καταβαλεῖν. Ὥσπερ ȣ̓̃ν ἐν δίκαις καὶ μάχαις, εἰ πρὸς ἀλλήλȣς δύω τινὲς ἀντιφέροιντο τὸ τὴν νικᾶσαν τὸν ἕτερον, τὸν λοιπὸν δὲ τὴν ἐναντίαν λαβεῖν, Κρίσις εἴωθεν ὀνομάζεσθαι. Παραπλησίως ἔχει κἀπὶ Νόσȣ καὶ Φύσεως. Ὁ ποτε γὰρ αὐταῖς ἀνταγωνισμὸς καὶ πόλεμος ἰσχυρὸς συῤῥαγείη, τὸ τὴν μὲν, ἡττῆσθαι, τὴν δὲ, κεκρατηκέναι, Κρίσις εὐλόγως ἂν τρόπῳ καλοῖτο μεταφορᾶς. Κέκριται γὰρ τȣ̓ντεῦθεν ὡς μὴ πρὸς ἀλλήλας ἔχοιεν ἔτι τε πράγματα.

Τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῶν δὲ Πεπασμῶν, καὶ ταχυτῆτα φύσεως σημαινόντων, ὅτε προφαίνοιντο, καὶ ἀσφάλειαν ἐς Ὑγιείαν, ὅ, τε τῇ Κρίσει συντρέχοιεν, συμφέρουσαι μέν εἰσιν αἱ Κρίσεις, εἰ τὰ νοσοποιὰ πεπεμμένα πέλοιεν ἐντελῶς· εἰ δ᾽ οὔ, πρὸς λόγον ἀσύμφοροι. Φχίνεται γὰρ ἡ Φύσις ὑπὸ τούτων ἔξωθεν πεπλημμελημένη, καὶ τῆς ἔνδον θηριώδους τοῦ πάθους ἐπιφορᾶς, καὶ τῆς ἐντεῦθεν τοῦ παροξυσμοῦ κακοηθείας, ὀτρυνομένη καὶ ἄκουσα πρὸς ἄκαιρον τῶν λυπούντων ἀποπομπήν.

Εἰκότι δ᾽ αἱ Κρίσεις λόγῳ συντρέχουσι τοῖς Παροξυσμοῖς, ἐπεὶ χρεία κινήσεως, καί γε σφοδροτέρας, ἐν ταῖς ἀθρέαις Μεταβολαῖς. Καὶ καθὼς ἐν Γαστρὶ πληρεστάτης γεγενημένης τῆς Πέψεως ἡ τῶν περιττῶν ἀπόθεσις (γίγνεται) βουλήματι Φύσεως· εἰ δὲ διὰ δηγμὸν, ἢ διὰ βάρος, ἢ διά τινα βίαν ἀπωθοῖτο ταῦτα καὶ πρὸ καιροῦ, καί τι χρηστὸν, ἢ καὶ τὸ πᾶν συνεκφέρεται. Τοιουτοτρόπως δὴ κἀν ταῖς Κρίσεσιν· εἰ μὲν ἡ Πέψις ἀνενδεὴς, ὧν ἡ παντελὴς ἔξωσις τῇ Φύσει κατὰ σκοπὸν, ἀρίστως ἔχει καὶ τὰ τῆς Κρίσεως· εἰ δ᾽ ἐνδεὴς, χειρόνως ἐς τοσοῦτον, ἐς ὅσον ἐνδεής. Ὥσπερ γὰρ ἡ Γαστὴρ δυνάμεις εἴληφει παρὰ τῆς Φύσεως τέσσαρας, Ἑλκτικὴν, Καθεκτικὴν, Ἀλλοιωτικὴν, Ἀποκριτικήν· καὶ διὰ μὲν τῆς πρώτης ἐπισπᾶται τὸ ἐφετὸν τῷ τῆς Ὀρέξεως βιαίῳ, δι᾽ Οἰσοφάγου πρὸς ἑαυτὴν ἐπισύρουσα· διὰ δὲ τῆς ἑτέρας αὐτὸ περιστέλλει καὶ περισφίγγει, κἂν ὀλίγιστον εἴη, πανταχόθεν ἑαυτὴν συνάγουσα, καὶ οἱονεὶ φιλίως ἐναγκαλίζεται· (καὶ Μῆτραι δὲ καὶ Κύστεις οὕτω τὰ ἐν αὐταῖς.). διὰ δὲ τῆς ἄλλης μεταποιεῖ καὶ μεταμείβει, καὶ τροφὴν ἑαυτῇ προσήκουσαν παρασκευάζει τὸ κατεχόμενον, καὶ καταπολαύει ταύτης ἐφ᾽ ὅσον πέφυκε· διὰ δὲ τῆς ὑστάτης οὗ μὴ χρείαν ἔχει, καὶ ὃ μὴ στέργει, τοῦτ᾽ ἀποτίθεται προωθοῦσά τε καὶ πόῤῥω πέμπουσα. Τοιουτοτρόπως καὶ πάντα τὰ μόρια, τῶν αὐτῶν μετεσχήκει δυνάμεων. Ἐπεὶ γὰρ ἡ τοῦ Σώματος οὐσία ῥεῖ πᾶσα διηνεκῶς, καὶ διὰ τῶν αἰσθητῶν ἐκκενοῦται πόρων, καὶ τῆς ἀδήλου διαπνοῆς· ἀνάγκη δεῖσθαι ταύτην, εἰ μέλλει διαμένειν ὅλως, ἀναπλη-

Ἀναπληρώσεως. Ἀλλ' ἤτε Κένωσις ἐξ ὅλων τῶν μορίων κατὰ Μετάῤῥοιαν, ἤτ' Ἀναπλήρωσις δι' αὐτῶν ἁπάντων κατὰ Διάδοσιν. Τὸ πρώτως οὖν πεφθὲν καὶ χυλωθὲν ἐν Γαστρὶ δεδεγμένον τὸ Ἧπαρ, ἀναδοθὲν εἰς αὐτὸ διά τινων ἐξ Ἥπατος αὐτοῦ καθηκουσῶν Φλεβῶν ἐς Γαστέρα καὶ τὰ περὶ αὐτήν, ἀκριβῶς αἱματοῦται διὰ τελειοτέρας δευτέρας Πέψεως· ἤδη δὲ κατὰ τὴν δίοδον αἱματοῦσθαί πως ἀρξάμενον ἐς βραχὺ, διὰ τὴν τῶν ἑλκόντων καὶ μεταβιβαζόντων ἀγγείων φύσιν, παραπλησίως ἔχουσαν τῇ τοῦ Ἥπατος.

Τὸ τοίνυν Αἷμα τῶν ἀνοικείων τῇ τῆς ὁλομελείας τοῦ Ζώου τροφῇ πάντων ἐκκαθαρθὲν, τῆς λευκῆς μὲν καὶ κούφης καὶ ταχυκινήτου Χολῆς, ὠχρᾶς καὶ ξανθῆς διὰ τῶν ἑλκόντων πόρων, καὶ κύστεως τῆς ὑποδεχομένης αὐτήν· τῆς μελαίνης δὲ, τῆς παχείας καὶ βαρείας καὶ δυσκινήτου διὰ Σπληνός· περιττωμάτων δὲ, τῶν ὑδατωδῶν τῶν οὐκ ἑαυτῷ τῷ Αἵματι δίκην ὀχήματος χρησίμων πρὸς εὔροιαν διηθὲν διὰ νεφρῶν· (τὸ Φλέγμα γὰρ εἰς τὸ τρέφειν οὐκ ἄχρηστον, μήπω παρατροπὴν πεπονθὸς, οἷα πέττεσθαι καὶ μεταβάλλειν εἰς οὐσίαν αἵματος πεφυκός.) Οὕτω δὴ τὸ Αἷμα τῶν εἰρημένων ὀθνείων διακριθὲν, διαπορθμεύεται διὰ Φλεβῶν ἐν ὅλῳ τῷ Σώματι πρὸς ἕκαστον τῶν μορίων. Ἐξ αἵματος δ' ἔχει τροφὴν τούτων ἕκαστον, διὰ τοῦ Χιτῶνος τῶν ἐγκατεσπαρμένων αὐτοῖς ἀγγείων (Διαστέλλεται γὰρ ἀδήλως ἅπας αὐτὴν ἐπισπώμενος) περιστέλλον, καὶ πρὸς τὴν οἰκείαν μεθαρμόζον οὐσίωσιν, καὶ προστιθὲν, καὶ προσφῦον, καὶ τελείως ἐξομοιοῦν ἑαυτῷ, καὶ τὸ πλεονάζον ταύτης ἀποτιθέμενον. Ἐνίοτε δ' ἐν τοσούτῳ, μόριον ἕτερον ἐνδείᾳ κατεπειγόμενον, ἢ ῥώμῃ πλεονεκτοῦν, ἀφαρπάζει ταύτην καὶ πρό γε τῆς ἀποθέσεως. Ἐπὰν οὖν ἐνοχλοῖντο τὰ μόρια πρός τινων ἐκφύλων τῇ Φύσει Χυμῶν, σπεύδουσιν αὐτὰ ἀποτρίψασθαι. Καὶ δὴ πεπεμμένους μὲν ῥᾳδίως καὶ ἀκινδύνως ὡς εὐκινήτους ἀποτινάσσονται· μὴ πεπεμμένους δὲ, δυσχερῶς ἐκρήσσουσι καὶ κινδυνωδῶς οἷα δυσεκμοχλεύτως ἐγκατισχημένους τῷ σώματι, κἂν τῷ μετάγεσθαι τὴν ἕξιν αὐτοῦ σπαράττοντας, καὶ ζωτικὸν ἐλάχι-

ςον,

στόν, εἴγε τέως μεταγένοιντο, συμμετάγοντας. Ὅθεν ἀρχαία νουνεχής τις ὑποθήκη, ὠμὰ τὰ νοσοποιὰ μὴ κινεῖν· εἰ μήπως οἴκοθεν μεταφέροιντο, κἀκ τόπου τόπον ἀμείβοιεν. Συμφέρουσαι τοιγαροῦν τῷ νοσοῦντι Κρίσεων, αἱ πεπεμμένων γινόμεναι τῶν Ὑγιείας πολεμίων Χυμῶν· ἀπέπτων δ᾽ ὄντων αὐτῶν ἔτι, πᾶσα Κρίσις ἀσύμφορος. Διὸ τοῖς πεπασμοῖς τ᾽ ἀγαθὸν ἐν τοῖς καιροῖς ἅπασι, καὶ τετήρηται καὶ μεμαρτύρηται, καὶ κατ᾽ αὐτὰς τὰς Ἀρχάς· ὥσπερ τοῖς ἐναντίοις τοὐναντίον, καὶ πολλῷ μᾶλλον ἐν ταῖς Ἀκμαῖς.

Ἡ Σελήνη δὲ ποικίλως ἀλλοιουμένη, δύναται κατὰ καιροὺς τό, τε Περιέχον καὶ πλεῖστα τῶν περιγείων, ἐν οἷς καὶ τὰ ἡμέτερα Σώματα, συναλλοιοῦν ἑαυτῇ· τὸ μὲν, Ἰδιότητι· τὸ δὲ, Ἐγγύτητι· (κατωτέρω γὰρ τέτακται πάντων Πλανητῶν, εἰς αὐτὰς δὴ τὰς τοῦ Αἰθέρος πρὸς τὸ Ὑπέκκαυμα, τουτέστι τὸ στοιχιακὸν Πῦρ συναφάς.) μάλιστα δ᾽ ἐν τοῖς νοσοῦσι· καὶ καθ᾽ ὅσον ὀξύτερον νοσοῦσι, τὴν τοιαύτην ἐνδείκνυται δύναμιν, ὡς ἑτοιμότερον τρεπομένοις, ὡς ῥαδίως ταραττομένοις, ὡς πολυειδέσιν ἐγκειμένοις κινήσεσιν, ἐπεὶ τοῦ βεβηκότος ἐξέστησαν.

Ὅθεν τὸ νοσαζόμενον μιμεῖταί πως τὰς τῆς Σελήνης Μεταβολάς, τὰς ἐκ τῶν ἐξ Ἡλίου γινομένας αὐτῆς ἀποστάσεων, καὶ τῶν πρὸς αὐτὸν πολυαρίθμων Σχηματισμῶν. Εἰ καὶ πενταχῶς σχηματίζεσθαι παραδέδοται πρὸς ἀλλήλους τοὺς Πλανήτας, Ἑξαγώνῳ, Τετραγώνῳ, Τριγώνῳ, Διαμέτρῳ, καὶ Συνόδῳ ταῖς ἀντιθέτοις. Φερομένων γὰρ αὐτῶν ὑπὸ τὸν Ζῳδιακόν, καὶ τῶν Ζῳδίων ἑκάστου, (δυοκαίδεκα δὲ ταῦτά ἐστιν.) εἰς Μοίρας διαιρουμένου τριάκοντα, τῶν ὅλων τε τοῦ Κύκλου Μοιρῶν εἰς ἑξήκοντα πρὸς ταῖς τριακοσίαις συμποσουμένων· ἐπὰν δύω Πλάνητες ὑφ᾽ ἓν Ζῴδιον καὶ Μοῖραν εὑρίσκοιντο, τὴν αὐτὴν συνοδεύειν ἀλλήλοις λέγονται. Μοίρας δὲ δυοῖν ζῳδίοιν, εἴτ᾽ οὖν ἑξήκοντα διεστηκότες ἀπ᾽ ἀλλήλων, ἑξαγωνικῶς σχηματίζεσθαι. Τῶν δύω γὰρ ἑξαπλασιαζομένων, ἡ Ζῳδιακὴ δυοκαιδεκὰς ἀπαρτίζεται· καὶ τῶν ἑξήκοντα Μοιρῶν ἑξάκις, ἡ ποσότης τὰς ἑξήκοντα πρὸς ταῖς τριακοσίαις Μοίρας



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πληροῖ τῆς ὁλότητος· καὶ τὸ Ἑξάγωνον Ἑξάπλευρον ὄν, Ἰσοπλευρόν τε καὶ Ἰσογώνιον ἐν ἀμβλείαις Γωνίαις· (Ἑκάστη γὰρ αὐτῶν μιᾶς Ὀρθῆς, καὶ τρίτου μέρους Ὀρθῆς ἐστιν.) εἴπερ εἰς Κύκλον ἐγγράφοιτο, διαιρεῖ τὸν τοιοῦτον εἰς ἓξ ἴσα καὶ ὅμοια τμήματα. Διὰ ταῦτά τοι τὰς εἰρημένας Μοίρας ἀπέχοντες ἀλλήλων οἱ Πλάνητες ἑξαγωνικοὶ σχηματίζονται, τὴν αὐτῶν μεταξὺ διάστασιν ἔχοντες, μήθ' ὑπερβάλλουσαν μήτ' ἐλλείπουσαν ἑξαγώνου Πλευρᾶς· ἥτις ὑποτείνει τὴν ἀπειλημμένην ὑφ' ἑαυτῆς Περιφέρειαν.

Ὅτε δὲ τῶν Πλανήτων ἐν μέσῳ Μοῖραι τριττύος εἶεν ζωδιακῆς, (αὗται δέ εἰσιν ἐννενήκοντα.) τετραγωνικὸς ὁ Σχηματισμός. Τὰ τρία γὰρ τετραπλασιαζόμενα τὴν δυωκαιδεκάδα κεφαλαιοῖ· καὶ τῶν ἐννενήκοντα Μοιρῶν τετράκις συντεθειμένων, τὸ πλήρωμα συναριθμεῖται τῶν ἁπασῶν· καὶ τοῦ Τετραγώνου τέτταρας ἔχοντος ἴσας καὶ Γωνίας ὀρθάς, ὅτ' αὐτὸ περιγράφει Κύκλος, εἰς ἴσα καὶ ὅμοια διαιρεῖται τμήματα τέσσαρα. Κἀντεῦθεν οἱ Πλάνητες οὐ μεῖζον οὐ μεῖον διεστῶτες ἀπ' ἀλλήλων Τετραγώνου Πλευρᾶς, τετραγωνικῶς ἀλλήλους ὡς πρὸς τὴν τοῦ Κύκλου Περίμετρον σχηματίζουσιν.

Εἴκοσι δὲ Μοιρῶν πρὸς ταῖς ἑκατὸν ἐγνωσμένου τοῦ διαστήματος, (τεττάρων δ' αὗται Ζωδίων εἰσίν.) ὁ Τριγωνισμὸς κατοπτεύεται. Τρὶς γὰρ τέτταρα γίνεται δυωκαίδεκα, καὶ Μοιρῶν Εἰκοσὰς Ἑκατοντάς τε τριττούμεναι τὰς ἑξήκοντα πρὸς ταῖς τριακοσίαις ἀθροίζουσι. Τριγώνου τοίνυν Ἰσοπλεύρου, Πλευρὰς τὰς ὀξείας γωνίας ἔχοντος καὶ ἴσας, ἐπείπερ αὐτῶν ἑκάστη δυοῖν τρίτων ὀρθῆς ἐστιν, ὑποτείνει τὴν Περιφέρειαν, ἣ τὸ τρίτον ὅλου τοῦ Κύκλου κεκλήρωται, καὶ ταῖς λοιπαῖς δυσὶ Περιφερείαις ἔχειν κατὰ πάντα τὸ ἀπαράλλακτον.

Εἰς Ἴσα δὲ δύω τὸν Ζωδιακὸν διαιροῦντες οἱ Πλάνητες διαμετροῦσιν αὐτόν, κατ' ἄμφω τοῦ ζωδιακοῦ τὰ μέρη. τὴν αὐτὴν ἀπ' ἀλλήλων τὴν καὶ κυρίως πλείστην διάστασιν διϊστάμενοι. Κύκλου γὰρ Διάμετρός ἐστιν Εὐθεῖά τις ἠγμένη διὰ τοῦ Κέντρου, καὶ πρὸς ἑκάτερα τὰ τῆς Περιφερείας ἄκρα περατουμένη, καὶ δίχα τὸν Κύκλον τέμνουσα.

Ζοφώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ζοφώδης οὖν οὖσα καθ' ἑαυτὴν ἡ ☾, πεφυκυῖα δὲ λαμβάνειν ἐξ Ἡλίου τοὺς φωτισμοὺς, ὑψηλοτάτην χώραν λαχόντος ὡς πρὸς αὐτὴν, καὶ σῶμα κεκλημένου λαμπρότερον ἅμα καὶ πολυμέγεθες, τὸ πλατυκῶς λεγόμενον ἥμισυ ταύτης ἀεὶ φωτίζεται· καθὼς ἅπαν φωτιζόμενον Σῶμα σφαιροειδές. Ἀμέλει καὶ συνοδεύουσα τῷ Ἡλίῳ, τὸ μὲν ἄνω μέρος, ἐν ᾧ δέχεται τὰς ἡλιακὰς λαμπηδόνας λαμπρύνεται· τὸ δὲ κάτω φέρει, καθὼς ἔτυχε φύσεως, ἀλαμπὲς, ὡς τῶν κατ' ἐπεισαγωγὴν ἀμοιροῦν αὐγασμῶν. Παραμείβουσα δὲ τὸν Ἥλιον οὔμενουν τῷ τάχει, τῇ δὲ τῆς οἰκείας Σφαίρας σμικρότητι, (βραδυτέρα γὰρ πάντων Πλανητῶν ἐστιν, ὡς ἐκπεπλωκεῖα τῆς ἀκραιφνοῦς αἰθερίου κουφότητος.) τὸ κάτω μέρος ὅσον τέτραπλαι πρὸς τὸν Ἥλιον ἔχει καταυγαζόμενον, ἀκλινοβολούμενον ὑπ' αὐτοῦ πρὸς λόγον τῆς παραμείψεως. Καὶ Μηνοειδὴς μέν ἐστιν, Ἑξάγωνον σὺν Ἡλίῳ ποιουμένη Σχηματισμόν· Τετράγωνον, Διχότομος· Τρίγωνον, Ἀμφίκυρτος· Διάμετρον δὲ, Πανσέληνος.

Τετήρηται δὲ ὅλον τὸν Ζωδιακὸν ὑποτρέχουσα πλανητικῶς ἐν ἡμέραις ἑπτὰ πρὸς ταῖς εἴκοσιν, ἐχούσαις καὶ μιᾶς ἡμέρας ἥμισυ μέρος προσεπικείμενον. Κατὰ δὲ τοὺς ἀκριβέστερον τετηρηκέναι δοκοῦντας, οὐχ ἡμιτέλειον τὸ μέρος, ἀλλ' ὡσεὶ τρίτον· ὃ καὶ τοῖς τῶν Ἀκεστόρων πολυμαθέσιν ἐγκέκριται. Τῆς ἡμισείας οὖν τούτων τῶν Ἡμερῶν τῶν ἑπτὰ πρὸς ταῖς εἴκοσι μετὰ τοῦ τρίτου, δέοιτ' ἂν ἡ Σελήνη πρὸς τὴν τοῦ Κύκλου διαμέτρησιν, ἐν ᾗ τῆς φανότητος πλήρωσις. Ὅθεν δὶ ἡμερῶν τεττάρων καὶ δέκα, τρίτου προσδεομένων, καὶ διαμετρήσει, καὶ πλήρους ἔσται. Διὸ γὰρ ἡ τοιαύτη πόσωσις τῆς ὅλης Περιόδου τὰς Ἡμέρας ἀποτελεῖ τὰς ὀκτὼ πρὸς ταῖς εἴκοσιν, ἔκτῳ μιᾶς Ἡμέρας λειπομένας μορίῳ· διὰ ταῦτά τοι τὴν μὲν ἑβδόμην ἐκ Τετραγώνου καὶ Διχοτόμου· τὴν δὲ τεσσαρεσκαιδεκάτην ἐκ Διαμέτρου καὶ Πανσελήνου τῶν ὡρισμένων Σχηματισμῶν, τῶν ἐπισήμων Μεταβολῶν, ἐκδηλοτέρας τῶν ἄλλων κρισίμους, πρός τε τὸ κρεῖττον μᾶλλον ῥεπούσας, αὐτὰ τὰ πράγματα πολλάκις ἐγνώρισαν.

Ὅτι δὲ τὸ Μηνοειδὲς καὶ τὸ Ἀμφίκυρτον τῆς Σελήνης ἀόριστα· τὸ δὲ Διχότομον καὶ τὸ Πανσέληνον ὡρισμένα, δεδηλώσθω καὶ διὰ τῶν ἑξῆς, εἰ καὶ πρόδηλα. Δύω γοῦν Κύκλων ἐν αὐτῇ νοουμένων μεγίστων, ὥς γε πρὸς αἴσθησιν, οὐ μέγιστοι δὲ τὴν Σφαῖραν, καὶ ἀλλήλους διχάζουσι. Καὶ τοῦ μὲν τὸ φαινόμενον καὶ τ' ἀφανὲς ἀπ' ἀλλήλων διείργοντος, καὶ μηδεμίαν μετάπτωσιν πάσχοντος· τοῦ δὲ τὸ πεφωτισμένον τε καὶ ἀφώτιστον καὶ στάσιν ὅλως οὐκ ἔχοντος, ἀλλ' ἀεὶ μεταπίπτοντος· ἐν μὲν ταῖς Πανσελήνοις ἐφαρμόζουσιν ἀλλήλοις οὗτοι, καθὼς ἐν ταῖς μεσαιτάταις τῶν ἀμαυρώσεων· ἐν δὲ τοῖς λοιποῖς φωτισμοῖς ἀλλήλους τέμνουσι, κατ' ὀξείας Γωνίας ἐν Μηνοειδέσι· κατ' Ἀμβλείας ἐν Ἀμφικύρτοις· ἐν Διχοτόμοις δὲ, κατ' Ὀρθάς. Ἐν μὲν οὖν ὀρθαῖς Γωνίαις οὐκ ἔστιν οὔτις διαφορὰ, καθάπερ οὐδ' ἐν ἐφαρμογαῖς· ἐν δὲ τοῖς μεταξὺ τῆς ὀρθότητος καὶ τῆς ἐφαρμογῆς, ἀριθμὸν ἅπαντα τὸ πολυειδὲς ὑπερήλασεν. Οὐδ' ἐν Ἑξαγώνῳ παραδέδοται τὸ Μηνοειδὲς, ἐν Τριγώνῳ δὲ τὸ Ἀμφίκυρτον· ἀλλ' ὡς ὅτι ταυτὶ τὰ φωτίσματα καὶ οὐχ ἕτερα τοῖς εἰρημένοις ἐνορᾶται Σχηματισμοῖς, οὐ μὴν ὅτι καὶ μόνοις ἰδιαιτάτως αὐτοῖς. Ἐκ πρώτου γὰρ τοῦ πρὸς ἡμᾶς ἄγαν ἀμυδροῦ Σελαγίσματος ἕως Διχοτόμου, τῇ Σελήνῃ πολυειδῶς τὸ Μηνοειδές· ἐκ Διχοτόμου δ' αὖ ἕως Πανσελήνου, πλατυμερῶς τὸ Ἀμφίκυρτον. Ἀπλατῆ δὲ μόνα κατὰ λόγον ἀκριβείας καὶ μονοειδῆ, τό, τε Διχότομον καὶ τὸ Πανσέληνον. Ἀλλὰ καὶ τῶν παραδεδομένων Σχηματισμῶν οὐκ ἐντελὲς τὸ ποσὸν, ὅτι πρὸς τὴν τῶν δυωκαίδεκα ζῳδίων ἀρίθμησιν ἐγεγόνει. Τὰ δύω γὰρ ἑξάκις, Ἑξάγωνον συνιστᾷ· καὶ τὰ τρία τετράκις, Τετράγωνον· καὶ τρὶς τὰ τέσσαρα, Τρίγωνον· καὶ δὶς τὰ ἕξ, Διάμετρον· ἅπαξ δὲ τὰ δυωκαίδεκα, Σύνοδον.

Οὐκ ὀλίγοι δὲ Σχηματισμοὶ σεσιώπηνται, πρός γε τὴν τῶν Μοιρῶν ἐκλελειμμένοι τοῦ ὅλου Κύκλου διάκρισιν· ὧν εἷς ὁ τῇ παρούσῃ Θεωρίᾳ, τό γε δοκοῦν ἡμῖν, εἰς πολὺ χρήσιμος Ὀκταγωνισμὸς, ἐξ οὗ τὸ τοῦ Μηνοειδοῦς τῇ Σελήνῃ μεσαίτατον, εἴπερ ἴσον ἀφέστηκε Διχοτόμου καὶ πρώτης αὐγάσεως. Ἡμέρα τε κρίσιμος οὐκ ἀφανὴς ἡ τετάρτη.

Καθὼς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καθὼς γὰρ ἐκ Τετραγώνου τὴν ἑβδόμην, οὕτως ἐξ Ὀκταγώνου τὴν τετάρτην, τὴν μέσην ἑβδόμης καὶ πρώτης ἐπιγινώσκομεν. Καὶ καθὼς ἐννενήκοντα Μοῖραι τοῦ Σχήματος ἐκείνου Πλευρά· τοιουτοτρόπως τοῦ δὲ τοῦ Σχήματος πέντε πρὸς τεσσαράκοντα. Μέσην δέ φαμεν τὴν τετάρτην ἑβδόμης καὶ πρώτης, ὅτιπερ ἐκ δύο τετράδων ἡ Ἑβδομὰς, συναπτικῶς μετρουμένων οὐ διαζευκτικῶς. Οὔτε δὲ τὴν Ἑβδομάδα πλήρεις ἡμέραι συνιστῶσιν ἑπτὰ, μορίῳ δὲ μιᾶς ἡμέρας ἕκτῳ λειπόμεναι, καθὼς δέδεικται πρότερον· οὔτε τὴν Τετράδα τέσσαρες ὁλόκληροι, πολλῷ δ' ἐλλειπεῖς. Τῆς γὰρ Ἑβδομάδος, περὶ ἧς ὁ λόγος, ἡμέρας ἓξ ἐχούσης ἐν ἑαυτῇ καὶ ἥμισυ καὶ τρίτον, ὡς ἕκτου προσδεομένης εἰς τελείαν ἀπάρτισιν, ἔχοι ἂν ἡ Τετρὰς ἕκτον καὶ τέταρτον σὺν ἡμέραις τρισὶν, ἡμίσους καὶ δωδεκάτου χρῄζουσα πρὸς περάτωσιν.

Ἐπεὶ δὲ τῇ ἑβδόμῃ καὶ τῇ τετάρτῃ, καὶ ταῖς ἄλλαις κρισίμοις, αἱ Κρίσεις οὐκ ἐξ ἰσχύος αὐτῶν, ἀλλ' ἐκ τῶν ἐν αὐταῖς τῆς Σελήνης Μεταβολῶν· αἱ Μεταβολαὶ δὲ πρὸς τοὺς Σχηματισμούς· οἱ Σχηματισμοὶ δὲ τὸ τῶν Ἡμερῶν οὐκ ἀναμένουσι τέλειον, οὐ χρὴ τὴν ὁλοκληρίαν ἐν κρισίμοις ἐπιζητεῖσθαι· διὰ δὲ τὰ μέρη παρατηρεῖσθαι καὶ τὰς ὁλότητας. Ὥσπερ δὲ τὸ Διχοτόμου καὶ πρώτης ἐλλάμψεως ἴσον ἀφεστηκὸς, τὸ μεσαίτατόν ἐστι τοῦ Μηνοειδοῦς· ἡ τετάρτη τ' ἐν ᾗ περατοῦται κρίσιμος οὐκ ἐπείσακτος· οὕτω δὴ τὸ Πανσελήνου καὶ Διχοτόμου κατ' ἰσομοιρίαν ἀποκεχωρηκὸς, τὸ τοῦ Ἀμφικύρτου πέλει μεσαίτατον· ᾗθ' ἑνδεκάτη καθ' ἣν αὐτὸ, κρίσιμος ἀπαρέμπλωτος. Καὶ ἄμφω δὲ παραπλησίας ἔχουσι φύσεως· ἐπεὶ τετάρτη μὲν, τῆς ἑβδόμης· ἑνδεκάτη δὲ, τῆς τεσσαρεσκαιδεκάτης Ἐπίδηλοι· ταυτὸν δ' εἰπεῖν Προσημάντορες· ὅτι καὶ τῷ τοῦ Μηνοειδοῦς μεσαιτάτῳ, προσημαίνεται τὸ Διχότομον· τῷ τοῦ Ἀμφικύρτου τε, τὸ Πανσέληνον· τῶν ἐν ταῖς ὡρισμέναις τῆς Σελήνης Μεταβολαῖς ἀέρος τροπῶν, ἐν ταῖς τῶν οὐχ ὡρισμένων μεσαιτάταις προδιαγραφομένων κατὰ καιρούς· τῆς ἐν ἑβδόμῃ Κρίσεως, προϋποφαινομένης ὡς τὰ πολλὰ κατὰ τὴν τετάρτην· καὶ τῆς ἐν τεσσαρεσκαιδεκάτῃ, κατὰ τὴν ἑν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δεκάτην· ἀγαθῆς μὲν ἐσομένης τῆς Κρίσεως, ἔν τε τοῖς ἐκκρινομένοις ἐπὶ τὸ κρεῖττον, κατὰ τὴν Ἐπίδηλον γινομένης τινος Ἀλλοιώσεως ἔν τε τῷ σώματι τοῦ νοσοῦντος ἐπὶ τὸ κατὰ φύσιν ῥέποντος· πονηρᾶς δὲ, τοὐναντίον· τῶν μὲν ἐκκρινομένων τρεπομένων ἐπὶ τὸ χεῖρον· τοῦ δὲ πάσχοντος εἰς τὸ παρὰ φύσιν ἐπὶ πλέον προβαίνοντος. Ἑνδεκάτη γοῦν καὶ τετάρτη Μεταβολῶν σεληνιακῶν ἀκμαίων οὐσῶν, ἐν αὐταῖς εὐλόγως κρίσιμοι τῶν ἐκ ἀφανῶν· εἰ καὶ τετάρτη μὲν, ἀξιώματι τῷ τῆς ἑβδόμης· ἑνδεκάτη δὲ, τῷ τῆς τεσσαρεσκαιδεκάτης ὑποβεβήκατον· ὥσπερ αἱ κατ' αὐτὰς τῆς Σελήνης Μεταβολαὶ τῇ τῶν καθ' ἑβδόμην καὶ τεσσαρεσκαιδεκάτην ἐπισημότητι.

Δὶς δὲ τῆς Σελήνης διχοτομουμένης, ὅτι καὶ διττὸς ὁ Τετραγωνισμός· (Ἔν τε γὰρ Αὐξήσεσιν ἔν τε Μειώσεσιν, δι' Ἑβδομάδων ὅλως τριῶν μετὰ Σύνοδον, καὶ ὁ δεύτερος γίνεται Τετραγωνισμὸς, καὶ τῶν διχοτομημάτων τὸ δεύτερον). εἰ μὲν οὖν παντάπασιν ἦν ἑκάστη τῶν Ἑβδομάδων ἀνελλιπὴς, ἐν αἷς ἡ Σελήνη Διχότομος, καὶ Παμφαὴς, καὶ αὖθις Διχότομος, ἅπαξ μὲν διαμετροῦσα τὸν Ζωδιακὸν καὶ τὸν Ἡλιακὸν, ὅτ' ἐξ Ἡλίου ποιεῖτο τὴν πλείστην διάστασιν· τετραγωνίζουσα δὲ δὶς, ὅτε καὶ τοῦ Ἡλίου τῷ τῆς ὅλης Περιφερείας τετάρτῳ διΐσταιτο, πάντως ἂν καὶ τοῖς νοσοῦσιν Ἡμέρα κρίσιμος ἐπιφανεστέρα τῆς εἰκοστῆς, ἀναμφιλέκτως ἦν ἡ πρώτη σὺν εἰκοστῇ. Τῶν δ' Ἑβδομάδων ἐχουσῶν ἐλλιπῶς, κἀντεῦθεν τῶν τριῶν ἕκτων λειπομένης ἑκάστης, εἴκοσιν ἡμέρας συναγουσῶν καὶ μέρος ἡμερήσιον ἥμισυ· καὶ τῆς σὺν εἰκοστῇ μὲν πρώτης ἐνίοτε τὸ κρίνειν εὑρίσκεται· τὰ μάλιστα δὲ, τῆς εἰκοστῆς ἐστι· καί γε ἐκδηλότερόν τε καὶ βεβαιότερον, ὡς ἡ πεῖρα παρέστησε, τῆς τρίτης Ἑβδομάδος, τῇ δευτέρᾳ συναπτομένης, καὶ τὴν τεσσαρεσκαιδεκάτην τὸ τῆς δευτέρας τέλος οἰκείαν ποιουμένης ἀρχήν. Ὥσπερ οὖν ἑνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης Ἐπίδηλος, οὕτως ἑπτακαιδεκάτη τῆς εἰκοστῆς· ἐπ' ὀλίγον δὲ κατὰ παρένθεσιν καὶ τῆς πρώτης σὺν εἰκοστῇ. Ταύτης γὰρ ὀκτωκαιδεκάτη γνησίως Ἐπίδηλος, ὡς οὖσα μέση τῆς τρίτης Ἑβδομάδος, μετρουμένης τότε κατὰ διάζευξιν. Ταῖς

γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ τῶν Ἑβδομάδων μέσαις ἡμέραις ἔνεςι τεταγμένως τὸ προσημαντικὸν, μήτινος εἴτ᾽ ἐκ τῆς ὑλικῆς ἀταξίας, εἴτ᾽ ἐξ ἐπισφαλοῦς πράξεως, εἴτ᾽ ἐκ τυχηρᾶς περιπλώσεως ἐπισυμβάντος κωλυτικοῦ. Καὶ δὴ τετάρτη μὲν, μέση τῆς πρώτης Ἑβδομάδος ἐςίν· ἑνδεκάτη δὲ, τῆς δευτέρας· ἑπτακαιδεκάτη δὲ τῆς τρίτης, εἴγε κατὰ συνάφειαν ἡ Ἑβδομάς· εἰ δὲ κατὰ διάζευξιν, ὀκτωκαιδεκάτη Θεωρητὴ τριῶν ἡμερῶν οὐσῶν αὐτῆς ἑκατέρωσε. Πᾶσα δὲ Ἐπίδηλος, λέγεται καὶ Θεωρητὴ, διὰ τὸ μὴ χρῆναι τηνικαῦτα τὸ φαινόμενον, καὶ κατ᾽ ἐκείνην ἐνεργούμενον τὴν ἡμέραν ἐπισκοπεῖσθαι μονώτατον, ἀλλὰ καί τι νοούμενον, καὶ κατὰ τὴν εἰσέπειτα κρίσιμον ἐκβήσεσθαι προσδοκώμενον. Ἕως μὲν οὖν τεσσαρεσκαιδεκάτης τὸ ἀγωνιςικὸν ἐν ταῖς Κρίσεσιν ἰσχυρότερον. Ἐντεῦθεν ὑποκλείεταί πως μέχρι τῆς εἰκοςῆς. Ἑξῆς δὲ καὶ πρὸς τεσσαρακοςὴν ἐπὶ μᾶλλον χαυνοῦται καὶ ἀτονεῖ. Τὸ δ᾽ ἀπ᾽ ἐκείνης παντάπασιν ἐςὶν ἀδρανές. Ὅθεν καὶ τὰ πολλὰ διὰ Πέψεως αἱ Λύσεις ἐν τοῖς οὐκ ὀλεθρίοις νοσήμασιν· ἐνίοτε δὲ καὶ δι᾽ ἀποςάσεων εἰς μόριον γινομένων οὐ καίριον· σπανιάκις μέντοι γε δι᾽ ἐκκρίσεων.

Ἰτέον τὸ λοιπὸν εἰς τὸ κοινοτέρως περὶ τῶν κατὰ τάξιν κρισίμων διαλαβεῖν Ἡμερῶν. Κατὰ Τετράδας οὖν καὶ καθ᾽ Ἑβδομάδας κρινομένων τοῦ πίπαν τῶν Νόσων σαφέςερόν τε καὶ βεβαιότερον· ὥσπερ τὴν τετάρτην καὶ τὴν ἑβδόμην κατὰ τὴν πρώτην Ἑβδομάδα διακρισίμους ἔγνωμεν· τὴν μὲν τετάρτην, Ἐπίδηλον Θεωρητήν· τὴν δ᾽ ἑβδόμην τελεωτέραν, καὶ τῆς τετάρτης ὑπερέχουσαν δυνάμει καὶ ἀξιώματι. Παραπλησίως καὶ κατὰ τὰς ἄλλας Ἑβδομάδας ἡμᾶς εἰδέναι χρεών. Κατὰ τὴν δευτέραν, τὴν μὲν ἑνδεκάτην Ἐπίδηλον· τὴν δὲ τεσσαρεσκαιδεκάτην, ἐν ὑπεροχῇ δυνάμεως καὶ ἀξιώματος. Κατὰ τὴν τρίτην, τῆς αὐτῆς ἀναλογίας, οὐ τῆς αὐτῆς ἀθεναρότητος, τὴν ἑπτακαιδεκάτην δὴ καὶ τὴν εἰκοςήν. Κατὰ τὴν τετάρτην, τὴν σὺν εἰκοςῇ τετάρτην, καὶ τὴν ἑβδόμην σὺν εἰκοςῇ. Κατὰ τὴν πέμπτην, τὴν σὺν τριακοςῇ πρώτην, καὶ τὴν τετάρτην ἅμα τριακοςῇ. Κατὰ τὴν ἕκτην, τὴν ἑβδόμην σὺν

τριακοστῇ, καὶ τὴν τεσσαρακοστήν· ἥτις ἐστὶ τὸ πέρας τῆς ἐν Ἑβδομάσι καὶ Τετράσιν ἁπάσης Κρίσεως. Ἐφεξῆς γὰρ ἐν Εἰκοσάσι τελούμενα τὰ τῶν Κρίσεων ἡ πεῖρα παρέστησεν, ἕως τῆς εἰκοστῆς σὺν ἑκατοστῇ, τοῦ κατὰ τὸ σπάνιον ἴσως ἐπισυμβαίνοντος· μήτε τὸν λόγον ἀναιροῦντος, μήτε τὴν τήρησιν. Δῆλον οὖν κἀκ τούτων, ὡς ἡ εἰκοστὴ τῆς πρώτης σὺν εἰκοστῇ, πάνυ πολλῷ τῷ μέτρῳ καθυπερβέβηκεν, ὅ, τε στοῖχος τῆς εἰκοστῆς, τοῦ τῆς σὺν εἰκοστῇ πρώτης ἐς ἄκρον ὑπερτερεῖ.

Δυσχερὲς δ' οὐδὲν συνιέναι τὸν λελογισμένον· πῇ μὲν τὸ συνημμένον ἐν Ἑβδομάσι καὶ Τετράσι· πῇ δὲ τὸ διεζευγμένον ἀρίθμημα. Τὴν μὲν γὰρ πρώτην Ἑβδομάδα, δύω Τετράδες συνημμένως ἀπήρτισαν, καὶ τὴν μεγάλην κρίσιμον τὴν ἑβδόμην εἰσήγαγον. Εἶτα διῃρημένως Ἑβδομὰς καὶ Τετρὰς, τὴν ἑνδεκάτην ἐγνώρισαν. Ἔπειτα συνελθούσης ἑτέρας Τετράδος ἐν συναφείᾳ, καὶ δύω διαζευκτικῶς Ἑβδομάδων τελεσθεισῶν, ἡ τεσσαρεσκαιδεκάτη πεπαῤῥησίασται, πολὺ τὸ ἀξίωμα καὶ τοῦ τῆς ἑβδόμης ἔγγιστα φέρουσα. Μετέπειτα δὲ Τετρὰς συναπτικῶς προστεθεῖσα τὴν ἑπτακαιδεκάτην παρέδειξεν· ἑτέρα Τετρὰς ὁμοίως ἐν συναιρέσει τὴν εἰκοστὴν, τριῶν Ἑβδομάδων συνδραμουσῶν ἐς ταυτὸ· τῶν δύω μὲν, διεζευγμένως· συνημμένως δὲ, τῆς μιᾶς. Ἐντεῦθεν ῥᾳδίως καὶ κατ' ἄλλας Ἑβδομάδας καὶ Τετράδας ἥτε διαίρεσις, ἥτε συναίρεσις ὅπῃπερ εἰσὶν εὑρεθήσονται, δεδηλωμένων τῶν κατὰ τάξιν τὸ κρίσιμον ἐχουσῶν ὁπωσοῦν ἐν αὐταῖς ἐξ ὀνόματος· αἷς δὴ καί τινες ἔξωθεν ἕτεραι παρεμπίπτουσιν. Οὐδὲ γάρ ἐστιν Ἡμέρα σχεδὸν ἀνεπίδεκτος Κρίσεως, εἴγε κατὰ πάσης Ἡμέρας ἐξ Ἡλίου τῇ Σελήνῃ Μεταβολαί.

Πλὴν ὥσπερ οὐχ ὁμοίως αἱ Μεταβολαὶ, τοιουτοτρόπως οὐδὲ αἱ Κρίσεις ὁμοίως. Πῇ μὲν γὰρ σαφεῖς οἱ τῶν Φωστήρων πρὸς ἀλλήλους Σχηματισμοὶ, δι' ὧν αἱ Μεταβολαί· πῇ δ' ἀσαφεῖς. Οὕτω τοι καὶ τὰ τῶν Κρίσεων, πῇ μὲν ἐναργῆ, πῇ δ' οὐ τοιαῦτα. Ζήτησις δὲ τῶν προτέρων, οὐ τῶν ἀσαφῶν, οὐ τῶν ἀμυδρῶν. Κατὰ μέντοι τὴν ἐννάτην,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὴν πολυκατηγόρητον ἕκτην, πέμπτην τε καὶ τρίτην, οὐδ᾽ ὅλως αἱ Κρίσεις διαλανθάνουσιν, ἐπείπερ οὐκ ἄλογοι. Τὴν μὲν γὰρ ἐννάτην, εἰσφέρει τὸ Τρίγωνον· τὴν ἕκτην, τὸ Πεντάγωνον· τὴν πέμπτην, τὸ Ἑξάγωνον· καὶ τὴν τρίτην, τὸ Ἐννεάγωνον. Τὸ τρίγωνον τὴν ἐννάτην, ὡς ἐν Ἡμέραις ἐννέα, καὶ πρὸς ταύταις ἐννάτῳ μορίῳ τὴν τῆς Πλευρᾶς λαμβάνων περάτωσιν. Ἐπειδὴ ταῦτα τριασσούμενα, τὰς Ἡμέρας τῆς σεληνιακῆς περιόδου συναριθμεῖ, τὰς οὔσας ἑπτὰ πρὸς ταῖς εἴκοσι μετὰ μορίου τρίτου. Καινὸν δ᾽ οὐκ ἔστιν οὐδὲν, τὸ, τὴν ἐννάτην τὸ ἔννατον μόριον εἰς ἑαυτὴν ἐπισπάσασθαι, καθὰ καὶ τὴν τρίτην τὸ εἰκοσθέβδομον, ὡς δειχθήσεται. Καὶ τὴν εἰκοστὴν γὰρ, ἥμισυ μέρος ἡμέρας ἄλλης σφετερισαμένην ἐγνώκειμεν. Ὥσπερ δὲ τὸ τῆς εἰκοστῆς ἔργον, ἐνίοτε κατὰ τὴν σὺν εἰκοστῇ πρώτην ἐκλελούμενον κατεμάθομεν· οὕτω δὴ καὶ τὸ τῆς ἐννάτης εὑρίσκεται πρὸς τὴν δεκάτην μεταχωροῦν. Εἴκοσι Μοῖραι πρός γε ταῖς ἑκατὸν ἡ τοῦ Τριγώνου Πλευρά. Τὸ Πεντάγωνον τῇ ἕκτῃ, τὸ Ἑξάγωνον τῇ πέμπτῃ δίδωσι πάροδον. Ὡς ἐν ἕκτῃ μὲν, Ἡμερῶν πέντε καὶ τρίτου, καὶ δύω πεντεκαιδεκάτων, διὰ πενταπλασιασμοῦ ποιουμένων ταῖς τῆς Κυκλοφορίας ἡμέραις τὸν ἀθροισμόν· ἐν πέμπτῃ δὲ τεττάρων, μεθ᾽ ἡμισείας ὀκτωκαιδεκάτης μερίδος τῶν ὅλων ἑξαπλασιαζομένων, τὰς ἑπτὰ πρὸς ταῖς εἴκοσιν (ἐχούσας καὶ τὸ τρίτον προσεπικείμενον) συνεκπληροῦσιν. Ὥσπερ δ᾽ ἑβδόμῃ καὶ τετάρτῃ καί τισιν ἄλλαις, οὕτως ἕκτῃ τε καὶ πέμπτῃ τὸ τῆς ποσώσεως ἐλλιπές. Ἑξήκοντα Μοῖραι τῷ ἑξαγώνῳ Πλευρά· τῷ Πενταγώνῳ δύω πρὸς τοῖς ἑβδομήκοντα. Τὴν τρίτην, τὸ Ἐννεάγωνον παραδείκνυσιν, ὡς ἐν ἡμέραις τρισὶ καὶ μιᾶς ἡμέρας εἰκοσθεβδόμῳ τὴν οἰκείαν ἔχον ἀπαρτιζομένην Πλευρὰν, Μοίρας ὑποτείνουσαν τεσσαράκοντα. Συντεθειμένα γὰρ ἐννάκις τὰ τρία, τελοῦσιν ἑπτὰ πρὸς τοῖς εἴκοσι· τὸ τ᾽ εἰκοσθέβδομον πολλαπλασιασθὲν τοσαυτάκις εἰς ἑνὸς ὅλου τρίτου ἄγεται μόριον. Ἡ ποσότης δὲ ταῦτα τῶν Ἡμερῶν, ἐν αἷς ἡ Σελήνη τὸν ὅλον διέρχεται Κύκλον τὸν ἑαυτῆς.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῶν μέν τοι τετταράκοντα Μοιρῶν ὁ πολλαπλασιασμὸς γινόμενος καὶ αὐτὸς ἐνναχῶς, τὰς ἑξήκοντα πρὸς ταῖς τριακοσίαις συμπερατοῖ. Διὸ γοῦν ἐν ταῖς τρισὶν Ἡμέραις καὶ τῷ δηλωθέντι μορίῳ, τὰς τεσσαράκοντα διατρέχει Μοίρας ἡ Σελήνη· τὸ δὲ τμῆμα τοῦ ταύτης Κύκλου τὸ ἔνατον. Διὰ τοῦτο λέλεκται τὸ κρίσιμον ἔχειν ἐκ τοῦ ἐννεαγωνίου τὴν τρίτην, ἐπισπωμένην εἰς ἑαυτὴν ἐκ τῆς τετάρτης τὸ εἰκοσθέβδομον· οὗ μετατιθεμένου πρὸς τὴν οἰκείαν ὁλότητα, καὶ τὸ ἑαυτῆς ἔργον ἡ τετάρτη, καὶ τῆς τρίτης ἀποπληροῖ.

Ταῦτα δὲ τὰ τῶν Κρίσεων οὐκ ἐξ ἀνάγκης ἐν τοῖς ἰδίοις καιροῖς πεπαγιωμένον ἔχει τὸ ἐνεργὸν, ἀλλ᾽ ἔστιν ὅτε καὶ ἀστατοῦσιν, ἢ διά τι σφάλμα προκατάρξαν, εἴτ᾽ ἐκ τῶν νοσούντων, εἴτ᾽ ἐκ τῶν περὶ αὐτούς· τυχὸν δὲ κἀκ τῶν θεραπευτῶν, ἢ καὶ διά τινα τυχαίαν περίπτωσιν, ἢ καὶ μηδενὸς τοιούτου γεγενημένου, δι᾽ αὐτὸ τὸ τῆς ὕλης ποικίλον ἐν κινήσει καὶ ἄτακτον. Ὅθεν διαπορεῖσθαι χρεὼν οὐδαμῶς ἐν ταῖς ἀποτυχίαις τῶν Κρίσεων, οὔτε μὴν ἐν ταῖς κρισίμοις Ἡμέραις ὅλως ἀπροσεκτεῖν.

Πῶς μὲν οὖν τὴν τρίτην Ἡμέραν εἰσάγει τὸ Ἐννεάγωνον, ἀρκούντως εἴρηται· μήποτε δὲ ταύτης τῆς τρίτης ὡς τῶν Ἡμερῶν, ἐν αἷς αἱ Κρίσεις οὐκ ἀμυδραί, τελούσης ἀρχῆς τρία Σχήματα, τό, τ᾽ Ἐννεάγωνον, τό, τε Δεκάγωνον, τό, τε Δωδεκάγωνον αἴτια· καὶ διὰ ταῦτα καὶ ὁ διὰ τρίτης Παροξυσμὸς, τῶν ἄλλων μᾶλλον πολὺ ἐπίδημος. Τοῦ μὲν οὖν Ἐννεαγώνου προσεχὴς ἡ διάρθρωσις· τὸ δὲ Δεκάγωνον ἐν ἡμέραις συνίσταται δυσὶν, ἡμίσει τε μιᾶς, καὶ δυσὶν ἑτέροις μορίοις, πέμπτῳ τε καὶ τριακοστῷ Μοιρῶν. Ἑξὰς δὲ σὺν Τριακοντάδι τῷ δωδεκαγώνῳ Πλευρά. Τὸ Δωδεκάγωνον ἐν ἡμέραις δυσὶ καὶ αὐτὸ, πρὸς δὲ καὶ τετάρτῳ καὶ τριακοσθέκτῳ τρίταις ἡμέραις· Πλευρὰ τῷ δωδεκαγώνῳ Μοιρῶν Τριακοντάς.

Ὅτι δὲ τὰ κατ᾽ Οὐρανὸν Σώματα καὶ καθ᾽ αὐτὰ, καὶ διὰ τῆς πρὸς ἄλληλα σχέσεως, ἔχει τινὰς ἐν ὕλῃ καὶ μόνῃ δυνάμεις, ἃς αὐτοῖς ὡς ἔκρινεν ὁ σοφῶς δημιουργήσας ἐνέθετο, Νοῦς ὁμολογεῖ μετ᾽ Αἰσθήσεως. Εἰ γὰρ Φυτοῖς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ Βοτάνοις ἡ τοιαύτη χορηγία νενέμηται καὶ πλείστοις τῶν ἐκ χοός· εἰ Μαγνήτιδι καὶ Νάρκῃ τοῖς φαυλοτάτοις δέδοται καὶ πόρρωθεν ἐνεργεῖν, πολλῷ μᾶλλον τοῖς πάντων αἰσθητῶν κτισμάτων ἐς τοσοῦτον ὑπερκειμένοις, τῆς αὐτεξουσιότητος ὅλης αὐτοκρατοῦς μενούσης, ὡς ὑπὲρ αἴσθησιν πάντων. Μέν τοίγε ταῖς Δυνάμεσιν ὁ ταύτας παρεσχηκὼς ὁρίζοι σχολὴν ὅταν βούλοιτο· καὶ ταῖς Μεταβολαῖς ἐντέλλεται, καὶ ἀπρακτοῦσιν ὑπείκουσαι· καὶ Νόσων ἐπέχει καὶ Θανάτων ὁρμὰς μόνῳ νεύματι, καὶ ἁρμοζόντως αὐτοῦ κελεύσει ῥάστην λίαν πληγὴν καὶ ὄλεθρον ποιοῦνται τὴν ἔφοδον, καὶ πάσης ἀσφαλείας οὔσης ἀνθρωπικῆς. Τῷ κράτει γὰρ τῆς ἰσχύος Κυρίου, καὶ ἵσταται τὸ πᾶν, καὶ μετάγεται, καὶ οὐσιοῦται, καὶ διαλύεται.

Πλὴν ἐπειδὴ καὶ ἡμεῖς λόγου χάριτι τετιμήμεθα, καὶ σεμνώματι νοερότητος ὀλβιζόμεθα, δέον προηγουμένως μὲν, ὅλους αὐτοὺς ἀτενίζειν ἀεὶ πρὸς ἐκεῖνον, ὃς παρήγαγεν, ὃς ἐδόξασεν. Ἑπομένως δὲ, καὶ τὰ πρὸς τὸ συνοῖσον εἰσάγειν ἡμέτερα· (καὶ ταῦτα γὰρ ἐξ ἐκείνου.) καὶ προνοουμένους πρὸς τὸ ἀγαθὸν μηδεμίαν κωλύμην ὑφίστασθαι, καὶ Τροφὰς διακρίνειν, καὶ Καιροὺς ἐξετάζειν, καὶ συμμετρίαν ἐπιτηδεύειν ἐν ἅπασι, καὶ συνεχέσι μεθόδοις Ὑγίειαν τε τηρεῖν, καὶ νοσοποιὸν ἀποπέμπεσθαι, μὴ συνεκκενοῦντας τῷ κατὰ Ποιὸν ἢ κατὰ Ποσὸν ἢ κατ' ἄμφω λυποῦντι τὸ μὴ λυποῦν· ἀλλὰ τὸ τῆς Φύσεως καὶ μόνως καταβάλλειν πολέμιον ἀγχεμάχοις ὅπλοις, εἰ πάρεστιν. Ἔστι δὲ παρασκευαζόμενον ἀπείργειν Ἀκροβολισμοῖς καὶ Προφυλακαῖς, τοῦτε Πῶς, καὶ Πότε, καὶ Ποῦ, καὶ Πόθεν, σὺν Ὁποίῳ, σὺν Ὁπόσῳ, τοῦ τ' Ἔν τινι, καὶ Διότι, καὶ εἴτις ἄλλος Διορισμὸς, ἐν οὐδενὶ τῶν ἐνεργουμένων ἀμνημονεῖν. Ἀλλ' ὅσοι Χώραν ἔχουσι πάντας περισκοπεῖν, καὶ τοῦ καθήκοντος τρόπου φροντίζειν τῶν πρὸς τὸ τῆς Ὑγιείας ἐχθρῶν ἀνταγωνισμῶν, τοῦτ' αὐτοῖς ἐπιτηδείου Καιροῦ καὶ μορίων ποιεῖσθαι πολυπραγμοσύνην τοῦ Σώματος ἐν οἷς ὠφελούντων θέσις πρεπώδης, ὅθεν καὶ βλαπτόντων ἀφαίρεσις εὔχρηστος· Εἴδους τε καὶ Μέτρου τῶν κενουμένων καὶ τῶν εἰσαγομένων οὐκ ἀλογεῖν, καὶ σκέψεως ὅτι πολλῆς ἀξιοῦν· τίνα τὰ

Ἰατήρια,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰατήρια, τὰ Προφυλακτήρια, τὰ Διαιτήματα προσενεκτέον· ἐν τίνι τῶν Ἡλικιῶν, τῶν Κράσεων, τῶν Ὡρῶν, τῶν Χωρῶν, τῶν Ἐπιτηδευμάτων, καὶ τῶν Ἐθῶν. Καὶ ταῦτα πάντα παραβάλλειν πρὸς ἄλληλα, καὶ τῶν ἐν αὐτοῖς ἴσως ἀντικειμένων οὐδὲν οὐδόλως περιφρονεῖν· ἀλλ' ἐκ τῆς αὐτῶν ἀντιπαραθέσεως ἡρμοσμένην ποιεῖσθαι τὴν ἐπιχείρησιν. Πρὸ δὲ τῶν ἄλλων, τὸ τοῦ πάθους αἴτιον ἐξανιχνεύειν ἄγαν ἐπιμελῶς, ὅπως ἂν ἀπαραλογίστως διαγνωσθείη. Τὸ δὲ πάντων ἀναγκαιότατον· ναὶ μὴν καὶ τὴν πρᾶξιν διερευνᾶν, εἰ δύναιτο κατευστοχεῖν τοῦ σκοποῦ, καὶ μηδενὸς ἐκπίπτειν τῶν πρὸς ἀσφάλειαν, ὅσον εἰς ἀνθρωπίνην ἰσχύν.

Ἐπαναληπτέον δὲ καὶ σαφηνιστέον ὀλίγον περὶ τῶν τῆς Σελήνης μετὰ τοῦ Ἡλίου Σχηματισμῶν. Ἐπεὶ τοίνυν ἡ Σελήνη τὸν οἰκεῖον διαπεραίνει Κύκλον τὸν ὅλον ἐν Ἡμέραις ἑπτὰ πρὸς ταῖς εἴκοσιν, ἐχούσαις καί τι προσεπικείμενον μόριον Ἡμέρας ὡσεὶ τρίτον, ᾗ προδεδήλωται, τὸν ἥμισυν πάντως διαδραμεῖται Κύκλον ἐν ἡμέραις τέσσαρσι πρὸς ταῖς δέκα, λειπομέναις Ἡμέρας τρίτῳ, κἂν ταύταις ἀπαρτίσει τὴν μεθ' Ἡλίου Διάμετρον. Ἐκ μὲν γὰρ τῆς πρώτης ἐν Συνόδῳ κρύψεως καὶ ζοφώσεως ἀποτελεῖται πᾶσα φανερὰ τὰ πρὸς ἡμᾶς καὶ παμφαίνουσα, δι' ἡμερῶν τεσσαρεσκαίδεκα καὶ δύο Μοιρῶν Ἡμέρας ἡμίσεος τε καὶ τετάρτου, τῷ τὴν ὁλόκληρον μηνιαίαν περιαγωγὴν τὴν ἐκ Συνόδου πρὸς Σύνοδον, ἐν Ἡμέραις ἐννέα καὶ ἡμισεία γίνεσθαι πρὸς ταῖς εἴκοσιν. Ἐπεὶ τῆς Σελήνης τὸν ἑαυτῆς ὁδευούσης πλανητικῶς, καὶ ὁ Ἥλιος ὁδεύει τὸν ἑαυτοῦ, καὶ προβαίνει πλανητικῶς· καὶ χρὴ πλεῖον ἢ κυκλικὸν διαπόρευμα τὴν Σελήνην ποιήσασθαι, πρὸς τὸ τὸν Ἥλιον ὑποφθάσαι, καὶ οὕτως αὐτῷ συνελθεῖν. Ἐκ μὲν οὖν ὁλικῆς ἀμαυρώσεως, ἕως πλήρους φαύσεως Ἡμέρας τῇ Σελήνῃ, καθὼς προτεχῶς ἐῤῥέθη, τεσσαρεσκαίδεκα, καὶ πρὸς ταύταις ἥμισύ τε καὶ τέταρτον. Σχηματιζομένης δὲ ταύτης διαμετρικῶς πρὸς τὸν Ἥλιον, (περὶ τοῦ Σχηματισμοῦ γὰρ ὁ λόγος.) ἐπείπερ ὁ Σχηματισμὸς αἴτιος τῆς Μεταβολῆς, ἔσται τὰ μεταξὺ τῶν Φωστήρων, ὡς ἐν Περι-

φερεία,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φερεία, διάστημα παρ᾽ ἑκάτερον μέρος πρὸς αἴσθησιν σεληνιακὸς δρόμος· Ἡμερῶν τεττάρων καὶ δέκα, λειπομένων Ἡμέρας τρίτῳ, καθάπερ προείρηται. Παραπλησίως διανοητέον κἀν τοῖς ἄλλοις Σχηματισμοῖς.

## Τοῦ αὐτοῦ περὶ Ψυχῆς.

Ἡ μὲν οὖν ὁρμὴ τοῦ λόγου διαλαβεῖν, περὶ πάσης Ψυχῆς, ὡς οἷόν τε συντόμως ὁμοῦ καὶ σαφῶς. Τοῦτο γὰρ ἡμᾶς οἱ μεθ᾽ ἡμῶν ἐξητήσαντο, τοιούτοις λόγοις ἐνασμενίζοντες. Πολλῶν δὲ καὶ ἀσυμφώνων ἐξενηνεγμένων Δογμάτων περὶ Ψυχῆς, εἴπερ εὔοδα μέλλοι γίνεσθαι τῷ λόγῳ τὰ τῆς ὁρμῆς, πρὸς μὲν τὰς ἀντιλογίας οὐδ᾽ ἐπινεῦσαι δέον αὐτόν· ἐπείπερ οὐκ ὀλίγοι Σοφοὶ νουνεχῶς τε καὶ φιλοτίμως ταύταις προδιητήσαντο. Μόνης δὲ τῆς Ἀληθείας φροντίσαι καὶ πρὸς αὐτὴν ἐξ ὀρθοῦ βαδιεῖσθαι κατά γε τὸ ἐγχωροῦν. Καὶ δὴ πρότερον αὐτὸ τοὔνομα τῆς Ψυχῆς ὅθεν τε, καὶ ὅ, τι δηλοῦν ἂν εἴη, θεωρητέον. Εἶτα τὸν Ὅρον ἐπισκεπτέον. Ἔπειτα ζητητέον τὰς Δυνάμεις αὐτῆς, τίνες, ὁποῖαί τέ εἰσι, καὶ τότε περὶ τῆς ἀνθρωπίνης διαληπτέον Ψυχῆς. Ἐν τῷ τέλει δὲ καὶ περὶ Ἀναστάσεως ῥητέον. Οἰκεῖος γὰρ καὶ ὁ περὶ Ἀναστάσεως λόγος, τῷ περὶ Ἀνθρώπου Ψυχῆς.

Ἐκ τοῦ ψύχειν οὖν τοῦ σημαίνοντος τὸ ζωογονεῖν, τὸ ζωογόνον τοῦ πεφυκότος ζῆν Σώματος, εἴρηται Ψυχή. Πολυειδοῦς δὲ τοῦ ζῆν ὄντος, ὡς τὰ Φυτὰ κατ᾽ αἴσθησιν, κατά τε κίνησιν ἐν ὁρμῇ, κατά τε λόγον αἰτίας παντὸς τοῦ ζῆν ἡ Ψυχὴ, συνᾴδοντα τῷ ταύτης ὀνόματι καὶ τὸν Ὅρον Ἀριστοτέλης ἀπέδωκεν οὕτως εἰπών. Ψυχή ἐστιν Ἐντελέχεια πρώτη Σώματος φυσικοῦ, Δυνάμει ζωὴν ἔχοντος. Καὶ πάλιν. Εἰ δή τι κοινὸν ἐπὶ πάσης Ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἡ πρώτη Ἐντελέχεια Σώματος φυσικοῦ ὀργανικοῦ· τὸ Δυνάμει ζωὴν ἔχον εἶναι φήσας ὀργανικόν. Εἰ μὴ γὰρ ὀργανικὸν, οὐκ ἂν ἔχοι δυνάμει ζωήν. Ἐντελέχειαν δὲ πρώτην εἴρηκε τὴν τελειότητα, τὴν τὰς ἐνεργείας προβάλλουσαν.

Οἶδε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οἶδε γὰρ καὶ δευτέραν Ἐντελέχειαν αὐτὴν τὴν Ἐνέργειαν. Ἔφη μὲν τὴν Ψυχὴν πρώτην Ἐντελέχειαν, ἐντελῆ ἔχειαν, καθ' ἣν τὸ ἐντελὲς ἔχει τὸ Σῶμα τὸ ζῆν πεφυκός. Τοῦτο γάρ ἐστι τὸ δυνάμει ζωὴν ἔχον· οὐχ ὅτι πρότερόν ἐστι Σῶμα δυνάμενον ζῆν, οὐ μέντοι καὶ ζῶν, καὶ τότε ἐνεργείᾳ γίνεται ζῶν, ἀφιγμένης Ψυχῆς ἐν αὐτῷ· (τοῦτο γὰρ οὔτ' ἐν ζώοις οὔτ' ἐν Φυτοῖς ἐστιν ὅλως εὑρεῖν.) ἀλλ' ἁπανταχοῦ τῶν ζώντων ἅμα καὶ ἄμφω, τὸ Σῶμα καὶ ἡ Ψυχὴ δηλαδή, μήτε τῆς Ψυχῆς προϋπαρχούσης, μήτε προϋφεστῶτος τοῦ Σώματος· εἰ μή τις τὸ Σπέρμα λέγοι Σῶμα δυνάμει ἔχον ζωήν. Ἀλλ' Ἐντελέχεια πρώτη Σώματος εἴρηται δυνάμει ζωὴν ἔχοντος ἡ Ψυχή, διὰ τὸ ξύλον, διὰ τὸν λίθον, διὰ τὸν σίδηρον, καὶ τ' ἄλλα πάνθ', οἷς οὐκ ἔστι τὸ πεφυκέναι καὶ δύνασθαι ζῆν. Τὸ δὲ Φυσικοῦ προστέθειται, διὰ τὰ τεχναστά. Θρόνου γὰρ ἢ Κλίνης, ἤ τινος ἄλλου τῶν τέχνης ἔργων οὐκ ἔστι τελειότης, οὐδὲ μία Ψυχή. Σώματος δὲ Φύσει διοικουμένου, καὶ δύναμιν, ταυτὸν δ' εἰπεῖν ἐπιτηδειότητα, κεκληρωμένου Φυσικὴν πρὸς τὸ ζῆν συνούσης Ψυχῆς. Ὀργανικὸν δὲ τὸ τοιοῦτο Σῶμα. Χρὴ γὰρ δι' αὐτοῦ τὴν Ψυχὴν ὡς δι' ὀργάνου τὰς οἰκείας ἐνεργείας ἐπιτελεῖν. Διὰ τοῦτό τινες, ἅπερ Ἀριστοτέλης διῃρημένως εἶπεν, ἑνώσαντες, τοιοῦτον τὸν τῆς Ψυχῆς λόγον συνέθεντο. Ψυχή ἐστιν Ἐντελέχεια πρώτη Σώματος Φυσικοῦ ὀργανικοῦ, Δυνάμει ζωὴν ἔχοντος. Ὄργανα δὲ καὶ τὰ τοῦ Φυτοῦ μέρη, Ῥίζα καὶ Στέλεχος, Κλάδος τε καὶ Ἀκρέμονες. Καὶ Ῥίζα μὲν ἀναλογεῖ Καρδίᾳ ζώου, καὶ Κεφαλῇ, Στόματί τε, καὶ Ἥπατι. Καθὼς γὰρ ἡ Καρδία τῷ Ζώῳ τῆς ἐμφύτου καὶ ζωτικῆς θερμασίας Ἀρχή, τοιουτοτρόπως ἡ Ῥίζα τῷ Φυτῷ τῆς ὁμοίας Ἀρχὴ θερμασίας· ἐπείπερ ἔνεστι καὶ τῷ Φυτῷ θερμὸν ἔμφυτον εἰς τὸ ζῆν. Ὡς ἡ Κεφαλὴ δὲ πάλιν αἰσθήσεως Ἀρχὴ καὶ κινήσεως, οὕτως ἡ Ῥίζα τῆς οἴκοθεν ἀλλοιώσεως, τῆς τε κατ' αὔξησιν καὶ καρποφορίαν κινήσεως. Ὡς δ' ἐκ τοῦ Στόματος πρώτως ἡ τροφὴ τῷ Ζώῳ· παραπλησίως ἐκ τῆς ῥίζης ἡ τροφὴ τῷ Φυτῷ. Καθάπερ δὲ ἐξ Ἥπατος ἡ τροφὴ μεταβαλλοῦσα, προσοικειοῦται τοῖς μορίοις τοῦ Σώματος, οὕτω πως ἐκ τῆς Ῥίζης

μετὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μετὰ τὴν ὁλκὴν ἀλλοιουμένη κἂν τῷ Φυτῷ, πᾶσι τοῖς αὐτοῦ μορίοις προσφύεται. Στέλεχος ἔοικεν Αὐχένι καὶ Στέρνῳ. Κλάδοι Ποσίν, ἢ μὴν καὶ Χερσί· Δακτύλοις Ἀκρέμονες. Ἐνεργεῖ δὲ διὰ πάντων ὡς δι' ὀργάνων ἡ Φυτικὴ Ψυχή. Τοιγαροῦν Ἐντελέχεια πρώτη δείκνυται Σώματος ὀργανικοῦ Φυσικοῦ.

Τρεῖς δὲ Δυνάμεις ὁλικῶς ἐν αὐτῇ. Θρεπτική, Αὐξητική, καὶ Γεννητική. Πρώτη καὶ ἀναγκαιοτέρα τῶν ὅλων ἡ Θρεπτική. Μὴ καρποφοροῦν μὲν εὑρίσκεται Φυτόν, τόν, ὅτι μηδὲ Ζῶον. Τὰ γηράσαντα γὰρ οὐκ αὔξει. Μὴ τρεφόμενον δὲ Φυτὸν ἢ Ζῶον, ἀνάγκη μὴ ζῆν. Ζῆν μὲν οὖν ἅπαν Φυτὸν εἰς ὃ φυτὸν εἴη· Ζῶον δ' οὐ λέγεται διὰ τὸ τῆς ζωῆς αὐτοῦ ἀμυδρὸν καὶ ἀξυμφανές. Τῆς γὰρ ἐναργοῦς ζωῆς καὶ τελείας γνώρισμα πρῶτον, Αἴσθησις· εἶτα Κίνησις ἡ κατὰ τόπον. Καὶ καθὼς ὁ τρέχων ἠσθενημένως τρέχει μέν, οὐ λέγεται δὲ Δρομεύς. ὅ, τε γράφων συγκεχυμένως καὶ δυσδιατυπώτως, γράφει μέν, οὐ λέγεται δὲ Γραφεύς· (τελειότητος γὰρ ἐμφαντικὰ τὰ ὀνόματα, τῆς κατὰ τὴν δρομικήν, τό, Δρομεύς· καὶ τῆς κατὰ τὴν γραφικήν, τό, Γραφεύς.) οὕτω καὶ τὰ Φυτὰ ζῇ μέν, Ζῶα δ' οὐ λέγεται, διὰ τὸ τῆς ζωῆς ἀτελές.

Τὸ δὲ Ζωόφυτον, ἐπείπερ ὅλως Αἴσθησιν ἔχε, μετὰ τῶν Ζώων γέγονεν ὡς αἰσθητικόν. Ἐπεὶ δὲ τὴν κατὰ τόπον οὐκ ἔχε Κίνησιν, μετὰ τῶν Φυτῶν διὰ τὸ ἀμετάβατον ἐξετάζεται. Καὶ οὕτως ἔκ τε τοῦ Ζώου καὶ τοῦ Φυτοῦ συντεθειμένον ἐκληρώσατο τοὔνομα. Τὸ μὲν οὖν Ζωόφυτον, τῷ αἰσθητικὸν ὁπωσοῦν εἶναι πλεονεκτεῖ τοῦ Φυτοῦ.

Τὸ δὲ Φυτὸν ὅταν εἴη τέλειον τὰς τρεῖς Δυνάμεις ἔχει τὰς εἰρημένας. Πρώτην τὴν Θρεπτικήν, ἧς ἄνευ οὐ δύναται ζῆν· Δευτέραν τὴν Αὐξητικήν, ὅταν ἡ ἑλκομένη καὶ προσοικειουμένη τροφὴ δαψιλὴς οὖσα τρέφῃ τε καὶ συντηρῇ τοῦ Φυτοῦ τὴν οὐσίαν, ἀλλὰ δὴ καὶ προσθήκην αὐτῷ κατά τε πλάτος καὶ μῆκος, καὶ βάθος εἴτ' οὖν πάχος ἐργάζηται. Τρίτην τὴν Γεννητικὴν ἢ σπερματικήν. Σπείρεται γὰρ ἐξ αὐτοῦ, καὶ γεννᾶται ὅμοιον αὐτῷ Φυτόν,

ἢ ἐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ ἐκ τȣ̃ καρπȣ̃ ἢ ἐκ τȣ̃ κλάδȣ. Τινὰ γὰρ τῶν Φυτῶν ἐκ τῶν κλάδων μᾶλλον, ἢ τῶν καρπῶν γεννῶσιν ἑαυτοῖς ὅμοια, καθάπερ αἱ Ἄμπελοι δύναμιν ἐν τοῖς κλάδοις φέρȣσαι σπερματικὴν καὶ γεννητικήν· τινὰ δ᾽ αὖ τῶν Φυτῶν, αὐτομάτως γεννᾶται. Καὶ ζῶα γὰρ ἔκτινος ἰλύος, ἢ σηπεδόνος. Ἡ μὲν ȣ̃ν φυτικὴ λεγομένη Ψυχὴ, τȣ̃τον ἔχει τὸν τρόπον.

Ἐν δὲ τοῖς Ζωοφύτοις ἐντελεστέρα Ψυχὴ καταφαίνεται. Μετέχει γὰρ τὰ Ζωόφυτα, καθὼς προείρηται, καὶ Αἰσθήσεως τέως ἀναμφιλέκτως τῆς ἁπτικῆς. Συστέλλεται γὰρ ἀνιαρȣ̃ τινος αὐτοῖς προσεγγίσαντος. Προσηνȣ̃ς δ᾽ ἐγκύρσαντος, διαστέλλεται. Φανερὸν ȣ̃ν ὡς μετέχει τῆς ἁπτικῆς· τῆς ὑποδεεστέρας μὲν, ἀναγκαιοτέρας δέ. Ταύτης γὰρ ἄνευ, ȣ̓δὲν ζῶον πέφυκε ζῆν. Ἐπεὶ δὲ μετ᾽ Αἰσθήσεως τρέφεται καὶ ȣ̓κ ἀναισθήτως, ὡς τὰ Φυτά, μετέχοι ἂν ὅλως δὴ καὶ τȣ̃ γευστικȣ̃, καὶ τȣ̃ κατ᾽ ἐπιθυμίαν ὀρεκτικȣ̃. Πῶς γὰρ τροφὴ μετ᾽ Αἰσθήσεως, ἄνευ Ὀρέξεώς τε καὶ Γεύσεως; πλὴν ἀμυδρῶς ταῦτα τοῖς Ζωοφύτοις, καὶ ὡς ἐν σκιᾷ τῶν δεδηλωμένων ἀμφοτέρων Ψυχῶν, τῆς τ᾽ ἐν Φυτοῖς, τῆς τ᾽ ἐν Ζωοφύτοις τὸ ἀτελὲς ἐχȣσῶν.

Ἡ ἐν τοῖς Ἀλόγοις ὑπερβαίνει κατὰ τὸ τέλειον· ἐν ταύτῃ γὰρ ȣ̓ μόνον τὸ Θρεπτικὸν καὶ Αὐξητικὸν καὶ Γεννητικὸν, καὶ πρὸς τȣ́τοις τὸ Ἁπτικὸν, ἀλλὰ καὶ τὸ Γευστικὸν, καὶ τὸ κατ᾽ ἐπιθυμίαν Ὀρεκτικὸν ἐναργέστατα. Καί γε δὴ τὸ κατὰ Θυμὸν, καὶ τὸ ἅπαν Αἰσθητικὸν, καὶ τὸ Φανταστικὸν, καὶ τὸ Μνημονευτικὸν, καὶ τὸ κατὰ τόπον Κινητικὸν, ὧν λείπεται τὸ Ζωόφυτον. Ἐπιθυμητικὸν δὲ καὶ Θυμικὸν Δυνάμεις ὀρεκτικαὶ, διὰ τὸ τὴν Ἐπιθυμίαν καὶ τὸν Θυμὸν ὀρέξεις εἶναι Ψυχῆς. Τό, τε γὰρ ἐπιθυμȣ̃ν, ὀρέγεται μετασχεῖν τȣ̃ δοκȣ̃ντος ἡδέος αὐτῷ, Καὶ τὸ θυμȣ́μενον, ὀρέγεται λυπῆσαι τὸ, δι᾽ ὃ τεθύμωται. Καὶ ἄμφω τοῖς μὴ λόγον ἔχȣσιν ἀκατάσχετα· τοῖς δ᾽ Ἀνθρώποις ὑπὸ τȣ̃ Λόγȣ κατέχεται καὶ ἀναχαιτίζεται, μὴ τȣ̃ παρὰ φύσιν κρατήσαντος. Ὄργανα τῇ Ψυχῇ, τȣ̃ Θυμικȣ̃ μὲν ἡ Καρδία· τȣ̃ δ᾽ Ἐπιθυμητικȣ̃, τὸ Ἧπαρ, καὶ πρῶτον ὄργανον, δι᾽ ȣ̃ καὶ ταῦτ᾽ ὄργανα,

το

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ διὰ Νεύρων ἐν Καρδίᾳ καὶ Ἥπατι κατιὸν ἐξ Ἐγκεφάλου Πνεῦμα τὸ ψυχικόν.

Τοῦ δὲ ζωτικοῦ Πνεύματος, πολὺ δὲ τοῦτο πάμπαν ἐστὶ καὶ λεπτόν. Τὸ μὲν, τοῖς τοῦ Σώματος μορίοις ὀχετηγεῖται δι᾽ Ἀρτηριῶν, καὶ διαδίδοται σύμπασιν, αἴτιον τῆς ἐμφύτου καὶ ζωτικῆς θερμότητος ἐν. Διὸ καὶ ζωτικὸν κατωνόμασται. Τὸ δὲ, καὶ αὐτὸ δι᾽ Ἀρτηριῶν ἀπὸ τῆς Καρδίας ἄνω φερόμενον ἐπὶ τὴν Κεφαλὴν, ὕλη τῷ Ἐγκεφάλῳ γίνεται Πνεύματι. Κατὰ γὰρ τὰς πολυπληθεῖς καὶ πολυελίκτους Ἀρτηρίας τοῦ λεγομένου δικτυοειδοῦς Πλέγματος ἀνιὸν, τοῦ πᾶσαν ὀλίγου δεῖν τὴν Ἐγκεφάλου βάσιν ὑπέχοντος, καὶ ὅλον τὸν Ἐγκέφαλον διαπλέκοντος, κἀκεῖσε διὰ τὰς πυκνὰς καὶ συνημμένας ἀλλήλαις ἐπαλλήλους ἐπιπλοκὰς, καὶ τὴν τῶν ἀγγείων ἰσχνότητα, μόγις καὶ σὺν χρονίῳ διατριβῇ κινούμενον πολυστρόφοις καμπαῖς, καὶ οὕτως ἐς πολὺ κατεργαζόμενον καὶ πεττόμενον, τὰς Ἐγκεφάλου πάσας κοιλίας, τέσσαρες δὲ αὗταί εἰσι, πληροῖ. Καὶ ὅλη δὲ τῇ κατὰ τὸν Ἐγκέφαλον οὐσίᾳ πλησμίως συνανακίρναται, τῶν τοῦ Πλέγματος Ἀρτηριῶν σχι-
2 ζομένων πολυμερῶς, καὶ πολλῶν ἀποσχίδων εἰς τὰς τοῦ Ἐγκεφάλου κοιλίας τελευτουσῶν, δι᾽ ὧν τὸ Πνεῦμα διέξεισιν εἰς τὸν ὅλον Ἐγκέφαλον. Ἔνθα πάλιν ὅσον εἰκὸς ἀλλοιούμενον καὶ πρὸς εὐκρασίας αἰθερίου μέτρον ἐν ἄλλοις ἄλλο διὰ πολυειδῶν φθάνον Μεταβολῶν, πάσης Αἰσθήσεως
2 καὶ Φαντασίας καὶ Μνήμης Ὀρέξεώς τε καὶ Κινήσεως· ἤδη δ᾽ ἐν τοῖς Λογικοῖς, καὶ Διανοήσεως καὶ Δόξης ὄργανον χρηματίζει πρώτιστον τῇ Ψυχῇ. Διὸ καὶ ψυχικὸν προσηγόρευται.

Παρὰ τὸ διάφορον οὖν τῆς εὐκρασίας αὐτοῦ, διαφόρους καὶ
3 ἡ Ψυχὴ τὰς ἐνεργείας ἐπιτελεῖ. Διά τοι τοῦτο καὶ τῶν Ἀνθρώπων οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον Εὐφυΐας μετέχουσι. Πρὸς γὰρ τὴν ἐπιτηδειότητα τοῦ ὀργάνου, καὶ ἡ Ἐνέργεια γίνεται. Τοῦτο κἀν τοῖς ἀλόγοις φαίνεται Ζώοις. Ἄλλα γὰρ ἄλλων κατ᾽ Εἴδη, καὶ μὴν καὶ καθ᾽ Ὑποστάσεις
3 εἶναι πεφύκασι γνωστικώτερα, πρὸς τὴν Ποιότητα τοῦ ἐν Ἐγκεφάλῳ Πνεύματος ἐκτελουμένων καὶ τῶν Ἐνεργειῶν·



οὐ μόνον

οὐ μόνον τῶν γνωστικῶν, ἀλλὰ καὶ τῶν ὀρεκτικῶν, ὡσαύτως καὶ τῶν κινητικῶν. Πανταχοῦ γὰρ τῷ εὖ, ἢ μὴν οὐκ εὖ διακεῖσθαι τὸ ὄργανον, ἀκολουθεῖ τὸ ἐνέργημα. Τὸ τοίνυν ἐν Ἐγκεφάλῳ Πνεῦμα, καθὰ προείρηται, ὄργανον πρώτιστον τῇ Ψυχῇ· Τὸ μὲν δι' ἑαυτοῦ, τὸ δὲ καὶ σὺν τοῖς Νεύροις· δι' ὧν τῇ τοῦ Σώματος οὐσίᾳ πάσῃ διαπορθμεύεταί καταλλήλως ἑκάστῳ μορίῳ διαδιδόμενον.

Ἔστι δή τι κἀν τοῖς τοῦ Αἵματος ἀγγείοις ἐξ ἀναθυμιάσεως αὐτοῦ Πνεῦμα κινητικόν τοῦ Αἵματος εἰς θρέψιν τῶν μορίων τοῦ Σώματος. Εἴπερ οὖν ἡ Ψυχὴ καὶ Ζωῆς αἰτία τῷ Ζώῳ καὶ θρέψεως, εἶεν ἂν καὶ τὸ ζωτικὸν Πνεῦμα, καὶ τὸ τοῦ Αἵματος κινητικὸν, ὄργανα τῇ Ψυχῇ πρὸς τὰς ζωτικὰς καὶ θρεπτικὰς ἐνεργείας· πλὴν οὐ πρώτως καὶ ἀμέσως, ἀλλὰ διὰ τῆς φύσεως· διὸ καὶ οὐ λέγεται ψυχικά.

Πάντα δὲ τὰ Ζῶα καθ' ὅ, τιοῦν αὐτῶν μόριον μετέχει Πνεύματος· κινητικοῦ δὲ τοῦ Αἵματος, ἢ τοῦ ἀναλογοῦντος τῷ Αἵματι ζωτικοῦ τε καὶ ψυχικοῦ, κατὰ τὴν ἑαυτοῦ ζωϊκὴν ἀνάβασιν ἕκαστον. Ἔν τε γὰρ Φυτοῖς, ἔν τε Ζωοφύτοις, ἔν τε Ζώοις, βαθμοὶ γινώσκονται φυσικῆς ἀναβάσεως. Οὕτω τοι καὶ τὸ κατὰ τόπον κινητικὸν ἀφ' ἑαυτῶν, ὅ ἐστι τὸ καθ' ὁρμὴν, ἤγουν τὸ μεταβατικὸν, πᾶσι μὲν Ζώοις ὑπάρχει κοινῶς, οὐχ' ὁμοτίμως δέ. Παραπλησίως καὶ τὸ Αἰσθητικὸν, ἢ τὸ Φανταστικὸν, καὶ τὸ Μνημονευτικὸν, τό, τ' Ἐπιθυμητικὸν, ἔκ γε τῶν ἐνεργειῶν οὐ πᾶσιν ὡσαύτως φαίνεται προσόντα Ζώοις. Ἀλλὰ γὰρ ἐνεργοῦσι κατὰ τὰ εἰρημένα σφοδρότερον, ἄλλα δ' αὖ ἀμυδρότερον. Τὸ μὲν οὖν Αἰσθητικὸν γνωστικὴ Δύναμις ἐστὶν ἄλογος τῶν αἰσθητῶν ἀντιληπτική.

Τεσσάρων δ' ὄντων Σωμάτων τῶν λεγομένων ἁπλῶν, Γῆς, Ὕδατος, Ἀέρος, Πυρὸς· ὁ Ἀὴρ οὐκ ἔστι μονοειδής, ἀλλὰ τὸ μὲν αὐτοῦ παχύτερον, τὸ δὲ λεπτότερον. Τὸ μὲν οὖν παχύτερον ὀνομάζεται κυρίως Ἀτμίς. Τὸ δὲ λεπτότερον κυρίως Ἀήρ. Ἔστιν οὖν ἡ Ἀτμὶς Ἀέρος καὶ Ὕδατος μεταξύ. Διὸ καὶ ἡ ἐξ Ὕδατος εἰς Ἀέρα Μεταβολή,

βολή,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βολὴ, διὰ μέσης Ἀτμίδος γίνεται. Προσεχῶς μὲν γὰρ ἐξ Ὕδατος ἡ Ἀτμίς. Αὕτη δὲ λεπτυνομένη γίνεται κυρίως Ἀήρ. Ὅθεν τὰ τέσσαρα Σώματα διὰ τοῦ μεταξὺ Ἀέρος καὶ Ὕδατος εὑρίσκονται πέντε. Γῆ, Ὕδωρ, Ἀτμίς, Ἀήρ, Πῦρ.

Πρὸς ταῦτα τὰ πέντε Σώματα κατὰ λόγον, ἵνα μηδεμία τῶν Σωματικῶν ποιοτήτων ἀνεπαίσθητος εἴη τῷ Ζώῳ, γεγόνασιν αἰσθήσεις πέντε· Ὅρασις, Ἀκοή, Ὄσφρησις, Γεῦσις, Ἁφή.

Τῆς μὲν οὖν γεώδους Ποιότητος, ἡ Ἁφὴ διαγνωστική. Τὸ γὰρ ἐξ Ἐγκεφάλου Πνεῦμα τὸ διὰ Νεύρων σκληροτέρων καὶ γεωδεστέρων, ἐγκατεσπαρμένον ὅλῳ τῷ Σώματι, κατάλληλον ὄργανόν ἐστι τῇ Ψυχῇ. Τῆς δὲ σωματωδεστέρας καὶ παχυτέρας αἰσθήσεως τῆς ὑδατώδους Ποιότητος τῶν χυμῶν, ἡ Γεῦσις διαγνωστική. Τῆς δὲ Γεύσεως ὄργανον τῇ Ψυχῇ, τὸ ἐξ Ἐγκεφάλου κατιὸν ἐν Γλώσσῃ Πνεῦμα διὰ Νεύρων μαλακῶν. Τῆς ἀτμώδους ποιότητος τῶν ὀδμῶν, ἡ Ὄσφρησις διαγνωστική. Ταύτης ὄργανον τὸ μὴ διὰ Νεύρων, ἀλλὰ διὰ Ἀποφύσεων δύω τῶν Ἐγκεφάλου προσθίων μερῶν εἰς τὰς Ῥίνας ἐν προμήκει θέσει περαίνουσα Πνεῦμα ψυχικόν. Τῆς ἀερώδους Ποιότητος τῶν κτύπων καὶ τῶν φωνῶν, ἡ Ἀκοὴ διαγνωστική. Ταύτης ὄργανον τὸ ἐντὸς τῶν Ὤτων ἀφικνέμενον ἐξ Ἐγκεφάλου Πνεῦμα διὰ Νεύρων οὐ πολὺ μαλακῶν, ἵνα μὴ τὸ αἰσθητήριον εὐπαθῶς ἔχῃ πρὸς τοὺς σφοδροὺς ψόφους καὶ τὰς συντόνους φωνάς. Τῆς δὲ πυρώδους Ποιότητος τῶν Χρωμάτων, (πᾶν γὰρ Φῶς ἐκ πυρός· τὰ δὲ Χρώματα μετέχει φωτός·) ἡ Ὅρασις διαγνωστική, καὶ ταύτης ὄργανον τῇ Ψυχῇ πρῶτον, ὡς καὶ τῶν ἄλλων αἰσθήσεων ἐξ Ἐγκεφάλου Πνεῦμα. Φέρεται δὲ τοῦτο δὴ τὸ ὀπτικὸν Πνεῦμα διὰ Νεύρων μαλακῶν ἐς τοσοῦτον, ὥστε μηδὲ Νεῦρα ταῦτα δοκεῖν, ἀλλὰ μετρίως πεπιλημένον Ἐγκέφαλον. Οἷς δὴ Νεύροις καὶ πόροι εἰσὶν αἰσθητοὶ καὶ σαφεῖς, δι' ὧν τὸ δηλωθὲν Πνεῦμα πλήσμιον κάτεισιν εἰς τοὺς Ὀφθαλμούς. Μιᾷ γοῦν ἡ Ψυχὴ προσβολῇ, μὴ μόνον τὰς αἰσθητικὰς ἐνεργείας, ἀλλὰ καὶ πᾶ-

σαν ἀπαξαπλῶς ἐπιτελεῖν ἰσχύει διὰ τοῦ Πνεύματος· ὃ τοῖς τοῦ Σώματος συνθέτοις μορίοις, τοῖς ἐνεργείας πεπιστευμένοις τινὰς, διὰ τοῦτο κεκλημένοις ὀργάνοις διανενέμηται.

Τούτῳ γοῦν τῷ Πνεύματι κεχρημένης τῆς Ψυχῆς ὀργάνῳ πρώτῳ, δι' αὐτοῦ καὶ τοῖς ἄλλοις ὀργάνοις κέχρηται. Τούτου γὰρ οὐκ ὄντος, οὐδὲ ὄργανον. Αὐτὸ γὰρ τὰ ὄργανα τίθησιν ὄργανα. Χωρὶς δὲ αὐτοῦ, μόριον ἅπαν ἀργόν. Ὅθεν εἰκότως αὐτὸ καὶ πρώτως καὶ κυρίως Ὄργανόν ἐστι. Καὶ τοῖς Νεύροις δὲ, τὸ, τ' αἰσθητικὸν, τό, τε κινητικὸν ἐκ τοῦ αὐτοῦ Πνεύματος.

Ἐμφράξεως οὖν γενομένης καὶ μὴ χώραν ἔχοντος ἐξ Ἐγκεφάλου κατιέναι τῷ Νεύρῳ τοῦ Πνεύματος, τὸ κάτω μέρος τοῦ Νεύρου τὸ μετὰ τὴν ἔμφραξιν, ἀναίσθητον εὐθὺς καὶ ἀκίνητον. Ἐκ τούτου καί τινες ἀναίσθητα τὰ Νεῦρα προήχθησαν ἀποφήνασθαι, διὰ τὸ χωρὶς τοῦ Πνεύματος αὐτὰ καθ' αὐτὰ μὴ μετέχειν αἰσθήσεως, ὅτι μὴ δ' ὁ Ἐγκέφαλος ὁ τὴν οὐσίαν αὐτοῖς ὁμοιότατος.

Ἀλλὰ τοῦτο κατ' Ἐπίνοιαν, ὥσπερ ἂν εἴτις καὶ τὸ Ζῶον ὅλον ἀναίσθητον λέγοι καὶ ζωῆς ἄμοιρον καθ' αὑτὸ, διὰ τὸ τῆς Ψυχῆς ἄνευ, μήτ' αἰσθήσεως μετέχειν, μήτε ζωῆς. Μάλιστα μέν τοι διότι τὸ Πνεῦμα κατὰ τὸ μᾶλλον καὶ ἧττον τοῖς Νεύροις συνανακέκραται· διὰ τὴν τοιαύτην ἀνάκρασιν εἶεν ἂν αἰσθητικὰ τὰ Νεῦρα καθ' ὕπαρξιν. Ὅθεν καὶ τὰ μαλακὰ πλείονος μετέχοντα Πνεύματος, ἐπὶ πλέον αἰσθητικὰ, καὶ ἧττον κινητικά. Τὸ δ' ἀνάπαλιν ὀλίγου τὰ σκληρὰ μετέχοντα Πνεύματος, ἐπὶ ὀλίγον αἰσθητικὰ, καὶ μᾶλλον κινητικά. Στεγανότητος γὰρ δεῖ τοῖς κινοῦσι καὶ ῥώμης, ἥτις ἐστι διὰ πυκνότητα καὶ σκληρότητα. Διὸ καὶ τὰ ἐκ νωτιαίου φυόμενα Νεῦρα, τοῦ γε δὴ παρὰ πάντα τὸν Ἐγκέφαλον πυκνότητι καὶ σκληρότητι διαφέροντος, καὶ διὰ τοῦθ' ἱκανῶς ὄντα πυκνὰ καὶ σκληρὰ, πρὸς τὰς μεγάλας καὶ πολλῆς ῥώμης καὶ σθεναρότητος δεομένας κινήσεις, χρήσιμα κατὰ λόγον γεγόνασιν. Ὅπου δ' Αἰσθήσεως ἔδει μόνης, οὐ μὴν καὶ Κινήσεως, ἐκεῖ

Νεῦρα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Νεῦρα μαλακώτατα κατεπέμφθησαν ἐκ τῶν μαλακωτάτων τοῦ ὅλου Ἐγκεφάλου μερῶν.

Τὸ μὲν οὖν αἰσθητικὸν, γνωστικὴ δύναμις Ψυχῆς ἄλογος, τῶν αἰσθητῶν ἀντιληπτική· Τὸ δὲ Φανταστικὸν, γνωστικὴ καὶ αὐτὸ δύναμις ἄλογος, ἐκ τῆς αἰσθήσεως ἔχουσα τὰς ἀρχάς. Ἃ γὰρ ἡ Αἴσθησις ἐκτὸς ἐνεργεῖ, ταῦτα ἐντὸς ἡ Φαντασία διατυποῖ, καὶ φέρει παρ' ἑαυτῇ. Καὶ ποτὲ μὲν αὐτὰ ταῦτα, ποτὲ δὲ τοιαῦτα.

Καθὼς δὲ τὸ Θυμικὸν ἐν Καρδίᾳ, καὶ τὸ Ἐπιθυμητικὸν ἐν Ἥπατι· τὸν αὐτὸν τρόπον ἐν Ἐγκεφάλῳ τὸ Γνωστικόν. Τὸ γὰρ ἐν αὐτῷ Πνεῦμα πάμπολυ καὶ λεπτότατον καὶ καθαρώτατον ὂν, πρὸς αἰσθήσεις καὶ φαντασίας, καὶ τὰς ἄλλας γνωστικὰς ἐνεργείας ἐπιτήδειον ὄργανον τῇ Ψυχῇ. Κατὰ μὲν οὖν τὰς δύω προσθίους τοῦ Ἐγκεφάλου κοιλίας, τὸ Φανταστικὸν ἐν Ἀνθρώποις. Κατὰ τὴν μέσην, τὸ Διανοητικόν. Κατὰ τὴν ὀπίσθιον, ἣν ἐπικρανίδα καὶ παρεγκεφαλίδα καλοῦσι, τὸ Μνημονευτικόν, γνωστικῶν ἐνεργημάτων οἱονεὶ ταμιεῖον καθεστηκός. Ἃ γὰρ ἐκ τῆς Αἰσθήσεως ἡ Φαντασία λαβοῦσα καὶ ἀπομαξαμένη κατέσχε, ταῦθ' ἡ Μνήμη δεξαμένη παρὰ τῆς Φαντασίας ἀπέθετο παρ' ἑαυτῇ μένειν, Μνήμη τις οὖσα· διὸ κἀκεῖνα μνημονεύματά φασιν, ὧν ἐστι Φαντασία, τῆς Φαντασίας παραπεμπούσης τῇ Μνήμῃ τὰ φανταστικά, καὶ τῆς Μνήμης διὰ τῆς φυλακῆς καὶ μονῆς ποιούσης μνημονευτά. Σώζουσι δὲ τὴν Μνήμην αἱ μελέται τῷ ἐπαναμιμνήσκειν ταύτην ἀνακαινίζουσαι. Καὶ οὕτω μὲν ἐν Ἀνθρώποις τὸ Φανταστικὸν, καὶ τὸ Διανοητικὸν, καὶ τὸ Μνημονευτικόν.

Ἐν δὲ τοῖς ἄλλοις Ζώοις οὐκ ἔστι τὸ Διανοητικὸν, οὔτε τὸ Δοξαστικόν. Ἐν οἷς γὰρ τὸ Διανοητικὸν, ἐν ἐκείνοις καὶ τὸ Δοξαστικόν· εἴπερ ἐστὶν ἡ Δόξα Διανοίας ἀποτελεύτησις. Λείπεται οὖν ἐν τοῖς Ἀλόγοις τὸ Φανταστικὸν εἶναι καθ' ὅλον τὸν Ἐγκέφαλον, καὶ τὸ Μνημονευτικόν. Ἀλλ' οὐδὲ Βούλησις ἢ Προαίρεσις ἐν αὐτοῖς. Ὀρεκτικαὶ μὲν γὰρ αἱ Δυνάμεις, ἀλλὰ τοῖς Λογικοῖς αὗται καὶ μόνοις ἐνθεωρούμεναι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Γνωστικαὶ δὲ Δυνάμεις τῆς Ψυχῆς αἱ πᾶσαι, λέγονται πέντε. Νοῦς, Διάνοια, Δόξα, Φαντασία, καὶ Αἴσθησις. ἡ Μνήμη γὰρ κοινόν ἐστιν ὡς εἴρηται δοχεῖον ἐνεργημάτων γνωστικῶν· οὐκ αὐτῶν ἐκείνων κατ' οὐσίαν· πῶς γάρ; ἀλλὰ τῶν ἐκτύπων αὐτῶν. Ὅτε γάρ τις ἐν τῇ Ψυχῇ φέρει τοὺς τύπους, ὧν ἑώρακεν, ὧν ἀκήκοεν, ὧν διενοήσατο, καὶ οἱονεὶ διεζωγραφημένα κατέχει παρ' αὐτῷ τὰ φθάσαντα γεγονέναι, τότε λέγεται Μνήμην ἔχειν ἐκείνων. Συνέζευκται δὲ καὶ τῇ Διανοίᾳ ἡ Φαντασία. Καὶ γὰρ οὐδεμία διανόησις Φαντασίας ἐκτὸς, διὰ τὸ προηγεῖσθαι πανταχοῦ τὴν Αἴσθησιν· ἐν τῷ κατ' αἴσθησιν τῷδε βίῳ.

Νοῦς μὲν οὖν καὶ Διάνοια, Δυνάμεις λογικαὶ καθαρῶς. Φαντασία δὲ καὶ Αἴσθησις, ἄλογοι· μεταξὺ δέ πως ἡ Δόξα, καὶ οἷον ἐπίμικτος. Οὐχ ὅτι Δόξα κἂν τοῖς Ἀλόγοις, ἀλλ' ὅτι ποτὲ μὲν μετὰ λόγου, ποτὲ δ' ἄνευ λόγου συνίσταται. Νοῦς δὲ καὶ Διάνοια τῷ λόγῳ τῆς οὐσίας οὐ διαφέρουσιν· ἀλλὰ τὸ αὐτὸ λογιστικὸν τῆς Ψυχῆς, ὅτε μὲν ἀχρόνως ἐπιβάλλει τοῖς νοητοῖς, ὡς ὄψις τοῖς ὁρατοῖς, τότε λέγεται Νοῦς· ὁπότε διὰ τὸ μὴ αἰσθήσεως εἶναι χρείαν, οὐ φαντασίας ἐστί τις πάροδος. Ὅτε δ' ἐν χρόνῳ καὶ διεξοδικῶς ποιεῖται τὰς ἐνεργείας, ἐκ τοῦ διά τινος ὁδοῦ νοεῖν, καλεῖται Διάνοια. Τοῦ μὲν οὖν Διανοητικοῦ, λέγουσιν ὄργανον εἶναι τὸν μέσον Ἐγκέφαλον. Οὐδὲν δέ τις εἴρηκεν ὄργανον τοῦ Διανοητικοῦ, διὰ τὸ τὴν λογικὴν Ψυχὴν προσχρωμένην τῷ Σώματι διανοητικῶς ἐνεργεῖν· οὐ τῷ Σώματι δὲ προσχρωμένην νοητικῶς, καὶ παντὸς ὑπέρτερον σωματικοῦ μερισμοῦ.

Φαντασία δὲ καὶ Αἴσθησις ἄλογοι λέγονται· διότι καὶ τὰ μὴ λόγον ἔχοντα ζῷα, Φαντασίας μετέχουσι καὶ Αἰσθήσεως· ἐπείτοιγε καὶ αὗται τρόπον ἕτερον εἰσὶν ἐν τοῖς λογικοῖς, ἢ ἐν τοῖς ἀλόγοις. Τὰ μὲν γὰρ ἄλογα κρίσεως ἄνευ αἰσθάνονται, καὶ χωρὶς ἐπιστασίας φαντασιοῦνται. Τὸ δὲ λογικὸν ζῷον ὁ Ἄνθρωπος, ἔχει παρὰ τοῦ λόγου τὸ κριτικὸν, ὧν αἰσθάνεται, τοῖς τε φανταζομένοις ἐφίστησιν, οἷα λογικός. Ἔχει δὲ κατ' ἐξουσίαν, καὶ τὸ καλῶς ἢ μὴ,

ταῖς

ταῖς αἰσθήσεσι χρήσασθαι, καὶ τὸ παιδαγωγῆσαι τὰς Φαντασίας ἢ μή. Καὶ τὸ τοῖς φαινομένοις πρὸς τὴν τῶν μὴ φαινομένων κατανόησιν καταχρήσασθαι. Τῶν τοιούτων δ' αὐχημάτων ἅπαν ζῶον ἄλογον ἄμοιρον.

Ὥσπερ δὲ τῆς ἐν Φυτοῖς Ψυχῆς καὶ τῆς ἐν Ζωοφύτοις, ἡ ζωϊκὴ καὶ ἄλογος ὑπερβέβηκεν· οὕτως ἐξῄρηται ταύτης Βασιλίδος ἐπέχουσα τόπον, ἡ Λογική. Λέγοιτο δ' ἂν καὶ αὕτη λόγοις προσήκουσιν Ἐντελέχεια. Διττὴ γὰρ (καθὼς καὶ ὁ Φιλόσοφος ἐπέστησεν) ἡ πρώτη τοῦ φυσικοῦ ὀργανικοῦ Σώματος Ἐντελέχεια. Ἡ μέν, ὡς εἶδος ἐν ὕλῃ τῷ Σώματι καὶ ἀχώριστος. οὗ Ἐντελέχεια, καὶ διὰ τοῦτο θνητή· καθάπερ ἡ φυτοῦ Ψυχή, καὶ ἀλόγου ζώου παντός· ἡ δέ, χωριστὴ καὶ ἀθάνατος, ἡ Ἀνθρώπου Ψυχή· καθὼς Πλοίου Πλωτήρ τε καὶ Κυβερνήτης, οὕτως Ἐντελέχεια πρώτη καθεστηκυῖα τοῦ Σώματος, ὃ διεξάγει καὶ κυβερνᾷ. Καὶ ὁ Πλωτὴρ γὰρ καὶ ὁ Κυβερνήτης, Ἐντελέχεια πρώτη τοῦ Πλοίου γινώσκεται. Πλωτῆρος γὰρ ἀπόντος καὶ Κυβερνήτου, πῶς ἂν ἔχοι τὸ Πλοῖον καθὸ Πλοῖον τὸ ἐντελές. Ὥστε καὶ κατὰ τὸν Φιλόσοφον ἡ λογικὴ Ψυχή, χωριστὴ Σώματος καὶ ἀθάνατος.

Πᾶσα μέντοι Ψυχὴ καὶ οὐσία ἐστὶ καὶ ἀσώματος, πλὴν οὐχ ὡσαύτως. Ἀλλ' ἡ μὲν φυσικὴ καὶ ἄλογος, ἀτελὴς οὐσία· (Καὶ γὰρ ὡς Εἶδος ἐν Ὕλῃ τῷ Σώματι, καθὼς εἴρηται, δεομένη τοῦ Σώματος εἰς ὕπαρξιν ἑαυτῆς, καὶ ἀχώριστος οὖσα τοῦ Σώματος, καὶ διὰ τοῦτο συγκαταλυομένη τῷ Σώματι· καθὼς ἄρα τὸ ἔνυλον εἶδος ἅπαν δεῖται τῆς ὕλης εἰς ὕπαρξιν ἑαυτοῦ, καὶ χωρὶς ὕλης εἶναι οὐ δύναται.) Ἡ δὲ λογικὴ Ψυχὴ τελεία οὐσία ἐστί, μὴ δεομένη τοῦ Σώματος εἰς ὕπαρξιν ἑαυτῆς, ἀλλὰ καὶ καθ' ἑαυτὴν εἶναι δυναμένη, καὶ διὰ τοῦτο τοῦ Σώματος χωριστή, καὶ ἀθάνατος ὁμοίως καὶ ἀσώματος. Ἡ μὲν φυσικὴ Ψυχὴ καὶ ἄλογος, πῶς ἀσώματος; διότι οὐ Σῶμα. Δι' ὅλου γὰρ διήκει τοῦ Σώματος, καὶ ἐν παντὶ αὐτῷ ἐστιν. Ἐν τῷ αὐτῷ δέ, δύο Σώματα εἶναι ἀμήχανον. Οὕτω τοι καὶ τὸ ἔνυλον εἶδος, ἀσώματον, ὅτι μὴ σῶμα· Σώματος δὲ πρώτη ἀρχή, καθὼς καὶ ἡ Ὕλη Σῶμα μὴ οὖσα· Σώματος

γὰρ καὶ αὕτη πρώτη ἀρχὴ, κατὰ τοῦτο ἀσώματος. Ἡ δὲ λογικὴ Ψυχὴ καὶ μετὰ Σώματος ἀμιγὴς οὖσα τῷ Σώματι, καὶ μηδαμῶς ἔχουσά τι σωματικὸν, οὐ πῶς ἀσώματος, ἀλλ᾽ ἁπλῶς. Ὅλη γὰρ νοερά· κἀντεῦθεν ἀνωτέρα φθορᾶς. Σωμάτων γὰρ τὸ φθείρεσθαι καὶ σωματικῶν.

Ὅθεν καὶ καλῶς ἐπιστῆσαι δοκεῖ μοι τοὺς τὴν Ὕλην καὶ τὸ Εἶδος μήτε σώματα μήτε μὴν ἀσώματα φαμένους, ἀλλὰ σωματικά. Καὶ γὰρ εἰ μὲν σώματα, πῶς πρῶται σωμάτων ἀρχαί; Πάλιν δ᾽ εἴπερ ἀσώματα, πῶς σώματα συντιθέασι; Σῶμα γὰρ οὐδὲν ἐξ ἀσωμάτων, οὔτ᾽ ἐκ σωμάτων ἀσώματον. Οὗτοίπερ οὐδ᾽ οὐσίας εἰπεῖν τὴν Ὕλην καὶ τὸ Εἶδος ἐθάρρησαν, ἀλλ᾽ οὐσιώδη, τῆς ἀκριβείας ἐχόμενοι. Καὶ πάντως εὔλογον, ἐκ πρώτων Ἀρχῶν οὐσιωδῶν σωματικῶν συνεστάναι, τὰς συνθέτους οὐσίας τὰ Σώματα· κἀπειδήπερ ἐκ σωματικῶν Ἀρχῶν, καὶ ὅτι συντέθεινται διαλύσει καθυποκεῖσθαι φυσικῶς καὶ φθορᾷ. Τοῖς δὲ τὴν ὕπαρξιν ἀσύνθετον ἔχουσιν, ἐν οἷς οὐδέν τι σωματικὸν, εἴδεσι μόνοις οὖσιν ὕλης ἐκτὸς, ποίας φθορᾶς ἐπίνοια γένοιτ᾽ ἄν;

Εἰ δὲ δεῖ καὶ ἰδίᾳ τὴν Ἀνθρώπου Ψυχὴν ὁρίσασθαι. Ψυχή ἐστιν Οὐσία τελεία, καὶ ἁπλῶς Ἀσώματος, Λογικὴ, Θελητικὴ, Αὐτεξούσιος, Ἐνεργητικὴ καὶ καθ᾽ αὑτὴν, καὶ Ἀθάνατος. Οὐδέν τι φορτικὸν ἴσως ἐκ τῶν προειρημένων ἀνάπτυξιν τοῦ παρόντος Ὅρου ποιήσασθαι.

Τελείαν οὐσίαν εἴπομεν τὴν ἀνθρώπου Ψυχὴν, ὡσαύτως καὶ τ᾽ ἄλλα ταύτῃ προσεπεμαρτυρήσαμεν, ὅσα κέκληται, καὶ οἷς διαφέρει τῶν ἄλλων Ψυχῶν, πρὸς ἐκείνας αὐτὴν καὶ λογικῶς ἀντιδιαστέλλοντες. Ἐκεῖναι γὰρ οὐσίαι μὲν, ἀτελεῖς δὲ, καὶ ὡς εἶδος ἐν Ὕλῃ· διὸ καὶ μᾶλλον οὐσιώδεις.

Ἀσώματον δὲ ταύτην ἔφαμεν τὴν Ψυχὴν, οὐ πῶς, ἀλλ᾽ ἁπλῶς. Ἐπείπερ αἱ ἄλλαι πῶς ἀσώματοι, τῷ μὴ Σώματα εἶναι, τοῦτ᾽ ἔστιν ἐκ μέρους ἀσώματοι. Τοῦτο γὰρ σημαίνει τὸ πῶς. Οὐ γὰρ ἐν πᾶσι τοῖς λεγομένοις ἀσωμάτοις ἡ ἀσωματότης ὁμότιμος. Τινὰ γὰρ εἰ καὶ

μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ σώματά εἰσιν, ἀλλὰ τοῖς σώμασι πλησιάζουσι· καὶ τούτων τὰ μὲν μᾶλλον· τὰ δ' ἧττον. Ταῦτα γοῦν οἱονεὶ μεταξὺ τῶν Σωμάτων τε καὶ τῶν ἁπλῶς Ἀσωμάτων, ὥσπερ αἱ σωματικαὶ ποιότητες αἱ σωμάτων ἀχώριστοι. Τούτων τῶν Μεταξὺ, καὶ ἡ Φυτικὴ Ψυχὴ, καὶ ἡ ἐν ἀλόγοις ζώοις· καὶ τῇ μὲν μᾶλλον· τῇ δ' ἧττον. Τέως δ' οὖν καὶ ἀμφοῖν ὁ πρὸς τὸ Σῶμα πλησιασμὸς, καὶ τὸ ἐξ αὐτοῦ πάμπαν ἀχώριστον. Πάντα τὰ τοιαῦτα, σωματικὰ μᾶλλον εἶεν ἄν. Οὔτε δὲ Σώματα κατὰ τὴν ἑαυτῶν ὕπαρξιν, οὔτε πάλιν ἁπλῶς Ἀσώματα. Ἡ δ' ἀνθρώπου Ψυχὴ μηδὲν ἐν ἑαυτῇ κεκλημένη σωματικὸν ἁπλῶς, ἤγουν ὁλοτελῶς, Ἀσώματος εἴρηται.

Λογικὴ δὲ, διὰ τὸ λογίζεσθαι καὶ νοεῖν· ὅπερ ἐστὶ τὸ ταύτης ἐξαίρετον, καὶ τῆς οἰκείας οὐσίας χαρακτηριστικόν τε καὶ παραστατικόν. Ὅπου δὲ τὸ Λογικὸν, ἐκεῖ καὶ τὸ Νοερόν. Λόγον γὰρ χωρὶς Νοῦ, καὶ χωρὶς Λόγου Νοῦν, οὐδὲ μυθεύσασθαι ῥάδιον.

Θελητικὴ, διότι Λογική. Θέλησις γάρ ἐστι ῥοπὴ πρὸς τὸ ἐφετὸν μετ' εἰδήσεως καὶ κρίσεως· ἤγουν Ὄρεξις πράγματός τινος, μετὰ τοῦ τὸν ὀρεγόμενον εἰδέναι τὸ ὀρεκτὸν, ὅτι τόδε Σωφροσύνη τυχὸν, ἢ φιλία, καὶ κρίνειν ὅτι αἱρετὸν, εἴτε ἀγαθόν ἐστιν ἀληθῶς, εἴτε δοκεῖ ἀγαθὸν εἶναι, πονηρὸν ὄν· εἴτε καὶ πονηρόν ἐστι καὶ δοκεῖ. Προσιτὸν μέντοι κρίνεται καὶ ἀποδεκτὸν, διὰ τὸ ὑπὸ πάθους ἡττῆσθαι καὶ καταδεδουλῶσθαι τὸν λογισμόν. Οὕτω τοι καὶ ἡ Ἐπιθυμία, Ὄρεξις· τὸ δ' ἐπιθυμητὸν, ὀρεκτόν· καὶ ὁ Θυμὸς, Ὄρεξις· τὸ δὲ λυπῆσαι τὸν, δι' ὃν ὁ Θυμὸς, ὀρεκτόν. Ἡ τοίνυν ἁπλῶς Ὄρεξις ἐν μὲν τοῖς Ἀλόγοις, ἄνευ εἰδήσεως οὖσα καὶ κρίσεως, αὐτὸ τοῦτο λέγεται μόνον Ὄρεξις· ἐν δὲ τοῖς Λογικοῖς ἐν οἷς μόνοις τὸ εἰδέναι καὶ κρίνειν, ὀνομάζεται Θέλησις. Οὐκ ἄλλο δέ ἐστι Θέλησις, καὶ ἄλλο Βέλησις· ὅτι μηδὲ τὸ θελητὸν ἄλλο παρὰ τὸ βουλητόν. Θέλησις μὲν οὖν, ὄρεξις λογική· τὸ δὲ τὴν τοιαύτην ὄρεξιν λογικὴν ἔχον, θελητικόν· τὸ δ' ὑποκείμενον τῇ θελήσει καὶ δι' ὃ ἡ θέλησις, θελητόν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αὐτεξούσιος ἡ Ψυχὴ, διότι τὸ Λογικὸν ἅπαν καὶ Αὐτεξούσιον. Αὐτὸ γὰρ κύριον ἐν πάσαις ὁρμαῖς, εἴτ' ἐνδοῦναι ταύταις, εἴτ' ἀντισχεῖν.

Ἐνεργητικὴ καὶ καθ' αὑτήν. Ὅτι καὶ μετὰ τοῦ σώματος, καὶ χωρὶς τοῦ σώματος πέφυκεν ἐνεργεῖν· τὸ μὲν, ὀργάνῳ χρωμένη τῷ Πνεύματι, καὶ δι' αὐτοῦ τοῖς σπλάγχνοις καὶ τοῖς αἰσθητηρίοις, καὶ πᾶσι τοῖς τοῦ σώματος μέλεσί τε καὶ μέρεσι· τὸ δὲ, καὶ ὀργάνων ἄνευ σωματικῶν δυναμένη, καὶ μάλιστα μετὰ τὴν τοῦ σώματος ἀπόθεσιν τὰς ἰδιαιτάτας ἐνεργείας ἐπιτελεῖν.

Ἀθάνατος δὲ, διότι μένει τοῦ σώματος ἀποπτᾶσα, καὶ ἀϊδίως μένει, μήθ' ἁπτομένου ταύτης Θανάτου, μήθ' ὅλως αὐτῇ προσπελάζοντος, τῶν ἄλλων Ψυχῶν ἐν τοῖς οἰκείοις Σώμασι θνησκουσῶν.

Ἔνιοι τῷ λόγῳ προσέθεσαν τῆς Ψυχῆς, καὶ τὸ ζῶσαν εἶναι ταύτην, καὶ σώματι κεχρημένην ὀργανικῷ, καὶ ἁπλῆν, καὶ ἀσχημάτιστον· καὶ σωματικοῖς ἀόρατον ὀφθαλμοῖς, καὶ νοερὰν, καὶ τρεπτὴν, καὶ ζωῆς τῷ σώματι παρεκτικὴν, αὐξήσεώς τε, καὶ αἰσθήσεως, καὶ κινήσεως. Ἀλλ' οἶμαι καὶ ταῦτα μετὰ συντομίας ὁριστικῆς τὸν ἀποδεδομένον Ὅρον δηλοῦν· Εἰ γὰρ Ἀθάνατος ἡ ψυχὴ, καὶ ζῶσα πάντως, καὶ ζωῆς, καὶ τῶν ὅσα ζωῆς τῷ συνημμένῳ σώματι πάροχος. Ἵνα τί γὰρ αὐτῷ καὶ συνῆπται μὴ τοιαύτη καθεστηκυῖα; Τὸ σῶμα δὲ κέχρηται προδήλως ὀργανικόν. Τὸ γὰρ οὐκ ὀργανικὸν, οὐδὲ πέφυκε ζῆν. Πῶς γὰρ ὀργανικοῦ μὴ ὄντος, οἷα τεχνίτης ἐνεργήσει δι' αὐτοῦ ἡ Ψυχή; Εἰ δὲ καὶ ἁπλῶς Ἀσώματος, ἤγουν ὁλοτελῶς, ἁπλῆ δῆτα καὶ Ἀσχημάτιστος, καὶ σαρκίνοις Ἀόρατος ὄμμασι. Σωμάτων γὰρ αἴσθησις, καὶ σχῆμα, καὶ σύνθεσις· Εἰ δὲ Λογική, δῆλον ὅτι καὶ Νοερά. Λογικὸν γὰρ μὴ Νοερὸν εἶναι, λόγον οὐκ ἔχει τινά. Τὸ δὲ τρεπτὴν εἶναι ταύτην, τῶν οὐδόλως ἠγνοημένων. Τὸ γὰρ κτιστὸν, καὶ τρεπτὸν, ὡμολόγηται. Φαίνεται τοιγαροῦν, ὡς ἐν τῷ προσεχῶς διειλημμένῳ τῆς Ἀνθρώπου ψυχῆς ὅρῳ, τὸ ἐλλεῖπον οὐδέν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ μὲν οὖν λογικὴ Ψυχὴ, καὶ τὰς τῆς Ἀλόγου Δυνάμεις ἔχει πάσας ὑφ' ἑαυτὴν, καὶ τὰς τῆς Φυτικῆς· καὶ ἡ Ἄλογος οὐ λείπεται τῶν Φυτικῶν Δυνάμεων οὐδεμιᾶς. Οὐκ ἔστι δὲ τὸ ἀνάπαλιν. Οὔτε γὰρ ζῶον ἄλογον, δυνάμεως μετέχον λογικῆς, οὔτε Φυτὸν, αἰσθήσεως, ἢ κατὰ τόπον κινήσεως. Τὰ μὲν γὰρ τῶν κρειττόνων μετέχοντα Δυνάμεων, μετέχει καὶ τῶν χειρόνων, τὰ δὲ τῶν χειρόνων, οὐκ ἤδη καὶ τῶν κρειττόνων. Ὁ μὲν γὰρ τὴν τῆς Κλίμακος ἀνωτάτω Βαθμίδα κατείληφε, Βαθμίδων ἐπέβη πασῶν· ὁ δὲ τὴν μέσην, οὐ δῆτα τῶν μετ' αὐτήν τε καὶ ἀνωτέρω· τὸ δὲ τῆς πρώτης καὶ μόνης Βαθμίδος ἁψάμενον, οὔτε πρὸς τὴν ὑστάτην, οὔτε πρὸς αὐτὴν ἐπεφθάκει τὴν μέσην. – Διὰ τοῦτο μόνον ὁ ἄνθρωπος ἁπάσας ἐνεργείας ἐπιτελεῖ λογικὰς, ζωϊκὰς, Φυτικὰς, καὶ τῶν ἔξωθεν δὴ μεταβολαῖς ὑποκείμενος· ἐπειδὴ συνημμένην ἐν ἑαυτῷ καὶ φύσιν ἔχει καὶ πᾶσαν ζωὴν, διὰ τῆς μιᾶς τελεωτάτης Ψυχῆς, αὐτῆς οὔσης αὐτῷ κατὰ πάντα καὶ πρώτης μόνης ἀρχῆς περιεκτικῆς.

Ὥσπερ δὲ Πλωτήρ τε καὶ Κυβερνήτης πᾶσαν μὲν τοῦ Πλοίου διεξαγωγὴν ἐκπληροῖ· πλὴν ἔχει καὶ αὐτὸς ἰδιαιτάτας ἐνεργείας, οὐχ᾽ ᾗ Πλωτὴρ καὶ Κυβερνήτης, ἀλλ᾽ ᾗ ἄνθρωπος· οὕτω καὶ ἡ τοῦ ἀνθρώπου Ψυχὴ, πᾶσαν μὲν ἐνέργειαν ζώῳ τελείῳ προσήκουσαν παρέχει τῷ, οὗ Ψυχή· πλὴν ἔχει καὶ αὐτὴ ἐξαίρετον Ἴδιον, οἷα Λογικὴ τὸ Λογίζεσθαι. Τοῦτο δὲ καὶ μετὰ Σώματος ἐνεργεῖ· πλὴν ἐκ τῆς τοῦ σώματος δυσχερείας, καὶ τῆς ὅλης πρὸς τὸ σῶμα ῥοπῆς διὰ τὴν συνάφειαν, παραποδίζεταί πως καὶ τοῖς σπουδαίοις αὐτοῖς, καὶ οὐ πάντη πάντως εἰλικρινεστάτην διαδείκνυσι τὴν ἐν[illegible]αν. Ὁπόταν δὲ πᾶσαν ὑλικὴν ἐκλιναξαμένη σχέσιν, καὶ παντὸς λυθεῖσα δεσμοῦ, μόνης γένηται καθαρῶς ἑαυτῆς, ἐνεργεῖ καὶ τὴν οἰκείαν ἐνέργειαν ἀκραιφνῆ καὶ ἀνεπιθόλωτον. Καὶ τοῦτο δῆλον, ὅτι μαραινομένου τοῦ Σώματος ἐν Γήρᾳ, καὶ τῇ διαλύσει τοῦ δεσμοῦ προσεγγίζοντος, ἐκλάμπει μάλιστα τὸ Λογίζεσθαι, μή τινος πάθους ἐντὸς ἐνσκήψαντος. Τότε γὰρ ἀμαυροῦται τὸ Λογίζεσθαι διὰ τὸ πάθος, ἐπείπερ ἔτι μετὰ Σώματος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος ἡ Ψυχή. Καὶ Κυβερνήτης γὰρ βιαίου προσρήξαντος Πνεύματος, καὶ ἰσχυρῶς ταράττοντος, οὐ μόνον εἰς τὴν τῆς Νεὼς κυβέρνησιν, ἀλλ' ἤδη καὶ εἰς τὰς ἰδίας ἐνεργείας σφόδρα περιεμποδίζεται. τῆς Νεὼς δ' ἀποστὰς καὶ τοῦ κλύδωνος, ἀπαρεμποδίστους πάντη ταύτας ποιήσεται.

Καὶ ἄλλως δὲ παρὰ τῆς ἐνεργείας αὐτῆς μεμαρτύρηται τὸ, καὶ χωρὶς τοῦ Σώματος ἐνεργεῖν τὴν Ψυχὴν, καὶ πολλῷ κρεῖττον, καὶ ὑψηλότερον, ἢ μετὰ θάνατον, ἐκ τοῦ δι' ἐπιμελείας καὶ ἄκρας καθάρσεως εἰς μέτρον ἀναβάσεως μεῖζον. ἢ κατ' ἄνθρωπον πεφθακότας τινὰς ἐκδημεῖν καὶ πρὸ τῆς ἀναλύσεως, ὅτε βούλοιντο· καὶ μένοντας ἀκινήτους, πνοῆς καὶ μόνης ἐνούσης αὐτοῖς, Θεωριῶν ἀπολαύειν ὑπερφυῶν. Ἄλλοι δὲ πάλιν διὰ τῆς αὐτῆς ἀγωγῆς, τὴν σωματικὴν ἀχλὺν διατεμόντες ὡς δύναμις, τήν τε τῶν πόῤῥω γνῶσιν ἔσχον ὡς ὄντων ἐπ' ὄψεσι, καὶ τὰ μή πω γενέσθαι φθάσαντα προηγόρευον. Οὐκ ὀλίγοι τοιοῦτοι κατεφάνησαν Ἄνδρες ἐν κόσμῳ δεικνῦντες ὀφθαλμοφανῶς τὴν λογικὴν Ψυχὴν βέλτιον ἐνεργοῦσαν μετὰ τὴν τῆς ὕλης ἀπαλλαγὴν, ὡς ἄφθαρτον καὶ ἀθάνατον.

Οὐ χρὴ δὲ διαπορεῖν, πῶς ἄφθαρτος ἔσται καὶ ἀθάνατος ἡ τοῦ ἀνθρώπου Ψυχὴ, χρονικὴν ὑφίσταται Γένεσιν, καὶ τῷ φθαρτῷ καὶ θνητῷ συγκτίζεται σώματι; Τὸ πρῶτον γὰρ οὕτως ὁ Ἄνθρωπος ἐκτίσθη. τῆς ἀφθάρτου καὶ ἀθανάτου Ψυχῆς τῷ φθαρτῷ συγκτισθείσης Σώματι καὶ θνητῷ. Τοιοῦτος οὖν μένει διὰ παντὸς αὐξόμενος τῷ θείῳ προστάγματι, κατὰ τ' ἄλλα Ζῶα, καὶ πληθυνόμενος, ὡς ἐκτίσθη, καὶ οὐκ ἔστι τὸν θεῖον Ὅρον ἀλλοι[illegible]αι. Βοῦς γὰρ βοῦν γεννᾷ θνητὸν ὅλως ἐξ ἀρχῆς, καὶ Ἄνθρωπος Ἄνθρωπον θνητὸν ὁμοῦ καὶ ἀθάνατον, τοῦ Δημιουργοῦ συναγαγόντος ἐς ταυτὸ τὰ ἀξύμβατα διὰ Σοφίας ὑπερβολὴν, καὶ τοιαύτην ἐκ διαδοχῆς θεσπίσαντος τὴν διαμονὴν κἀν τῷ ἀνθρώπῳ, καθὼς κἀν τοῖς ἄλλοις Ζώοις. Οὐ γὰρ ἔχρῃζεν ὁ νεύματι τὸ πᾶν ἐτιῶν καιρικῆς τινος παρατάσεως ὅλως, ἵνα Ψυχὴν προδημιουργήσας ὕστερος διαπλασθέντι συνδή-

ση

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σῃ σώματι ταύτην, ἢ τὸ ἀνάπαλιν· ἵνα σῶμα μὲν διαρτίσῃ πρότερον, εἶτ' ἐπαγάγῃ Ψυχήν.

Τὸ γοῦν λέγειν, ὡς οἱ πολλοὶ, τὴν τῆς Ψυχῆς οὐσίαν μετὰ τὴν τοῦ Σώματος διάπλασιν ἔρχεσθαι καὶ ἀπάρτισιν, ἐκ τοῦ μὴ δύνασθαι τὸ Ἔμβρυον ὡς Ζῶον τέλειον ἐνεργεῖν, πλασματῶδες τέως γοῦν ἐμοὶ καταφαίνεται. Τὸ γὰρ ἀτελὲς οὐκ ἐν νηδύϊ μόνον, ἀλλὰ καὶ μετὰ τὸ τεχθῆναι φέρει τὸ Νήπιον. Ἀπόδημος οὖν ἔσται τοῦ Σώματος ἡ τῆς Ψυχῆς οὐσία πόσοις καιροῖς; καὶ τί τό γε ζωογονοῦν; ἡ Φύσις; ἀλλὰ τὸ ζωογονεῖν οὐ Φύσεως, ἀλλὰ Ἴδιον Ψυχῆς. Ἢ τυχὸν ἡ Ψυχὴ προαποστελεῖ Δυνάμεις αὐτῆς ἄλλην τῷ κυοφορουμένῳ, καὶ ἄλλην τῷ ἀρτιγενεῖ, καὶ ἄλλην τῷ νηπιάζοντι, καὶ τῷ βρέφει δ' ἴσως ἑτέραν, καὶ ταῖς κατὰ μικρὸν προβάσεσιν, ἄλλο τ' ἄλλας ἐκπέμπει Δυνάμεις, αὐτὴ δ' ἀναμένει τοῦ Σώματος τὴν τελείωσιν· οὗ τί ἂν εἴη τερατωδέστερον; Οὐκ ἔστιν οὖν οὔτε προΰπαρξις Ψυχῆς, οὔτε μεθύπαρξις, ἀλλ' ἐκ πρώτης ἀρχῆς ἡ Ψυχὴ σὺν τῷ σώματι, ζωογονοῦσα πρεπόντως αὐτὸ, συνέχουσά τε καὶ διαπλάττουσα καὶ τελεσιουργοῦσα, καὶ τῇ τῶν ὀργάνων ἐπιδόσει συνεπιδεικνῦσα τὰς ἐνεργείας αὐτῆς.

Τὸ δ' ἐκ χοὸς πλασθῆναι τὸν Ἄνθρωπον, καὶ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ἐμφυσηθῆναι ζωῆς παρὰ τοῦ Θεοῦ, τὸ τοῦ Σώματος παρίστησι γεηρὸν, καὶ τὸ τῆς Ψυχῆς ὑπέρτερον καὶ θειότερον. Καὶ, ὅτι τὸ μὲν φθαρτὸν, ἐπεὶ χοϊκόν· ἡ δ' οὐ φθαρτή. Καὶ γὰρ οὐ χοϊκὴ, καθὼς ἡ τῶν ἀλόγων Ζώων, οὔτ' ἐκ ποιᾶς Κράσεως Χυμῶν, ἀλλ' ἐκ τῆς θείας αὔλως δεδημιουργημένη Πνοῆς. Ἐντεῦθεν οὖν τὸ μέγεθος ἀριδήλως δείκνυται τοῦ τῆς λογικῆς Ψυχῆς ἀξιώματος, καὶ τὸ περιέχειν ταύτην, οὐ περιέχεσθαι. Καὶ γὰρ εἰς τὸ πρόσωπον ἤγουν τὴν Ἐπιφάνειαν ἐνέπνευσται, καὶ δι' ἐκείνης εἰς ἅπαν τὸ σῶμα περικεχώρηκεν ἀμιγῶς, ὡσπερεὶ τὸ πῦρ εἰς τὸν σίδηρον.

Κατὰ μὲν οὖν τὸ Σῶμα θνητὸς ὁ Ἄνος, κατὰ δὲ τὴν Ψυχὴν οὐ θνητὸς, ἀλλ' ἀθάνατος. Εἰ μὲν οὖν ἀρχῆθεν τὸ Σῶμα διῴκησε καὶ τῷ κρείττονι καθυπέταξεν, ἔμεινεν

ἂν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἂν ἐκ τοῦ κρείττονος τὸ ὅλον ἀθάνατος. Ἐπεὶ δ᾽ ἐκ τοῦ μὴ νήφειν πρὸς τὰ τοῦ σώματος ἔκλινε, καὶ τῷ λείῳ τῆς ἡδονῆς ὑπεκλάπη, καὶ μετέσχε τοῦ ξύλου τῆς γνώσεως τοῦ καλοῦ τε καὶ πονηροῦ· καλοῦ μὲν δοκοῦντος, ὄντος δὲ πονηροῦ. Τοιαύτη γὰρ ἡ Ἡδονὴ, καὶ ἡ γνῶσις ἡ ἔμπρακτος. Ὁ γὰρ διαπεπραχὼς καὶ πεπειραμένος, ἔγνωκεν ὃ διαπέπραχε· τεθανάτωται μὲν σφαλεὶς τὸ ἐκείνου λαβὼν πρὸς ὃ τὴν ῥοπὴν ἐποιήσατο, τὸ μέντοι Σφάλμα, τὸν θεῖον οὐκ ἀνεῖλε σκοπὸν, ἀλλὰ κατὰ μὲν τὴν τοῦ Σώματος φύσιν, ὁ Θάνατος προηγήσατο μερικῶς· ἐπακολουθεῖ δὲ κατὰ τὴν τῆς Ψυχῆς οὐσίαν, ὁλοτελὴς ἡ Ζωή. Καὶ γὰρ ἔδει τὸ πρόσκαιρον προηγήσασθαι καὶ καταπαῦσαι, καὶ οὕτως ἐπακολουθῆσαι τὸ μηδεμίαν ἔχον κατάπαυσιν. Τὸ κατὰ φύσιν οὖν ἐγεγόνει διὰ τὴν Ἁμαρτίαν, τοῦ θνητοῦ καὶ μόνου τεθνηκότος τοῦ Σώματος, τῇ Ψυχῇ συντηρηθέντος τοῦ ἀξιώματος. Διὰ δὲ τὴν τοῦ Δημιουργήσαντος Ἀγαθότητα τὸ ὑπὲρ φύσιν ἐκτελεῖται, καὶ ἡ τοῦ πεποιθότος Ἀνάστασις γίνεται. Τὸ Πλέον δ᾽ ἔτι καὶ ἀφθάρτισις, καὶ ὁ ἄνος μετὰ θάνατον ὅλος ἀθάνατος· ἐκείνης τῆς Ψυχῆς κἀκείνου τοῦ Σώματος συνερχομένων ἐς αὖθις τῶν ἀρχῆθεν ἡνωμένων, εἶτα διῃρημένων. Ποῖον γὰρ ἂν ἔχοι λόγον; ἄλλα μὲν ἐν τῷ πολυπαθεῖ τῷδε συνεῖναι βίῳ καὶ πολυκύμονι· ἄλλα δ᾽ ἐν ἐκείνῃ τῇ ἀπαθεῖ καὶ γαληνιώσῃ ζωῇ; Ποίας δὲ δικαιοσύνης, ἑτέρων μὲν εἶναι τὰς πράξεις, ἑτέρων δὲ τὰς ἐκτίσεις;

Ἀλλ᾽ ἀδύνατος ἡ τῶν στοιχειακῶν πολλοστημορίων ἐκ τῆς ὁλότητος εἰς πληθυσμοὺς ἀναρίθμους Σωμάτων καθ᾽ ἓν καὶ ἰδιαιτάτη διάκρισις καὶ συναγωγὴ, παμμιξίας γενομένης καὶ ἀνακράσεως; Καὶ ποῖον δυσχερέστερον καὶ δυσεργότερον, ἡ τῶν ὅλων Κτισμάτων ἐκ τοῦ μηδαμῇ μηδαμῶς εἶναι ταῦτα παραγωγὴ, καὶ οὐσίωσις, ἢ τῶν ἀποφοιτησάντων Στοιχείων ἡ συνέλευσις, ὅθεν γοῦν ἀπεφοίτησαν, ἑκάστου οἱονεὶ τὸ οἰκεῖον ἐπιγινώσκοντος, καὶ πρὸς αὐτὸ συντρέχοντος προστάγματι δημιουργικῷ;

Φαίη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φαίη δ᾽ ἄν τις ἴσως, καὶ πῶς ἐρεθήσονται τὰ παντὸς ἀνθρωπίνε Σώματος Στοιχεῖα τε γε διαλυθέντος, εἴπερ ἐκ τῶν αὐτῶν διάφορα συντίθεται σώματα, τῆς ἑτέρε Φθορᾶς, ἔσης ἑτέρε Γενέσεως; Ἀλλ᾽ ὁ τὴν Ἀνάστασιν προορίσας, ἱκανὸς καὶ τὰ συνεκτικὰ τῶν ἀναστησομένων διατηρεῖν, καὶ ἀφθαρτίσας ἐς ὕστερον, ἑνὸς ἑκάστε Σώματος παλιγγενεσίαν ἐκ τῶν τε αὐτε Σώματος ποιήσασθαι μορίων, εἰ ἀντ᾽ ἐκείνων εἰς Γένεσιν ἐκ ἐξαρκέσει πᾶσα Χθὼν οἰκεμένη τε καὶ ἀοίκητος, καὶ Ὠκεανὸς ὅλος σὺν Ποταμοῖς καὶ Πελάγεσι, καὶ ὁ τὸν κάτω περιέχων ἅπαντα Χῶρον, καὶ εἰς τοσετον ὕψος ἄνω φθάνων Ἀὴρ, καὶ τὸ μετ᾽ αὐτὸν ἕως Σελήνης Ὑπέκκαυμα, τὸ στοιχειῶδες λεγόμενον Πῦρ. Ὁ μὲν ἒν Ψυχικὸς ἄνθρωπος ἐ δέχεται τὰ τε Πνεύματος.

Ὁ δὲ κατανοεῖν δυνάμενος ὅλως θείαν ἰχὺν, συγκατανεύει καὶ τὸν Κύριον ἐν πᾶσι τοῖς αὐτε λόγοις πιστόν. Εἶπεν ἀναστήσεσθαι τὲς Νεκρὲς, καὶ τετ᾽ ἐξ ἀνάγκης ἔσαι, καὶ τὸν τρόπον ἐρευνάτω μηδείς. Ἀναστήσεσθαι γὰρ τὸ πεπλωκὸς εὐκοπώτερον, ἢ τὸ μηδ᾽ ὁπωσεν ὂν, ὕπαρξιν χεῖν καὶ ὑπόστασιν. Ἀφθάρτων δὲ καὶ ἀπαθῶν τῶν Σωμάτων ταῖς οἰκείαις συνεληλυθότων Ψυχαῖς, οἱ τῆς Ἀναστάσεως τυχόντες, ὡς Ἄγγελοι Θεε κατὰ τὸ θεῖον ἔσονται λόγιον, ἐδὲν δυχερὲς ἐκ τῶν Σωμάτων, ἐδὲν κωλυτικὸν τῶν νοερῶν ἐνεργειῶν ὑφιστάμενοι· τὴν τε Δεσπότε δὲ κηρύττοντες ἀγαθότητα, καὶ θαυμάζοντες, ὅτι τὰ ἴδια πάλιν ἀπέλαβον Σώματα τιμιώτερα καὶ λαμπρότερα, καὶ πάσης ἐν δείας καὶ δέες πλημμελείας ἀνώτεροι παντοίως ἀπετελέσθησαν, ἐδεμίαν ἐν ἑαυτοῖς ἐσεῖσθαί ποτε πρᾶξιν ἢ γνῶσιν ἢ προσβολὴν ἄτοπον ὑφορώμενοι. Πῶς γάρ; πάσης μάχης ἐκ μέσε γεγενημένης, πάσης ἔχθρας ἀνῃρημένης, καὶ αὐτῆς τῆς τρεπτότητος ἀπεληλαμένης, χάριτι τε τὴν τελείαν εὐεργετήσαντος εὐεργεσίαν καὶ θεώσαντος, καὶ τῆς ὄντως μακαριότητος εἰς τὸ διηνεκὲς ἀξιώσαντος;

Ταῦτα μὲν τοῖς εὐσεβῶς καὶ κατὰ δεσποτικὲς Νόμες βεβιωκόσιν, ἢ μὴν ἐπανεληλυθόσιν εἰς τὸ εὐθὲς ἐκ διαστροφῆς·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στροφῆς. Εἰς γὰρ τὴν ἄγουσαν πρὸς ζωήν, καὶ οὗτοι κατέπαυσαν.

Ὅσοι δὲ τὴν ἐναντίαν ἔδραμον ἀμεταστρεπτί, τῆς μὲν κοινῆς Ἀναστάσεως καὶ ἀφθαρσίας, τεύξονται καὶ αὐτοί· τὰ δὲ τῶν πεπραγμένων ἐπίχειρα κομιοῦνται παρὰ τοῦ δικαίου Κριτοῦ, Χάος αἰώνιον.

Ἀλλὰ καὶ νῦν αἱ Ψυχαὶ καταλλήλους ταῖς ἐν Κόσμῳ διαγωγαῖς αὐτῶν καὶ ἀναστροφαῖς, τὰς λήξεις εὐθὺς μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν εὑρίσκουσιν, οἰκείωσιν πρὸς τὸν Θεὸν καὶ ἀγαλλίασιν ἄρρητον, ἢ μὴν πάντα τ' ἀναντία καρπούμεναι.

Τὸ μέντοι τέλειον τῶν ἀμοιβῶν τῷ καιρῷ τῆς Ἀναστάσεως τεταμίευται, τῆς θείας Φιλανθρωπίας χώραν διδούσης, χώραν ὑφαπλούσης παντὶ προαιρουμένῳ βοηθῆσαι καὶ τεθνηκόσι τοῖς ἁμαρτήμασιν ἐκείνοις, ὧν τὸ μεμνῆσθαι καὶ ὑπὲρ ὧν σπεύδειν οὐκ ἀπηγόρευται.

Μετὰ γὰρ τὴν Ἀνάστασιν, ὥσπερ ἡ Ἀπόλαυσις, οἷς ἂν δοθείη βεβαιοτάτη καὶ ἀναφαίρετος· οὕτω καὶ ἡ Κόλασις οἷς ἂν κληρωθείη μονιμωτάτη καὶ ἀτελεύτητος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΟΥ ΜΗΔΕΙΑΣ ΘΕΟΦΑΝΟΥΣ

## ΛΟΓΟΣ

### Ἀποδεικνύων, ὅτι τοῦ Ἀνθρωπείου Σπέρματος ἀψύχου καταβληθέντος, τῇ δὲ σπερματικῇ αὐτοῦ Δυνάμει συμπήξαντος ἐν τῇ Μήτρᾳ τὸ Ἔμβρυον, ἐνίησιν αὐτῷ τὴν Ψυχὴν ὁ Θεός.

Τῆς Ψυχῆς τοῦτ᾽ ἣν εἶναι, καὶ πόθεν ἥκει, καὶ ὅ, τι δύναται, καὶ τῶν ἄλλων ἰδιοτήτων αὐτῆς ἕνεκα, τοῖς πάλαι ποτὲ Σοφοῖς ἔργον γέγονε, τοῖς τε τοῦ Περιπάτου, καὶ τῆς Στοᾶς παρωνύμοις, καὶ ἑτέροις πρὸ τοῦ, καὶ μετὰ τὸ σωτήριον γενομένοις κήρυγμα. Οὐ μικρῷ δὲ τῷ μέσῳ διηνέχθησαν πρὸς ἀλλήλους, διαφόρως οἱ τὰ περὶ αὐτῆς φιλοσοφήσαντες· ἐνίων καὶ ἀλλόκοτά τινα ὑποτιθεμένων. Καὶ συμβέβηκεν αὐτῶν ἑκάστοις τὰ ἑκάστων διασαλεύειν, καὶ ἀνατρέπειν, συμμάχῳ τῇ δημώδει πειθοῖ κεχρημένοις· ἃ κατὰ μέρος ἐπεξιέναι, ἔργον οὐ τοῦ παρόντος

ἐστὶ καιροῦ καὶ σκοποῦ. Ἡμεῖς δὲ τῷ ἱερῷ διδασκαλίῳ τῆς εὐσεβοῦς ἡμῶν Ἐκκλησίας προσέχοντες τὸν νοῦν· ὅσα μὲν ἐᾶν ἔῤῥειν παρεγγυᾷ, καὶ λόγου ἀπαξιοῦμεν· ὅσα δὲ ὑφηγεῖται λόγου τοῦ εὐσεβοῦς ἐχόμενα καὶ ὀρθοῦ, παραδεχόμεθα καὶ περιέπομεν, καὶ λέγειν περὶ αὐτῶν ὁπότε δεήσειεν οὐκ ἀπαξιοῦμεν.

Δεδιδάγμεθα τοίνυν εἶναι τὴν ἀνθρωπείαν Ψυχὴν, οὐσίαν ἄϋλον, ζῶσαν, λογικὴν, ἀθάνατον, νοερὰν, διανοητικὴν, καὶ ἐνυπόστατον· καὶ συνερχομένην μὲν τῷ Σώματι, ὑφιστᾶν τὸν Ἄνθρωπον ἐν μιᾷ ὑποστάσει· οὖσαν δὲ καὶ χωριστὴν τοῦ Σώματος, ὡς παρὰ Θεοῦ εἰσοικιζομένην ἐν αὐτῷ, καὶ πάλιν ἐξοικιζομένην τούτου τελευτήσαντος, ὡς καὶ ἐν τῷ Πρωτοπλάστῳ γέγονε τὴν ἀρχήν. Καὶ ὅ, τι Ἐντελέχεια καὶ Εἶδός ἐστιν ἡ Ψυχὴ τοῦ Ἀνθρώπου, καὶ ἐν αὐτῷ οἰκοῦσα, ἐνεργεῖ τὰ ἑαυτῆς, καὶ ἀπαλλάττουσα τούτου θνητοῦ ὄντος καὶ ὑλικοῦ, αὐτὴ ἀθάνατος οὖσα, ἔτι καὶ βέλτιον ζῇ, ἄχρις ἂν αὖθις ἀπολήψηται τὸ συγγενὲς αὐτῇ σῶμα, ἐφ᾽ ᾧ σὺν αὐτῷ τῆς ὁποιασοῦν κληρονομίας τεύξεται. Τοῦτο μὲν τὸ ἱερὸν ἡμῶν Διδασκάλιον. Ἐῤῥέτω δὲ τὰ ἐπέκεινα, αἵ τε Προϋπάρξεις δηλαδὴ καὶ οἱ Μεταγγισμοὶ, καὶ οἱ λοιποὶ παραπλήσιοι Ὕθλοι.

Ἀλλὰ καὶ περὶ ἄλλων πεφιλοσόφηταί τινα Ψυχῶν, οὐχ ὡσαύτως ἔχοντα τούτοις. Καλοῦσι γὰρ καὶ ἑτέρας Ψυχὰς, Ὁμωνύμως δὲ καὶ οὐ Συνωνύμως, πάντῃ διϊσταμένας· ἐκείνης μὲν, τῇ οὐσίᾳ καὶ τῷ ἐνυποστάτῳ, καὶ ταῖς ἄλλαις διαφοραῖς· ἀλλήλων δὲ, ταῖς κατὰ τοὺς σφῶν αὐτῶν λόγους διαφοραῖς. Ἀνούσιοι γὰρ αὗται καὶ ἀνυπόστατοι, καὶ ἀχώριστοι τῶν ἐν οἷς εἰσι Σωμάτων, ἐπεὶ καὶ συνοίχονται αὐτοῖς. Ἰνδάλματα δὲ ἀμυδρὰ τοῦ λόγου, καὶ Δυνάμεις εἰσὶ Ψυχῆς μόνον, καὶ ἡ πεῖρα Διδάσκαλος. Τρεῖς δὲ ὅμως φασὶ ταύτας· ὧν ἡ μὲν ἐστι Θρεπτικὴ, καὶ ἐν τοῖς Φυτοῖς θεωρεῖται, καὶ κατονομάζεται Φυτική. Δευτέρα δὲ ἡ τῶν ἀλόγων Ζώων, ἔχουσα μὲν καὶ τὸ τῆς Φυτικῆς Θρεπτικὸν καὶ Αὐξητικόν· προσκεκτημένη δὲ καὶ τὸ Αἰσθητικόν. Καὶ τούτων μεταξὺ ἡ τῶν λεγομένων Ζωο-

φύτων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φύτων, οἷά εἰσι τὰ Ὄστρεα, καὶ ἔτι παραπλήσιον· ἔχουσα μὲν καὶ τὸ τῆς Φυτικῆς Θρεπτικὸν καὶ Αὐξητικόν, ὅμως δὲ καὶ τὸ τῆς τῶν Ἀλόγων Αἰσθητικόν· πάνυ δὲ ἀμυδρῶς τοῦτο. Ὅμως γέ τοι Δυνάμεις εἰσὶ Ψυχῆς, εἰ καὶ Ψυχαὶ λέγονται. Τῆς δὲ τῶν Ζῴων ἐχούσης μὲν τὸ Θρεπτικὸν καὶ Αὐξητικόν, καὶ ὅσα τῶν Αἰσθήσεων· μετὰ τοῦ Ἀλόγου δέ, ἐνδεῖ τῆς τελείας Αἰσθήσεως τοῖς Ζωοφύτοις, τῇ συμπτύξει μόνῃ καὶ ἀναπτύξει δοκοῦσιν αἰσθάνεσθαι φυλαττομένοις ἢ θαλπομένοις· ἄλλης δέ τινος Αἰσθήσεως ἢ Αἰσθητηρίου μὴ προσόντος αὐτοῖς, ἢ Αἰσθητοῦ τινος διαγινωσκομένου. Ὅμως δὲ τῇ ἀτελεῖ ταύτῃ Αἰσθήσει ἔχουσι καὶ τὴν θρεπτικὴν ταύτην δύναμιν, αὐτοῖς τε καὶ τοῖς Φυτοῖς οὖσαν κοινήν, ἔχουσι (τοῖς φυτοῖς) μόνην αὐτήν, ἀτελεστέραν οὖσαν τῶν ἄλλων, καὶ ἀδρανεστέραν, ᾗ τρέφεται καὶ αὔξει τὸ Φυτόν, ὑπουργούσης τῆς γεηρᾶς ἰκμάδος, καὶ τῆς τοῦ Ἡλίου θάλψεως. Ἐπελθόντος δὲ τούτῳ Σιδήρου, ἢ ἄλλου τοῦ συμπτώματος, προαποίχεται καὶ αὐτοῦ ἡ τοιαύτη ψυχικὴ Δύναμις, ὡς καὶ ἐπὶ τοῦ ἀλόγου ζῴου. Συναποθνήσκουσι γὰρ τοῖς σώμασιν. Οὐ γάρ εἰσιν αἱ τοιαῦται Ψυχαὶ οὐσίαι χωρισταὶ τῶν σωμάτων ὧν εἰσι, κατὰ τὰς λογικάς, αἳ ζῶσι καὶ καθ᾽ ἑαυτάς, καὶ τοῖς σώμασι παρέχουσι τὸ ζῆν, καὶ ἐνεργοῦσι δι᾽ αὐτῶν καὶ ἐν αὐτοῖς, καὶ χωρισθεῖσαι τούτων ἀποιχομένων, αὗται ζῶσιν ἔτι καὶ βέλτιον· ἀλλὰ συμφθείρονται τοῖς ἰδίοις σώμασι, τῷ πεφυκέναι τούτων ὕλη μόνον ζωογονοῦσα καὶ τρέφουσα αὐτά. Ψυχὴ γὰρ Ζῴου, φησί, τὸ αἷμα αὐτοῦ. Φυτοῦ δὲ ἡ γεηρὰ ἰκμὰς σὺν τῇ ἡλιακῇ περιθάλψει. Ταῖς τοιαύταις δὲ Ψυχαῖς ἡ τελειότης πρόσεισι κατὰ βαθμὸν καὶ εὔτακτόν τινα προκοπήν. Τῆς φυτικῆς γὰρ ἐχούσης τὸ Θρεπτικὸν καὶ Αὐξητικὸν μόνον, ἡ τοῦ Ζωοφύτου μετὰ τούτων ἔχει τὶ πλέον τὴν μερικήν, ἣν εἴπομεν Αἴσθησιν. Ἡ δὲ τῶν Ἀλόγων μετὰ τούτων ἔχει τὶ πλέον ὅτι κινεῖ τὸ Σῶμα, καὶ τὴν τῶν αἰσθητηρίων ἐνέργειαν αὐτῷ παρέχει καθαράν.

Ἐκ τούτου τοῦ προβιβασμοῦ ἐπῄει δοξάσαι τισὶ προϊέναι τὴν λογικὴν Ψυχὴν εἰς τελειότητα κατὰ προκοπὴν τῇ οἰκονομίᾳ τῆς Φύσεως καὶ ἄλλων τινῶν συνεργίᾳ. Καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀρχὴν μὲν καὶ πρῶτον ὑπέθεντο βαθμὸν τὸ Σπέρμα, προϊὸν μετὰ Ψυχῆς ἀπὸ τοῦ προϊεμένου αὐτὸ, οἰκούσης ἐν αὐτῷ, ὡς ἀπὸ ἐμψύχου ἔμψυχον ὄν. Τὴν οἵαν δή τινα δὲ ἐνέργειαν οὐχ οἷόν τε εἶναι διαδείκνυσθαι, τῆς ὕλης τῆς ἀσθενείας ἕνεκα, μέχρις ἂν ἀδρεστέρας ὕλης τύχῃ, καὶ στοιχιακῆς συνεργίας, κατὰ τὸν ἐν σποδιᾷ κρυπτόμενον σπινθῆρα, ἢ ζύμην ἐν τῷ φυράματι, ὅτε καὶ τῷ Φυτικῷ Σπέρματι ἔοικε. Τῇ δὲ ἐπὶ πρόσω προκοπῇ, τῇ τῶν ἀλόγων Ζώων ἐξομοιοῦται Ψυχῇ, ἀπὸ τῆς Φυτικῆς εἰς τὴν Αἰσθητικὴν προϊοῦσα, τῷ μετὰ τὴν ἐν τῇ νηδύϊ καταβολὴν μετασχεῖν Αἰσθήσεώς τινος καὶ Κινήσεως. Ἀνάγκης δὲ οὔσης ὅμοιον ἀποτελεσθῆναι τῷ προϊεμένῳ τὸ Σπέρμα, πρόεισιν εἰς τελειότητα τῆς λογικῆς Ψυχῆς, μετὰ τῆς ἐνεργείας τῶν Δυνάμεων αὐτῆς. Ὧ δὴ τρόπῳ καὶ τὰ περὶ τὰς ἄλλας Ψυχὰς οἰκονομοῦνται *) τελειωτικὰ, ἐκ τοῦ Σπέρματος Ψυχῆς ὄντες καὶ Σώματος, τελειούσης τῆς Φύσεως τὴν ὁμοιότητα τοῦ προϊεμένου αὐτὸ, Φυτοῦ μὲν τὸ αὐτὸ Φυτὸν, ὡσαύτως καὶ Ζωοφύτου· τοῦ τοιοῦδε δὲ Ζώου τὸ ὅμοιον Ζῶον· οὕτω καὶ τοῦ Λογικοῦ τὸ αὐτὸ Λογικόν. Καὶ ταῦτα μὲν ἐκεῖνοι. Καὶ εἴτις αὐτοῖς συσταίη, καὶ παραδέξαιτο οὕτως ἁπλῶς, ἀμήχανον μὴ οὐχὶ τῷ αὐτῷ τῆς ἀσεβείας βάθρῳ συγκατενεχθῆναι καὶ αὐτὸν τοῖς Αὐτοματισταῖς, οὐδαμοῦ τῶν τοιούτων ἐθέλουσιν ἔχειν χώραν τὸν Θεόν· φρονοῦσι δὲ πάντα ὑπὸ τῆς Φύσεως διευθύνεσθαι καὶ κυβερνᾶσθαι, καὶ ἀρχόμενα καὶ προκόπτοντα καὶ τελειούμενα, καὶ τὰ ἄλλα, ὅσα τῆς ἀπονοίας ἐκείνων ἐστίν. Ἀλλ' ἐκεῖνοι μὲν οὕτως.

Ἡμεῖς δὲ οὐκ ἀπαξιοῦμεν ἐκλεξάμενοι τούτων τὰ εἰκότα, καὶ ἐγκολπωσάμενοι, τὰ παράμουσα καὶ ἀπᾴδοντα ἐρίῳ στέψαντες ἀποπέμψαι, κατὰ τὴν παροιμίαν. Ἀλόγου γὰρ ἡττᾶσθαι δόξομεν μήνιδος, ἀθρόον πάντα διαβάλλοντες. Ἀναληπτέος δὲ ὁ Μάργαρος ἐκ τοῦ βορβόρου τοῖς γε φρενῶν εὖ ἔχουσίν ἐστιν· ὃ καὶ τοῖς Ἁγίοις καὶ ἱεροῖς τῆς Ἐκκλησίας Διδασκάλοις καὶ ἡμῶν μυσταγωγοῖς παρέστη, ὁπότε τούτοις Φυσιολογίας ἐδέησεν ἅψασθαι. Τῇ γὰρ ὁδηγίᾳ τοῦ Πνεύματος ἐκ τῶν Φυσικῶν τῆς ἔξω Σο-

*) ἐν ἑτ: ἐνεργοῦνται.

φίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φίας ἐκλεξάμενοι, καὶ τοῖς μὲν ἔξω τοῦ ὑγιοῦς τῆς εὐσεβείας σκοποῦ πλανωμένοις μὴ δὲ προσχόντες τὸν νοῦν, τὰ δὲ τούτῳ συνᾴδοντα ἐγχειρισάμενοι, οὕτω τὸν λόγον συνεξύφαναν.

Λέγομεν τοίνυν καὶ ἡμεῖς, διαγράφοντες τὸ ἀπεμφαῖνον τῶν λόγων ἐκείνων ὡς ἀχρεῖον καὶ ἀνόητον, προστιθέντες δὲ, ὃ αὐτοῖς ἐνδεῖ, τὸ ἀναγκαῖον καὶ ὑγιὲς, ὅτι ὁ Θεός ἐστιν ὁ Δημιουργὸς καὶ Κυβερνήτης πάντων τῶν ὄντων, ὃς ἐδημιούργησε ταῦτα τῷ προστάγματι ἐκ τοῦ μὴ ὄντος μετὰ καὶ τῶν φύσεων αὐτῶν. Πρώτως τοίνυν οὐδὲν τούτων ἐτελεσφόρησε βαθμῷ τινι καὶ προαγωγῇ φυσικῇ, σπέρματι δηλονότι καὶ αὐξήσει καὶ τελειώσει. Ἀπηξίωται γὰρ τοῦτο τῇ θείᾳ Ἰσχύϊ ὡς χρόνου δεόμενον, καὶ τύρβης καὶ σχολῆς· ἀλλ᾽ ἅμα τῷ δημιουργικῷ Προστάγματι, ἅπαν εἶδος φυτοῦ τέλειον ἀνῆκεν ἡ γῆ, μετὰ πεπόνων τῶν καρπῶν. Εἶτα καὶ τὸν Ἄνθρωπον, οὐ τὸν ὅμοιον τρόπον προστάγματι πρὸς τὴν γῆν παρήγαγεν, ἀλλ᾽ αὐτὸς οἰκείαις ἔπλασε χερσὶν, ἀντὶ Σπέρματος χρησάμενος τῷ Χοΐ, καὶ ἰδίῳ Ἐμφυσήματι ψυχώσας αὐτόν. Ἡ μέντοι Γραφὴ πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν ὁρῶσα, διὰ τὴν αὐτῆς παχύτητα προήχθη χρήσασθαι τῷ, ἔπλασε χερσὶ, καὶ τῷ, ἐνεφύσησεν. Ἅπαν γὰρ ἀπείρηται τῇ θείᾳ φύσει σωματικόν. Ἀλλ᾽ ἐπαξίως τῆς θείας φύσεως καὶ ἰσχύος φρονητέον ἡμῖν ἐστιν, ὡς ἐν τῷ ἀκαρεῖ νεύσει βουλήματος ἀθρόον τὸ λογικὸν τοῦτο τὸ Ζῶον ὑπέστησεν ἅμα, τῷ διαρτίσαι ἀπὸ χοὸς τὸ Σῶμα, κλίσας ἢ συγκλίσας, καὶ ἐνθεὶς αὐτῷ τὴν Ψυχὴν, οὐδενὸς καιρικοῦ διαστήματος τῇ ἀρχῇ καὶ τῇ τελειώσει αὐτοῦ μεσιτεύσαντος. Ταῦτ᾽ ἄρα καὶ Ἄνθρωπος ἐγένετο ἐκ Ψυχῆς ἀθανάτου καὶ Σώματος θνητοῦ, κατανοῶν τὸν Θεὸν τὸν ἴδιον αὐτοῦ δημιουργὸν, καὶ τ᾽ ἄλλα αὐτοῦ δημιουργήματα, τοῦ τῆς λογικῆς Ψυχῆς προτερήματος τοῦτο παρέχοντος αὐτῷ, οὗ τῶν ἄλλων οὐδενὶ δημιουργημάτων μέτεστι· τῷ Ἀνθρώπῳ δὲ μόνῳ. Ὃ δὴ μέρος τῆς τοῦ Θεοῦ δημιουργίας διεξιὼν ὁ μακάριος Ἰωάννης ὁ ἐκ Δαμασκοῦ, τὴν τοῦ πρώτου Ἀνθρώπου δηλαδὴ διάπλασιν, ἀπεφήνατο εἰπὼν, ἅμα τὸ Σῶμα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

» καὶ ἡ Ψυχὴ πέπλασται· οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστε» ρον, κατὰ τὰ Ὠριγένους ληρήματα. Ὦ καὶ ἡμεῖς συνά» δομεν νῷ τε καὶ λόγῳ, καὶ πᾶς ὅστις οὖν ἕτερος, ὅστις » βούλοιτο ἐκκλίνειν τῆς ἀπονοίας Ὠριγένους τοῦ Πλατωνικοῦ. Ἐπανιτέον δ᾽ ἐπὶ τὸ προκείμενον προσδιαρθροῦσιν ἡμῖν τοῖς προειρημένοις λόγοις τὸ ἐνδέον τῇ ἀρχῇ καὶ τὴν ἀναπλήρωσιν.

Τί οὖν ἐστιν ἐκεῖνο τὸ οἷόν τι βάθρον εἶναι ὀφεῖλον; Πᾶς τις ἂν εἴποι φρονῶν εὖ, ὅτι Θεός ἐστι Δημιουργὸς οὐ μόνον τῶν ἐκ γῆς, ἀλλὰ καὶ τῆς ἀνθρωπείας φύσεως, καὶ τῶν ἐν αὐτῇ ἀτόμων, ὁμοῦ τε καὶ καθ᾽ ἕκαστον, ὧν τὸ Σπέρμα πρόεισιν· ὥστε καὶ αὐτοῦ τοῦ Σπέρματος μετά γε τῆς ἐν αὐτῷ φυσικῆς δυνάμεως· καὶ οὐδὲν αὐτοῦ τῇ δημιουργικῇ προσίσταται δυνάμει, ἐφ᾽ ᾧ πρὸς Πάντα μικρά τε καὶ μείζω διατείνει, εἰ καὶ μηκέτι ἐκ νέου φύσεις δημιουργεῖ, ἀλλ᾽ ἃς φθάσας ἐδημιούργησε τὴν ἀρχὴν ἐν ταῖς ὡρισμέναις ἐκείναις ἡμέραις, ὥστε συνιστᾷν αὐτὰς καὶ κυβερνᾷν καὶ βελ» τιοῦν. Ἀεὶ γὰρ ἐργάζεται κατὰ τὸ λόγιον. Μέγας γὰρ » φησιν ὁ Κύριος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. Τά τε γὰρ » ταπεινὰ ἐφορᾷ καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. Τί δ᾽ ἂν ἄλλο φαίη τις τὴν τοιαύτην τοῦ Θεοῦ ἐπίβλεψιν, ἢ τὴν πρὸς πάντα δημιουργικήν τε καὶ συνεκτικὴν αὐτοῦ πρόνοιαν, καὶ τὴν πρὸς τὸ πρόσφορον ἑκάστου τέλους ὁδηγίαν; Ὥστε ἄνους καὶ ἄφρων ὁ ταύτῃ μὴ τιθέμενος τῇ » δόξῃ. Εἶπε γάρ, φησιν, Ἄφρων οὐκ ἔστι Θεός. Εἰ γὰρ μὴ ταῦτα ἐνεργεῖ, οὐκ ἔστιν. Ἀλλ᾽ ἔστι κἂν ἀπαρέσκῃ τῷ Ἄφρονι, καὶ ἀεὶ ἐνεργεῖ, ὡς Δημιουργὸς Θεός. Κτί» σον γάρ φησιν, ὁ Θεὸς καρδίαν ἐν ἐμοὶ καθαρὰν Δαβὶδ ὁ παρ᾽ αὐτοῦ τὰ τῆς αὐτοῦ σοφίας ἄδηλα καὶ κρύφια διδαχθείς. Τὸν τοιοῦτον ἐπιπλήττων Ἄφρονα, καὶ Ἀθα» νάσιος ὁ μέγας, ἐν τῷ εἷς ὁ Χριστὸς λόγῳ, φησί· Καὶ » ἡ χεὶρ δὲ ἡ πλάσασα τότε τὸν Ἀδάμ, αὐτὴ καὶ νῦν καὶ » ἀεὶ τοὺς μετ᾽ ἐκεῖνον πάλιν πλάττει. Καὶ συνίστησι καὶ » τοῦτο ὁ Θεὸς αὐτός· τῷ μὲν Ἱερεμίᾳ φησί· Πρὸ τοῦ με » πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε. Καὶ πάλιν διὰ Ἡσαΐου » φησίν· Οὕτω λέγει Κύριος ὁ λυτρούμενός σε καὶ πλάσας σε

ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν κοιλίᾳ. Καὶ ὁ Δαβίδ. Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. Καὶ ἐν τῷ Ἡσαΐᾳ· Οὕτω λέγει Κύριος ὁ πλάσας με ἐν κοιλίᾳ δοῦλον ἑαυτῷ. Ἀλλ᾽ ἐπὶ τὴν ἀρχὴν ἐπανέλθωμεν.

Δημιουργήσας ὁ Θεὸς τὰ πάντα ὃν τρόπον εἴρηται, ὁμοῦ τῇ τελειότητι αὐτῶν, τοῖς μὲν ἀναχοῦσι τῆς γῆς, ἐχαρίσατο τὴν αὔξησιν καὶ τὸν πληθυσμόν, οὐ τὸν ὅμοιον τρόπον εἰς τὸ ἑξῆς ἄνευ Σπέρματος καὶ τέλεια ἀνίσχειν, ἀλλὰ τῇ σπερματικῇ δυνάμει τῇ ἐντεθείσῃ τοῖς Σπέρμασι παρ᾽ αὐτοῦ κατὰ τὸν ἐκ Δαμασκοῦ θεοῤῥήμονα φάσκοντα. Οἷς τὸ θεῖον ἐνέθηκε πρόσταγμα, δύναμιν αὐξητικήν τε καὶ θρεπτικήν, καὶ σπερματικήν, ἤτοι ὁμοουσίου γεννητικήν, ἵνα τῇ τοιαύτῃ δυνάμει προάγωσι τὰ σπέρματα τῶν φυομένων τὰ εἴδη εἰς πληθυσμόν. Ἐπέστησε δὲ τὴν Φύσιν, ἵνα τὴν προαγωγὴν ἐργάζηται εὐτάκτῳ ὁδῷ τινι, καὶ σοφίαν ἐχαρίσατο τὴν ἀπ᾽ ἀρχῆς εἰς τέλος ταύτην οἰκονομοῦσαν.

Τίς οὖν ἡ σοφία τῆς Φύσεως; καταβληθέντος τοῦ Σπέρματος ἐν ταῖς τῆς Γῆς λαγόσιν, ἡ Φύσις κινήσασα τὴν σπερματικὴν δύναμιν ἀναζωπυρήσασα τὸ Σπέρμα διὰ τῆς περιθάλψεως καὶ τῶν ἰκμάδων τῆς γῆς, καὶ οἷόν τινα ὕλην ἐξ αὐτῶν μηχανωμένη, καὶ παρεχομένη, ἐξ ὧν ἡ φυὴ γίνεται, προάγει ταύτην εἰς τὰ ἔξω, καὶ εἰς τελείωσιν ἐπάγει ταῖς κατὰ μικρὸν προσθήκαις, ὑπουργούντων πάντων, οἷς ἐνέθηκεν ὁ Θεὸς ὀργάνοις εἶναι καὶ συνεργοῖς τὰ τοιαῦτα τελειοῦν. Καὶ ταῦτα μὲν ἐπὶ τῶν ἐκ γῆς ἀναδιδομένων.

Ἡ δὲ περὶ τὰ Ἄλογα τῶν Ζώων γινομένη παρασκευὴ τῆς διαδοχῆς αὐτῶν καὶ αὐξήσεως, ἔχει τὶ πλέον, ὡς ἔστι μαθεῖν ἀπὸ τῆς Γραφῆς. Περὶ μὲν γὰρ ἐκείνων φησίν. Εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω ἡ Γῆ Βοτάνην Χόρτου, καὶ Ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ Σπέρμα αὐτοῦ ἐν αὐτῷ. Περὶ δὲ τούτων· Ἐξαγαγέτω ἡ Γῆ Ψυχὴν ζῶσαν κατὰ Γένος Τετράποδα καὶ Ἑρπετὰ θηρία. Φαίνεται τοίνυν ὡς ἡ σπερματικὴ δύναμις τῶν Φυτῶν ὁδῷ βαδίζουσα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προκέκοφεν, ἐπὶ τὴν τῶν Ζώων γένεσιν προσλαβοῦσα τὶ πλέον. Ἐκλήθη γὰρ Ψυχὴ πάντως, ὅτι καὶ πλείω ἔχει γνωρίσματα Ψυχῆς ἢ ἡ Φυτική. Καὶ γὰρ ζωογονεῖ τὸ Ζῶον καὶ κινεῖ, καὶ αἴσθησιν αὐτῷ ἐμποιεῖ καὶ γνῶσιν. » Ἔγνω γάρ φησι, Βοῦς τὸν κτησάμενον, καὶ Ὄνος τὴν Φάτνην τοῦ Κυρίου αὐτοῦ· καθ' ἃ καὶ λέγοιτο ἂν Ψυχή, ἀλλ' οὐ κυρίως. Τοῦ παντὸς γὰρ δέει, ἐφ' ᾧ ἔσται κυρίως Ψυχή. Οὐδὲ γὰρ ἐκ τοῦ Θεοῦ πέπλασται, ἀλλ' ἐκ τῆς Γῆς ἀνέσχε. Καὶ ἵνα τ' ἄλλα παρῶ, ἀνούσιος καὶ ἀνυπόστατος, καὶ ἀχώριστός ἐστι τοῦ Σώματος, ὅθεν καὶ συμφθείρεται αὐτῷ. » Γῆ γάρ ἐστι καὶ εἰς γῆν διαλύεται. Ψυχὴ γάρ ἐστι τοῦ Ζώου τὸ αἷμα αὐτοῦ. Τὸ δὲ αἷμα ἐκ τῆς γῆς ἔχον τὴν γένεσιν, διὰ τῶν ἐκ γῆς ἀναδιδομένων τροφῶν, καὶ πηγνύμενον εἰς σάρκα, μετὰ μικρὸν πάλιν εἰς γῆν σὺν αὐτῇ καταλύει. Ἡ γῆ γὰρ ἀνθέλκει καὶ ὃ φθάσασα παρέσχετο. Τοῦτο καὶ ὁ ἐκ Δαμασκοῦ Θεολόγος φυσιολογῶν φάσκει. » Οἱ μὲν γὰρ καρποὶ ἐκ τῶν Στοιχείων συνίστανται, οἱ δὲ χυμοὶ ἐκ τῶν καρπῶν. Τὰ δὲ τῶν Ζώων Σώματα ἐκ τῶν χυμῶν, καὶ εἰς αὐτὰ ἀναλύεται ἐξ ὧν καὶ συνετέθη. Ἐνθέντοι καὶ τὸ Σπέρμα τοῦ Ζώου ἐκ γεηρᾶς συστὰν ὕλης, τοιαύτης ὕλης ἐστὶν ἀρχὴ τῷ προστάγματι τοῦ Θεοῦ, ἵνα ᾖ τοῦ ὁμοίου γεννητικόν, κατὰ τὰ ἄλλα τῶν ἑτεροουσίων Σπέρματα. Ὃ καταβληθὲν ἐν τῇ τοῦ ζώου Νηδύϊ τῇ περιθάλψει τῆς Μήτρας αἱματοῦται, ταὐτὸν δ' εἰπεῖν Ψυχὴ τοῦ Ζώου γίνεται, καὶ οὕτω ζῇ ἐν τῇ Μήτρᾳ, προβιβασθὲν διὰ τῆς ἐμψυχώσεως ἐκείνης εἰς Ζωοφύτου φύσιν. Τότε γὰρ οὐδὲν πλέον, οὔθ' ἧττον ἔχει, ἕως ἂν ἐκεῖσε μένῃ, καὶ ἅμα τῷ προελθεῖν ἐκεῖθεν τελειοῦται τὸ Ζῶον ἐν ταῖς προσηκούσαις τελειότησι πάσαις, καὶ ἀποτελεῖται ἄλογον Ζῶον, ὡς ἐκ Σπέρματος ἀλόγου προβιβασθὲν κατὰ τὴν ἀποκληρωθεῖσαν αὐτῷ δύναμιν ἀπὸ Θεοῦ, ἀποτελεῖν τὴν ὁμοιότητα τοῦ προϊσχομένου αὐτό. Ἐπανίτω δ' αὖθις παρὰ τὸν σκοπὸν ὁ Λόγος ὃν προεστησάμεθα. Οὗ χάριν καὶ τὰ ἐς δεῦρο διεξιέναι ἡμῖν ἐπῄει, ἐφ' ᾧ καὶ τοὺς ἐφεξῆς λόγους ῥᾳδίαν σχεῖν τὴν κατάληψιν ἀπὸ τῶν προειληφότων. Περὶ γὰρ τῆς τελειοτάτης,

της,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

της, καὶ ἣ μόνη κυρίως ἂν λέγοιτο Ψυχὴ, λόγῳ τετιμημένη, οὐσίᾳ τε ἐνυποστάτῳ σεμνυνομένη ὁ σκοπὸς τοῖς λόγοις τούτοις.

Καὶ δὴ φαμὲν ἐξ ἐφόδου τῷ Λόγῳ βοηθοῦντες, ὡς αὕτη ἐστὶ τὸ ἐξαίρετον καὶ ὑπεραῖρον πάντων τῶν ἐπὶ γῆς τοῦ κτίσαντος αὐτὰ κτισμάτων. Ὃ καὶ ὁ θεόπτης Μωϋσῆς δεῖξαι βουληθεὶς, τοῖς λόγοις τούτοις ὑπεσημήνατο. Ἐνεφύσησεν εἰπὼν ὁ Θεὸς, καὶ ἐγένετο εἰς Ψυχὴν ζῶσαν. „ Ὡς καὶ περὶ τοῦ ταύτης ὀργάνου, τοῦ Σώματος λέγω, εἴρηκε χερσὶ Θεοῦ πεπλάσθαι αὐτὸ, δεικνὺς ὅσον τιμᾶται τὸ ἐξ ἀμφοῖν τούτων πλασθὲν αὐτῷ Ζῶον, οὗ χάριν καὶ τὸ διάφορον τοῦ τρόπου τῆς δημιουργίας ἐμηχανήσατο. Ἕτερον μὲν τὸν τῶν Φυτῶν, καὶ ἄλλον τὸν τῶν Ἀλόγων, καὶ ἰδιάζοντα ἕτερον τὸν τοῦ Ἀνθρώπου τρόπον τῆς Δημιουργίας συνθέμενος. Ἔχομεν τοίνυν ἐκ τῶν ἱερῶν τούτων τοῦ Πνεύματος λογίων τὸ Ἀξίωμα, καὶ τὴν μεθ᾽ ὅσης τῆς χάριτος προεδρίαν τῆς λογικῆς Ψυχῆς, καὶ ὅπως ἀπείρῳ τῷ μέσῳ τοῖς πᾶσι διαλλάττει τῶν ὁμωνύμων αὐτῇ.

Ἀλλ᾽ ἐνταῦθα ζητεῖται, μᾶλλον δὲ οὐκ ἀτημελῶς ἐζήτηται ἐπὶ τῶν προτέρων, πότερον; ἡ Ψυχὴ προηγεῖται τοῦ Σώματος κατὰ τὴν ὕπαρξιν χρονικῷ τινι διαστήματι, ἢ τοῦτο τῆς Ψυχῆς; Καὶ περὶ ταύτην τὴν ζήτησιν ὅτι πλεῖστοι προυβλήθησαν λόγοι παρὰ πολλῶν, τῶν μὲν, τῇ προϋπάρξει, τῶν δὲ, τῇ μεθυπάρξει συνισταμένων. Οὓς ἡμῖν ἐατέον δοκεῖ ἀλλήλους ἀντιλέγειν καὶ ἀνατρέπειν. Ἡμεῖς δ᾽ ἐγχειρισάμενοι τὰ τοῦ ἱεροῦ Διδασκαλίου ῥήματα, καὶ ἀναπτύσσοντες ταῦτα, ἐροῦμεν συνάρσει Θεοῦ τὰ εἰκότα, ὅσα ἡμῖν ὑφηγεῖται ἡ περὶ τὸν τρόπον τῆς διαπλάσεως τοῦ λογικοῦ τούτου Ζώου γεγενημένη θεία οἰκονομία, ἔκ τε τῶν κατ᾽ ἀρχὰς ἐκ Θεοῦ περὶ ταύτην διαπεπραγμένων, καὶ ἐκ τῶν ἐς δεῦρο γινομένων, ἤδη καὶ πείρᾳ καὶ ὄψει πιστουμένων, ἀναλεξάμενοι τὴν ἀλήθειαν ὡς οἷόν τε. Οὐχ ἥκιστα δὲ καὶ παρὰ τῶν Διδασκάλων ἐρανιζόμενοι τὰ ὑγιῆ τῆς Ἐκκλησίας φρονήματα, ἐξ ὧν ὡς ἔνεστιν ἡμῖν πειρα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σόμεθα σαφῆ ποιῆσαι τοῦ ζητουμένου τὴν δήλωσιν. Λέγομεν δὲ οὕτω.

Τῷ παντοδυνάμῳ Θεῷ ἡμῶν τὸν ὁρώμενον τοῦτον κόσμον ὑποςήσασθαι βουληθέντι, συνεργίας οὐκ ἐδέησε τῆς οὐσιῶν, ἢ Φύσεως, ἢ Στοιχείων, ἢ ἄλλου τινὸς, ὄντι μᾶλλον Δημιουργῷ καὶ αὐτῶν. Ἐφ᾽ ᾧ οἷον τινας Ἀρχὰς εἶναι, ἢ Ῥίζας, καὶ Ὑποβάθρας τῶν αὐτοῦ δημιουργημάτων. Παρήγαγε τοίνυν ἅπαντα τὰ Εἴδη τὰ σπερματικὰ, ἅμα τῷ δημιουργικῷ προςάγματι τέλεια, καὶ οὐ κατὰ τὴν μετέπειτα γεγενημένην Φυσικὴν εὔτακτον καὶ κατὰ βραχὺ πρόοδον. Οὕτω καὶ ὅσα ὑπὸ τὸ Φυτὸν εἴδη, καὶ ὅσα ὑπὸ τὸ ἄλογον Ζῶον. Ἐπὶ τούτοις διαπέπλαςαι αὐτῷ, καὶ τὸ λογικὸν τουτὶ Ζῶον ὁ Ἄνθρωπος τέλειον καὶ αὐτὸ, συγκλιθείσης ἅμα τῷ Σώματι καὶ τῆς Ψυχῆς, οὐδενὸς καιρικοῦ διαςήματος μεσιτεύσαντος· εἰ καὶ τὸ Ἅμα προήγησίν τινα ὑπεμφαίνει τοῦ ἑτέρου, ὡς ὅταν λέγωμεν, Ἅμα τῷ λόγῳ τὸ ἔργον ἐπηκολούθησε. Τουτέςι μετὰ τὸν λόγον, καὶ ἡ τοῦ ἔργου ἐνέργεια τετέλεςαι. Εἰ γὰρ μὴ τοῦτο ἦν καὶ ἐναλλὰξ ἂν ἠδύνατο λέγεσθαι, ἅμα τῇ Ψυχῇ καὶ τὸ Σῶμα διαπέπλαςαι. Ἀλλ᾽ οὐδαμοῦ τῆς Γραφῆς εὑρήσει τοῦτό τις. Οὐ γὰρ οἷόν τε προηγεῖσθαι τὸ Εἶδος τῆς Ὕλης. Ἀνάγκη γὰρ ὑποςάσῃ τῇ Ὕλῃ περιγενέσθαι αὐτῇ τὸ Εἶδος ἐν ταὐτῷ. Ὥςε πρώτη ἡ τῆς Ὕλης κατασκευὴ, εἶτα ἡ ἐν τῷ Εἴδει τελειότης. Ἐντελέχεια δὴ ἐςὶν ἡ Ψυχὴ, καὶ Εἶδος ἐντιθεῖσα τῷ Σώματι, καὶ μίαν ὑπόςασιν ἐργαζομένη τὸν Ἄνθρωπον. Καὶ Εἴ τις μετὰ τὸ πλασθῆναι τὸ Σῶμα καὶ ἀπαρτισθῆναι, ἐγχεθῆναι αὐτῷ καὶ τὴν Ψυχὴν εἴποι ἐκ Θεοῦ, οὐκ ἂν ἁμάρτοι. Τούτῳ τῷ λόγῳ γένοιτ᾽ ἂν καὶ τοῖς εἰρημένοις παρὰ τῶν Ἁγίων, τῶν μὲν λεγόντων ἅμα τῷ Σώματι καὶ ἡ Ψυχὴ πέπλαςαι· τῶν δὲ, ὅτι διαπεπλασμένῳ καὶ ὀργάνου τάξιν ἀπειληφότι τῷ Σώματι θεόθεν ἐγχεῖται ἡ Ψυχὴ, ἡ ἐν τῷ αὐτῷ νοῒ συνδρομή. Ταῦτα δὲ ὑποτίθησιν ἡμῖν ἡ τοῦ ἁγίου Πνεύματος χάρις διὰ τῆς τοῦ θεόπτου Μωϋσέως γλώττης. Ὥςε μὴ ἂν εἶναι μηδένα τῶν πάντων ἔχειν διαπιςεῖν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τούτων οὕτω παρηκολουθηκότων τῷ τότε, κατὰ τὴν πρώτην καταβολὴν τῆς δημιουργίας, καὶ τοῦ Θεοῦ τὴν εἰς τὸ ἑξῆς αὔξησιν καὶ τὸν πληθυσμὸν χαρισαμένου τούτοις τῷ ἰδίῳ προστάγματι, οὐκ ἔστιν ὁρᾷν ὑπὸ τὸν αὐτὸν καὶ ἕνα τρόπον τῆς αὐξήσεως καὶ τῆς τελειώσεως ὄντα, τά τε τῆς φυτικῆς μετέχοντα, τά τε τῆς αἰσθητικῆς Ψυχῆς, καὶ τὸν τῆς λογικῆς Ψυχῆς Ἄνθρωπον. Ἀλλὰ τὸ διάφορον τῆς δημιουργίας αὐτοῦ φαίνεται, καὶ ἐν τῇ τελειώσει αὐτοῦ τὸ διαλλάττον ἐχούσῃ ἀπὸ τῆς ἐκείνων τελειώσεως. Τῶν μὲν γὰρ ἄλλων κοινωνεῖ τοῖς Φυτοῖς καὶ Ἀλόγοις. Καὶ μετὰ τὴν τοῦ Σπέρματος καταβολὴν, ἀλλοιουμένου τούτου καὶ σαρκουμένου, αὔξει μεγέθει, ὅ ἐστι Ψυχῆς ἔργον θρεπτικῆς, καὶ οἷόν τι Ζωόφυτον ἀποκαθίσταται. Ἐπειδὰν δὲ καὶ μέλεσι καὶ μορίοις διαρθρωθῇ, τότε καὶ ἡ θρεπτικὴ εἰς τὴν αἰσθητικὴν Ψυχὴν προβαίνει, τῷ πρὸς τῷ θρεπτικῷ καὶ τὸ αὐξητικὸν λαβεῖν, καὶ οὕτω γίνεται Ζῶον οὕτως εἰδοποιηθὲν τὸ ἐν τῇ Μήτρᾳ Ἔμβρυον ἐν ὡρισμέναις ἡμέραις. Καὶ ταῦτα μὲν κοινὰ πᾶσι τοῖς ἐκ Σπέρματος. Ἀλλὰ τοῖς ἄλλοις οὐ δεῖ λογικῆς Ψυχῆς. Τῷ δὲ Ἀνθρώπῳ μάλιστα, ἵνα ᾖ Ἄνθρωπος, τούτου δὲ οὐ κοινωνεῖ ἐκείνοις· Ἐγκτίζεται γὰρ αὐτῷ παρὰ Θεοῦ ἡ Ψυχὴ ἰδιάζοντι τρόπῳ. Καὶ ἐν ἐκείνοις εἴτις ἐρεῖ ἐκ τοῦ Σπέρματος ἡ Ψυχὴ, ἢ τὸ αὐτὸ Σπέρμα καὶ Ψυχὴ οὐ διοίσομαι.

Ἐν τῷ ἀνθρώπῳ δὲ οὐχ οὕτως. Οὔτε γὰρ τὸ Σπέρμα ἔμψυχον (Ὠριγένους γὰρ ἐστι τοῦτο φλυαρία, καὶ ἀποκεκήρυκται παρὰ τῆς Ἱερᾶς Ἐκκλησίας) οὔτε Ψυχῆς ἀρχὴ, ἀλλὰ σώματος, ὅτι καὶ αὐτὸ σῶμα σύνθετον συνθέτου, ὑλικὸν ὑλικοῦ, φθαρτὸν φθαρτοῦ, εἰκὼν τοῦ χοὸς ἐξ οὗ τὸ σῶμα, σύγκραμα τῶν τεσσάρων Στοιχείων τῶν συνιστώντων τὸ σῶμα. Ἔχει δέ πως δυναμικῶς πρὸς τὸν Ἄνθρωπον ἀνθρώπινον Σπέρμα. Μὴ γίνεσθαι γὰρ ἄνθρωπον, ἀλλά τι ἕτερον ἐκ τοιούτου Σπέρματος οὐχ οἷόν τε. Ταύτην γὰρ μόνην εἴληφε τοῦτο δύναμιν ἐκ Θεοῦ τὴν σπερματικὴν, ἤτοι ὁμοίου γεννητικήν. Ἕτερον δὲ οὐδέν. Ἄνθρωπος δέ ἐστιν

ἐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ Ψυχῆς λογικῆς καὶ Σώματος· τοῦ μὲν Σώματος ἔχοντος τὴν ἀρχὴν ἐκ τοῦ Σπέρματος, τῆς δὲ Ψυχῆς ἐκ τοῦ Θεοῦ τρόπῳ δημιουργίας. Ἥτις ἐστὶν Ἀσώματος Ἐκ τοῦ Ἀσωμάτου, Ἄϋλος ἐκ τοῦ Ἀΰλου, Ἀθάνατος ἐκ τοῦ Ἀθανάτου, Ἁπλῆ ἐκ τοῦ Ἁπλουστάτου· Φύσει μὲν δούλη Θεοῦ· χάριτι δὲ καὶ αὐτὴ Κυρία ἐκ τοῦ τῶν ὅλων Κυρίου τοῦ Θεοῦ, ἔχουσα τὸ σῶμα ὑποχείριον Φύσει, εἰ μήπου παρὰ Φύσιν κατεξαναστείη τῆς κυρίας τὸ δοῦλον. Ὥστε πόῤῥω παντὸς εὐλόγου λόγου σύμφυτον ἡγεῖσθαι τὴν Ψυχὴν τῷ Σώματι, καὶ τὴν αὐτὴν ἔχειν ἀρχὴν ἀμφότερα οὕτω διαλλάττοντα. Ἡ δέ γε τοῦ Ὠριγένους κακόνοια ὑποτίθεται τὴν προΰπαρξιν, καὶ τοὺς μεταγγισμοὺς, ἀπὸ σώματος εἰς σῶμα μετατιθεῖσα τὴν Ψυχὴν διὰ τῶν Σπερμάτων, κατὰ τὴν Πλάτωνος μυθολογίαν. Εἰ γὰρ ἀπὸ τοῦ πρώτου Ἀδὰμ ἀρξάμενον τὸ Σπέρμα ἐψυχωμένον μεταβαίνει ἀλληλοδιαδόχως μέχρις ἡμῶν, τί ἄλλο, ἢ κατὰ μεταγγισμὸν πρόεισιν, ἑκάστου ἀεὶ τὴν ψυχὴν προϊσχομένου τῷ ἐφεξῆς διὰ τοῦ Σπέρματος; Καὶ λοιπὸν οὐδὲ ἀπὸ Θεοῦ πλάττεται, καὶ χώρα τῷ αὐτομάτῳ. Διαπέπλωκε δὲ καὶ τοῖς Ἁγίοις ὁ περὶ τούτου λόγος. Οὐκ ἔστι τοῦτο οὐκ ἔστιν. Ἀλλὰ τὸ ἀνθρώπειον Σπέρμα τὸν Χ̄ν εἰκονίζει τὸν ἐξ ἀρχῆς ληφθέντα, καὶ εἰς ἀνθρώπινον μεταμειφθέντα σῶμα παρὰ Θεοῦ· ᾧ λόγῳ καὶ τὸ, Χοϊκοὶ καὶ Γηγενεῖς εἶναι καὶ λέγεσθαι » ἕλκοντες ἐκ τοῦ Ἀδάμ, (ὁ πρῶτος γάρ, Φησιν, Ἄνθρωπος » ἐκ γῆς χοϊκός.) οὔτε ἀπεβάλομεν οὔτε ἀποβαλοῦμεν. Τοῦτο γὰρ τῷ γένει σύμφυτον, καὶ τῷ πρώτῳ Ἀνθρώπῳ ἡμᾶς ἑνοῦν, κἀκεῖνον ἡμῖν. Ἄκουε τοῦ μεγάλου Ἀθανα- » σίου ἐν τῷ περὶ σαρκώσεως τοῦ Χριστοῦ λέγοντος. Οὐχ ὁ- » μοούσιος οὖσα ἡ Σὰρξ τῆς τοῦ λόγου θεότητος ὡς συναΐ- » διος, ἀλλὰ ἰδία κατὰ Φύσιν γενομένη, καὶ ἀδιαίρετος » καθ' ἕνωσιν, ἐκ Σπέρματος Δαβὶδ καὶ τοῦ Ἀβραάμ, καὶ » τοῦ Ἀδάμ, ἐξ οὗ καὶ ἡμεῖς γεγεννήμεθα. Καὶ πάλιν, » ἐν τῷ, ὅτι εἷς ὁ Χριστός. Ἐκ τοῦ Ἀδὰμ τὸ σχῆμα προσ- » λαβὼν τὴν Σάρκα λέγω· Σάρκα δὲ λέγω τὴν μετὰ » Ψυχῆς ἀνθρωπίνης, καὶ γενόμενος ἄνθρωπος κατὰ τὸ ὁρατόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁρατόν. Ὁρᾷς ὅτι κατὰ τὴν Σπερματικὴν δύναμιν ἐσμὲν
ἐκ τοῦ Ἀδὰμ, ἥτις τὴν Σάρκα συνιστᾷ. Τὸν δὲ Χριστὸν δι-
δάξας τὴν Σάρκα προσλαβόντα ἐκ τοῦ Ἀδὰμ μετὰ Ψυ-
χῆς ἀνθρωπίνης φησὶ, καὶ οὐ Σάρκα μετὰ Ψυχῆς ἐκ τοῦ
Ἀδάμ. Ἡ δὲ ψυχὴ εἰκών ἐστι τοῦ Θεοῦ καὶ θεία ἐπίπνοια,
ἐν ἑκάστῳ τῶν ἀνθρώπων παρὰ Θεοῦ κτιζομένη κατὰ τοὺς
ἁγίους Διδασκάλους. Εἰ δὲ εἰς ἄκραν ἕνωσιν συνέρχεται
τῷ σώματι, καὶ μίαν ὑπόστασιν ἀποτελεῖ, ἀλλ' αἱ ἑκα-
τέρων οὐσιώδεις διαφοραὶ, οὐ συνέρχονται εἰς ταὐτόν. ἢ
γὰρ ἂν ἐγεγόνει κρᾶσις ἢ σύγχυσίς τις τῶν οὐσιῶν ἑκατέ-
ρων· σωζόμεναι δὲ σώζουσι καὶ τὰς φύσεις τὰς οἰκεί-
ας, κατὰ τὸν ἐν ἁγίοις Μάξιμον λέγοντα ἐν δευτέρῳ »
Κεφαλαίῳ τῶν κατὰ τῶν Αἱρέσεων. Ἡ ἄκρα ἕνωσις »
ἐπὶ τοῦ Ἀνθρώπου καὶ Ταυτότητα ἔχει καὶ Ἑτερότητα. »
Ταυτότης μὲν γὰρ ἐστι προσώπου, ἑτερότης δὲ οὐσιῶν. »
Ἑνὸς γὰρ ὄντος τοῦ Ἀνθρώπου, ἄλλης οὐσίας ἐστὶν ἡ Ψυχὴ, »
καὶ ἄλλης τὸ Σῶμα, διὰ τοῦτο καὶ τὸ σῶμα εἰς γῆν ἐπά- »
νεισιν, ἐξ ἧς ἐλήφθη, διαλυθὲν τῆς Ψυχῆς· Γῆ γὰρ εἶ φη- »
σι, καὶ εἰς γῆν ἀπελεύσῃ, οὐκ ἐφικνουμένου τούτου τοῦ λογίου »
καὶ τῆς Ψυχῆς· ἕτερον δὲ ἡτοιμάσθη αὐτῇ τὸ κατάλυ- »
μα. Ἥξει δέ ποτε καὶ τὸ σῶμα ἐκεῖ σὺν αὐτῇ, ἀλλὰ ἀλ- »
λοιωθὲν μυστηριώδει λόγῳ καὶ θειοτέρῳ. Φαίνεται τοίνυν ἀρι- »
δήλως, ὅτι τὸ Σπέρμα τὸ ἀνθρώπειον, οὔτε Ψυχῆς ἐστιν
ἀρχὴ, οὔτε Ψυχὴν ἐνίησι τῷ σώματι. Εἰ γὰρ ἀπὸ Ἐμψυ-
χωμένου πρόεισι σώματος, ἀλλὰ τὸ ἑαυτοῦ δίδωσι σῶμα.
Ἡ ψυχὴ δὲ οὐ γεννᾷ ψυχὴν, κατὰ τοὺς τῶν ἀφρόνων λή-
ρους. Ψυχῶν δὲ ὅμως ἐστὶν ἀρχὴ τὸ Σπέρμα τῶν ὑλωδῶν,
θρεπτικῆς τε καὶ αὐξητικῆς καὶ αἰσθητικῆς, αἳ καὶ τῷ
ἀνθρωπίνῳ σώματι ἐνθεωροῦνται τὸ κατ' ἀρχὰς ἔτι ὄντι
ἐν τῇ Μήτρᾳ, οὐχ ὡς ἐνυπόστατοι οὐσίαι· οὐ γάρ εἰσι· δυ-
νάμεις δὲ μόνον, ἡ φυτικὴ δηλαδὴ, καὶ ἡ αἰσθητική. Γυ-
μνάσωμεν δὲ τὸν λόγον, εἰ δοκεῖ, καὶ παραδείγματι, ἵν' εὐσύ-
νοπτος γένηται.

Οἱ τῶν ἰατρῶν φασι παῖδες ἐκ τῆς συνεχείας ἀποτίκτεσθαι θέρμην· ἡ δὲ, φύσις ἐστὶ Πυρὸς, ὡς καί τις τῶν

πάλαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάλαι Σοφῶν εἴρηκεν· ὅτι τὸ ἀγαθοποιεῖν φύσις ἐστὶ Θεοῦ, ὡς καὶ τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φωτὸς τὸ φωτίζειν. Συντριβομένων τοίνυν συνεχῶς Λίθου τε καὶ Σιδήρου, καὶ γινομένης θέρμης ἐκ τῆς συντριβῆς, ἀποπάλλεταί τι φωτοειδὲς, ἢ πῶς εἴπω, πυροειδὲς ἔξαλμα, κατὰ τὴν διάττουσαν ἀστραπὴν τὰς ὄψεις περιαστράπτον, οὔτε δὲ πῦρ ἐστιν, ἢ γὰρ ἂν ὑφίστατο κἂν ἀκαριαῖον χρόνον, οὔτε πυρώδους ἀμοιρεῖ δυνάμεως. Μὴ ὂν δὲ, οὔτε ὑφίσταται, οὔτε διαμένει. Οἴχεται γὰρ ὁμοῦ τῷ φανῆναι· Πελλοστὸν δέ τι μέρος εἰ τύχοι δράξασθαι ὕλης τινὸς εὐπρήστου, τυχὸν μὲν οὐδ' οὕτως εἰς ὑπόστασιν πυρὸς τελειοῦται. Ἐπεισπεσούσης δέ τινος αὔρας ῥιπιζούσης αὐτὸ, ἀναζωπυροῦται καὶ εἰς ὑπόστασιν ἔρχεται πυρός. Τοῦτ' αὖτις κατίδοι καὶ ἐπὶ τοῦ ἀνθρωπείου Σπέρματος. Πολλὰ μὲν προΐσχεται ἡ φύσις τοῦ σώματος, ὧν καὶ εἰκῇ χέονται τὰ πλεῖστα· ἐξ ὧν οὐκ αὖτις εὐφρονῶν λογικὰς ἀπαιτήσει ψυχὰς ὡς ἀπὸ λογικῶν ἐκκρινομένων. Οἴχονται γὰρ εὐθὺς καὶ εἰς τὸ μηδὲν χωροῦσι, κατὰ τὸ ἐκ τῆς συντρίψεως ἐκεῖνο πυροειδὲς ἔξαλμα· ὅπερ οὔτε πῦρ ἐστιν, οὔτε ἀρχὴ γίνεται πυρὸς αὐτὸ καθ' αὐτό. Τὸν ὅμοιον τρόπον καὶ πολλῶν Σπερμάτων ἀπορρυέντων, ὅπερ ἂν ἐπιτηδείου τύχῃ χώρου ἐν τῇ Μήτρᾳ ἐκεῖσε ἀλλοιωθὲν, καὶ εἰς σῶμα μεταποιηθὲν τῇ σπερματικῇ δυνάμει καὶ ζωτικῇ, τῇ συνεχούσῃ καὶ διασφιγγούσῃ αὐτὸ, φύσει σκεδαστὸν ὂν καὶ εὐδιάχυτον, τῇ τε τῆς φύσεως εὐτάκτῳ προαγωγῇ, καὶ τῇ συνεισφορᾷ τῆς ὕλης, αὔξει καὶ ψυχοῦται τῇ φυτικῇ πρῶτον Ψυχῇ, καὶ συναύξει τὸ Σῶμα τῇ Ψυχῇ, καὶ ὥσπερ Ζωόφυτον ἀποκαθίσταται. Εἶτα καὶ ζώου φύσιν προβιβαζόμενον ἀπολαμβάνει· οὐκ ἓν μὲν ἄλογον ζῶον, οὐδὲ ζώου ἀλόγου φύσιν ἔχον, διὰ δὲ τὸ ἀτελὲς ἐοικὸς αὐτῷ, δυνάμει δὲ ἔχον τὴν τοῦ ζώου τοῦ λογικοῦ φύσιν. Ἢ τί ἂν εἴποις περὶ τοῦ καταβληθέντος ἑνὸς Σπέρματος, καὶ τρία σώματα ἔμψυχα ἀποτελέσαντος· τρεῖς ἄρα ψυχὰς ἔχον ἐνίησι τοῖς τρισὶ σώμασιν ἐκείνοις; Καὶ τίς εὖ ἔχων νοῦ λέξει τοῦτο; Ἀλλ' ἢ δυνάμει ὁ τοῦ Σίτου

κόκκος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κόκκος τὰς πολλὰς ὑποστάσεις τοῦ Σίτου ἀποτελεῖ ἐν τῷ Σταχυΐ, τῇ αὐτῇ καὶ τὸ ἀνθρώπειον Σπέρμα, τό, τε ἓν πλείω σώματα.

Εἰ δέ τινα θράττουσιν αἱ Φωναί, λεγόντων ἡμῶν, ὅτι ὁ Ἄνθρωπος ζῇ τὴν τοῦ Φυτοῦ ζωήν, καὶ τὴν τοῦ Ζωοφύτου, καὶ τὴν τοῦ ἀλόγου Ζώου, καὶ τοῦ Λογικοῦ ὕστερον, ἀκουσάτω τοῦ θεολογικωτάτου Ἰωάννου τοῦ Δαμασκηνοῦ, φάσκοντος
ἐν τῷ περὶ τοῦ Ἀνθρώπου Κεφαλαίῳ. Χρὴ γινώσκειν ὅτι ,,
ὁ Ἄνθρωπος καὶ τοῖς Ἀψύχοις κοινωνεῖ, καὶ τῆς τῶν ,,
Ἀλόγων μετέχει ζωῆς, καὶ τῆς τῶν Λογικῶν μετείληφε ,,
νοήσεως. Κοινωνεῖ γὰρ τοῖς μὲν Ἀψύχοις κατὰ τὸ σῶμα, ,,
καὶ τὴν ἀπὸ τῶν τεσσάρων Στοιχείων κρᾶσιν· τοῖς δὲ ,,
Φυτοῖς κατά τε αὐτὰ καὶ τὴν θρεπτικήν, καὶ αὐξητι- ,,
κήν, καὶ Σπερματικήν, ἤγουν γεννητικὴν δύναμιν, τοῖς δὲ ,,
Ἀλόγοις· καὶ ἐν τούτοις μέν, ἐξ ἐπιμέτρου δέ, καὶ κατὰ ,,
τὴν ὄρεξιν, ἤγουν θυμὸν καὶ ἐπιθυμίαν, καὶ κατὰ τὴν αἴ- ,,
σθησιν, καὶ τὴν καθ' ὁρμὴν κίνησιν. ,, Ἀκούεις τοῦ Διδασκάλου τὰς ἀνὰ μέρος ἐν τοῖς ἄλλοις εἴδεσι θεωρουμένας Ψυχάς, συλλήβδην τῷ ἀνθρώπῳ παρεῖναι λέγοντος; Ἐπεὶ δὲ πάρεισιν ἐξ ἀρχῆς τῆς αὐτοῦ γενέσεως ἕως ἂν περίεστι, τί τὸ ἄτοπον, εἴ τις ἐρεῖ πρῶτον μὲν διαφαίνεσθαι ἐν τῷ Σπέρματι τὴν φυτικήν, εἶτα μετὰ τὸ παγῆναι αὐτὸ καὶ ψυχωθῆναι τὴν αἰσθητικήν, μέχρις ἂν ὁ Θεὸς ἐπαγάγῃ τὴν νοερὰν χρόνῳ, καὶ τρόπῳ, οἷς οἶδε μόνος αὐτός; Οὐ γὰρ οὐσίας ἐνυποστάτους λέγομεν τὴν φυτικήν, καὶ τὴν αἰσθητικήν, ὡς μὴ οἷόν τε εἶναι συνελθεῖν τῇ νοερᾷ, οὔσῃ ἐνυποστάτῳ οὐσίᾳ, ἢ κράσει, ἢ συνθέσει, ἢ ἄλλῳ τῳ τρόπῳ. Ἀλλ' ἐκεῖναι καὶ ταύτης εἰσὶ δυνάμεις ἀχάριστοι, καὶ ἐν μετ' αὐτῆς. Ἤκουσας ὅτι τῷ λόγῳ τοῦ σώματος, καὶ τῷ τῶν Στοιχείων ὁ ἄνθρωπος κοινωνεῖ τοῖς Ἀψύχοις; Πῶς ἄλλως; Ἢ ὅτι κἀκεῖνα ἄψυχα. Ἄψυχα δὲ ὄντα ὡς ὁ Διδάσκαλος διέξεισι, πῶς ἂν δύναιντο Ψυχὴν ἐνιέναι τῷ ἀψύχῳ σώματι; Εἰ δὲ ἀπὸ τῆς τῶν ἀψύχων Στοιχείων κράσεως οὐ πρόεισι Ψυχὴ νοερά, ἄλλος δὲ τρόπος οὐκ ἐξευρίσκεται

ρίσκεται, παράγων αὐτὴν, ἀπὸ Θεοῦ ἄρα ἐντίθεται ἡ νοερὰ Ψυχὴ τῷ σώματι.

Εἰδὲ ἡ τῶν Στοιχείων κρᾶσις κατὰ τὸν Διδάσκαλον ἄψυχος, ἄψυχον ἄρα καὶ τὸ Σπέρμα προέρχεται, τὴν Σπερματικὴν μόνην ἔχον δύναμιν. Ἀποπέμπεται δὲ αὐτὸ ἡ Φύσις οὐ κατὰ τὰ ἄλλα τοῦ σώματος περιττώματα οὕτως ἁπλῶς, ἀλλὰ πρῶτον μὲν διεγείρει τὸ Ἧπαρ, ὅ ἐστιν ὄχημα τοῦ καθ᾽ ὅλου ἐπιθυμητικοῦ, ὡς καὶ τῆς τεκνογονίας, καὶ πηγὴ τοῦ αἵματος· εἶτα διαθερμανθὲν τὸ καθ᾽ ὅλου σῶμα ἀπὸ τῆς συντρίψεως, καὶ ὅλως διαδονηθὲν, συσφιχθέν τε, καὶ οἷον εἰς ἑαυτὸ συστραφὲν, (γίνεται δὲ ταῦτα τῇ καταχούσῃ τὴν Φύσιν βίᾳ, καὶ ἐπισπευδούσῃ ταύτην ἐρανίσασθαι τὸ λεπτότερον τῶν στοιχειακῶν ὑλῶν ἀπὸ τοῦ καθ᾽ ὅλου σώματος καὶ συστῆσαι τὸ Σπέρμα.) οὕτως ἀποδίδωσι μετὰ βίας αὐτὸ, ὥσπερ τι ὀφείλημα εἰσπραττόμενον ἀναγκαστικῶς, εἰσπράττοντος πάντως τοῦ θείου προστάγματος, καὶ καταβληθὲν ἐν τῇ Μήτρᾳ, τρέφεται καὶ αὔξει ὥσπερ τι Ζωόφυτον, καὶ εἰς μέλη καὶ μέρη διατυποῦται, κατὰ προκοπὴν ἀνθρωπόφυτον γινόμενον· καὶ κατ᾽ ὀλίγον ἐναδρυνόμενον ἐπὶ πλέον κατ᾽ ἐπίδοσιν, καὶ αἱ ζωτικαὶ καὶ ψυχικαὶ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Οὐκ ἄχαρι δ᾽ ἴσως δόξειεν, εἰ καὶ μικρόν τι τῇ Φυσιολογίᾳ προσδιατρίψαιμεν.

Φασὶν οἱ περὶ αὐτὴν ἐσχολακότες, καὶ ἀπιστεῖν οὐ δεῖ, ἐπικυρούσης τῆς πείρας. Φασὶ τοίνυν ὅτι μετὰ τὴν καταβολὴν ἀλλοιουμένου τοῦ Σπέρματος, πρῶτον πήγνυται λεπτότατός τις Ὑμὴν, ὃν καλοῦσι Χωρίον, ὡς χωροῦν καὶ περιέχον τὸ Ἔμβρυον, τὴν ἀρχὴν καὶ αὐτὸς ἐκ τοῦ Σπέρματος λαβών· Εἰκονίζει δὲ πάντως αὐτός τε καὶ τὸ ἐντεροειδὲς ἐκεῖνο σαρκίον, δι᾽ οὗ τρέφεται τὸ Ἔμβρυον, τὴν καλάμην καὶ τὴν θήκην, ἐν ᾗ τρέφεται κρυπτόμενος ὁ τοῦ Σίτου Κόκκος, ἢ Κάλυκα, ἢ Ἔλυτρον οἱουδήτινος καρποῦ. Ἑνούμενος οὖν ὁ Ὑμὴν ἐκεῖνος τῇ Μήτρᾳ διά τινων Ἰνῶν, καὶ Φλεβιδίων, καὶ διὰ τούτων αὖ ἀρυόμενος ἐκ τοῦ καθ᾽ ὅλου μητρῴου

σώμα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σώματος τὴν φυσικὴν ἰκμάδα, πλουτοῦσαν τὸ ἔμφυτον ζωτικὸν θερμὸν, πρῶτον μὲν παραπέμπει αὐτὴν τῷ Σπέρματι, καὶ συνιστᾷ τοῦτο εἰς σάρκα· Παραπέμπει δὲ διὰ τοῦ αὐλοειδοῦς σαρκὸς τοῦ συνημμένου μὲν αὐτῷ, μέχρι δὲ τοῦ Ὀμφαλοῦ τοῦ Ἐμβρύου διατείνοντος, καὶ ἓν ὄντος μετ' αὐτῶν, ἐπεὶ καὶ σιδήρου τομῇ ἐκκόπτεται, καὶ χωρίζεται τοῦ Ἐμβρύου ὕστερον. Μεταπηγνυμένου οὖν τοῦ Σπέρματος ὃν εἴρηται τρόπον, πρῶτον πήγνυται ἡ Καρδία, οἷόν τι θεμέλιον καὶ ὄχημα τῆς ζωτικῆς δυνάμεως, ἢ εἰ βούλοιτό τις εἰπεῖν τῆς Ψυχῆς, ἐπεὶ καὶ ἡ Γραφὴ ἀντὶ Ψυχῆς τῷ ὀνόματι χρῆται τούτῳ· ὡς τὸ, εὐφρανθήτω » Καρδία ζητούντων τὸν Κύριον. Ὑποτεθείσης οὖν παρὰ τῆς » Φύσεως τῆς Καρδίας οἷόν τινος βάθρου καὶ ὀχήματος τῆς ἄλλης οἰκοδομίας καὶ διαρτίας τῶν μελῶν, καὶ τῆς Ψυχῆς αὐτῆς, συνεξυφαίνεται ἐν ἐκείνῳ τῷ τῆς Φύσεως ἐργαστηρίῳ, ἢ κλίζεται καὶ ἀπαρτίζεται συμμέτρως ταῖς ἀρχαῖς τὸ καθ' ὅλου σῶμα τῇ φυσικῇ οἰκονομίᾳ κατ' εὔτακτον πρόσοδον ἐπιδιδοῦν κατὰ βραχὺ καὶ διαρθρούμενον, καὶ τελειούμενον, καὶ τὴν τῆς Φύσεως πάσης ἀπολαμβάνον καταβολήν· καὶ καιροῦ καλοῦντος πρόεισιν εἰς τὰ ἔξω μετὰ Ψυχῆς, ἣν ἔσχεν ἐκ Θεοῦ· ἀπειληφὸς πᾶσαν τὴν ἀνθρωπίνην ἐνέργειαν ψυχικήν τε καὶ σωματικήν· ὅτε καὶ τὰ συνεκτικὰ τῆς ζωῆς αὐτοῦ εἰς τὸν ἴδιον ἑαυτῶν μεταβαίνουσι τόπον· Οὐκ ἔτι γὰρ ἐκ τοῦ Ὀμφαλοῦ ἀλλ' ἐκ τοῦ Στόματος καὶ ἀναπνεῖ καὶ τρέφεται, καὶ τὴν τῶν ἄλλων αἰσθητηρίων ἐνέργειαν λαμβάνει, ὧν οὐδενὸς μέτεστιν αὐτῷ ὄντι ἐν τῇ Μήτρᾳ. Καὶ ἔστιν ὁ παντοδύναμος Θεὸς αἴτιος καὶ Δημιουργὸς ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων, οὕτω δὴ καὶ τοῦ λογικοῦ τούτου ζώου, ὁ καὶ τῷ Σπέρματι τὴν δύναμιν ἐνθεὶς, καὶ ἐν τῇ Νηδύϊ πᾶσαν τὴν αὐτοῦ οἰκονομίαν κατασκευάσας διὰ τῆς Φύσεως, καὶ τῶν στοιχειακῶν Ἀρχῶν, καὶ ψυχὴν αὐτῷ ἐγχέας, καὶ τελειώσας διὰ πάντων αὐτό. Περὶ τούτου καὶ ὁ μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς ὀλίγοις συνελὼν ῥήμασιν, εἴρηκεν ἐν τῷ περὶ μορφῆς κεφαλαίῳ· ἡ οὐσία μορφωθεῖσα, καὶ εἰδοποιηθεῖσα ὑπὸ τοῦ σώ- »



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

» ματος τοῦ ἐμψύχου, καὶ αἰσθητικοῦ, καὶ ἀποτελέσασα τὸ
» Ζῶον, πάλιν τε προσλαβοῦσα τὸ λογικόν τε καὶ τὸ θνητὸν,
» ἀποτελεῖ τὸ τοῦ ἀνθρώπου Εἶδος.

Τὸ δὲ κατὰ τὴν Εὔαν ἔργον τοῦ Δημιουργοῦ, ἐννοεῖν ἐμποιεῖ τισιν ἔμψυχον ἐπισπᾶσθαι τὴν τοῦ Ἀδὰμ πλευρὰν, καὶ μεταπεπλάσθαι εἰς γυναῖκα, μὴ δεηθεῖσαν ἐμψυχώσεως. Καὶ εἰ μὲν τῇ παντοδυναμότητι τοῦτο παρέχουσι τοῦ Θεοῦ, ἀντερεῖν οὐδεῖ. Ἔξεστι γὰρ ἀεὶ τῷ Θεῷ βουλομένῳ μεταμείβειν τὰς φύσεις. Εἰ δὲ τῷ εἱρμῷ τῆς Φύσεως εὐδόκησε γενέσθαι, ἤδη καὶ αὐτῆς συνυποστάσης τῷ Ἀδὰμ, καὶ ἔδει λαβεῖν καὶ ἀρχὴν τοῦ ἐνεργεῖν τὰ ἑαυτῆς, εὔδηλον ὡς οὐ διήλλαξεν ἡ ἀρχὴ τῆς μετὰ ταῦτα ἐνεργείας· μᾶλλον δὲ ὁμοία γέγονε τῇ περὶ τὸν Ἀδάμ. Ἡ γὰρ Πλευρὰ, ἀντὶ Σπέρματος ἐλήφθη, ὡς ἐπ' ἐκείνου ὁ Χοῦς· ἐπεὶ καὶ γειτνιάζει τῇ Ὀσφύϊ, ταμείῳ οὔσῃ τοῦ Σπέρματος· ὡς μόριον δὲ σώματος ἐκ τῶν τεσσάρων ὄντος Στοιχείων, ἄψυχον ἔμελλεν ἔσεσθαι. Ἤκουσας γὰρ τοῦ Διδασκάλου Ἰωάννου, ὅτι ἄψυχόν ἐστι τὸ Σῶμα καὶ τὰ Στοιχεῖα, ἴσως καθ' ἑαυτὰ θεωρούμενα. Καὶ πόθεν αὐτοῖς ἡ Ψυχὴ εἰ μὴ ἐκ Θεοῦ; Παρίστησι δὲ τοῦτο καὶ ἡ τομὴ οἱουδήτινος μορίου σώματος ἅμα ταύτῃ ὁρωμένου ἀψύχου. Ἀποσπᾶσθαι δὲ Ψυχῆς τὶς ἂν εἴποι φρενῶν ἔχων εὖ; Ἡ δὲ τοῦ ἐκ τῆς πλευρᾶς διαπλασθέντος τῆς Εὔας σώματος ἐμψύχωσις οὐ προσετέθη τῇ Γραφῇ, ὡς ἐνὸν καὶ τῷ τυχόντι ἀνθρώπῳ διαγνῶναι αὐτὴν ἀπὸ τοῦ κατὰ τὸν Ἀδὰμ ὑποδείγματος· ὡς ἐνετέθη καὶ αὐτῷ ἡ Ψυχὴ παρὰ τοῦ Πλάστου αὐτοῦ, ὡς ἐν ἐκείνῳ.

Εἰσὶ δέ τινες οἱ τὴν Ψυχὴν ἀξιοῦντες συγκαταβάλλεσθαι τῷ Σπέρματι τελείαν λογικήν· ἐκεῖνο μὲν ἀπὸ τοῦ Ἀνδρὸς, ταύτην δὲ ἀπὸ Θεοῦ. Καὶ τόγε νῦν ἐῶ, ὡς καὶ αὐτοὶ συντίθενται τοῖς ἄψυχον εἰδόσι τὸ Σπέρμα· εἰ καὶ ἄλλοις αὐτῶν λόγοις συνίστανται τοῖς ἔμψυχον οἰομένοις, ἑαυτοῖς ἀντιφάσκοντες. Εἰ γὰρ ἅμα τῷ καταβληθῆναι ψυχοῦται, ἄψυχον ἄρα ἐστὶ μένον ἐν τῇ Ὀσφύϊ·

Εἰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰ δὲ Ψυχὴ λογικὴ ἐστιν ἐκείνη ἡ ὁμοῦ τῷ Σπέρματι καταβαλλομένη, οὐ χωρὶς τῶν συστατικῶν ἔσται διαφορῶν. Αἱ οὐσιώδεις γάρ, φησι, διαφοραὶ ὁ μέγας Ἰωάννης, οὐκ εἰσὶ συμβεβηκότα· καὶ παροῦσαι σώζουσι, καὶ ἀποῦσαι φθείρουσι· διὸ καὶ ἐν τῷ ὁρισμῷ λαμβάνονται. Καὶ πάλιν, διὰ τῶν οὐσιωδῶν διαφορῶν ἡ οὐσία εἰδοποιουμένη, τοιοῦτον εἶδος ἀποτελεῖ, καὶ τοιάδε γίνεται. Τοῦτο βούλεται καὶ τὸ φιλόσοφον ἀξίωμα λέγον. Ἡ περὶ τὸν λόγον καινοτομία φθείρει τὴν φύσιν τοῦ ὁριστοῦ. Καὶ περὶ μὲν τῶν ἄλλων τῆς λογικῆς Ψυχῆς, ἔχουσι προβαλέσθαι τὴν ἐπιπρόσθησιν τῶν συγκλειόντων τὸ σῶμα, ἐκεῖνο εἴργειν αὐτὰ διαφαίνεσθαι. Τὸ δὲ ἀθάνατον αὐτῆς, ὅπερ οὐ πέφυκεν εἴργεσθαι ὑπ' οὐδενός, ὀφείλει διαφαίνεσθαι πάντοτε καιροῦ καλοῦντος. Ἐκτρωθέντος οὖν τοῦ Ἐμβρύου, ἢ τεσσαρακονθημέρου, ἢ τριμηνιαίου, ἢ καὶ ἐπέκεινα, ἡ Ψυχὴ ἐκείνου οὖσα ἐνυπόστατος οὐσία κατ' αὐτοὺς καὶ ἀθάνατος, ὀφείλει καὶ τόπον ἔχειν εἰς ἀποκατάστασιν ἀπαλλάξασα τοῦ σώματος. Καὶ περὶ μὲν τῶν ἄλλων ἀνθρωπίνων Ψυχῶν τὰ θεῖα λόγια πολλὰς εἶναι τὰς μονὰς παρεδήλωσεν. Ἠξίωσε δὲ μνήμης ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης, καὶ τὰς τῶν πρὸ ὥρας ἀναρπαζομένων νηπίων, καὶ εἰς προσηκούσας αὐταῖς μονὰς ἀποκαθιστᾷ. Ἐμνήσθη δ' ἂν ὁ αὐτός, ἢ τὶς ἕτερος καὶ περὶ τῶν ἐκ τῶν ἀμβλωμάτων, εἰ ᾔδει τούτοις ἐνούσας τελείας λογικὰς Ψυχάς. Ἀλλὰ μᾶλλον ᾔδει, ὡς ἐστιν εἰπεῖν συναποίχεσθαι τοῖς ἀμβλωθριδίοις τὰς Ψυχὰς αὐτῶν, αἰσθητικὰς μόνον οὔσας· καθ' ὃ καὶ ὁ μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς εἴρηκε κοινωνεῖν τὸν ἄνθρωπον τοῖς ἀλόγοις. Οὐκ ἄρα ἐστὶν ἐν τῷ Ἐμβρύῳ ἡ ἀθάνατος λογικὴ Ψυχή, ἀλλὰ μετὰ τὸν ἐξεικονισμόν, ᾗ φησιν Ἀναστάσιος. Ἢ τολμησάτωσαν καὶ τὸ ἀθάνατον ἔχειν δυνάμει φάναι ὥσπερ καὶ τὸ λογικόν, καὶ τὸ διανοητικόν, καὶ τ' ἄλλα. Πρὸς γὰρ τῇ ματαιότητι, καὶ ἀπάντησιν ἔχει, ὅτι τὸ δυνάμει ὄν, μὴ ὄν ἐστιν, ἕως ἂν εἰς τὸ ἐνεργείᾳ φθάσῃ. Καὶ οὐδεὶς λόγος οἷός τ' ἂν γένοιτο ἀποδεῖξαι τὸ μὴ ἐνεργείᾳ, ἀλλὰ δυνάμει, ὄν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὴν δὲ σφῶν αὐτῶν δόξαν, ὅτι ἔμψυχόν ἐστι τὸ Σπέρμα, καίτοι ὡμολογηκότες ἄψυχον, εἴπερ ὡς αὐτοί φασι ψυχοῦται ἅμα τῇ καταβολῇ, φύραμα ὂν τῶν τεσσάρων στοιχείων, ἀψύχων ὄντων, ὡς τῷ φιλοσοφωτάτῳ Ἰωάννῃ τῷ ἐκ Δαμασκοῦ δοκεῖ. Ταύτην οὖν τὴν δόξαν βουλόμενοι συστῆσαι, ἀπὸ τοῦ κατὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μυστηρίου ἐπιχειροῦσι φάσκοντες, ὡς ὅλον τὸν Ἀδὰμ ἀναπλάσαι βουληθεὶς ὁ Θεὸς, ὅλον αὐτὸν ἐφόρεσεν ἐκ τῆς ἀειπαρθένου Μαρίας, καὶ τὴν Ψυχὴν ἐκ τῆς ἀδαμιαίας Ψυχῆς ἐκείνης λαβών. Τὸ μέν τοίγε δοξάζειν ἐπισφαλῶς ὡς ἀπὸ τῆς ἀδαμιαίας Ψυχῆς ἐτέχθησαν πολλαὶ, ὥσπερ ἀπὸ μιᾶς λαμπάδος ἀνάπτονται πολλαὶ, καὶ ἀλληλοδιαδόχως ἦλθε καὶ εἰς τὴν ἀειπάρθενον Μαρίαν ἀπὸ τοῦ πατρικοῦ αὐτῆς Σπέρματος, πρὸς τῷ ἀλόγῳ καὶ ἀλλοκότῳ φρονήματι· ἔτι ἀντιφάσκει καὶ τῇ δόξῃ τῆς Ἐκκλησίας τῶν ἁγίων αὐτῆς Διδασκάλων, ἐκ τοῦ Θεοῦ πλάττεσθαι διδασκόντων τὰς ψυχὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τικτομένων ἐν τῷ κυοφορεῖσθαι, ὡς ἤδη δειχθήσεται, καὶ οὐχὶ Ψυχῆς Ψυχὰς γεννώσης, τοῦτο ἐπ' αὐτοῖς ἐστὶ φρονούντων ὡς ἐθέλουσιν. Ὅτι δὲ καὶ ὁ Θεάνθρωπος λόγος ἀνείληφε τὴν ἀδαμιαίαν ψυχὴν, πρὸς τῷ ἀτόπῳ, καὶ ὅσον ἐστὶ βλάσφημον, τράποιτο εἰς τὰς τῶν φρονούντων ταῦτα καὶ λεγόντων κεφαλάς. Ἕπεται γὰρ, ὅτι μετὰ τοῦ προπατορικοῦ ἁμαρτήματος ἐτέχθη ὁ Θεάνθρωπος Ἰησοῦς Λόγος, εἴπερ τὴν ἀδαμιαίαν εἴληφε ψυχὴν ὁ Χριστὸς ἐνεχομένην τῇ ἁμαρτίᾳ. „Ἀλλ' ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἀλλ' ὑμεῖς, ὦ βέλτιστοι καὶ νέοι Δογματισταὶ τῷ Σπέρματι δωρεῖσθε διαβιβάζειν τὰς Ψυχὰς εἰς τοὺς ἐφεξῆς. ὁ δὲ Κύριος οὐκ ἐκ Σπέρματος ἀνθρωπίνου γεγέννηται. Οὕτω καὶ ἑαυτοῖς περιπίπτετε. Οἱ δὲ τοιοῦτοι Μεταγγισμοὶ, καὶ αἱ Γενέσεις τῶν Ψυχῶν ἐῤῥέτωσαν σὺν τοῖς ἐξευροῦσιν αὐτά.

Περὶ δὲ τοῦ ἀνθρωπίνου τοῦ Κυρίου φησὶν ὁ μέγας Βασίλειος, „ὅτι οὐ κατὰ τὴν κοινὴν φύσιν τῆς σαρκὸς ἡ σύστασις ἐγένε-

ἐγένετο τοῦ Κυρίου, εὐθὺς γὰρ τέλειον σαρκὶ τὸ κυοφορούμενον, οὐ ταῖς κατὰ μικρὸν διαπλάσεσι μορφωθέν· οὐδὲ γὰρ εἴρηται τὸ κλιθὲν, ἀλλὰ τὸ γεννηθέν. Ἐξ ἁγιωσύνης οὖν ἡ σὰρξ συμπαγεῖσα, ἀξία ἦν τῇ θεότητι τοῦ μονογενοῦς ἑνωθῆναι. Ὁ δὲ μέγας Ἀθανάσιος. Ὁ δὲ μέγας Λυτρωτὴς οὐ τοῦ Ἀδὰμ τὸ εἶναι λαβὼν, ἀλλ' ἐκ τοῦ Ἀδὰμ τὸ σχῆμα προσλαβὼν, τὴν Σάρκα λέγω. Σάρκα δὲ λέγω τὴν μετὰ Ψυχῆς ἀνθρωπίνης, καὶ γενόμενος Ἄνθρωπος κατὰ τὸ ὁρατόν. Καὶ ὁ λοιπὸς τῶν Θεολόγων Χορὸς τὴν τοιαύτην Σάρκα ἐμψυχωμένην διδάσκει λαβεῖν τὸν Κύριον. Καὶ οὐδεὶς προηγόρευσε τὴν Ψυχὴν τοῦ Κυρίου ἀδαμιαίαν, ἀλλὰ τοῦ Διαβόλου τοῦτό ἐστι τὸ φρόνημα· ὃ καὶ ἡγησάμενος κατεδυνάστευε καὶ ἐδουλοῦτο τὰς Ψυχὰς τῶν Δικαίων. Ταῦτ' ἄρα καὶ τύραννος καὶ δυνάστης καὶ βίαιος ἀκούει· ὅτι παρὰ τὸ εἰκὸς κατετυράννει τῶν Ψυχῶν, αἳ οὐκ ἦσαν ὑπόχρεω δίκας ὑπέχειν αὐτῷ. Ἐνθέντοι καὶ ὁ Κύριος ὅλον τὸ ἀνθρώπειον εἶδος, ἤτοι σῶμα ἔμψυχον ἀνείληφεν ἐκ τῆς Θεοτόκου, τῆς τοῦ Ἀδὰμ ἁμαρτίας ἀμέτοχον. Καὶ Ἀθανάσιος ὁ μέγας ἐν τῇ πρὸς ἀδέλφιον ἐπίσκοπον ἐπιστολῇ φησι. Τὸ Σῶμα τοῦ Κυρίου, πῶς οὐ πανάγιον καὶ πάνσεπτον ἀληθῶς, ὃ ὑπὸ μὲν τοῦ Ἀρχαγγέλου Γαβριὴλ εὐηγγελίσθη, ὑπὸ δὲ τοῦ Πνεύματος τοῦ ἁγίου ἐπλάσθη, καὶ τοῦ λόγου γέγονεν ἔνδυμα προσκυνητόν; Καὶ πάλιν, ὅτι ἐν τῇ Γαστρὶ τῆς Παρθένου ἔπλασεν ὁ Θεὸς ἄνθρωπον, ἄνευ σπορᾶς ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος. Ἡ δὲ ἐν τῷ Ἀδὰμ ἀνθρωπεία φύσις εἰληφυῖα τὴν κατάραν, πρὸς ἅπαν τὸ γένος διατείνει κατὰ τὸν μέγαν Κύριλλον, φάσκοντα συνῳδὰ καὶ τῷ μακαρίῳ Παύλῳ· Χοϊκοὶ γάρ ἐσμεν ὡς ἐκ χοϊκοῦ τοῦ Ἀδὰμ, παραπεμψάσης ἡμῖν τῆς ἀρᾶς τὴν φθοράν· δι' ἧς καὶ ὁ τῆς ἁμαρτίας εἰσέδυ Νόμος ὁ ἐν τοῖς μέλεσι τῆς σαρκός. Εἶεν.

Τοῦ δὲ μακαρίου Ἀποστόλου λέγοντος, ὅτι ὁ Λευῒ ἐν τῇ ὀσφύϊ τοῦ Ἀβραὰμ ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδὲκ, ὄντος τοῦ Λευῒ τετάρτου ἀπὸ Ἀβραὰμ, τί δεῖ νοεῖν;



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὅτι τρεῖς ἄνθρωποι ἦσαν ἐν τῇ Ἀβραὰμ Ὀσφύϊ, ὁ Λευῒ καὶ ὁ τούτου Πατὴρ ὁ Ἰακὼβ, καὶ ὁ τούτου πάλιν ὁ Ἰσαάκ; Ἢ τρεῖς Ψυχαὶ ἦσαν; Ἢ τρία Σπέρματα; Καὶ πάλιν, « ὅταν λέγῃ, ὡς οἱ ἐκ τῶν Υἱῶν Λευῒ τὴν Ἱερατείαν λαμβάνοντες, Ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν Νόμον, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς Ὀσφύος Ἀβραάμ. » Τίνι λόγῳ φήσομεν τὸν μακάριον Ἀπόστολον; Ὅτι τοσαῦτα Σπέρματα ἦσαν ἐν τῇ Ὀσφύϊ τοῦ Ἀβραὰμ ἐψυχωμένα; ἐγὼ δὲ λέγω καὶ ἄψυχα, ὅσα καὶ ὁ λαός. Καὶ τίς ἂν εἴποι τοῦτο; Τὸ γὰρ Σπέρμα τότε συνίσταται ἐν ἑκάστῳ τῶν Ἀνθρώπων, ὅτε ἡ Φύσις ἑτοιμάσει προαγαγεῖν αὐτό· οὗ ἡ σύστασις ἐκ τῶν τεσσάρων ἐστὶ στοιχείων, ὄντων ἀψύχων ὡς ὁ ἐκ Δαμασκοῦ Διδάσκαλος ἐξηγήσατο. Ἀλλ' ἦ δῆλον ὡς κατὰ τὴν σπερματικὴν μόνην δύναμιν, ἣν ἐπισύρονται τὰ Σπέρματα πάντα, εἴτε Φυτῶν, εἴτε ὡντινωνοῦν ἀπὸ τοῦ ἐξ ἀρχῆς δημιουργη« θέντος οἰκείου εἴδους θείῳ προστάγματι. Τὸ θεῖον γάρ φησιν ὁ Ἱερὸς Δαμασκηνὸς πρόσταγμα δύναμιν ἐνέθηκε τοῖς Σπέρμασιν αὐξητικὴν, καὶ θρεπτικὴν, καὶ Σπερματικὴν, ἤτοι ὁμοίου γεννητικήν. » Ὁρᾷς, ὅτι δύναμιν ἔχει ὁμοίου γεννητικὴν ἀπὸ τοῦ θείου προστάγματος τὸ Σπέρμα; Ταύτην τοίνυν τὴν δύναμιν ἕλκει τὸ Σπέρμα ἀπὸ τοῦ πρώτου Ἀνθρώπου συνεκδοχικῶς, ἀφ' ἧς ὅμοιοι ἐκείνῳ γινόμεθα· οὐκ ἔτι δὲ οὐσίαν Ψυχῆς. Παρίτω καὶ Ἀθανάσιος ὁ μέγας « ἐν τῷ περὶ Σαρκώσεως τοῦ Χριστοῦ φάσκων. Οὐχ ὁμοούσιος οὖσα ἡ Σὰρξ τῆς τοῦ Λόγου Θεότητος ὡς συναΐδιος, ἀλλὰ ἰδία κατὰ Φύσιν γενομένη, καὶ ἀδιαίρετος καθ' ἕνωσιν ἐκ Σπέρματος Δαβὶδ, καὶ τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἀδὰμ, ἐξ οὗ καὶ ἡμεῖς γεγεννήμεθα. »

Τῇ τοιαύτῃ οὖν Σπερματικῇ δυνάμει καὶ ἡ τοῦ πρωτοπλάστου Ἀδὰμ ἀρὰ μέχρις ἡμῶν διϊκνεῖται, κατὰ τὴν εἰκόνα τοῦ Σίτου, τοῦ γυμνοῦ μὲν, καὶ δίχα περικαλύμματός τινος ἐσπαρμένου, αὐξομένου δὲ καὶ εἰς τελείωσιν ἥκοντος μετὰ τῶν ἀρχαίων καὶ πατροπαραδότων ἐπιβλημάτων, ἃ τὴν ἀρχαίαν ἁμαρτίαν εἰκονίζουσιν, ἐφεπομένην ἀεὶ τοῖς Σπέρ-

Σπέρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σπέρμασιν, οἷς οὐκ ἐφαρμόττει, εἴτις εὐφυῶς βούλοιτο λέγειν δυνάμει κεκλῆσθαι τὰ ἀποτελέσματα, ἤως ἐνδεχομένως. Δύναται γὰρ τὸ Παιδίον γενέσθαι γραμματικὸν, ἢ οὐκ ἐνδέχεται. Τὸ δὲ Σπέρμα ἀρξάμενον ἀκολουθίας, ἀναγκαίως ἀποτελεῖ τὸ ὅμοιον, καὶ ἀδύνατον ἄλλως γενέσθαι, εἰ μὴ ἐξαμβλωθείη· ὅπερ οὐκ ἔστι πρὸς αὐτοῦ, σύμπτωμα δὲ μᾶλλον καλυτικόν. Καὶ χῶρός τις εἰς οἰκοδομὴν οἰκίας εὖ ἔχων, ἐνδέχεται δέξασθαι οἰκίαν, καὶ οὐκ ἐνδέχεται. Ἀρξαμένης δὲ τῆς οἰκίας κτίζεσθαι, οὐκ εὐθὺς ἀπὸ γραμμῆς εἶδος οἰκίας, ἀλλὰ θεμέλιοι, καὶ ἕτερ᾽ ἀκόλουθα. Εἶτα ἀναγκαίως τελειοῦται ἐν τῷ εἴδει ἡ οἰκία, καὶ οὐκ ἄλλοτι. Καὶ τὸ Εἶδος οὔτε πρότερον τῆς Ὕλης, οὔθ᾽ ὕστερον, ἀλλὰ συναπαρτίζεται τῇ Ὕλῃ. Κἂν χρόνιος ἡ οἰκοδομία γίνηται, τὸ Εἶδος οὐ διαφέρει τῆς Ὕλης χρόνῳ. Οὕτω καὶ ἡ ἀνθρωπεία Ψυχὴ συντρέχει μετὰ τοῦ Σώματος, καὶ οὔτε Σῶμα καθ᾽ ἑαυτὸ συνίσταται, οὔτε Ψυχὴ προϋπάρχει τοῦ Σώματος. Συγκτίζεται δὲ καὶ συναύξει αὐτῷ, καὶ διαπλασθέντι, καὶ ὀργάνου τάξιν ἀπειληφότι ἐπιλάμπει αὐτῷ, ὡς Ἐντελέχεια καὶ Εἶδος αὐτοῦ. Καὶ ἵνα συλλήβδην εἴπω τὸ πᾶν, δοκοῦν καὶ τῷ ἱερῷ Δαμασκηνῷ, ὁ Ἄνθρωπος κατὰ τὸ ἀπὸ τῶν τεσσάρων Στοιχείων σύγκραμα, ἐξ οὗ τὸ Σπέρμα καὶ τὸ Σῶμα κοινωνεῖ τοῖς ἀψύχοις, τῆς φυτικῆς μόνον μετέχων Ψυχῆς· εἶτα καὶ τῆς τῶν ἀλόγων μετέχει, τῆς σπερματικῆς ἐκείνης δυνάμεως, δηλαδὴ, προκοψάσης καὶ γενομένης αἰσθητικῆς· εἶτα τελειοῦται καὶ τὴν τῶν λογικῶν δέχεται νόησιν, ἐπεισκριθείσης πάντως ἐν αὐτῷ θεόθεν τῆς λογικῆς τε καὶ νοερᾶς, οὐκ ἔτι δυνάμεως, ἢ δυνάμει οὔσης, ἀλλ᾽ οὐσίας ἐνυποστάτου μετὰ τῶν αὐτῆς συστατικῶν διαφορῶν καὶ ἰδίων, Βασιλίδος τρόπον ἐν ἡτοιμασμένοις βασιλείοις, καὶ πρεπέσαις ταῖς παρασκευαῖς λαμπρῶς μεθ᾽ ὅτι πλείστης τῆς δορυφορίας ἀποκαταστάσης. Τοιαῦτα γάρ τινα αἱ φθάσασαι ψυχικαὶ δυνάμεις τῇ σφῶν αὐτῶν κυρίᾳ τῇ λογικῇ Ψυχῇ προητοίμασαν· αἳ καὶ εἰσδεξάμεναι αὐτὴν οἰκεῖαι οὖσαι αὐτῇ, καὶ δυνάμεις αὐτῆς γε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γεγενημέναι μετ᾽ αὐτῶν, καὶ αὐτῆς αὖ ἀντιλαβομένης αὐτῶν, ὡς οἰκείων δυνάμεων, μίαν σύνθετον ὑπόστασιν ἐκ Ψυχῆς καὶ Σώματος, τὸν ἐκ Ψυχῆς καὶ Σώματος λογικὸν ἄνθρωπον ἀπετέλεσαν. Τοῦτο καὶ ὁ μακάριος Ἰωάννης ὁ Δαμασκηνὸς φιλοσοφῶν ἐν τῷ περὶ ἐνυποστάτου Κεφαλαίῳ φησί. Κυρίως Ἐνυπόστατόν ἐστι, καὶ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν, εἰς ὅλου τινὸς γένεσιν συντιθέμενον, καὶ μίαν ἀποτελοῦν ὑπόστασιν σύνθετον. Οὔτε δὲ ἡ Ψυχὴ μόνη λέγεται Ὑπόστασις, οὔτε τὸ Σῶμα, ἀλλ᾽ Ἐνυπόστατα. Τὸ δὲ ἐξ ἀμφοτέρων ἀποτελέμενον Ὑπόστασις ἀμφοτέρων.

Ἡ δὲ παρὰ τοῦ ἐν ἁγίοις Πατρὸς Γρηγορίου τοῦ Νύσσης εἰσαγομένη περὶ τούτου τοῦ Ζητήματος Γνώμη, ἀπηγόρευται παρὰ τῆς Ἐκκλησίας, ὡς συμβαίνουσα τῇ ὠριγενιακῇ φλυαρίᾳ τῇ προϋπαρξιν ὑποτιθεμένῃ τῆς Ψυχῆς τῷ φάσκειν ἔμψυχον εἶναι τὸ Σπέρμα καὶ τὴν Ψυχὴν ἐκ τῶν ἄνω τοῦ γένους ἕλκειν προγόνων. Ἔχε δὲ τὰς ἀφορμὰς ἐκ τῶν πλατωνικῶν, ἣ καὶ ἀπεκηρύχθη, καὶ ἀναθέματι καθυπεβλήθη διὰ τῆς Πέμπτης τῶν Οἰκουμενικῶν, ὡς ἡ Βίβλος διέξεισι τῶν συνοδικῶν Πράξεων ἔτωσιν. Ἡ Πέμπτη συνήθροισε Σύνοδος τῶν ρξέ, ἁγίων Πατέρων κατά τε τοῦ Ὠριγένους, καὶ τῶν ἀλλοκότων ἐκείνου Δοξῶν, καὶ τῶν πρεσβευόντων τὰ ἐκείνου, Διδύμου καὶ Εὐαγρίου· οἵτινες τῶν Ψυχῶν προϋπαρξιν ἐδογμάτιζον, καὶ τέλος τῆς Κολάσεως ἔλεγον· οὓς καὶ Ἀναθέματι, καθυπέβαλον, καὶ μετὰ τῶν ἑξῆς προστεθησομένων αὐτοῖς. Ὁ δέ γε τὰ θεῖα σοφὸς Μάξιμος, δεινὸν ἡγησάμενος ὑπάγεσθαι τῇ Ὠριγενιακῇ αἱρέσει τὸν ἐνδοξότατον ἐν θεολογίᾳ, καὶ οὐδενὸς τῶν ταύτης προηγόρων εἰ δευτέρῳ ταττόμενον, προέχοντα δὲ μᾶλλον πολλῶν, οὐχ ἥκιστα δὲ καὶ ταῖς ἠθικαῖς Ἀρεταῖς ταῖς τὸν Ἄνθρωπον οἰκειούσαις Θεῷ, αἰδοῖ τούτου ἐπαινετῇ, εἵλετο καθυφεῖναί τι τῆς ἀκριβείας ἐν τούτῳ τῷ ζητήματι, καὶ πλέον, τι τοῦ διατεταγμένου παρὰ τῶν λοιπῶν Ἱερῶν Διδασκάλων γνωματεῦσαι, εὐγνωμόνως τὰ τοῦ Γρηγορίου εἰς τὴν εὐσεβῆ βιαζόμενος δόξαν. Ἃ οὐδὲ

ἔχουσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχουσιν ἐμφαινομένην καθαρῶς τὴν τοῦ Ἱεροῦ Μαξίμου διάνοιαν, ἣν αὐτὸς ἐπιτίθησιν αὐτοῖς, καὶ ἀγῶνα μὲν ἀνείλετο, τὸ μὲν ἀφαιρῶν, τὸ δὲ προστιθείς· ὅπως τῇ τοιαύτῃ μεσιτείᾳ οἷός τε γένοιτο συμβιβάσαι τοῖς ἄλλοις τὸν Ἱερὸν Γρηγόριον. Ἀλλ' οὐκ ἐξεγένετο αὐτῷ ἱκανῶς τοῦτο ποιῆσαι, εἰ καί τι πλέον παρέχετο, οὗ ἡ τῶν λοιπῶν Διδασκάλων συμφωνία παραδίδωσι.

Τίνες δὲ οὗτοι; Πρῶτον μὲν ὁ τῆς τρίτης Συνόδου Καθηγεμὼν ὁ μέγας Κύριλλος ἐν τῇ πρὸς τοὺς Πρεσβυτέρους καὶ Μονάζοντας ἐπιστολῇ ἐν τῇ Βίβλῳ τῶν πράξεων τῆς τρίτης Συνόδου κειμένῃ, (ἧς ἡ ἀρχή· Ἀφίκοντο μέν τινες) οὕτως αὐτῇ λέξει φησίν. Ἔοικε δέ πως τῷ καθ' ἡμᾶς τόκῳ τὸ ἐπὶ τοῦ Χριστοῦ Μυστήριον. Αἱ μὲν γὰρ τῶν ἐπὶ γῆς Μητέρες ὑπηρετοῦσαι τῇ φύσει πρὸς γένεσιν, ἔχουσιν ἐν τῇ Μήτρᾳ κατὰ βραχὺ πηγνυμένην τὴν σάρκα, καὶ ἀφράστοις τισὶν ἐνεργείαις Θεοῦ προϊοῦσαν, καὶ τελειουμένην εἰς μορφὴν Ἀνθρωπικήν. Ἐνίησι δὲ τῷ Ζώῳ τὸ Πνεῦμα Θεὸς καθ' ὃν οἶδε τρόπον. Πλάττει γὰρ Πνεῦμα Ἀνθρώπου κατὰ τὴν τοῦ Προφήτου φωνήν. Ἕτερος δὲ Σαρκός, καὶ ἕτερος ὁμοίως ὁ τῆς Ψυχῆς Λόγος ἐστίν. Ἀλλ' εἰ καὶ γεγόνασιν αἱ Γυναῖκες μόνων τῶν ἀπὸ γῆς σωμάτων Μητέρες, ἀλλ' οὖν ὅλον ἀποτεκοῦσαι τὸ Ζῶον, τὸ ἐκ Ψυχῆς λέγω καὶ Σώματος, οὐχὶ μέρος λέγονται τεκεῖν. Καὶ μετ' ὀλίγα, καθάπερ ἀμέλει καὶ ἡ τοῦ Ἀνθρώπου Ψυχὴ τῷ ἰδίῳ συναπογεννᾶται Σώματι, καὶ ὡς ἓν λελόγισται πρὸς αὐτό, καίτοι τὴν φύσιν ἑτέρα. Καὶ οὕτω μὲν ὁ μακάριος Κύριλλος, συνῳδὰ φθεγγόμενος Βασιλείῳ τῷ μεγάλῳ, ταῖς κατὰ μικρὸν διαπλάσεσι μορφοῦσθαι λέγοντι ἐν τῇ Μήτρᾳ τὸ Ἔμβρυον. Ἀλλὰ καὶ συναπογεννᾶσθαι λέγει τὴν Ψυχὴν τῷ Σώματι.

Λέγοιτο δ' ἂν Σῶμα Ἀνθρώπινον μετὰ τὸν ἐξεικονισμόν, κατὰ τὸν θεῖον Ἀναστάσιον. Πρὸ τούτου γὰρ σαρκίον ἐστὶν ἀμόρφωτον, καὶ οὐκ ἂν λέγοιτο Σῶμα ἀνθρώπινον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὥσπερ οὐδὲ ὁ θεμέλιος οἰκία, ἀλλ᾽ οἰκίας θεμέλιος. Καὶ τὰς Μητέρας ὑπηρέτας εἶναι λέγει τῆς Φύσεως, ἐν μόνοις τοῖς ἀπὸ τῆς γῆς Σώμασιν, ὡς τῆς Ψυχῆς ἀφικνουμένης ἐξ Οὐρανοῦ παρὰ Θεοῦ. Ἡ δὲ τοῦ Προφήτου φωνὴ τό· „Ὁ πλάσας κατὰ μόνας τὰς Καρδίας αὐτῶν, ἤτοι τῶν Ἀνθρώπων, τί ἄλλο δηλοῖ, ἢ τὸ κατὰ μίαν ἑκάστην ἰδιαζόντως, καὶ μὴ κατὰ τὴν Φυσικὴν τοῦ Σπέρματος πρόοδον „πλάττεσθαι παρὰ Θεοῦ; Καὶ τό· Ὁ πλάσσων Ἀνθρώπου „Πνεῦμα ἐν αὐτῷ, ἢ τί ἕτερον, ἢ τοῦτο βούλεται; οὗ καὶ ὁ μέγας Κύριλλος ἐν τῷ πρὸς Βασιλίδας λόγῳ μέμνηται, „καὶ διερμηνεύων φησίν. Ἐφ᾽ ἑνὸς δὲ προσώπου πολλάκις „διπρόσωπον ἡμῖν εἰσφέρεται λόγου σχῆμα, καὶ κατ᾽ οὐδένα „τρόπον ἀδικεῖ τὴν ἀλήθειαν· οἷον φέρε εἰπεῖν, ὡς εἰ λέ„γοιτο περὶ Θεοῦ παρὰ τῆς θεοπνεύστου Γραφῆς· Ὁ πλάσσων „Πνεῦμα Ἀνθρώπου ἐν αὐτῷ. Καίτοι πῶς οὐχὶ πᾶσιν ἐναργὲς ὡς οὐκ ἂν νοοῖτο παρὰ τὸν Ἄνθρωπον ἕτερον τὸ ἐν αὐτῷ πλαττόμενον Πνεῦμα; Τὸ δὲ τοῦ ἁγίου Πνεύματος δοχεῖον, ὁ μακάριος Ἰσαὰκ ἐν δευτέρῳ λόγῳ τοῦ πρώ„του αὐτοῦ Βιβλίου οὕτως αὐτῇ λέξει φησίν. Ὥσπερ ἀδύνα„τον ἵνα ἔλθῃ ἡ Ψυχὴ εἰς γένεσιν, χωρὶς τελειότητος τῆς „διαπλάσεως τοῦ Σώματος σὺν τοῖς μέλεσιν αὐτοῦ, οὕτως „ἀδύνατον εἶναι τὴν Θεωρίαν τὴν δευτέραν Ψυχήν, ἥτις ἐστὶ „τὸ Πνεῦμα τῆς Ἀποκαλύψεως, χωρὶς τῆς τελειώσεως „τοῦ ἔργου τῆς ἀρετῆς, ὅπερ ἐστὶν οἶκος γνώσεως τῆς δεχο„μένης τὰς Ἀποκαλύψεις. Ὁ δὲ ἅγιος Αὐγουστῖνος οὕτω „φησί. Διαπεπλασμένῳ καὶ ὀργάνου τάξιν ἀπειληφότι „τῷ Ἀνθρωπίνῳ Σώματι, κτιζομένη θεόθεν ἐγχεῖται ἡ λο„γικὴ Ψυχή, καὶ ἐγχεομένη κτίζεται. Καὶ ὁ μέγας καὶ γενναῖος Ἰὼβ ὁ πολύτλας πρὸς τὸν ἀγωνοθέτην καὶ ποιη„τὴν τὸν λόγον ποιούμενος ἔφη. Μνήσθητι ὅτι πηλόν με „ἔπλασας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις. Ἦ οὐχ ὥσπερ „γάλα με ἤμελξας, ἔπηξας δέ με ἴσα τυρῷ· Δέρμα καὶ „Κρέα ἐνέδυσάς με, Ὀστέοις δὲ καὶ Νεύροις ἐνεῖράς με· Ζωὴν „δὲ καὶ ἔλαιον ἔθου παρ᾽ ἐμοί· ἡ δὲ Ἐπισκοπή σου ἐφύλατ„τέ μου τὸ Πνεῦμα; Ὁρᾷς πῶς ἅπαντες συμφώνως τῇ ἀκολου-

ἀκολουθίᾳ τῆς φύσεως ἐχόμενοι, τελειοῦσι τὸ Ζῶον τῷ λόγῳ· ἅμα δὲ καὶ τὸ Πνεῦμα, παρὰ Θεοῦ πλαττόμενον ἐγχεῖσθαι αὐτὸ διδάσκουσιν; Ἀλλὰ καὶ πρὸ τούτου Ζῶον αὐτὸ ἀποκαλοῦσιν, οὐ ῥητορικῇ κομψείᾳ χρώμενοι, οὐδὲ ταῖς τῆς ἔξω μωρίας μᾶλλον εἰπεῖν, κατὰ τὸν Μακάριον Παῦλον, ἢ σοφίας θέσεσιν ἑπόμενοι. Ἑτέρᾳ γὰρ σοφίᾳ καὶ ἰδιαζούσῃ αὐτῷ τὰ πάντα δεδημιούργηκε, καὶ δημιουργεῖ ὁ παντοδύναμος Θεός· ἢ καὶ οἱ τοῦτον φέροντες ἐν σφίσιν αὐτοῖς, τὰ περὶ τούτων ἡμᾶς παρεγγυῶσιν, οἷς καὶ πείθεσθαι δεῖ τοιούτοις οὖσι, καὶ οὕτω φθεγγομένοις μετὰ τοῦ Πνεύματος. Τούτοις συνᾴδει καὶ ὁ μακάριος Θεοδώριτος ἐν τῷ περὶ Ψυχῆς, ὅς ἐστι πέμπτος κατὰ Ἑλλήνων αὐτῷ λόγος, λέγων. Ταῦτα μὲν ὁ Νομοθέτης ἐν τῇ κοσμογενείᾳ συνέγραψε. Παραπλήσια δὲ κἀν τοῖς Νόμοις διδάσκει. Περὶ γὰρ τῆς Ἐγγύμονος τῆς ἐκ τινων πληγῶν ἀμβλωσκούσης διαλεγόμενος, διαμορφοῦσθαι πρότερον ἐν τῇ Νηδύϊ τὸ Βρέφος, εἶθ' οὕτω ψυχοῦσθαι, οὐ θύραθέν ποθεν τῆς Ψυχῆς εἰσκρινομένης, οὐδέ γε ἐκ τῆς γονῆς φυομένης, ἀλλὰ τῷ θείῳ ὅρῳ κατὰ τὸν ἐξ ἀρχῆς ἐντεθέντα Νόμον ἐκ Θεοῦ δεχομένης τὴν γένεσιν. Καὶ ἄλλους πολλοὺς τῶν μακαρίων καὶ θεολόγων Ἀνδρῶν, τοῦτ' αὐτὸ συμφωνοῦντας εὑρήσει ζητῶν τις, οἷς ἔργον γέγονέ ποτε ἡ περὶ τούτου σκέψις. Εἰ δέ τις ὑπὲρ τὸ μέτρον τῇ πείρᾳ χρώμενος, ἔροιτο, τὴν πεῦσιν ὑποκρινόμενος, τὸ πότε, καὶ ποῦ, καὶ πῶς ἡ τῆς Ψυχῆς εἰς τὸ Σῶμα γίνεται εἰσοίκησις μαθεῖν σκεπτόμενος, (ὅπερ οὐ συνίσταται τῇ τοῦ Κυρίλλου γνώμῃ λέγοντος καθ' ὃν οἶδε τρόπον ὁ Θεός, καὶ ὅτι συναπογεννᾶται τῷ σώματι.) ἰτέον αὐτῷ παρ' αὐτὸν τὸν δρῶντα, ἐφ' ᾧ πυθέσθαι καὶ μαθεῖν, καὶ ἡμῖν ἀπαγγεῖλαι. Τὰ γὰρ θαυμάσια αὐτοῦ τίς διηγήσεται φησιν ὁ Προφήτης; Εἰ δὲ οὐχ οἷόν τέ ἐστιν αὐτῷ τοῦτο, ἀλλ' ἀναμενάτω βραχύ. Μικρὸν γὰρ ὅσον ὅσον ὁ Κύριος ἔρχεται καὶ οὐ χρονιεῖ, ὅτε καὶ τῷ θείῳ αὐτοῦ κελεύσματι τὰ Στοιχεῖα μὲν τὴν συνεισφορὰν ἐργάζονται τῶν Σωμάτων· ὃ δὴ καὶ ἐν τῇ ἀρχῇ τῆς αὐτῶν συστάσεως εἰώθασι ποιεῖν. Αἱ δὲ Ψυχαὶ

ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν αὐτοῖς ἀφίξονται, ὡς καὶ τὴν ἀρχὴν ἐν τοῖς ὑφισταμένοις διὰ τῆς φύσεως καὶ τῶν Στοιχείων ἀφικνοῦνται Σώματι. Καὶ τότε γνώσονται σαφῶς πῶς ὁστισοῦν τοὺς τρόπους ἐρευνῶν, πῶς ἡ τῆς Ψυχῆς ἐνοίκησις γίνεται τῷ Σώματι, καὶ ἀπὸ τοῦ Τέλους τὴν Ἀρχὴν εἴσεται, εἰ μὴ βέλοιτο καὶ ἄμφω ἀπὸ τῶν εἰκότων καὶ εὐλόγων μεταμαθεῖν. Καὶ ταῦτα διασαφοῦντος τοῦ μακαρίου Ἀποστόλου,*) ὃς ἐστι στόμα Χριστοῦ, οὗ διδάσκοντος ἀκούειν ἐστὶ λέγοντος αὐτοῦ τοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

*) Καὶ πώποτε διεσάφησεν ὁ Ἀπόστολος τὸν Τρόπον, καὶ τὸν Χρόνον, καὶ τὸν Τόπον, ἢ τὰ εἰκότα καὶ εὔλογα, καθ᾿ ἃ ἐνίησι τῷ Ζώῳ τὸ Πνεῦμα ὁ Θεός; „ Ἢ ὅτι τοῦτο λέγει, ὅτι ἄρτι γινώσκομεν ἐκ μέρους· „ Ὅτε δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταρ- „ γηθήσεται. Α Κορινθ. ΚΕΦ. ΙΓ΄. Ἐδαφ. Θ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΟΣ ΚΥΡΙΟΥ ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

## ΠΡΟΣ ΤΟΝ ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΜΗΔΕΙΑΣ ΘΕΟΦΑΝΗΝ.

## *Περὶ τῆς Λογικῆς καὶ Ἀνθρωπίνης Ψυχῆς ἐπιστήσαντος τῷ προηγησαμένῳ ἐν ταῦθα τούτου Συγγράμματι περὶ τῆς αὐτῆς Ὑποθέσεως.*

Ἐδεξάμεθά σου τὸ Σύγγραμμα, καὶ καλῶς ἐπιστήσαντες, ὡς ἠξίους, αὐτὸ μὲν ἐπῃνέσαμεν ἐπαίνων ἄξιον ὄν, τῷ συγγραψαμένῳ δὲ συνήσθημεν· τοῦτο μέν, τῆς πολυμαθοῦς ἀκριβείας περὶ τὰ θεῖα· τοῦτο δέ, καὶ τῆς θεόθεν ὁδηγίας πρὸς τὴν γνῶσιν τῶν ἀληθῶν, ἣν οὐκ ἔστιν ἐκείνης ἄνευ εὑρεῖν, κἂν πάνυ τὶς ᾖ σπουδαῖος περὶ τοὺς λόγους· Ἐμπνεῖ δὲ ὁ Θεὸς τοῖς μετ' εὐλαβοῦς προσεδρίας καὶ μετριωτέρῳ φρονήματι τὴν χάριν ταύτην αἰτοῦσιν. Ἡμεῖς δ' οὔτε πρότερον ἀντιλέγοντές τῳ, τὸν περὶ Ψυχῆς ἐκεῖνον συντεθείκαμεν λόγον, οὔτ' ἀναγκαῖον ὂν οὐδαμόθεν, οὔτε δίκαιον ἄλλως, οὔτε πρέπον ἡμῖν. Φίλω

δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέ τινι ζητήσαντι συντεθεικότες πεπόμφαμεν, ȣ̓δ' αὐτὸν εἰδότες τῇ ἡμετέρᾳ κρίσει προσθέσθαι βȣλησόμενον, ἢ μᾶλλον εἰπεῖν δυνησόμενον, ἀλλὰ φίλον ἐζητηκότα περιιδεῖν μὴ κρίναντες δεῖν. Καὶ τῇ σῇ νῦν Ἱερότητι τὸ τῆς ἀγάπης χρέος πληρȣ̃ντες, τὸ παρὸν ἀντιπέμπομεν. Ἠξίȣς γὰρ ἡμᾶς μεταθεμένȣς νῦν τὸ τῆς γνώμης φιλήσυχον, ἐπιστῆσαι μὲν τῷ Συγγράμματί σȣ καλῶς· ἐκφῆναι δέ σοι τὰ δόξαντα περὶ τȣ́τȣ. Καὶ σὺ μὲν ȣ̓κ ἀμέσως ἡμῖν ἔπεμπες, ȣ̓́τε γράφων ἠξίȣς ὑπ' εὐλαβείας, ἀλλά τῳ τῶν οἰκειοτάτων ἡμῖν ταῦτα γράφων ἐδήλȣς. Ἡμεῖς δ' ἀμέσως σοι τὴν γνώμην δηλȣ̃μεν, τὸν περὶ τῆς σιγῆς νόμον λύοντες.

Τὸ μὲν ȣ̃ν πρότερον ἐκεῖνο περὶ Ψυχῆς ἡμῖν Σύγγραμμα, ζητήματος εἶχε τάξιν. Ὅθεν ἐδείκνυτο μὲν, ἃ περὶ τȣ̃ τῶν λοιπῶν Ψυχῶν γένȣς, καὶ τῆς πρὸς ἀλλήλας τε καὶ τὴν λογικὴν αὐτῶν τάξεως, ἁπλῶς τε καὶ χωρὶς σκοπȣμένης, κἀν τῇ παρασκευῇ τȣ̃ τῆς Ψυχῆς ὀργάνȣ τȣ̃ Σώματος πᾶσι τοῖς σοφῶς ἐζητηκόσι δοκεῖ. Πρȣτείνετο δὲ, καὶ ἅ τις ἂν ἀπορείη. Ἔστι γὰρ καὶ τοῖς ἀληθεστάτοις ἀντιτάξασθαι τῷ δοκεῖν τε καὶ λόγȣ χάριν πρὸς μείζω τῆς ἀληθείας βεβαίωσιν, καὶ τȣ̃το πᾶσι Σοφοῖς ἐσπȣδάσται. Οἱ δ' ὀλίγα εἰδότες, ἀντὶ τῶν ἀληθῶν ταῖς πρὸς ταῦτα μᾶλλον Ἀντιθέσεσι τίθενται. Ἐλύομεν τοίνυν τὰς πρὸς τὴν ἀλήθειαν δοκȣ́σας ἀντιθέσεις οἰκείως. Αἱ δ' ἦσαν ἡ περὶ τȣ̃ ῥύπȣ τῆς προγονικῆς Ἁμαρτίας. Ἡ περὶ τȣ̃ πεπαῦσθαι τȣ̃ δημιȣργεῖν τὸν Θεόν. Ἡ περὶ τῆς Εὔας, ὅτι μὴ κατὰ τὸν Ἀδὰμ παρῆχθαι γέγραπται, προσεχὴς αὐτῷ καὶ δεύτερος Ἄνθρωπος γενομένη. Ἡ περὶ τῶν πορνικῶν συναφειῶν. Ἡ περὶ τῶν ἀπίστων καὶ πονηρῶν. Ἐκ τȣ́των γὰρ ἔδοξε τὸν πρόσθεν χρόνον τισὶ δεῖν ἂν μᾶλλον τῷ Σπέρματι καὶ τὰς ἀνθρωπείας συνεῖναι Ψυχὰς, ὥσπερ τὰς ἄλλας, ἢ ἐκ Θεȣ̃ δημιȣργȣμένων τάδε συμβαίνειν. Καὶ τότε μὲν εὐθὺς βραχὺ τὸ Σύγγραμμα ἦν, τȣ̃ καιρȣ̃ ποιȣ̃ντος ȣ̃τω πέμπειν τῷ φίλῳ. Μετ' ὀλίγον δὲ προσθήκαις ηὐξημένον, τȣ̃ καιρȣ̃ τȣτὶ συγχωρȣ̃ντος, πολλοῖς ἐζητηκόσιν ἐκδέδοται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται· ὑφ' ὧν οἶμαι καὶ πολλαχοῦ τῆς γῆς αὐτὸ διεσπάρθαι. Οὐκ οἶδα δ' εἰ καὶ αὐτόθι παρὰ σοὶ, ἤ τῳ τῶν ἄλλων φίλων κατήντησε, καὶ δηλοίης ἂν ἡμῖν ἐπιστείλας. Ἐκεῖνο μὲν τοιοῦτον ἦν. Ἔσται δέ σοι καὶ τὸ παρὸν, βραχὺ μὲν, τοῦ καιροῦ τοῦτ' ἀπαιτοῦντος, ἱκανὸν δὲ Σοφῷ τυγχάνοντι, κἂν ἔλαττον ᾖ. Ὅμως γὰρ τὴν σὴν βεβαιώσει περὶ τοῦ ζητήματος γνώμην, καὶ κρίσις μὲν περὶ τοῦ Συγγράμματος ἔσται τοῦ σοῦ. Τῶν δὲ πρόσθεν ἡμῖν ἐπεσταλμένων τῷ φίλῳ βεβαίωσις. Χρείας δὲ καλούσης, καὶ τρίτον ἴσως ζητήσοντι πέμψομεν, εἰ καὶ τὸ Πνεῦμα ἔτι τῷ πηλῷ παραμένοι, τοῦ Θεοῦ τῇ τῆς ζωῆς παρατάσει ταύτης παιδεύοντος ἄμφω τώδε.

Ἀλλὰ δέοι γ' ἂν μᾶλλον ἀρκεῖσθαι σέ τε καὶ ἡμᾶς τοῖς καλῶς ἐγνωσμένοις περί τε ἄλλων καὶ τῶν ἡμετέρων Ψυχῶν, καὶ τῷ δεδωκότι Θεῷ τὴν χάριν εἰδέναι. Τὴν δὲ πολλὴν φροντίδα ποιεῖσθαι περὶ τοῦ μέλλοντος, οὗ χάριν ἡμῖν αἱ Ψυχαὶ, καὶ Ψυχῶν ἕνεκα πρὸς ὑπουργίαν μὲν, ὧδε· ἐκεῖ δὲ, πρὸς κοινωνίαν μόνην τὰ σώματα. Τότε γὰρ τοῦ μὲν ὅπως γέγονεν ἕκαστος, λόγος ἡμῖν οὐδεὶς ἔσται. Καὶ αἱ νῦν γὰρ ἀγνοοῦσαι Ψυχαὶ, τότε μαθήσονται, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν νῦν ἀγνοουμένων εἴσονται τότε. Ἔργῳ δὲ μᾶλλον ἐν τῷ καιρῷ τῆς τῶν σωμάτων ἀναστάσεως εἴσονται, ὅτι τὸ χωρισθῆναι τῶν ὑποκειμένων αὐταῖς σωμάτων, καὶ ζῆν χωρισθείσας, καὶ τὸ συναφθῆναι μετὰ τοσοῦτον αὖ χρόνον ἐκ θαύματος, ἑπόμενον ἦν τῷ μὴ δὲ τὴν ἀρχὴν φυσικῶς ἐνεῖναι καὶ συνεῖναι τοῖς σπέρμασιν· ὃ καὶ σὺ πάνυ σοφῶς ὥσπερ σφραγῖδα τῷ καλῷ Συγγράμματι τέθεικας. Καὶ ἡ μὲν τῶν Σωμάτων Ἀνάστασις οὐκ ἄνευ θαύματος ἔσται, τῷ παραυτίκα μᾶλλον, ἢ τῷ ἐκ τῶν στοιχείων αὖ συνίστασθαι καὶ ἀναμορφοῦσθαι παραδοξοποιουμένη. Ἡ δὲ τούτοις τῶν Ψυχῶν ἕνωσις οὐ σὺν θαύματι. Ἐκ γὰρ τοῦ πρὸς ταῦτα τότε πρῶτον ἡνῶσθαι παρὰ Θεοῦ, πρὸς τὸ καὶ πάλιν ἑνοῦσθαι, τοῦ Θεοῦ βουληθέντος ἂν, εἰθισμένην τε ἐν ἑαυταῖς καὶ σωζομένην τὴν φυσικὴν ῥοπὴν ἔχουσι. Ταυτὶ μὲν οὖν μαθήσονται τότε καλῶς αἱ νῦν ἀγνοοῦσαι Ψυχαί. Τὸ δ' ἐπὶ τὸ βέλτιον αὐταῖς, ἢ τὸ

χεῖρον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεῖρον μαθεῖν, τῆς ἐνταῦθα ζωῆς ἔσται τὸ τέλος καὶ ὁ καρπὸς, ὁποτέραν ταῖν ὁδοῖν ἂν ἕλοιντο. Ὅθεν τοῦτο δεῖ μάλιστα φροντίζειν ἡμᾶς. Ἐπεὶ δ' ὑπ' εὐνοίας τῆς πρὸς τὸν φίλον τότε προήχθημεν, οὐδέ σοι δυναίμεθ' ἂν νῦν σιωπᾶν εὐνοίᾳ μείζονι, καὶ πολλῶν χάριν ὀφειλομένην τῶν θεόθεν σοι κεχορηγημένων καλῶν.

Οἱ τῆς Ἐκκλησίας τοίνυν Διδάσκαλοι (Ἰέναι γὰρ πρὸς τὸ προκείμενον δεῖ) τῷ μὲν Σπέρματι συνεῖναι τὴν νοερὰν Ψυχὴν καὶ ἀσώματον, καὶ συνεξιέναι τε καὶ συσπείρεσθαι ἀπαξιοῦσι, πολλῶν ἀτόπων ἕνεκα, καὶ ἀδυνάτων ἑπομένων ἐξ ἀνάγκης ταύτῃ τῇ θέσει. Τῷ δὲ Σώματι ὀργανικῶς μορφωθέντι, καὶ αὐτὴν εὐθὺς ἐνδημιουργεῖσθαι λέγουσι. Καὶ τότε δὴ τῇ ἐξ ἀμφοῖν ταῖν φύσεοιν Σώματός τε καὶ Ψυχῆς ἀπαρτίσει, καὶ εἰς ἓν ἄτομον συνόδῳ συνεστηκότα τὸν Ἄνθρωπον ἐκεῖθεν προβαίνειν ἄρχεσθαι, ταῖς θατέρου τῶν μερῶν ἁρμοττούσαις ἐπιδόσεσιν, αἳ καὶ τῷ συναμφοτέρῳ τρόποις ἄλλοις λογίζονται, αἰτίαν ἔχουσαι λοιπὸν αὐτὴν τὴν Ψυχὴν, καὶ τὰς ταύτης δυνάμεις. Τὴν δὲ τῆς Ψυχῆς ἐν τῷ νοερῶς ἐνεργεῖν πρόβασιν σημειωσόμεθα, προϊόντος τοῦ λόγου.

Καὶ φεύγει μὲν ἡ σοφὴ Θέσις αὐτὴ τὴν Ὠριγένους περὶ τῆς τῶν Ψυχῶν προϋπάρξεως δόξαν ἐκ τῶν πλατωνικῶν ἀνασχοῦσαν λήρων. Ἀπήλλακται δὲ καὶ τῆς τοῦ Κιττιέως Ζήνωνος μετὰ πολλῶν ἄλλων ἑπομένων αὐτῷ κατὰ τὸν τῆς παγκοσμίου πλάνης καιρόν. Μετὰ ταῦτα δὲ καὶ Ἀπολιναρίου ἐν τῷ τῆς ἀληθείας καιρῷ προελομένου καὶ αὐτοῦ τὴν δόξαν τοῦ Ζήνωνος καὶ Κλεάνθους, εἰ καὶ μετά τινος διαφορᾶς. Οἱ μὲν γὰρ τὴν ἀνθρωπείαν ψυχὴν τῷ Σπέρματι συμμιγνύντες καὶ συγκιρνῶντες, καὶ φθαρτὴν εἶναι ταύτην ἐνόμιζον. Καὶ τούτους ἐλέγχει πάνυ σοφῶς καὶ δικαίως ὁ πάνσοφος καὶ μακάριος Θεοδώριτος ἐν τοῖς κατὰ Ἑλλήνων λόγοις, ὡς λίαν ὑβριστικῶς καὶ ἀτόπως διειλεγμένους περὶ Ψυχῆς. Ἀπολινάριος δὲ συνεῖναι τῷ Σπέρματι τὴν Ψυχὴν ἐφρόνει, καὶ συμπροϊέναι παρὰ τοῦ σπείροντος καὶ συσπείρεσθαι. Καὶ θνητὰς μὲν οὐκ ἔλεγε τὰς ἀνθρωπείας Ψυχάς· γίνεσθαι δὲ Ψυχὰς ἐκ Ψυχῶν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χῶν, καθάπερ ἐκ Σωμάτων Σώματα, ὡς ἐκ κοινῆς ἀρχῆς τῆς τοῦ Σπέρματος. Καὶ Ζήνων μὲν διχῶς ἐψεύδετο· ἡ δ' ἀκολουθία κατὰ λόγον αὐτῷ συνέβαινε. Ψευδεῖ γὰρ ἡγουμένῳ ψεῦδος ἑπόμενον εἶχεν. Ἀπολινάριος δὲ πλέον μὲν εἶχε Ζήνωνος τὸ τὴν Ψυχὴν ἀθάνατον λέγειν· (ὅπερ ἦν ἀληθές.) ἡγουμένῳ δὲ ψευδεῖ, τὴν ἀληθῆ συνέπλεκε δόξαν ὑπ' ἀμαθίας, καὶ πολλοῖς τοῦ περὶ τούτων πλανᾶσθαι γέγονεν αἴτιος. Ἀλλὰ καὶ τῶν ὕστερον τοῦ Σώματος δοξασάντων ποτὲ τὴν Ψυχὴν, καὶ θύραθεν εἰσιοῦσαν, (οἳ πολλαῖς κατεμερίζοντο δόξαις ἐντεῦθεν περὶ αὐτῆς.) κἀκείνων τὸ ψεῦδος ἡ σοφωτάτη τῶν Διδασκάλων Θέσις ἐκπέφευγε. Μετριώτεροι δ' ἦσαν περὶ τὸ ψεῦδος, οἱ τὴν Ψυχὴν συγκαταβάλλεσθαι πεφρονηκότες τῷ Σπέρματι. Ἐκ τοῦ ἀνδρὸς μὲν τὸ Σπέρμα, τὴν δὲ Ψυχὴν ἀπὸ Θεοῦ. Οὔτε γὰρ τὸ Σπέρμα τῆς λογικῆς Ψυχῆς αἴτιον ἐδόκουν φρονεῖν, οὔτε τὸν σπείροντα· ἀλλὰ περὶ τὸν τῆς παραγωγῆς χρόνον τε καὶ τρόπον σφαλλόμενοι, τῷ μὴ προσέχειν ἐθέλειν, ἢ μὴ δύνασθαι τῇ τε Γραφῇ καὶ τοῖς Ἱεροῖς Διδασκάλοις, καὶ αὐτοὶ τῆς πρὸς τοὺς τὰ χείρω φρονοῦντας διαφορᾶς οὐδέν τι κερδαίνοντες ἦσαν. Ἀλλὰ πρὸς τὴν προκειμένην ἀκολουθίαν ἐπάνιμεν.

Τῷ Σπέρματι μὲν οὖν οὐ συνεῖναι λέγουσιν οἱ Διδάσκαλοι τὴν λογικὴν Ψυχήν. Τὸ γὰρ Σπέρμα οὔπω ζῶν ἐστὶ Σῶμα, οὐδὲ τοιαύτῃ πρέπον Ψυχῇ· εἰ μή τις αὐτὸ λέγοι Σῶμα, κατὰ τὸν κοινότερον τοῦ Σώματος λόγον· ᾧ δὴ πρὸς τὸ Ἀσώματον ἀντίκειταί γε τὸ Σῶμα. Οὕτω δὲ καὶ τὰ Στοιχεῖα Σώματα λέγονται, εἰ καὶ ἁπλᾶ τῇ πρὸς τὰ ἐξ αὐτῶν παραθέσει. Ἀλλ' ἐκ τοῦ Ἀνθρωπείου Σπέρματος τὸ Ἀνθρώπειον Σῶμα φυσικῇ τινι προόδῳ, (ἣν ὁ Δημιουργὸς τῆς φύσεως ἔταξεν ἐν ἡμέραις τεσσαράκοντα, ἢ καὶ μικρόν τι πρός.) γεγονὸς, τῶν συστοίχων αὐτῷ Ψυχῶν εὐτάκτως ὑπουργουσῶν, εὐθὺς καὶ τὴν λογικὴν Ψυχὴν ὑπὸ Θεοῦ δημιουργουμένην εἰσδέχεσθαι τὴν οἰκείαν τῷ σπείροντι. Κἀντεῦθεν ἐστὶ τὸ, ἅμα Σῶμά τε εἶναι καὶ Ἀνθρώπειον, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψυχὴν Ἀνθρωπείαν· ὡς ὁπότε πρώτως αὐτὸ μεμορφωμένον ᾖ, καὶ ὠργανωμένον, αὐτίκα καὶ τῆς Ψυχῆς θεόθεν ἐγγιζομένης ἑτοίμῳ τῷ δεκτικῷ καὶ οἰκείῳ γε καὶ προσήκοντι, καὶ ταύτης χάριν ἡτοιμασμένῳ. Τὸ γὰρ ἅμα εἶναι, οὐ τὸ συμπεφυκέναι δηλοῖ μόνον, ἢ τὸ ἐν τῷ αὐτῷ ἀτόμῳ γίγνεσθαι, κἂν μὴ ᾖ συμπεφυκότα, ἀλλὰ καὶ πλείοσιν ἄλλοις τρόποις ἐστὶ καὶ λέγεται, ὧν ἐστι καὶ ὁ νῦν ἡμῖν ἀφωρισμένος. Ὁ τοίνυν μέγας ἐν θεολογίᾳ Γρηγόριος ἐν τῷ εἰς τὴν θείαν ἐνανθρώπησιν λόγῳ τὴν τῶν πρώτων Ἀνθρώπων δημιουργίαν ἀκολούθως τῇ τοῦ Μωσέως θεόθεν ἐπιπνοίᾳ περὶ αὐτῶν ἐκτιθεὶς· «Τὰς μὲν νοερὰς φύσεις ἅμα φησὶν, ὑπέστησεν ὁ Θεὸς, οὔτε δύναμιν αὐταῖς ἔδωκε τοῦ προάγειν ἀφ' ἑαυτῶν ἄλλας φύσεις, ὡς μὴ κατὰ λόγον ὂν τοῦτό γε. Τῶν δ' αἰσθητῶν ὁπόσα γενητὰ καὶ φθαρτὰ ποιεῖν ἐβουλήθη κατ' εἶδος, ἑνὶ προστάγματι καὶ ἁπλουστάτῳ παραγαγών· τὰ μὲν ἐκ γῆς, τὰ δ' ἐξ ὑδάτων, καὶ δύναμιν δέδωκε τοῦ προάγειν ἐκ διαδοχῆς ὅμοια· τῶν μὲν ἀμέσως ἐκ γῆς τε καὶ ὕδατος γινομένων, τῶν δὲ τῇ τῶν σπερμάτων διαδοχῇ· τῶν στοιχείων αὐτοῖς τροφήν τε καὶ αὔξησιν διδόντων μέχρι τῆς αὐτῶν τελειώσεως. Καὶ οὕτω διακέκριθεν ἀλλήλων, Νοῦς τε καὶ Αἴσθησις. Οὔπω δὲ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων.» Συναιροῦμεν δὲ τὴν τοῦ μεγάλου διάνοιαν, τὴν ἐν τῷ πλάτει τῶν λέξεων, ὥσπερ καὶ τὰ τῆς καινοτέρας ταύτης καὶ συνθέτου, καὶ διὰ τοῦτο πάντων ὑστάτης Δημιουργίας ἐγκώμια παρίεμεν νῦν, τοῦ προκειμένου μόνου φροντίζοντες· Τὸ δ' ἐστὶν ὁ τρόπος τῆς ἐκ τῶν οὕτω διεστηκότων τοῦ Ἀνθρώπου Δημιουργίας· ταυτὸ δ' ἁπάντων ἡμῶν εἰπεῖν, ὃν αὐτῇ λέξει τῇδε παρίστησι. «Τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ Ζῶον ἓν ἐξ ἀοράτου τε λέγω καὶ ὁρατῆς κτίσεως, δημιουργεῖ τὸν Ἄνθρωπον. Καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ Σῶμα, ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς, ἣν δὴ νοερὰν Ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ Λόγος, οἷόν τινα Κόσμον δεύτερον, ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν, Ἄγγελον ἄλλον· καὶ τὰ ἑξῆς.» Ὥσπερ

οὖν

οὖν ὁ θεῖος Μωσῆς τῇ ἱστορίᾳ τῆς διαφόρου πρός γε τὰ ἄλλα παραγωγῆς τῶν Ἀνθρώπων, εἰς ἄλλην τε ἡμῶν ὠφέλειαν ἐχρήσατο θεολογικήν τε καὶ ἠθικήν, καὶ ὅπως ἂν τῇ αὐτῇ ὁδῷ καὶ ἡμᾶς αὐτοὺς εἰδῶμεν νῦν γίνεσθαι· καὶ τὸ μὲν Σῶμα προσεχῶς ἐκ τῆς ὕλης ἔχειν, καὶ διὰ ταύτης ἐκ τοῦ Θεοῦ, τὴν δὲ Ψυχὴν ἀμέσως παρ' αὐτοῦ· οὕτω καὶ ὁ μέγας Γρηγόριος, τούτων τῶν ὠφελειῶν ἕνεκα, προὔργου τὰ κατὰ τὴν πρώτην ἡμῶν παραγωγὴν ἐξηγήσατο. Μᾶλλον δὲ Θεός ἐστιν ὁ Μωσεῖ πρώτῳ ταῦτα ἐμπνεύσας χάριν ἡμῶν, καὶ δι' αὐτοῦ τῷ Γρηγορίῳ τε καὶ τοῖς ἄλλοις. Τότε μὲν οὖν παρὰ τῆς γῆς ὡς ὕλης τὸ Σῶμα ἔλαβεν, οὐ τάξει τινὶ καὶ προόδῳ σωματώσας αὐτήν, ἀλλ' εὐθὺς ποιήσας Σῶμα Ἀνθρώπειον· τὴν δὲ Ψυχὴν οὔτε ἐξ ὕλης προϋποκειμένης, οὔτε μεταβολῆς τινος προηγησαμένης, ἀλλ' ἀμέσως ἐκ τοῦ μὴ ὄντος δεδημιουργηκώς, ἐνέπνευσε τελείῳ καὶ ὠργανωμένῳ τῷ Σώματι· ὥστε λόγῳ μὲν εἶναι ὑστέραν, ὡς ἐπὶ πάσης Ἐντελεχείας ἐστίν· ἔργῳ δὲ μετὰ τοῦ Σώματος ἦρχθαι· τοῦτο μόνον ὑστεροῦσαν αὐτοῦ ὅτι ἐν αὐτῷ γέγονεν, (οὐ γὰρ οἷόν τ' ἦν ἄλλως γίνεσθαι.) καὶ τοῦτο πλέον ἔχειν τῶν Ἐντελεχειῶν, ἃς ἀχρόνως τῇ τελειώσει τῶν ὑλῶν συνεπανθεῖν οἱ τῶν Σοφῶν ὁρίζονται λόγοι. Οὐ γὰρ Ἐντελέχεια μόνον ἐστὶν ἡ λογικὴ Ψυχή, ἀλλὰ καὶ μείζους ἄλλας ἔχει τάξεις πρὸς τὸ Σῶμα τοιαύτῃ φύσει, καὶ οὕτω γενομένῃ πρεπούσας, καὶ οὕτω διαμένειν μελλούσῃ, καὶ οὕτως εὐδαιμονεῖν. Καὶ τὸ Σῶμα δὲ τῆς ἁπλῶς λεγομένης Ὕλης διέστηκεν, ὥπερ ἡ Ψυχὴ ἐστιν ἡ λογικὴ συναπλέα· ἃ νῦν οὐ δεῖ πολυπραγμονεῖν. Τότε μὲν οὖν ὁ Δημιουργὸς ἡμῶν οὕτω πεποίηκεν. Ἐν δὲ τῇ κατὰ διαδοχὴν γενέσει, δέδωκεν ἐκεῖθεν ἀντὶ γῆς ὕλην τὸ Σπέρμα· οὐ παρὰ τοῦ ἀνδρὸς ἐνσπειρομένου τῷ θήλει, καὶ ἀλλοιώσεσι κατὰ μικρὸν καὶ αὐξήσεσιν ἐν ὡρισμέναις ἡμέραις εἰς τὸν τοῦ Ἀνθρωπείου Σώματος λόγον ἐλθόντος, ὡς μηκέτι λοιπὸν Σπέρμα εἶναι· Σῶμα δὲ, Ἀνθρώπῳ πρέπον τε, καὶ Ψυχῇ Ἀνθρωπείᾳ, (εἰ καὶ ἀμυδρὸν ἔτι καὶ βραχὺ τῇ ποσότητι, ὡς εἰκός ἐστιν, ἐν ἀρχῇ.) εὐθὺς παρ' ἑαυτοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν πνοὴν ἐντίθησι, τȣτέστιν ἐκ Δημιȣργίας τὸ Πνεῦμα. Τὸ μὲν γὰρ Σῶμα κατὰ διαδοχὴν οἷόν τ᾽ ἦν γίνεσθαι, καὶ εὔλογον ἦν τῇ προόδῳ τȣ̃ Σπέρματος, σωματικῆς τε καὶ συνθέτȣ φύσεως ἀμφοῖν ὄντων. Τὴν δὲ λογικὴν καὶ νοερὰν Ψυχὴν καὶ ἀσώματον, τὴν θείαν εἰκόνα ἀμέσως ἐχρῆν ἐκ τȣ̃ πάντα πληρȣ̃ντος καὶ περιέχοντος θείȣ Λόγȣ παράγεσθαι, καὶ κτίζεσθαί τε ὁμȣ̃, καὶ ἐμπνεῖσθαι.

Λέγεται μὲν γὰρ ὁ Ἄνθρωπος κατ᾽ εἰκόνα Θεȣ̃ γεγενῆσθαι, ἀλλὰ διὰ τὴν Ψυχὴν τȣ̃το λέγεται. Καὶ ἡ Ψυχὴ δὲ εἰκών ἐστι Θεȣ̃ κατά γε μόνον τὸν Νȣ̃ν κυρίως, καὶ τὰς ἐν αὐτῇ νοερὰς ἐνεργείας, οἷς ὁ Ἄνθρωπος τῶν ἄλλων ὑπερέχει κτισμάτων· δι᾽ ὃ καὶ μόνος αὐτὸς εἰκὼν τȣ̃ Θεȣ̃ λέγεται. Συνῆψε μὲν ȣ̃ν εἰς ἔνδειξιν τῆς παντοδυνάμȣ Σοφίας καὶ Ἀγαθότητος αὐτȣ̃ τὰς ἐναντίας ȣ̃τω Φύσεις εἰς μίαν ὑπόστασιν· Σῶμα δὴ καὶ Ψυχήν. Ἀλλ᾽ ȣ̃τε τὴν Ψυχὴν προακτικὴν καὶ ποιητικὴν ἑτέρας Ψυχῆς πεποίηκεν εἶναι, (Τȣ̃το γὰρ ȣ̓δὲ τῶν ὑψηλοτέρων Πνευμάτων τε καὶ Νῶν ȣ̓δενὶ δέδωκεν, ὡς τῷ πρώτῳ νῷ καὶ πάντων αἰτίῳ, τȣτέστιν ἑαυτῷ μόνῳ προσῆκον. Νȣ̃ς δὲ καὶ ἡ Ἀνθρωπεία Ψυχὴ, καὶ τῆς τῶν ὑψηλοτέρων νῶν φύσεώς τε καὶ τάξεως, εἰ καὶ σὺν ὑφέσει χάριν τȣ̃ συνημμένȣ. Οὕτω γὰρ Θεὸς ἐβȣλήθη.) ȣ̃τε τὸ ἀνθρώπειον Σπέρμα προακτικὸν καὶ ποιητικὸν τῆς ἀνθρωπείας Ψυχῆς τῆς οἰκείας εἰκόνος εἶναι ἠθέλησεν. Ἤρκει γὰρ ἐκ τȣ̃ Σπέρματος φύντι τῷ Σώματι, τοιȣ́τῳ νῷ συνάπτεσθαι παραδόξως. Αἴτιον δὲ αὐτȣ̃ καὶ γόνιμον τὸ Σπέρμα γίνεσθαι κατ᾽ ȣ̓δένα τρόπον οἷόν τ᾽ ἂν ἦν, ȣ̓τ᾽ ἔδει. Τί γὰρ ἂν εἶχε πλέον τῶν ἀλόγων Ζώων, ἢ καὶ Φυτῶν Ἄνθρωπος, καὶ ἡ ἐκ Θεȣ̃ πνευσθεῖσα τȣ́τῳ Ψυχή; Περὶ μὲν τῶν Ἀλόγων ἐν τῇ Γενέσει λέγεται, ὅτι ἡ Ψυχὴ αὐτȣ̃ ἐν τῷ αἵματι αὐτȣ̃ ἐστιν. Ἀλλὰ καὶ περὶ τȣ̃ Ἀνθρώπȣ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται, ἕως ὁ Χȣ̃ς εἰς τὴν γῆν ἐπιστρέψει ὅθεν ἦν, καὶ ἐπανέλθοι τὸ Πνεῦμα πρὸς τὸν δόντα αὐτό. Οὐ γὰρ περὶ τȣ̃ Ἀδὰμ τȣ̃ τ᾽ ἐκεῖ, περὶ δὲ παντὸς Ἀνθρώπȣ

λέγε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγεται. Ὥστε τῶν Ἀνθρώπων ἑκάστῳ κατὰ τὴν θείαν Γραφήν, Θεός ἐστιν ὁ διδοὺς τὸ Πνεῦμα ὡς ἦν ἀπ' ἀρχῆς· οὐχ ὁ θορός, οὐδὲ τὸ ἐξ αὐτοῦ πηγνύμενον Σῶμα. (Ἡ γὰρ ἂν καὶ αὐτὸ τὸ Πνεῦμα πρὸς τὴν γῆν μετὰ τῶν αἰτίων ὑπέστρεφεν.) οὐδ' ὁ Πατήρ· (τὸ γὰρ Σπέρμα δίδωσι μόνον, τὸν Χοῦν τὸν εἰς τὴν γῆν ἐπιστρέφοντα.) οὐδ' ἐμπνεῖ· (Θεοῦ γὰρ τοῦτό ἐστι μόνου.) οὐδ' ἐμπνέοιτ' ἂν ὁ θορός· οὐδὲ πάρεστιν αὐτῷ μορφουμένῳ γοῦν ὕστερον ὁ σπείρας, καὶ δεκτικῷ τοῦ Πνεύματος γενομένῳ.

Διὸ καὶ τῶν μὲν ἄλλων κτισμάτων οὐ λέγεται Πατὴρ ὁ Θεός, καίτοι Δημιουργός τε ὢν αὐτῶν ἀπ' ἀρχῆς, καὶ τῆς κατὰ διαδοχὴν αὐτῶν ἐκεῖθεν Γενέσεως Αἴτιος, τῷ δύναμιν αὐτοῖς τότ' εὐθὺς δεδωκέναι τοιαύτην, καὶ μέχρι τέλους διδόναι τῷ βούλεσθαι. Μόνων δὲ τῶν Ἀνθρώπων Πατὴρ ἠξίωσε λέγεσθαι· καὶ οὕτω καλεῖν αὐτὸν ἡμῖν ἐπιτρέπει, ὡς μόνων τε εἰκόνι θείᾳ τετιμημένων· καὶ τότε μέν, ὁμοίως τοῖς ἄλλοις εἰδικῶς ὑποστάντων καὶ γενικῶς· ἀτομικῶς δὲ καὶ νῦν ὑπ' αὐτοῦ γινομένων τῷ μέρει μόνον τοῦ Πνεύματος. ὥστε μηδέν τι προσίστασθαι τῇ τότε διδομένῃ κατ' εἶδος διαδοχῇ, καὶ μέχρι νῦν πληρουμένῃ, τὴν ἐν τοῖς ἀτόμοις ἐξ αὐτοῦ συνεργίαν. Κελεύει δ' ἐπειδὰν αὐτὸν καλῶμεν Πατέρα, τὸ ἐν Οὐρανοῖς προστιθέναι, ὡς καὶ γήϊνον ἡμῶν ἐχόντων Πατέρα. Ἀλλ' ὁ μὲν γήϊνος τοῦ ἐν ἡμῖν γηΐνου Πατήρ ἐστιν. Ὁ δ' οὐράνιος, καὶ ἀμφοῖν μὲν ἐστι Δημιουργὸς τοῦτε οὐρανίου ἐν ἡμῖν καὶ γηΐνου, μᾶλλον δὲ ἐστι τοῦ οὐρανίου Πατήρ, ὡς βελτίονός τε καὶ ὑψηλοτέρου, καὶ τρόπῳ ὑψηλοτέρῳ τῇ ἀμέσῳ παραγωγῇ τὸ εἶναι λαμβάνοντος. Φημὶ τοίνυν ἐπαινῶν, ὡς οὐ μόνον τῷ εὐσεβεῖ λόγῳ κατακολουθεῖν σοφώτατος ὤν, ἀλλὰ καὶ τῇ ἱερᾷ Γραφῇ συνᾴδων ὁ μέγας Γρηγόριος, ὃς ἡμῖν ἀντὶ βάθρου τοῖς παροῦσι γέγονε λόγοις, ἔν τε τοῖς λόγοις, ἔν τε τοῖς ἔπεσιν αὐτοῦ, πανταχοῦ τὴν τοιαύτην περὶ τῶν Ψυχῶν ἡμῶν ὑφηγεῖται γνώμην, καὶ δίδωσι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ἤρκει μὲν τὸ τοῦ Ἐκκλησιαστοῦ. Ἀλλὰ καὶ πανταχοῦ τῶν θείων Γραφῶν τὴν δόξαν ταύτην εὑρεῖν ἐστιν ἐναργῆ. Τί γὰρ ἐναργέστερον τοῦ· Ὁ πλάσας κατὰ μόνας τὰς Καρδίας αὐτῶν, τὰς Ψυχὰς δηλονότι· τουτέστι κατὰ μίαν ἑκάστην ἰδιαζόντως, καὶ μήτε πάσας ὁμοῦ, μήθ' ἑκάστην κατὰ τὴν φυσικὴν πρόοδον τοῦ Σπέρματος; Τί δὲ σαφέστερον τοῦ· Ὁ κτίζων Ἀνθρώπου Πνεῦμα ἐν αὐτῷ, ὁ τὴν ἀσώματον δηλονότι καὶ νοερὰν τοῦ Ἀνθρώπου Ψυχὴν ἐν αὐτῷ κτίζων τε καὶ δημιουργῶν; Καὶ τί δεῖ πάντα καταλέγειν; Ἐντεῦθεν ἠγμένος καὶ ὁ θεολογικώτατος Κύριλλος ὁ τῆς τρίτης Συνόδου Καθηγεμὼν, ἐν τῇ πρὸς τοὺς μονάζοντας ἐπιστολῇ ἐν τῇ Βίβλῳ τῶν πράξεων τῆς τρίτης Συνόδου κειμένῃ, (ἧς ἡ ἀρχή· Ἀφίκοντο μέν τινες) οὕτως αὐτῇ λέξει φησίν· Ἔοικε δέ πως τῷ καθ' ἡμᾶς τόκῳ τὸ ἐπὶ τοῦ Χριστοῦ Μυστήριον. Αἱ μὲν γὰρ τῶν ἐπὶ γῆς Μητέρες ὑπηρετοῦσαι τῇ φύσει πρὸς γένεσιν, ἔχουσιν ἐν τῇ Μήτρᾳ πηγνυμένην κατὰ μικρὸν τὴν σάρκα, καὶ ἀφράστοις τισὶν ἐνεργείαις τοῦ Θεοῦ προϊοῦσαν, καὶ τελειουμένην εἰς μορφὴν ἀνθρωπίνην. Ἐνίησι δὲ τῷ Ζώῳ τὸ Πνεῦμα Θεὸς, καθ' ὃν οἶδε τρόπον. Πλάττει γὰρ Πνεῦμα Ἀνθρώπου ἐν αὐτῷ κατὰ τὴν τοῦ Προφήτου φωνήν. Ἕτερος δὲ σαρκὸς, καὶ ἕτερος ὁμοίως ὁ τῆς Ψυχῆς λόγος ἐστίν. Ἀλλ' εἰ καὶ γεγόνασιν αὗται τῶν ἀπὸ γῆς Σωμάτων Μητέρες, ἀλλ' οὖν ὅλον ἀποτεκοῦσαι τὸ Ζῶον, τὸ ἐκ Ψυχῆς λέγω καὶ Σώματος, οὐχὶ μέρος λέγονται τεκεῖν. Οὐδ' ἂν εἴποι τις, φέρε εἰπεῖν, τὴν Ἐλισάβετ, σαρκοτόκον μὲν, οὐ μὴν ἔτι καὶ ψυχοτόκον. Ἐκτέτοκε γὰρ ψυχωθέντα τὸν Βαπτιστὴν, καὶ ὡς ἓν ἐξ ἀμφοῖν τὸν Ἄνθρωπον ἐκ Ψυχῆς λέγω καὶ Σώματος. Ὡς οὖν ἐκδηλοτάτης οὔσης καὶ πᾶσιν ὡμολογημένης, καὶ τοῖς ἀντιδοξοῦσιν αὐτοῖς τοῖς περὶ Νεστόριον τῆς τοιαύτης τῶν ἀνθρωπείων Ψυχῶν ὑπάρξεως, ἐκ ταύτης τὴν ἀμαθῆ Νεστορίου δόξαν ἐλέγχει. Ἔτι καὶ τῶν κανονικῶν Γραφῶν ἐστιν ἡ περὶ τῆς Ψυχῆς αὕτη Γνώμη. Ἐκεῖθεν γὰρ αὐτὴν καὶ Κύριλλος καὶ Θεοδώριτος φέρουσι. Καὶ συνοδικὴ ἐστὶ Γνώμη ταῖς πράξεσιν ἐγκειμένη τῆς τρίτης Συνόδου. Καὶ

τρί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρίτον, ὅτι τῇ τοιαύτῃ περὶ Ψυχῆς Γνώμῃ, τὴν ἀσέβειαν ἐξορίζουσι Νεστορίου Κύριλλός τε καὶ ἡ Σύνοδος. Τῇ αὐτῇ καὶ ἡ τοῦ Ἀπολιναρίου ἀναιρεῖται δυσσέβεια. Οὐκοῦν ὡς κανονικαῖς Γραφαῖς καὶ Συνόδοις καὶ Διδασκάλοις πολλοῖς καὶ μεγάλοις συνισταμένη τὸ κράτος ἔχει. Πρὸς τούτοις καὶ ὁ σπείρας, Πατὴρ λέγεται καὶ γεννήτωρ ὅλου τοῦ γεννηθέντος εὐλόγως, καί τοι τῆς Ψυχῆς οὐκ ὢν αἴτιος. Τοῦ γὰρ καὶ τὴν Ψυχὴν γενέσθαι, ὅθεν ἂν εὐλόγως γίνοιτο, τὴν ὑλικὴν παρασκευὴν αὐτὸς ἐδεδώκει· εἰ καὶ χρόνῳ μὲν πρότερον, τῇ φύσει δ' ὕστερον ἦν τὸ παρ' αὐτοῦ δεδομένον, ὡς ἐπὶ πάσης ἔχει τῆς ὕλης. Ὅθεν καὶ τοῦ συναμφοτέρου Πατήρ ἐστιν, εἰ καὶ τοῦ μέρους αἴτιος ἦν. Τὸ γὰρ συναμφότερόν ἐστιν Ἄνθρωπος. Θατέρου δὲ χωρὶς, οὐκ ἂν εἴη τὸ συναμφότερον. Ὁ δὲ μακάριος καὶ πάνσοφος Θεοδώριτος, ὁ θείαν τε καὶ ἀνθρωπίνην πᾶσαν σοφίαν ἐν Βιβλίοις ἀναριθμήτοις ἠκριβωκὼς, ἐν τῷ περὶ Ψυχῆς λόγῳ, ὅς ἐστι πέμπτος κατὰ Ἑλλήνων αὐτῷ, τοιάδε φησί. „Ταῦτα μὲν ὁ νομοθέτης ἐν τῇ κοσμογενείᾳ συνέταξε. Παραπλήσια δὲ κἀν τοῖς Νόμοις διδάσκει. Περὶ γὰρ δὴ τῆς Ἐγκύμονος τῆς ἔκ τινων πληγῶν ἀμβλωσκούσης διαλεγόμενος, διαμορφοῦσθαι πρότερον ἐν τῇ Νηδύϊ λέγει τὸ Βρέφος, εἶθ' οὕτω ψυχοῦσθαι. Οὐ θύραθέν ποθεν τῆς Ψυχῆς εἰσκρινομένης, οὐδέ γε ἐκ τῆς γονῆς φυομένης, ἀλλὰ τῷ θείῳ Ὅρῳ κατὰ τὸν ἐξ ἀρχῆς ἐντεθέντα Νόμον ἐκ Θεοῦ δεχομένης τὴν γένεσιν. Τοῦτο καὶ ὁ γενναῖος Ἰὼβ ἐν τοῖς πολυθρυλλήτοις ἀγῶσι, πρὸς τὸν ἀγωνοθέτην καὶ ποιητὴν διαλεγόμενος, ἔφη. Μνήσθητι ὅτι πηλόν με ἐποίησας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις. Ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἔπηξας δέ με ἴσα τυρῷ. Δέρμα καὶ Κρέα ἐνέδυσάς με, Ὀστέοις δὲ καὶ Νεύροις ἐνεῖράς με· Ζωὴν δὲ καὶ ἔλεον ἔθου παρ' ἐμοί· ἡ δὲ Ἐπισκοπή σου ἐφύλαττέ μου τὸ Πνεῦμα; Διὰ δὴ τούτων ἔδειξε μὲν τὴν γαμικὴν ὁμιλίαν, ἔδειξε δὲ τῆς παιδοποιΐας τὰς ἀφορμὰς, καὶ τὸν μικρὸν ἐκεῖνον θορὸν εἰς μυρίας ἰδέας μεταμορφούμενον, καὶ τηνικάδε τὴν Ψυχὴν δημιουργουμένην τε καὶ συναπτομένην τῷ Σώ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

» Σώματι· καὶ μέντοι καὶ μετὰ τὰς ὠδῖνας τὴν θείαν ἐπι- » κερίαν φερούσων καὶ κυβερνῶσαν. Ταῦτα μὲν ὁ σοφώτατος Θεοδώριτος ἄριστα συμβιβάζων τὸν μέγαν Μωσῆν· ἐν οἷς τήν τε παραγωγὴν τῆς ἀνθρωπείας φύσεως ἱςόρησεν ἐκ Θεοῦ, καὶ τὴν ποινὴν διέκρινε περὶ τῶν ἐκ πληγῆς ἀμβλωθέντων. Ἐλάττω μὲν αὐτὴν ὁριζόμενος, ὅταν ἀμβλωθῇ μὴ ἐξεικονισμένον· μείζω δὲ, ὅταν ἐξεικονισμένον. Ἐξεικονισμένον οὖν φησι τὸ μεμορφωμένον. Ὅταν δὲ μορφωθῇ καὶ Ψυχὴν ἔχῃ παρηγμένην ἐκ τοῦ Θεοῦ τὴν θείαν εἰκόνα, καὶ διπλοῦν ἔχει τὸν ἐξεικονισμὸν, καὶ Ἄνθρωπός ἐςι τότε. Πρὸ δὲ τοῦ διπλοῦ τούτου καὶ προσεχοῦς ἐξεικονισμοῦ, οὐκ Ἄνθρωπος τὸ ἠμβλωμένον, ἀλλ᾽ ἁπλῶς ἔμβρυον. Διὸ καὶ μικρὰν ὁρίζει τότε τὴν τιμωρίαν. Ἂν δ᾽ ἐξεικονισμένον ἀμβλωθῇ ταῖς πληγαῖς, ἢ νεκρὸν, ἢ ἠκρωτηριασμένον, τὴν τοῖς φονεῦσιν ἢ ἀκρωτηριάσασιν ὡρισμένην ἐπιτίθησι τιμωρίαν, τὸ Ψυχὴν ἀντὶ Ψυχῆς δίδοσθαι, καὶ Ὀφθαλμὸν ἀντὶ Ὀφθαλμοῦ, καὶ Χεῖρα ἀντὶ Χειρὸς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ταῦτα μὲν οὖν φησι Μωϋσῆς ἐν τοῖς Νόμοις, ἀρίστην καὶ σοφωτάτην κρίσιν διδοὺς, καὶ θείᾳ νομοθεσίᾳ πρέπουσαν.

Παραπλήσια δ᾽ εἶναι ταῦτα καὶ συνῳδὰ τοῖς ἐν τῇ Κοσμογενείᾳ συντεταγμένοις τῷ τε Θεοδωρίτῳ, καὶ πᾶσι Σοφοῖς δοκεῖ. Ἧττον μὲν γὰρ ἁμαρτάνειν τὸν τὸ μέλλον καὶ μήπω ὂν κτείνοντα, τοῦ τὸ γεγονὸς καὶ ὂν κτείνοντος. Γεγονὸς δὲ καὶ ὂν, Ἄνθρωπός ἐςι καὶ ἐξεικονισμένον ὡς εἴρηται, Ψυχῇ ἀπηρτισμένον καὶ Σώματι. Πρὶν δ᾽ ἐξεικονισθῆναι, γενησόμενόν ἐςιν Ἄνθρωπος, καὶ μέλλον, οὐκ ὄν. Ὥσπερ οὐδὲ τοῦ πηλοῦ τότε πλασθέντος μόνου, ἀλλὰ καὶ τοῦ Πνεύματος ἐντεθέντος αὐτῷ, Ἄνθρωπος ἐγένετό τε, καὶ ἦν. Ὁ δὲ ἔνθεος Ἰσαὰκ ἐν τῷ δευτέρῳ λόγῳ τοῦ πρώτου Βιβλίου, οὕτως αὐτῇ λέξει φησίν· » Ὥσπερ ἀδύνατον ἵνα ἔλθῃ ἡ Ψυχὴ » εἰς γένεσιν χωρὶς τελειότητος τῆς διαπλάσεως τοῦ Σώμα- » τος σὺν τοῖς μέλεσιν αὐτοῦ, οὕτως ἀδύνατον εἶναι τὴν θεω- » ρίαν τὴν δευτέραν Ψυχὴν, ἥτις ἐςὶ τὸ Πνεῦμα τῆς Ἀπο-

καλύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλύψεως, χωρὶς τῆς τελειώσεως τοῦ ἔργου τῆς Ἀρετῆς· » ὅπερ ἐστὶν οἶκος γνώσεως τῆς δεχομένης τὰς Ἀποκαλύψεις. » Ὁ δὲ μακάριος Αὐγουστῖνος, διαπεπλασμένῳ φησὶ καὶ ὀργάνου τάξιν ἀπειληφότι τῷ Ἀνθρωπίνῳ Σώματι, κτιζομένη θεόθεν ἐγχεῖται ἡ λογικὴ Ψυχὴ, καὶ ἐγχεομένη κτίζεται. Τουτέστιν ἅμα τε δημιουργεῖται καὶ ἐγχεῖται τῷ Σώματι. Περιτρέπεται γὰρ πάνυ σοφῶς τὰς ἑκατέρωθεν συνεπομένας ἀναρμοστίας, εἰ θάτερον ὁποτερονοῦν χρόνῳ τοῦ λοιποῦ προηγοῖτο.

Οἱ Διδάσκαλοι τοίνυν τῆς Ἐκκλησίας, τὰ ταῖς θείαις ὡρισμένα Γραφαῖς, καὶ τῷ λόγῳ σφόδρα εἰδότες συμβαίνοντα, μετὰ πλείστου γε τοῦ τεθαῤῥηκότος καὶ ἀποδεικτικῶς αὐτὰ βεβαιοῦσι. Τὸ γὰρ ἀνθρώπειον Σπέρμα δυνάμει μὲν εἶναι Φυτὸν ᾔδεσαν εὐθὺς, εἶτα δυνάμει καὶ Ζῶον, ὡς τοιαύτην δύναμιν ἔχον συμπεφυκυῖαν, καὶ μέχρι τούτων τὴν φυσικὴν εἶναι τοῦ Σπέρματος δύναμιν. Πρὸς δὲ τὴν λογικὴν Ψυχὴν τοιαύτην οὐκ ἔχειν δύναμιν, δυνάμει μόνον εἶναι πρὸς αὐτὴν κατὰ τὸν τοῦ πεποιηκότος σκοπὸν, ὃς ἐμίγνυ τὰ ἐναντία παραδοξοποιῶν, κατὰ τὸν μέγαν » Γρηγόριον. Ἐμίγνυ δὲ, ἢ μᾶλλον συνῆπτεν οὐκ εἰς μίαν φύσιν, ἀλλ' εἰς ὑπόστασιν. Δυνάμει δὲ πρὸς τὴν τοιαύτην Ψυχὴν εἶναι, οὐχ ᾗ προακτικὸν αὐτῆς, ἀλλ' ᾗ δεκτικὸν, ὡς ἐκ τοιούτου σπαρὲν, καὶ ὡς τοῦ δέξασθαι χάριν οὕτω προβαῖνον, ταῖς οἰκείαις τε καὶ φυσικαῖς καὶ ἐνούσαις πρὸς τὰ ἄλλα δυνάμεσιν εἰς ἔργον ἰούσαις. Ἕτερον δὲ τὸ Δυνάμει εἶναι τόδε πρὸς τόδε, καὶ ἄλλο τὸ τοιάνδε δύναμιν ἔχειν. Ἀὴρ μὲν γὰρ ἔχει δυνάμει πρὸς τὸ ἐξ Ἡλίου φωτίζεσθαι σκοτεινὸς ὤν. Ἥλιος δὲ τὴν τοῦ φωτίζειν αὐτὸν ἔχει δύναμιν, ἐνεργείᾳ Φῶς τε ὢν, καὶ Φωτιστικός. Οὕτω δὴ καὶ τὸ ἐξ Ἀνθρωπείου Σπέρματος Σῶμα, αἰσθητικὸν γινόμενον καὶ ζῶδες, δυνάμει πρὸς τὴν λογικὴν ἔχει Ψυχὴν ἐκ τῶν εἰρημένων. Γεγονὸς δὲ καὶ ἀπαρτισθὲν, ἔξωθεν μὲν τὴν τοῦ δυνάμει τελείωσιν, τῷ ἐνεργείᾳ τοιοῦτον γεγονέναι λαμβάνει· ἄλλοθεν δὲ οὐδαμόθεν, ἢ θεόθεν προσήκει,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σήκει, τῆς θείας εἰκόνος τῆς νοερᾶς Ψυχῆς (ὁπόταν πρώτως ἕτοιμον ᾖ·) προαγομένης εὐθὺς αὐτῷ καὶ ἐμπνεομένης. Καὶ τὴν ἀρχὴν γὰρ οὐκ ἐνεφύσησεν εἰς τὸν Χοῦν τὸν ἐκ τῆς γῆς εἰλημμένον πρὶν μορφωθῆναι, ταὐτὸν δ' εἰπεῖν οὐκ ἐνεδημιούργησεν, οὐδ' ἐνῆκε. Τοῦτο γὰρ συνουσιοῦν ἂν ἦν, οὐχ ἑνοῦν καθ' ὑπόστασιν, ἀλλ' εἰς τὸ πρόσωπον τοῦ πλασθέντος ὀργάνου τὴν πνοὴν τῆς Ζωῆς ἐνεφύσησε. Τῷ δὲ προσώπῳ ἡ ὅλη μὲν κατασκευὴ τοῦ Σώματος τοῦ Ἀνθρωπείου δηλοῦται καὶ σύνθεσις καὶ διάκρισις τῶν ἔξω τε καὶ ἔνδον μορίων. Πρόσωπον μὲν γὰρ ἐν τῇ Κεφαλῇ· αὕτη δὲ τοῦ σύμπαντος Σώματος τὸ Κεφάλαιον. Δηλοῦται δὲ καὶ ὁ ἐν τῇ ἐμπνεύσει πρέπων μάλιστα τρόπος. Τούτοις δὲ πᾶσιν ὁ εἰδικώτατος τῆς τοῦ Ἀνθρώπου παραγωγῆς τρόπος δηλοῦται πάνυ καλῶς, τῷ, Ἐξαγαγέτω, καὶ τοῖς περὶ τῶν ἄλλων λεγομένοις ἥκιστα κοινωνῶν.

Οὐδ' ἀπαγορεύουσιν οἱ τῆς Ἐκκλησίας Διδάσκαλοι τὸ συνεῖναι τῷ Σπέρματι τὴν λογικὴν Ψυχήν, ὡς ἀργούσης ἂν οὕτως ἐν τῷ σπείρεσθαι καὶ ἀλλοιοῦσθαί γε, καὶ σαρκοῦσθαι, καὶ μηδὲν ἐχούσης λογικὸν ἐνεργεῖν. Ἀλλ' ὅτι τοιαύτης ἂν οὖσα φύσεως, καὶ οὕτως ἰοῦσα διὰ τοῦ Σπέρματος εἰς τὸ εἶναι, οὐκ ἂν εἶχεν, οὐδὲ μετὰ ταῦτά ποτε τὸ λογικῶς τε δύνασθαι καὶ νοερῶς ἐνεργεῖν. Ὠργανωμένῳ δέ γε τῷ Σώματι παραγενομένη θεόθεν, τελεία μὲν κατ' οὐσίαν ἐστὶ, καὶ τὴν οἰκείαν αὔξην καὶ πρόσφορον εὐθὺς διδοῦσα τῷ Σώματι. Δυναμικῶς δ' ἕξει πρὸς τὰς οἰκείας ἐνεργείας μέχρι τινός· οὐ δι' αὐτὴν, διὰ δέ γε τὸ συνημμένον. Ἐγκαίρως δὲ καὶ εἰς ἔργον ἕξει προϊούσας τε καὶ αὐξούσας, τοῦ Σώματος τοιούτου μετὰ τὴν γέννησιν κατὰ μικρὸν γενομένου, ὡς οὐ μόνον μηδέν τι προσίστασθαι ταῖς οἰκείαις καὶ κατὰ φύσιν αὐτῆς ἐνεργείαις, ἀλλὰ καὶ ὑπεργεῖν τε καὶ συνεργεῖν, ὡς τούτου χάριν γεγενημένου, ᾗ φασιν οἱ Φιλόσοφοι πᾶσαν εἶναι ἀνάγκην, εἴτις ἐκλέλοιπεν αἴσθησις, καὶ ἐπιστήμην τινὰ ἐκλελοιπέναι. Οὕτω καὶ συνεργόν ἐστι πρὸς τὴν τελείωσιν τῶν τῆς Ψυχῆς ἐνεργειῶν ἡ τοῦ συνημμένου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τελείωσις, εἰ κατὰ λόγον αὐτῷ γε ἡ Ψυχὴ χρῷτο, καὶ τὴν ἐντεθεῖσαν αὐτῇ θεόθεν δύναμιν, καὶ αὐτὸ ὑπεῖκον ἔχοι (ἕξει δὲ βουλομένη τε καὶ σπουδάζουσα) Δεσπότιδι προσηκόντως ὡς ὄργανόν τε καὶ δοῦλον. Τούτοις τοῖς ἠριθμημένοις Διδασκάλοις τοῖς τουτωνὶ τῶν ἀγαθῶν ἡμῖν ἡγεμόσι καὶ τοῖς ἄλλοις, (Τί γὰρ δεῖ τὰ τοῦ μεγάλου Χρυσοστόμου, ἢ τὰ τοῦ μεγάλου Βασιλείου καταριθμεῖν;) καὶ οἱ Νεώτεροι συνᾴδουσι, κἂν τἄλλα ἥττους, κεκηρυγμένοι μέντοι ὑπὸ τῆς Ἐκκλησίας, καὶ αὐτοὶ ὑπὸ τῇ τῶν προτέρων σειρᾷ ἁγιότητός τε αὐτῶν εἵνεκα, καὶ τῶν ὑπὲρ τῆς Ἐκκλησίας ἀγώνων.

Αὐτίκα ὁ θεῖος Μάξιμος τὸ τοῦ μεγάλου Γρηγορίου βουλόμενος ἀναπτύσσειν, οὗ καὶ ἡμεῖς ἐνταῦθα πρὸ τῶν ἄλλων ἐμνήσθημεν, οὕτω φησί. „Ψυχῆς μὲν οὖν γένεσις ἐξ ὑποκειμένης Ὕλης οὐ γίνεται καθάπερ τὰ Σώματα, ἀλλὰ τῷ βουλήματι τοῦ Θεοῦ, διὰ τῆς ζωτικῆς ἐμπνεύσεως ἀρρήτως καὶ ἀγνώστως, ὡς οἶδε μόνος ὁ ταύτης δημιουργός, ἡ Ψυχὴ τὸ εἶναι λαμβάνουσα κατὰ τὴν σύλληψιν ἅμα τῷ Σώματι πρὸς ἑνὸς ἀνθρώπου συμπλήρωσιν ἄγεται. Τί τούτου συμφωνότερον ἂν εἴπε Διδασκάλοις τοῖς ἄλλοις, καὶ μάλιστα ταῖς θείαις Γραφαῖς; Τὴν γὰρ Ψυχὴν καὶ αὐτὸς ἐξ ὑποκειμένης Ὕλης οὐ βούλεται γίνεσθαι. (Τοῦτο γὰρ τοῖς Σώμασι καὶ τοῖς σωματικοῖς μόνοις προσήκει. Ψυχὴ δὲ ἀσώματος καὶ λογική.) ἀλλ᾽ ἐκ τοῦ θείου παράγεσθαι μόνου θελήματος, καὶ τὸ κατασκευασθὲν ἐξ ὕλης σῶμα τῇ τοιαύτῃ ἐμψυχοῦσθαι Ψυχῇ, ὥστε τὸ εἶναι λαμβάνειν τὴν ἀνθρωπείαν Ψυχὴν οὐκ ἐκ τῆς ὕλης, ταὐτὸν δὲ φάναι τοῦ Σπέρματος, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ· καὶ τοῦτο λαμβάνειν οὐ προϋπάρξει τινί, ἀλλ᾽ ἐν τῷ καιρῷ τῆς Συλλήψεως. Ἧς ἀρχὴ μὲν, ἡ τοῦ ποιητικοῦ Σπέρματος πρὸς τὴν τῶν ἐν τῇ Νηδύϊ ζητουμένων ὑλικῶν αἰτίων φυσικὴ συμφωνία καὶ σύγκρασις· (διΐστανται γὰρ πολλάκις καὶ ἀκαρποῦσι, θατέρου τούτων, ἢ καὶ ἀμφοῖν, ὁ μεῖζον, τῶν ἀναγκαίων ἔλλειψιν πάσχοντος.) πέρας δέ, ὁ μετὰ τὰς μυρίας ἀλλοιώσεις τοῦ

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μεταμορφώσεις, ὡς ὁ μέγας Θεοδώριτος ἔφη, τοῦ ζώου ἀπαρτισμούς. Ὁπόταν οὖν ἐν τῷ καιρῷ τούτῳ τῆς Συλλήψεως τὸ Σπέρμα γένηται Σῶμα, Ψυχῇ τοιᾶδε προσῆκον καὶ οἰκεῖον τῷ σπείραντι, ἵνα καὶ οἰκείαν ἐκ Θεοῦ λάβῃ Ψυχὴν, καθάπερ ὁ σπείρας, τότ' εὐθὺς δημιουργουμένη καὶ ζωτικῶς ἐμπνεομένη ἅμα τῷ τοιῷδε Σώματι πρὸς ἑνὸς ἀνθρώπου συμπλήρωσιν ἔρχεται. Καὶ τὸ μὲν μὴ τὴν ὕλην, ταυτὸν δὲ φάναι τὸ Σπέρμα, ἢ τὸ ἐξ αὐτοῦ σῶμα ὀργανωμένον τῆς Ψυχῆς ὑπάρχειν ἀρχὴν, ἀλλὰ Θεοῦ δημιουργοῦντος ταύτην ἐμπνεῖσθαι, δῆλον εἶναί φησι· τὸν δὲ τῆς δημιουργίας καὶ ἐμπνεύσεως τρόπον, ἄρρητον εἶναι καὶ ἄγνωστον λέγει πάνυ καλῶς, αὐτῷ μόνῳ ἐγνωσμένον τῷ Δημιουργοῦντί τε καὶ ἐμπνέοντι, καθάπερ ἔφη καὶ Κύριλλος. Καὶ ὁ θεῖος δὲ Δαμασκηνὸς Ἰωάννης ταυτὰ τῷ Μαξίμῳ βούλεται, παραστὰν αὐτῷ ποτε περὶ τούτων εἰπεῖν.

Εἰδέ που καὶ δόξειαν ἔτι πρὸς τὸν μέγαν ἐκεῖνον διίστασθαι τῶν Διδασκάλων χορόν· πρῶτον μὲν, εἰ καὶ καθάπαξ διίσταντο, θαυμαστὸν οὐδὲν ἂν ἦν. Οὐ γὰρ πᾶσιν ἅπαντα δίδονται ὁ μέγας εἴρηκε Παῦλος· οὔτε Δόγμα τῆς ἱερᾶς τοῦτο Πίστεως· Ζήτημα δὲ, Φιλοσοφίᾳ καὶ Θεολογίᾳ προσῆκον· κἂν τοῖς τοιούτοις οἰκείως τῇ δυνάμει κρίνουσιν ἕκαστοι. Ἔπειτα τῇ Γνώμῃ μὲν οὐ διίστανται, διαφωνοῦσι δὲ μόνον ἴσως τῇ κατὰ τὴν λέξιν ἀκριβείᾳ, καὶ τῇ τῶν νοημάτων δεινότητι, καὶ οὐ τῆς αὐτῆς εὐρύτητός τε καὶ δεξιότητος τοῖς προτέροις ἐκείνοις εἰσὶ, κἂν αὐτοὶ φαῖεν οἱ Μακάριοι. Εἴη δ' ἂν Σοφῶν μὲν, δικάζειν νῦν περὶ τούτων ὀρθῶς, κανόνι κεχρημένους τῷ λόγῳ τῷ τοῦ αἰωνίου καὶ θείου Νόμου ταῖς Ψυχαῖς ἐμπυρεύματι· σπανίοις μέντοι ἐναναπλασμένῳ Ψυχαῖς, ἅτε πολλοῖς ὁδοῖς καὶ τρόποις καὶ διὰ χρόνου τῶν ἀναπλασσόντων συλλεγομένων. Διὸ καὶ Σοφοὺς μὲν, τοὺς λέγω τὰ πάντα εἰδότας· Λόγον δὲ, τὴν ὀρθὴν περὶ ἁπάντων κρίσιν ὁρίζονται. Φρονίμων δὲ, τοῖς πλείοσί τε καὶ ἀξιωτέροις προστίθεσθαι. Ἀγαθῶν δὲ, τὸ πάσῃ σπουδῇ τὴν φαινομένην ἐν αὐτοῖς λύειν διαφωνίαν· καὶ

τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς ἐλάττους ἀριθμῷ τε καὶ τάξει τοῖς πλείοσι συνάγειν καὶ μείζοσι. Καὶ τοῖς οὕτω ποιοῦσι χάριν ἂν εἰδοῖεν ἐκεῖθεν οἱ πάντα βλέποντες.

Ἡμεῖς δὲ χάριν ὁμολογοῦμεν τῷ πλάσαντι μὲν μετὰ πάντων καὶ ἐπὶ πᾶσι τὴν φύσιν ἡμῶν ἐξ ἀρχῆς. Εἶτ᾽ ἐκεῖθεν, ὡς τότε, ταῖς διπλαῖς ὁδοῖς πλάττοντι· τοῦ μὲν Πατρὸς τὴν τοῦ σώματος διδόντος ἀρχήν· ταυτὸν δὲ φᾶναι τῆς οἰκείας ὕλης τῷ Πνεύματι· αὐτοῦ δὲ, τὸ Πνεῦμα ἐμπνέοντος, καὶ τὸν ἄπονον τουτονὶ πόνον ἐκ πολλῆς ἑλομένῳ φιλανθρωπίας. Διὰ ταύτην γὰρ οὐκ ἀφῆκε τὴν τοῦ πονηροῦ βασκανίαν, καὶ τὴν τῶν Σπερμάτων ἡμῶν ἀφροσύνην πρὸς τὴν Λῆξιν τῶν ἀπὸ γῆς Πνευμάτων ἰσχῦσαι. Οἷς ἀναπληρῶσαι τὸν ἄπειρον ἀριθμὸν τῶν οὐρανόθεν κατενεχθέντων θελήσας, οὐ πέπαυται δημιουργῶν τοὺς ἄλλους Ἀγγέλους, τοὺς ἐπόπτας μὲν τῆς ὁρατῆς κτίσεως, μύστας δὲ τῆς νοουμένης, τοὺς προσκαίρους καὶ ἀθανάτους, τοὺς ὁρατούς τε καὶ νοουμένους, κατὰ τὸν θεῖον φᾶναι Γρηγόριον· ἀλλ᾽ ἐπλήρωσε τὸν Οὐρανὸν τῶν καλλίστων τούτων Πνευμάτων, εἰ καὶ νῦν τῷ τὴν κακίαν ηὐξῆσθαι βραχέων ὄντων τῶν ἀνιόντων, ἡ λῆξις ἐγγὺς ἔσται λοιπὸν ἡ προηγορευμένη, ὡς καὶ τὸ ταύτης αἴτιον προηγόρευται.

Εἰ δὲ καὶ κατέπαυσεν ἀπὸ πάντων τότε τῶν ἔργων αὐτοῦ, καθὼς εἶπε Μωσῆς, ἔργα λέγων τὰ διάφορα τῶν ὄντων εἴδη καλῶς· (Ἐκεῖθεν γὰρ οὐδὲν εἶδος ἐκ νέου, καὶ φύσιν ἄλλην ἐκ τοῦ μὴ ὄντος προήγαγεν, οὐδὲ μέχρι τέλους παράξει.) ἀλλ᾽ ἐργάζεται μέχρι νῦν ἐξ ἐκείνου πολλὰ ὁ Λόγος αὐτοῦ, δι᾽ οὗ πάντα γέγονέ τε καὶ γίνεται, τοῦτ᾽ εἴρηκε, καὶ φησίν. Ἐργάζεται γάρ, τὰ μὲν τῇ φύσει χρώμενος δούλῃ καὶ ὑπουργῷ· τὰ δὲ, ταύτην ἀναπληρῶν. Πολλὰ δὲ καὶ παρὰ τὴν φύσιν ἐργάζεται μετὰ τοῦ ταύτην οὐκ ἀναιρεῖν. Τί δὲ περὶ τῆς ἄλλης Προνοίας, καὶ τῶν πατρικῶν, ἢ δικαστικῶν ἔργων αὐτοῦ δύναιτ᾽ ἄν τις εἰπεῖν,

τῶν

τῶν πάντα λόγον νικώντων; Ὧν οὐ μόνον ἕκαστοι χωρὶς, ἀλλὰ καὶ κατὰ συνοικίας μείζους τε καὶ ἐλάττους ὅσαι ὧραι διηνεκῶς πάντες ἀπολαύουσιν Ἄνθρωποι. Καὶ τούτων αὖ εἵνεκα, ὁπόσα τούτων χάριν γίνεται καὶ ἐστί. Διὸ καὶ τῇ οὐρανίῳ τῶν ἀνθρωπίνων πραγμάτων ἀδιαλείπτως οἰκονομίᾳ, οὐ μόνον ταῖς εἰωθείαις τε καὶ ἐξ ἀρχῆς δεδομέναις, ἀλλὰ καὶ παραδόξοις ἄλλαις ὑπουργίαις ταῦτα δουλεύουσιν.

Ἔτι χάριν ὁμολογοῦμεν τῷ παναγάθῳ Δημιουργῷ, ὡς μετὰ ταῦτα καὶ Πνευματικῶς ἀναπλάσαντι, καὶ πάντας ἀναπλάσαντι τὸ καθ' αὐτὸν, εἰ καὶ μὴ πάντες ἀναπλασθῆναι ἠθέλησαν. Ἄκοντας δ' ἀναπλάττειν οὐχ οἷόν τε ἦν· εἴγε μὴ δὲ τὸ τῆς προαιρέσεως ἀγαθὸν ἀφαιρεῖν ἀπ' αὐτῶν, ὃ ταυτὸν ἦν τῷ μηδ' εἶναι ἀνθρώπους. Ἀνθρώπους δέ γε καὶ προαιρετικοὺς ὄντας εἰκὸς ἦν ταῖς γνώμαις μερίζεσθαι. Καὶ πρὶν μὲν, ἀπήλλαξε τῆς προγονικῆς Ἁμαρτίας, καὶ τῆς ἐκεῖθεν ποινῆς τοὺς ἐν Ἅδῃ πεπιστευκότας. Ἐκεῖθεν δ' ἀπήλλαξε πάντας, καὶ ἀπαλλάττει τοὺς πιστεύοντας τῷ βαπτίσματι, ὥσπερ εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα.

Ἐποίει δὲ καὶ ποιεῖ διαδόσιμον τὴν προγονικὴν Ἁμαρτίαν τε καὶ ποινὴν μάλιστα μὲν τὸ Σπέρμα, ὡς ἐκ τῆς ῥίζης ἐκείνης ἧκον διαδοχῇ· οὐκ αὐτὸ δὲ μόνον, ἀλλὰ καὶ ἡ προλαμβάνουσα τοῦτε σπείροντος ἐπιθυμία, καὶ ἐν ᾗ σπείρεται, καὶ ἡ μεσιτεύσασα τῆς σαρκὸς ὄρεξις, δι' ἧς σπειρόμενοι συλλαμβάνονται· ἃ καὶ αὐτὰ τῇ προγονικῇ ἁμαρτίᾳ, καὶ τῇ ταύτης ἐν τοῖς ὑστέροις πᾶσι μεθέξει ἀκόλουθα. Καὶ καθάπερ διπλῆ τοῦ τοιοῦδε σώματος ἡ ποιητικὴ ἀρχὴ, τό, τε Σπέρμα, καὶ ὁ τοῦτο διδοὺς, εἰ καὶ τρόπον ἕτερον· (προσεχὲς μὲν γὰρ αἴτιον τοῦ γινομένου τὸ Σπέρμα, ποῤῥωτέρω δὲ ὁ Πατὴρ ὁ τοῦ Σπέρματος αἴτιος. Ὅθεν καὶ τὸ Σπέρμα τοῦ Ἰωνᾶ Πέτρος γίνεται, ὁ δ' Ἰωνᾶς οὐ γίνεται Πέτρος· καὶ τὸ μὲν γίνεται μετὰ μικρὸν Ἄνθρωπος ἕως ἂν γεγονὼς καὶ εἴη λοιπόν· τὸ γὰρ γινό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μειον οὔπω ἐστὶν, ὁ δὲ ἐστι, πάλαι γεγενημένος·) οὕτω καὶ διαφόρως μὲν ἑκατέρωθεν ἡ διαδοχὴ τοῦ προγονικοῦ ῥύπου τῷ γεννωμένῳ· συνάγεται δ' ἕν. Ἐς ὅσον γὰρ ἀρχὴ τοῦ γεννωμένου τὸ Σπέρμα, καὶ ὁ Σπείρας ἐς τοσοῦτόν ἐστι· τῷ λόγῳ δηλονότι τοῦ ζῳώδους σώματος καὶ ὀργανικοῦ· πρὸς γὰρ αὐτὸ τὴν δύναμιν ἔχουσιν ἄμφω.

Τὸ δὲ τοιοῦτον σῶμα λοιπὸν, καὶ πρὸς τὴν οἰκείαν καὶ ἁρμόττουσαν αὐτῷ ψυχὴν προσεχῶς ἔχει δυνάμει· ἧς προστιθεμένης ὡς εἴρηται, καὶ Ἄνθρωπός ἐστιν ἀληθῶς τὸ συναμφότερον τότε, ὡς ἐξ Ὕλης μέν πη τοῦ σώματος, Εἴδους δὲ τῆς λογικῆς Ψυχῆς ὑφεστώς. Τότε δὲ καὶ τὴν τοῦ λογικοῦ διαφορὰν ἐπαληθεύουσαν ἔχει· πρότερον δ' οὔ. Οὐ γὰρ ὅτε Φυτὸν ἦν, οὐδ' ὅτε μετὰ τοῦτο Ζῶον ἐγένετο. Εἶδος μὲν γάρ ἐστι τῶν φυτῶν ἡ φυτικὴ καὶ ἡ αἰσθητικὴ τῶν ζώων, ἀλλ' ἀχώριστοί γε τῆς ὕλης. Συμπεφύκασι γὰρ αὐτῇ, διὸ καὶ συμφθείρονται. Ἀνθρώπου δὲ ἡ λογικὴ Ψυχὴ, χωριστόν ἐστιν Εἶδος· οὐ τῷ λόγῳ μόνον ὡς τ' ἄλλα, ἀλλὰ καὶ τῷ πράγματι. Ἐπακτὸν γάρ· οὐδ' ἐμβεβαπτισμένον τῇ ὕλῃ, καὶ περιέχον μᾶλλον, ἢ περιεχόμενον. Διὸ καὶ χωριζόμενον μένει. Ὅθεν καὶ τῶν ζώων μὲν ὅ, τι οὖν ἐγχωρεῖ καὶ ἐγγάστριον ἔτι ὂν, τοδὶ ζῶον καλεῖν, ἵππον τυχὸν, ἢ πρόβατον, ἕως τὴν αἰσθητικὴν ἔχει ψυχήν. Τὸ δ' ἐκ τοῦ ἀνθρωπείου Σπέρματος σῶμα πρὸ τοῦ τὴν λογικὴν Ψυχὴν δέξασθαι, (δέχεται δὲ τελειωθὲν, ὡς εἴρηται, καὶ ὀργανωθὲν) οὐκ ἔστιν ὑπόστασις, κἂν αἰσθητικὴν ἔχῃ τότε Ψυχὴν, καὶ τὴν φυτικὴν ὑπ' αὐτῇ δύναμιν. Ἐκεῖνα μὲν γὰρ τὴν οἰκείαν καὶ ὡρισμένην αὐτοῖς Ψυχὴν ἔχουσι. Τὸ δὲ τὴν οἰκείαν Ψυχὴν, καὶ πρὸς ἣν ἑτοιμάζεται, οὔπω λαβὸν ἔχει. Πῶς οὖν ὑπόστασις ἂν εἴη καὶ λέγοιτο τοῦ οἰκείου εἴδους ἄνευ, καὶ ὃ τέλος ἐστὶ τῆς γενέσεως; Ὁπότε δὲ λάβῃ, καὶ ὑπόστασίς ἐστιν εὐθὺς τὸ ἐξ ἀμφοῖν. Φθείρεται δὲ καὶ ἡ αἰσθητικὴ, τῆς λογικῆς ἐπιγενομένης. Καὶ ἔστι μὲν οὐκ ἄνευ τῆς φυτικῆς καὶ αἰσθητικῆς ἡ λογικὴ τότε Ψυχή· ὡς οἰκείας μέντοι δυνάμεις αὐ-

τὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς ἔχει, οὐχ ὡς Ψυχὰς ἑτέρας συνούσας. Διὸ καὶ τῆς λογικῆς Ψυχῆς ἐξιούσης τοῦ Σώματος, οὐδ' αὐτὸ ζῇ λοιπόν.*

Τῷ τοίνυν λόγῳ τοῦ Σέρματος, (ἐπάνιμεν γὰρ ἐξενεχθέντες μικρόν.) διαδιδομένης ἡμῖν ἐκ τῶν πρώτων ἐκείνων τῆς συνοίκου τῇ σαρκὶ Ἁμαρτίας, καὶ ἡ Ψυχὴ κοινωνεῖ διαδοτικῶς μὲν εὐθὺς, οὐ κατ' οἰκείαν ἐνέργειαν. Ἀπαλλάττεται δὲ βουληθεῖσά τε καὶ σπουδάσασα, τῇ πίστει τε καὶ τῷ Βαπτίσματι, τοῦ τῆς ἀληθείας Φωτὸς ἁπάσας προσκαλουμένου λαμπρῶς, ὀπίσω μὴ ἐκοῦσαι τυφλώττουσι. Καὶ τὴν ἀρχὴν γὰρ τῆς σαρκός τε καὶ αἰσθήσεως ἦν ἡ πρώτη πρὸς τὴν ἁμαρτίαν ὁρμή. Εὔα γὰρ ἦν ἡ τῆς παραβάσεως ἀφορμὴ τάξιν αἰσθήσεως ἔχουσα. Ὁ δὲ τοῦ λόγου τὴν τάξιν ἔχων Ἀδὰμ, ἀντὶ τοῦ ῥαπίσαι μᾶλλον ὑπήκουσε. Καὶ τὸ μὲν φαγεῖν τότε, τῆς αἰσθήσεως ἦν. Τὸ δὲ ἕνεκα τοῦ γινώσκειν, ἦν τοῦ Λόγου φθορά.

Ὅθεν καὶ τὴν θείαν Οἰκονομίαν ἐκ τῆς θείας Ἐπιεικείας γεγονέναι φασὶν οἱ τῷ θείῳ πεφωτισμένοι Πνεύματι. Καὶ τοῦτο τὸν θεῖον πεπροφητευκέναι Δαβὶδ, „ ὅτι ἔλεος καὶ ἀλήθεια συναντήσουσι· δικαιοσύνη καὶ εἰρήνη καταφιλήσουσι, τὸ ἐσόμενον ταῖς τοῦ παρῳχηκότος ὑποκρύψαντα λέξεσιν. Εἶχε γὰρ ἡ Ψυχὴ πρὸς τὴν θείαν Ἐπιείκειαν παραιτήσεώς τινα λόγον, ὅτι ταῖς τοῦ συνημμένου Σώματος ψιλῶς μὲν, παρακρουσθεῖσα δ' ὅμως ὑποβολαῖς, οὕτως ἠχρείωται. Ταύτης δὲ τοῖς Δαίμοσιν οὐ προσούσης τῆς παραιτήσεως, ἀνιάτως τε καὶ διηνεκῶς κακοδαιμονοῦσιν, ὥσπερ καὶ ἡ τῶν ἀνθρώπων Φύσις μετὰ τὴν παραδοξοτάτην ὁμοῦ καὶ ἐπιεικεστάτην αὐτῆς Ἰατρείαν ἀμεταγνώστως παρανομοῦσα, ἀφύκτους καὶ διηνεκεῖς ἐκτίσει τὰς δίκας. Πολλοὶ γὰρ τοῦ προγονικοῦ ῥύπου τῇ Πίστει

κεκαθαρ-

* Οὐ γὰρ τῆς Ψυχῆς ἐξερχομένης θνήσκουσιν αἱ δυνάμεις αὗται, ἀλλ' ἐκείνων φθαρεισῶν τῇ νόσῳ καὶ διαλυθέντων τῶν ζωτικῶν Πνευμάτων, ἐξέρχεται ἡ λογική. Οὐ γὰρ ἔχει οἰκείαν ὕλην ἐπὶ τὸ μένειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεκαθαρμένοι καὶ τῷ Βαπτίσματι, ταῖς προσωπικαῖς Ἁμαρτίαις ἀναῤῥυποῦνται, καὶ τὴν ἀνεῳγμένην πύλην τῆς αἰωνίου ζωῆς σφίσιν αὐτοῖς αὖθις κλείουσιν, ὥσπερ οἱ ταῖς κατ᾽ ἐνέργειαν Ἀρεταῖς συμβεβιωκότες καλῶς, ὡς ἐκεῖθεν ἀνεῳγμένης Ἀκωλύτως εἰσέρχονται. Ἀλλὰ καὶ τοῖς ἡμαρτηκόσι προσωπικῶς ἐκ πολλῆς τῆς θείας Ἐπιεικείας τὸ τῆς Μετανοίας δίδοται Φάρμακον, καὶ γνησίως μετανοοῦντες, τῇ Πίστει τὴν τῆς σωτηρίας πύλην εὑρίσκουσι. Συμπέπλεκται τοίνυν τοῖς ἐκ Σπέρματος Ἀγαθοῖς οὐχ ἧττω τὰ Φαῦλα. Καὶ Θεόθεν μὲν τὰ Καλὰ, παρ᾽ ἡμῶν δὲ τὰ Φαῦλα. Ἀλλὰ καὶ τούτων Ἰατρὸς ὁ Δημιουργὸς ἡμῖν ἐκ πολλῆς Ἐπιεικείας γεγένηται τοῖς εὖ φρονοῦσι, καὶ γίνεται τρόποις πολλοῖς τε καὶ παραδόξοις, καὶ τῆς μεγαλοπρεποῦς Ἐπιεικείας ἀξίοις. Διὸ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὐκ ἐκ Σπέρματος γέγονεν, ἵνα καθαρὸς ὑπὲρ ἀκαθάρτων, καὶ ἀναμάρτητος ὑπὲρ ἁμαρτωλῶν ἀπολογήσηται, καὶ δίκην ὑπὲρ ἁπάντων ὑπόσχῃ. Τούτου χάριν ἐλθὼν, (αὐτὸς δ᾽ ἦν ὁ λαμβάνων καὶ ὁ διδούς· ἐδίδου μὲν γὰρ ὡς Ἄνθρωπος· ἐλάμβανε δὲ ὡς Θεὸς μετὰ τοῦ Πατρὸς καὶ τῆς ἀδαμιαίας Ψυχῆς, ἣν ἦλθε λούσων τε καὶ καθαριῶν, καὶ τῆς ἐν Ἅδῃ πολυχρονίου κακοδαιμονίας ῥυσόμενος,) οὐκ εἶχεν οὐδὲν, πλὴν τῆς κατὰ φύσιν ἀληθοῦς ὁμοιότητος· τὸ σῶμα μόνον ἐκεῖθεν εἰλήφει. Ἐκεῖθεν γὰρ εἰς τὴν μακαρίαν Παρθένον ἦν κατεληλυθὼς, καὶ τοῦτο κατὰ μόνην εἰλήφει τὴν φύσιν. Ἡ γὰρ εἰδοποιὸς τοῦ Σώματος δύναμις, οὐκ ἐκ τοῦ Προπάτορος, ἀλλ᾽ ἐκ τοῦ ἁγίου Πνεύματος ἦν.

Ἡ δὲ παναγία Παρθένος τῷ μὲν ἐκ Σπέρματος γεγεννῆσθαι, τῆς προγονικῆς Ἁμαρτίας οὐκ ἂν ἀμέτοχος ἦν, καίτοι τῶν Γονέων Ἀπαραβλήτων ὄντων εἰς ἀρετήν. Μετεῖχον δὲ κἀκεῖνοι τοῦ κλήρου· ἀλλ᾽ ἡ χάρις τοῦ Θεοῦ καθάπαξ αὐτὴν ἀπήλλαξεν, ὥσπερ ἂν εἰ καὶ χωρὶς ἐγίνετο Σπέρματος, ἵνα τῇ τοῦ θείου Λόγου σαρκώσει πάντῃ καθαρὰν ὑπέχῃ τὴν Σάρκα. Ὅθεν ὡς ἀπηλλαγμένη καθάπαξ τῆς προγονικῆς ἐνοχῆς καὶ ποινῆς, καὶ μόνη πάντων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνθρώπων λαβοῦσα τουτὶ τὸ δῶρον, ἀνεπίβατον καὶ τοῖς νέφεσι τῶν λογισμῶν ἔχε παντάπασι τὴν Ψυχήν, καὶ Σαρκὶ καὶ Ψυχῇ θεῖον οὕτω γέγονε τέμενος. Ἡ μὲν οὖν τὴν μητρῴαν ὕλην, ἀνθρωπικὴν μὲν ἀληθῶς, ὑπεραγίαν δὲ τῷ θείῳ δέδωκε Λόγῳ. Ποιητικὸν δὲ τοῦ Σώματος Αἴτιον, ἀντὶ τοῦ προσεχοῦς ἐν ἀνθρώποις πᾶσιν αἰτίου τοῦ Σπέρματος, αὐτὸς ὁ πάντα ποιῶν τοῦ Θεοῦ λόγος ἦν· αὐτὸς ὠργάνωσεν εὐθὺς ἐκ τῆς παρθενικῆς τὸ σῶμα σαρκός, αὐτὸς καὶ τὴν Ψυχὴν παρήγαγεν ἅμα καὶ συνῆψεν ὀργάνῳ τῷ σώματι, ὄργανον ἑαυτῷ συνημμένον πρὸς τὴν δι' αὐτοῦ θείαν Οἰκονομίαν τὸν ὑπὲρ ἄνθρωπον ἐκεῖνον κατεσκεύασεν ἄνθρωπον, καὶ εἰς μίαν ἑαυτῷ συνῆψεν ὑπόστασιν, ἵνα καθάπερ ἐκ τοῦ πρώτου Ἀδὰμ καὶ χοϊκοῦ εἰς τὸν Κόσμον εἰσῆλθεν ἡ Ἁμαρτία, καὶ δι' αὐτῆς ὁ Θάνατος, οὕτω καὶ διὰ τοῦ δευτέρου Ἀδάμ, (δῆλον δὲ τοῦ οὐρανίου τε καὶ χοϊκοῦ τὸ διάφορον.) ἀπολυθεῖεν πάντες, ἀποτιννύντος ὑπὲρ πάντων, ὅπερ οὐκ ὤφειλε. Καὶ τῷ μὲν ἄνευ Σπέρματος γεννηθῆναι, τοῦ προγονικοῦ πλαίσματος ἀμέτοχος ἦν, ταῖς δ' οἰκείαις ὑπὲρ ἄνθρωπον καὶ προσωπικαῖς Ἀρεταῖς ὑπόδειγμα τοῖς πιστεύουσιν ἐγεγόνει, ἵνα μὴ μόνον ἀναγεννωμένοις τῇ πνευματικῇ αὐτοῦ χάριτι ἡ πύλη τῆς αἰωνίου ζωῆς ἀνεωγεῖα λοιπὸν ᾖ, τοῦ προγονικοῦ φυγόντος κωλύματος, ἀλλὰ καὶ τῷ κατ' αὐτὸν ὡς οἷόν τε συμμορφέμενοι βίῳ μετὰ τῆς εὐτυχοῦς ἐκείνης εἰσόδου, καὶ τῶν ἔνδον ἀπολελαυκότες ὦσι καλῶν, ἀναλόγως ταῖς ἐνταῦθα σπουδαῖς ἕκαστοι.

Ὅθεν οὐδ' ὑπόδειγμα τῆς ἡμῶν ἐς τόνδε τὸν βίον εἰσόδου, ταυτὸν δ' εἰπεῖν τῆς γεννήσεως ποιεῖσθαι δεῖ τὴν παραδοξοτάτην ἐκείνην Οἰκονομίαν ἐν τῇ ὑπερφυεῖ τοῦ θείου Λόγου πρὸς ἡμᾶς κοινωνίᾳ κατὰ Σῶμά τε καὶ Ψυχήν. Οὐ γὰρ μετὰ τὴν Οἰκονομίαν ἐπλάσθημεν, ἀλλ' ὅπως μᾶλλον ἀναπλασθῶμεν τὰ ἀπόρρητα ᾠκονομήθη ἐκεῖνα. Τῇ δ' ἡμετέρᾳ μᾶλλον ἐκ σώματος καὶ Ψυχῆς γεννήσει, καὶ τῇ τῆς γεννήσεως τάξει, καθάπερ τινὶ βάθρῳ κεχρῆσθαι τῆς θείας Οἰκονομίας, ἵνα τὴν ἀληθῆ πρόσληψιν ἐν τῷ

θείῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θείῳ Λόγῳ τῆς ἡμῶν Φύσεως ταῖς ὁμοιότησι βεβαιῶμεν, κατὰ τῶν ἐξ ἀπιστίας ἀνθισταμένων, τῶν ἀνοικείων μόνων ἐξαιρουμένων. Πλὴν γὰρ τοῦ μὴ ἐξ Ἀνδρὸς, ταυτὸν δ' εἰπεῖν δίχα Σπέρματος γεγεννῆσθαι, καὶ τῶν ἑπομένων ταῖς ἀρχαῖς ταύταις κακῶν. ἅπερ οὐ προσῆκε Θεῷ, καὶ ἃ λύσων μᾶλλον ἀφίκετο, τ' ἄλλα πάντα συμφώνως τοῖς Ἀνθρώποις ἐπλήρου, καὶ Σῶμα ἔλαβε καὶ Ψυχήν· τὸ μὲν, πλάσας ἐκ τῶν παρθενικῶν αἱμάτων καὶ σαρκώσας, καὶ ὀργανώσας εὐθύς· τὴν δὲ, ἐμπνεύσας εὐθὺς ὀργάνῳ τελείῳ, χρόνου μηδενὸς μεσιτεύσαντος ἐν τῷ τηρῆσαι τὴν τάξιν. Χρόνου γὰρ Δεσπότης ἦν ὁποιῶν, καὶ ἑαυτῷ ταῦτα ἐποίει· εἰ καὶ μὴ δι' αὐτὸν, ἀλλὰ τῶν δούλων καὶ τέκνων ἕνεκα· Ὥστε καὶ φυσικῶς ἀνθρωπικὴν τὴν εἰς τὸ εἶναι τοῦτε Σώματος καὶ τῆς Ψυχῆς ἔλευσιν γεγονέναι τότε, καὶ τρόπον ἄλλον ὑπερφυᾶ καὶ θειότερον, ὡς οὐ χρόνου δεῆσαν καθάπερ ἐν τοῖς ἄλλοις ἀνθρώποις πρὸς παρασκευὴν τοῦ τῆς Ψυχῆς οἴκου τοῦ σώματος, ἀλλ' εὐθὺς αὐτοῦτε ὀργανωθέντος ἐκ τῶν ἁγίων σαρκῶν, καὶ εὐθὺς ἑπομένως ἐμψυχωθέντος.

Ὑποδείγματι δὲ μόνον κεχρῆσθαι τῇ θείᾳ Οἰκονομίᾳ πρὸς τὴν τῆς Ψυχῆς σωτηρίαν, καὶ δίκαιον ὁμοῦ καὶ συμφέρον, ὡς καὶ τούτου χάριν γεγενημένῃ μετὰ πολλῶν ἄλλων τῶν ἐκ ταύτης καλῶν, καὶ συμμορφοῦσθαι ὡς οἷόν τε, τῷ τε ἄλλῳ βίῳ τοῦ ἡμετέρου Δεσπότου τε καὶ Καθηγητοῦ, καὶ τοῖς ὑπὲρ τῶν τέκνων τε καὶ δούλων παθήμασι.

Τούτων ἁπάντων ἕνεκα, χάριν ὁμολογεῖν τῷ ἡμετέρῳ Δημιουργῷ καὶ Ἀναπλάσῃ διηνεκῶς ὀφείλομεν, καὶ τὴν τελεωτάτην αὐτοῦ φιλανθρωπίαν καὶ σοφίαν ὑμνεῖν. Μὴ δ' ἀπορεῖν εἰ πολλὰς τῶν δημιουργουμένων Ψυχῶν ἀπιστίᾳ καὶ πονηρίᾳ συζησομένας εἰδὼς, καὶ τὴν δεδομένην παρασκευὴν περὶ τῆς τούτων ἀπαλλαγῆς τῶν κακῶν οὐ προσοισομένας, ὅμως θέλει δημιουργεῖν. Οὔτε γὰρ αὐταῖς λύοιτ' ἂν ἐκ τῆς πρὸς τὸ τοιοῦτον σῶμα κοινωνίας τὸ ἔγκλημα, πλείστων εὐσεβείᾳ τε καὶ χρηστότητι τὸν τῇδε βίον ἀνυόντων, καὶ πρὸς τὸ τέλος οὕτως ἀφικνουμένων καλῶς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λῶς, ὡς εἰ καὶ πάντῃ καθαροῖς ἐνεδημιουργοῦντο καὶ συνήπλοντο σώμασιν, οὔτ' ἀνάρμοστός τις τῷ παναγάθῳ καὶ παντοδυνάμῳ Θεῷ λογισμὸς ἐντεῦθεν ἀνίσχει ψυχαῖς, φύσει τε καὶ λόγῳ καὶ θείᾳ χάριτι πρὸς τ' ἀληθὲς ὁδηγουμέναις καλῶς. Τοιοῦτοι δ' ὄντες οἱ τῆς Ἐκκλησίας Διδάσκαλοι, τὴν ἀληθῆ καὶ δικαίαν περὶ τῆς Λογικῆς Ψυχῆς ἐξέθεντο δόξαν, οὐκ ἀγνοοῦντες μὲν τὰς πρὸς αὐτὴν ἀντιθέσεις· ὡς δὲ μηδέν τι δυναμένων καὶ ψευδῶν ὑπεριδόντες καθάπαξ, καὶ τὴν ὑπερβάλλουσαν μᾶλλον ἐν Θεῷ ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν ἐκεῖνοί τε συνεῖδον, κἀντεῦθεν πάνυ καλῶς καὶ οἱ νῦν ἐκείνοις προσέχοντες. Τί γὰρ μεῖζον εἰς λόγον τῶν θείων τουτωνὶ πλεονεκτημάτων, ὅτι καὶ τοὺς πρώτους μᾶλλον ἀνθρώπους εἰδὼς ὅτι τοιοῦτοι φανοῦνται, οὐκ ἔπαυσε τὸν περὶ τῆς αὐτῶν Δημιουργίας σκοπὸν, καὶ πάντων ἀνθρώπων τὸν κάλλιστόν τε καὶ μέγιστον, εἰδὼς καὶ ἣν ἀνέξεται πράττειν ἰατρείαν αὐτῶν, καὶ τὰς ἄλλας μεθόδους πρὸς τὴν αὐτῶν, εἰ καὶ μὴ πάντων βελτίωσιν, τῷ γε μὴ πάντας ἂν βουληθῆναι; Ἤδει δὲ καὶ ἐκεῖθεν ἄχρι τῶν τῆς Οἰκονομίας καιρῶν, καὶ μετὰ ταύτην ἄχρι καὶ νῦν τὰς ἀπιστίᾳ συζησομένας ἐκ τῶν δημιουργουμένων Ψυχῶν, καὶ τῶν μελλουσῶν αὖ πιστεύειν, τὰς φαύλως βιωσομένας, ἀλλὰ τὴν γένεσιν οὐ βουλόμενος παύειν ἐκ πολλῆς ἀγαθότητος, οὐ δὲ τὴν ἐντεῦθεν ἀναρίθμητον τῶν πιστῶν καὶ δικαίων Πνευμάτων καρποφορίαν, τῇ περὶ τὴν γένεσιν τῶν ἀνθρώπων ἐξ ἀρχῆς τάξει κέχρηται. Καὶ δίδωσι μὲν ὁ Πατὴρ τὴν τοῦ Σώματος ἀρχὴν προσεχῆ, οὕτω τάξαντος τοῦ Θεοῦ τῆς κοινῆς καὶ πρώτης πάντων Ἀρχῆς· αὐτὸς δὲ τὸ Πνεῦμα ἐμπνεῖ, ταυτὸν δ' εἰπεῖν ἀμέσως ἐγκτίζει τελείῳ καὶ ζωτικῷ τῷ Σώματι. Καὶ εἰ μὴ κωλύει τὸν ὑετὸν, καὶ τὴν ἡλίου λάμψιν αἴτιος ὢν ὁ ταῦτα ποιῶν, καὶ κωλύειν διὰ τοῦτο δυνάμενος, ἵνα μὴ προφάσει τῶν ἀπίστων καὶ πονηρῶν διαφθαρεῖεν οἱ Δίκαιοι, καὶ οἱ γίνεσθαι μέλλοντες, οὐκ ἔτι λοιπὸν γίνοιντο. ἀλλὰ καὶ ἀμφοῖν ταυτὶ δίδωσι τὰ καλὰ, εἰ καὶ διαφόροις λόγοις τε καὶ σκοποῖς πᾶσι πρὸς τὸ δίκαιον ἅμα καὶ ἀγαθὸν αὐτοῦ τείνουσι βούλημα. Δημιουργεῖ καὶ Ψυχὰς οἰ-

κείως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κείως τῇ πρώτῃ Παραγωγῇ, ὡς οὐκ εὔλογον ἄλλως γίνεσθαι τὰς τοιαύτας τῇ Φύσει. Τὸ δ' Ἀγαθαῖς ἢ Φαύλαις ἔσεσθαι, αὐταῖς καταλείπει. Καὶ δημιουργεῖ μὲν Ἀγαθάς, ἀλλὰ τοῦ Φαύλας ἐνίας τῇ προαιρέσει σφῶν αὐτῶν γίνεσθαι μετὰ ταῦτα, ἀνέχεται, μὴ καὶ τῶν Ἀγαθῶν ἐκλείπῃ τὸ πλῆθος τῶν Φαύλων εἵνεκα, τῆς διαδοχῆς πεπαυμένης. Ἐπείπερ οὕτω τὴν αὐτῶν παραγωγὴν ἐξ ἀρχῆς ἠθέλησεν εἶναι, καὶ τὸν ἄνθρωπον τῷ Σώματι μὲν ἐκ διαδοχῆς, ἐκ δημιουργίας δὲ τῇ Ψυχῇ γίνεσθαι. Ὅθεν οὐδὲ κυρίως ἐστὶν εἰπεῖν δημιουργεῖσθαι τοὺς νῦν ἀνθρώπους, τῷ τὰς αὐτῶν Ψυχὰς οὕτω γίνεσθαι. Δημιουργία γὰρ ἀνθρώπου κυρίως ἡ εἰδικὴ τούτου Παραγωγή, ταυτὸν δ' εἰπεῖν τοῦ συναμφοτέρου. Τὸ γὰρ συναμφότερον κυρίως Εἶδός ἐστι καὶ Φύσις ἀνθρώπου. Ἄλλον δὲ τρόπον τὸ Εἶδος τὸ πρὸς τὴν Ὕλην λέγεται. Τοιαύτη δ' ἦν ἡ πρώτη Παραγωγή. Τὰ Εἴδη τοίνυν, τουτέστι τὰς Φύσεις τῶν ὄντων, τότε πέπαυται ποιῶν ὁ Θεός· τῇ δ' ἐκ διαδοχῆς γενέσει τῶν εἰδῶν συνεργεῖ, συνεργῶν τοῖς ἀτόμοις· τοῖς μὲν ἄλλοις, κοινοτέρῳ τε τρόπῳ καὶ ὑφειμένῳ· ἀνθρώποις δὲ ὑψηλότερον. Ὡς γὰρ Φυσικὸν μὲν τοῦ ἀνθρωπείου εἴδους μέρος τὴν Ψυχήν, ταυτὸν δὲ φάναι τῆς φύσεως, καὶ μέρος εἰδοποιόν, ὑψηλὸν δὲ καὶ τῆς ὕλης ὑπερκείμενον λίαν, τῷ καρπῷ τῆς διαδοχῆς συνάπτει κτίζων τῷ Σώματι.

Εἰ δ' ἀπορίας ἦν ἄξιον, ὅτι παράγει ψυχὰς σώζεσθαι, καὶ τοῦ οἰκείου τέλους τυγχάνειν, καὶ οὗ χάριν παράγονται, μὴ βουλομένων ἐνίων, καὶ μηδὲν ἦν ἄκος τῆς ἀπορίας, καὶ σπειρομένων ἂν καὶ τῷ Σπέρματι συμπεφυκειῶν, εἰ οἷόν τ' ἦν, τοῦτ' ἂν ἦν ἀπορεῖν. Οὐ γὰρ ἐκ τῆς ἀνθρωπικῆς καὶ τῶν σπειρόντων δυνάμεως ἡ τοιαύτη τῶν Ψυχῶν ἦν ἂν γένεσις προὔργου, οὐδ' ἄνευ Θεοῦ, ἀλλ' ἐκείνου καὶ ἅπαξ δεδωκότος καὶ διδόντος ἂν ἀεὶ τῇ ἀνθρωπείᾳ Φύσει τὴν πρὸς τοῦτο πᾶν δύναμιν. Ἀλλὰ μήν, ὃ μεῖζον, καὶ προνοεῖ μὴ μόνον Ἀγαθῶν καὶ Πιστῶν, ἀλλὰ καὶ Φαύλων γε καὶ Ἀπίστων ὁ θεῖος Παῦλός φησι· προνοεῖ δ' ὡς ὑπ' αὐτοῦ γεγονότων, καὶ ὡς ἔργον ὄντων πάντων αὐτοῦ· καὶ προειδὼς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄρα τὴν αὐτῶν πονηρίαν, ὅμως οὐ βούλεται μὴ γίνεσθαι, μὴ δ' εἶναι αὐτούς τε καὶ τοὺς ἄλλους αὐτῶν ἕνεκα.

Δόξα τῇ πανσόφῳ αὐτοῦ ἀγαθότητι, δόξα τῷ ἐλέει αὐτοῦ, ὅτι καὶ ἡμῶν τῶν ἐλαχίστων ἐφώτισε τὴν Ψυχήν.

Εἰσὶ μὲν οὖν καὶ θειότεροι περὶ τοῦ προκειμένου καὶ σοφώτεροι λόγοι τῶν πρότερον καὶ νῦν εἰρημένων, πρὸς τὸ αὐτὸ δὲ τοῖς εἰρημένοις φέροντες τέλος· τὴν δὲ τῶν ἐντευξομένων ὑπερβαίνοντας ἕξιν παρήκαμεν, καὶ τότε καὶ νῦν· ὧν τῆς ὠφελείας χάριν οὐδενὸς ἄλλου ἐκεῖνά τε καὶ ταυτὶ συνθεῖναι προήχθημεν. Σὺ δὲ τῶν ἄλλων πάντων ἐξῄρησαι. Διὸ καὶ τῇ ἀληθείᾳ γενναίως πάνυ συνέστης ἐν τῷ σοφῷ σου Συγγράμματι. Εἰκῇ δὲ καὶ ἄμφω πονοῦμεν. *) Ἀλλὰ συνείρειν οὐ δεῖ τὰ πολλῆς τραγῳδίας καὶ θρήνων ἄξια.

*) Τίνος ἕνεκα εἰκῇ φησι καὶ ἄμφω πονοῦμεν; Καὶ τίνα τὰ πολλῆς τραγῳδίας καὶ θρήνων τυγχάνουσιν ἄξια; Ἢ τὸ μὲν εἰκῇ φησι, διὰ τὸ ἀδύνατον τοὺς μετὰ τοῦ σώματος ὄντας, τὸν ἀνερμήνευτον διερμηνεῦσαι τρόπον τῶν τῷ Σώματι ἐγκλιζομένων Ψυχῶν. Τὰ δὲ τραγῳδίας ἴσως εἴρηκεν ἄξια, διὰ τοὺς μὴ ταῖς περὶ Ψυχῆς εἰρημέναις θεοπαραδότοις ἀποδείξεσι πειθομένους.

ΝΙΚΗ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΝΙΚΗΦΟΡΟΥ ΜΟΝΑΣΤΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ, ΤΟΥ ΚΑΤΑ ΤΑ ΗΜΑΘΙΑ ΗΣΥΧΑΣΤΗΡΙΟΥ, ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ,

## ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΩΤΕΡΑ, ΚΑΙ ΠΡΟΣ ΠΟΛΛΟΥΣ.

Ὅτι ἡ Ἀρχόντισσα ἡ Μαρκεσίνα, ἡ ἐξόχως ἐρωμένη τοῦ Βασιλέως, καὶ διὰ τοῦτο πάντων ὑπερτεροῦσα, καὶ αὐτῆς τῆς Αὐγούστης πρωτεύουσα τυραννικῶς, εἰσέφρησεν ἐν τῇ καθ᾽ ἡμᾶς σεβασμίᾳ Μονῇ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ· ἐν ἐκείνῃ τῇ Μονῇ τωτότε διαγόντων ἡμῶν. Εἰσῆλθε δὲ καὶ Πρὸς τὸν Ναὸν τοῦ Θεοῦ, τελουμένης τῆς Λειτουργίας, καὶ ἀπεκλείσθη παρ᾽ ἡμῶν τῆς Ἱερᾶς Ἀκροάσεως, καὶ ἀπεδιώχθη μετὰ αἰσχύνης, ὀδυρομένη τὸ γεγονὸς ἐπ᾽ αὐτῇ.

Πάλιν ἡμεῖς ἐν Πνεύματι Τολμητίᾳ· καὶ πάλιν ἡμῖν ἀπειλαὶ, καὶ περιστάσεις, καὶ κίν-
35 δυνοι. Ἔτι τὴν κοσμικὴν ἐσμεν Σοφίαν ἀπαίδευτοι, καίσυγητοὶ διὰ τοῦτο, καὶ ἀποτρόπαιοι. Πά-

λιν ἀντιφερόμεθα ταῖς Ἀρχαῖς· καὶ εἰκότως ἀπελεγχόμεθα δύσχρηστοι. Μικρὸν τῆς τῶν δεινῶν ἐπιφορᾶς ἀνεψύξαμεν, καὶ ὁ Σατὰν ἤγαγεν εἰς ἡμᾶς τὴν ἀσελγῆ τε καὶ φαρμακὸν, τῆς οἰκουμένης τὸ πρόσκομμα, τὸ παγκόσμιον σκάνδαλον μετὰ τοῦ αὐχένος, καὶ τῆς ὀφρύος, καὶ τοῦ φρυάγματος· τάχα μὲν καταπλήξων καὶ καταπαλαίσων ἡμᾶς, ἤδη ταῖς τῶν ἀλγεινῶν ἐκδειματωθέντας καὶ προκατασεισθέντας ἐπαγωγαῖς· (τοῦτο γὰρ ᾤηθη πτωχοὺς τὴν Διάνοιαν καὶ τὸν τῆς Ψυχῆς τόνον παρειμένους εἰδώς.) Ὄντως δὲ τῷ μόνῳ Σοφῷ τε καὶ Ἰσχυρῷ κατασοφισθησόμενός τε, καὶ ἐκνευρισθησόμενος.

Ἄθρους, ἀκάθεκτος ἡ μαινὰς τῷ ἡμεδαπῷ σεμνείῳ προσέῤῥαξε, μετὰ βαρείας ὅσῳ καὶ σφοδρᾶς τῆς πομπῆς, ἐξ ὄρους δίκην Χειμάῤῥου πολυμιγοῦς. Ἑωρακότες αὐτὴν οἱ περὶ τὰς Πύλας ἡμέτεροι, καὶ ὅσοι τῶν ἐντὸς, πεφρίκασι, διαπεφωνήκασιν. Εἰ σεῤῥύη πανετοίμως καὶ εἰς αὐτὸν τὸν Νεὼν, τῆς θείας καὶ μυστικῆς ἐπιτελουμένης Θυσίας ἡ ἐναγής. Ἡμεῖς δὲ καὶ ταῦτ᾽ ἐν ἀμηχανίᾳ γεγονότες τῷ ἀδοκήτῳ τοῦ πράγματος, ἀπείργομεν εὐθὺς τὴν Μοιχαλίδα τῆς ἱερᾶς Ἀκροάσεως, τῆς κοινῆς καὶ συμφώνου τῶν Πιστῶν εὐχῆς τε καὶ ὑμνῳδίας· ἀποτροπιαζόμεθα τὴν ἀσχήμονα, τὴν ἐκτόπως τοῖς Νόμοις τοῦ Χριστοῦ ἐνυβρίζουσαν, καὶ τὴν ὕβριν δημοσιεύουσαν· ὅλαις ὁρμαῖς ἐξοστρακίζομεν τῶν ὁσίων τόπων τὴν βέβηλον, περιδεεῖς μὲν ὄντες τῇ ἀσθενείᾳ τῆς σαρκὸς καὶ ὑπότρομοι· τῷ τοῦ Κυρίου δὲ κρατίστῳ φόβῳ τὴν ἄνθρωπον ἐκκρουόμενοι· καὶ τοῦ παρανομῆσαι τὸ θανεῖν μᾶλλον αἱρούμενοι· καὶ τὸ τῇ ἀκοινωνήτῳ συνεκκλησιάσαι τῶν ἀπευκταίων πλέον ἡγούμενοι, τοῦ πικρῶς ἀπαλλαγῆναι τοῦδε τοῦ σκήνους, πληγαῖς ἐν αὐτῷ καὶ καθέρξεις, καὶ λιμάξεις, καὶ ἔτι ἄλλο τῶν ἀπειλουμένων ὑπενεγκόντες διὰ βίου παντός.

Τῶν μὲν γὰρ παρόντων Ἀνδρῶν τὸ βιαιότατόν τε καὶ μονιμώτατον, μὴ περαιτέρω τῆς τοῦ δεσμοῦ διαῤῥήξεως ἐξισχῦσαν, τῇ ἐπικήρῳ συγκατεστράφη ζωῇ, μεγίστων ἀντιφιλοτιμησάμενον, καὶ ἀκαταλύτων ἐπάθλων ἐσμόν.

Τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ δ᾽ ἀστοχῆσαι Νόμων Θεοῦ, καί τι τῶν θελγόντων τὴν αἴσθησιν προκρῖναι τῶν τοῦ Κυρίου Θεσμῶν, τὸ ἀπερρίφθαι προξενεῖ ἐξ αὐτοῦ πικρίαν ἀνύποιστον, αἰσχύνην ἀπέραντον.

Χρὴ μὲν οὖν ἡμᾶς τὴν ἐν Προσευχαῖς ἀληθίζειν ἐπίκλησιν, καὶ οἷα τέκνα τοῦ ἀγαθοῦ τὸ ἀγαθὸν ἐνεργεῖν, εἰ καὶ ὁ Χοῦς ὑποσύρει, συντόνως ἀνθέλκειν ἑαυτοὺς πρὸς τὰ ἄνω, διὰ τὴν πρὸς τὸν ὕψιστον πατέρα αἰδῶ, καὶ τὸ πολίτευμα ἔχειν, ὡς ἐν Πατρίδι, ἐν Οὐρανοῖς, ἔρρειν ἀφέντας πᾶν γεηρὸν, καὶ πρό γε τῆς ἀναλύσεως. Εἰ δὲ τῆς πρώτης οὐκ ἐφικνούμεθα τάξεως, πρὸς τὰς ἀνεκφράστους ἀπολαύσεις τέως ὁρᾶν· αἳ δὴ Βραβεῖα τοῖς ἐν Ἀρετῇ καμοῦσι προητοιμάσθησαν, καὶ πᾶσαν θλῖψιν ὑποφέρειν διὰ τὴν αἰωνίζουσαν εὐκληρίαν. Οὐ γάρ ἐστιν ὅλως τοῦ νῦν καιροῦ τὰ παθήματα, κἂν ὁποῖα πότ᾽ ἂν ᾖ, πρὸς τὴν ἐλπιζομένην ἀντίδοσιν ἄξια. Εἰ δὲ καὶ τῆς τῶν μισθωτῶν διαμαρτάνομεν Ὁμηγύρεως, κἂν γοῦν τῇ ἐσχάτῃ Μοίρᾳ τῶν σωζομένων ἐγκαταλέγεσθαι, καὶ τῶν δεσποτικῶν προσταγμάτων ἀντέχεσθαι, δεδοικότας τὸ τῆς περιφρονήσεως ἐπιτίμιον, τὴν ἐν Γεέννῃ κατάκρισιν, καὶ διὰ τοῦτο καὶ προκινδυνεύειν αὐτῶν, εἰ δεήσειεν. Ἐπεὶ πόσης ἀνοίας ἐστὶ, τὸ μικρῶν Τιμωριῶν τὰς μείζους, καὶ παυροτέρων Βασάνων τὰς διαρκεστέρας ἀλλάξασθαι; Καὶ μᾶλλον εἴπερ αἱ μὲν, αἱ βραχεῖαι σωφρονίζουσι καὶ καθαίρουσι. (τίς γὰρ ζήσας οὐχ ἥμαρτεν; ἀπὸ ῥύπου δὲ τίς καθαρός;) αἱ δὲ λάχος εἰσὶν ἀναφαίρετον.

Ὥσπερ γάρ τις ὁπωσοῦν ἐπαϊκῶς, ἐκ λογῆς ἑαυτῷ προκειμένης κολάσεων, εἰ τῶν τήμερον κουφοτάτων, μετρίων ἴσως τινῶν ῥαπισμῶν, προέλοιτο τὰς ἐπιπονωτέρας εἰς τὸ ἑξῆς, οἷον στρεβλώσεις, ξέσεις, μελῶν ἐκτομὰς, ἀφρονέστατος κρίνοιτ᾽ ἂν δικαίως καὶ ἀλογώτατος· οὕτως ὁ τῶν ἄρτι προελόμενος δυσχερῶν τὰς ἐσομένας ἀλγηδόνας ἐν Αἰῶνι τῷ τῆς ἐκτίσεως, ὅταν ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι δοκιμάσῃ τὸ πῦρ, ἀνοητότατός τε καὶ ἀθλιώτατος. Παραπλησίως καὶ ὁ τὴν τῶν Ἀνθρώπων ἀπάτην ὑπὲρ τὴν τοῦ Θεοῦ Δόξαν ἠγαπηκώς. Καὶ οὗτος γὰρ ὄντως τετύ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φλῶται, καὶ σκιᾶς ἐπειλημμένος, ἢ Νηὸς ἴχνους ἐν ὕδασιν, οἴεταί τι ἔχειν οὐδέν. Ἐπεὶ τοίγε εἰ φιλοδοξῇ, ζητείτω δόξαν τὴν ἀληθῆ τε καὶ μένουσαν, μὴ τὴν ψευδομένην καὶ παραῤῥέουσαν, Ἀνθρώποις προσκείμενος, καὶ Θεοῦ ἀφιστάμενος. Ὁ γὰρ Ἀνθρώποις σπεύδων ἀρέσκειν, οὐκ ἔστι δοῦλος Χριστοῦ. Καὶ οἷς πάντες ἄνθρωποι λέγουσι καλῶς, τούτοις ὁ ἀληθὴς λόγος ἀποκληροῖ τὸ, οὐαί. Κἂν οὐχ οἱ πολλοὶ τῆς ἴσης γνώμης ἡμῖν. ἀλλὰ μήτ᾽ ἐμπονηρευομένοις παραζηλοῦν διδασκόμεθα, μήτε τοὺς τὴν Ἀνομίαν ποιοῦντας ζηλοῦν. Κἂν οὗτοι Πατέρες εἶεν, ἀφιέναι προσῆκον αὐτοὺς, καὶ ἀκολουθεῖν ὀπίσω Χριστοῦ, τῶν ἰχνῶν αὐτοῦ δεδράχθαι, τῶν αὐτοῦ δικαιωμάτων ἐξέχεσθαι. Μὴ οὕτω γάρ τις ποιῶν, ἄξιος οὐκ ἔστι Χριστοῦ.

Τοῖς τοιούτοις ἐπειγόμενοι λογισμοῖς, ἀπελαύνομεν παραυτίκα τῶν θείων Σηκῶν τὴν ἀνόσιον· οὔτε τὸν Ἅγιον Ἄρτον τῇ ἀναιδεῖ καὶ ἀκαθάρτῳ δοῦναι τολμήσαντες, οὔτε μὴν ἔμπροσθεν τῆς καλινδουμένης τῷ τῆς Μοιχείας βορβόρῳ τοὺς λαμπροὺς βαλεῖν καὶ μαργαρώδεις λόγους τῆς ἱερᾶς Τελετῆς. Ὅθεν ἐν Κυρίῳ καρτεροῦμεν τὰ ἐπερχόμενα.

ΤΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΜΟΝΑΣΤΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΥΡΙΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ,

## ΠΡΟΣ ΤΟΥΣ ΜΟΝΑΧΟΥΣ

*τοῦ ἀνεγερθέντος παρ' αὐτοῦ Φροντιστηρίου, ἐκ τοῦ τρίτου τοῦ αὐτοῦ Βιβλίου*

## ΠΕΡΙ ΠΙΣΤΕΩΣ ΛΟΓΟΣ.

Τοῖς ὁσίοις τοῦ Δεσπότου Χριστοῦ τοῦ ὄντος, καὶ ἐκλεκτοῖς Φοιτηταῖς, ὁ κατ' εὐδοκίαν αὐτοῦ καὶ χρηστότητα Κτίτωρ τοῦ καθ' ἡμᾶς ἱεροῦ Φροντιστηρίου Νικηφόρος, ἐν μονάζουσιν Ἱερεὺς γηραιὸς ἀσθενής, τῶν τῆς ὑμῶν ὁσιότητος Εὐχῶν ἐπιδεής, τὴν παροῦσαν ὑμῖν ὑπόμνησιν ἐξ ἀγάπης ὑπαγορεύω, πάσης αὐτὴν ὑποτυπώσεως ἑτέρας προεκτιθέμενος. Ἐπειδὴ γὰρ πρώτιστον τῷ Χριστιανῷ καὶ πάντων ἀναγκαιότατον εἰδέναι τὴν Εὐσέβειαν, καὶ ταύτην ἀσπάζεσθαι, καὶ ταύτῃ συζῆν, καὶ ζωῇ τῇ παρούσῃ συνεκδη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γενδημεῖν, ἄξιόν ἐστι πιστεύειν καὶ ὁμολογεῖν καὶ κηρύττειν ἡμᾶς, ὅτι Θεὸς εἷς ἐστιν, ἤγουν οὐσία μία θεότητος ἀκατάληπτος καὶ ἀπρόσιτος, ἐν τρισὶ τελείαις ταῖς Ὑποστάσεσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Ἄκτιστος ὁ Πατὴρ, ἄκτιστος ὁ Υἱὸς, ἄκτιστον τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Πατὴρ ἀγέννητος· ὁ Υἱὸς οὐκ ἀγέννητος· ἐγέννησε γὰρ τὸν Υἱὸν ὁ Πατὴρ πρὸ πάντων τῶν αἰώνων θεοπρεπῶς· τὸ Πνεῦμα τὸ ἅγιον, οὐ γεννητὸν, οὐκ ἀγέννητον, ἀλλ' ἐκπορευόμενον οὐσιωδῶς παρὰ τοῦ Πατρός. ὁ Πατὴρ ἦν ἀεὶ, καὶ ὁ Υἱὸς ἦν ἀεὶ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἦν ἀεί.

Καὶ ὥσπερ οὐκ ἔστιν ἐννοῆσαί ποτε τὸν Ἥλιον ἄνευ τοῦ οἰκείου Φωτὸς, οὕτως οὐδὲ τὸν Πατέρα δύναταί τις φαντασθῆναι ὅλως χωρὶς τοῦ Υἱοῦ. Πατὴρ γὰρ ἦν ὁ Πατὴρ ἀεί. Δῆλον οὖν ὅτι καὶ Υἱὸν εἶχεν ἀεί. Διὸ κατὰ τὴν χρονικὴν ἀρχὴν, ὥσπερ ὁ Πατὴρ ἄναρχος, οὕτω καὶ ὁ Υἱὸς ἄναρχος. Ἀεὶ γὰρ ἦν ὁ Πατὴρ, καὶ ἀεὶ Πατήρ· ἀεὶ ἦν ὁ Υἱὸς, καὶ ἀεὶ Υἱός. Τὸ γὰρ θεῖον τροπὴν οὐ προσίεται. Κατὰ δὲ τὴν φυσικὴν Ἀρχὴν, εἴτ' οὖν τὸ Αἴτιον, οὐκ ἄναρχος ὁ Υἱός. Ἀρχὴ γάρ ἐστιν αὐτοῦ ὁ Πατὴρ οὐσιώδης, οὐ δημιουργική. Μόνος τοίνυν κατὰ τὴν φυσικὴν Ἀρχὴν ἄναρχος ὁ Πατὴρ, μὴ ἔχων τινὰ Αἴτιον ἑαυτοῦ. Διάτοι τοῦτο καὶ ὁ Κύριος τὸν αὐτοῦ Πατέρα τιμῶν ἔλεγεν, ὁ Πατήρ μου μείζων μού ἐστι· Μείζων ὡς Ἄναρχος, ὡς Ἀναίτιος, ὡς Ἀρχὴ φυσικὴ, καὶ κατ' οὐσίαν αἴτιος τοῦ Υἱοῦ.

Ὥσπερ δ' αὖ ὁ Ἥλιος φυσικῶς καὶ ἄνευ τινὸς πάθους, ἢ βραδύτητος ἐκλάμψας τὸ Φῶς, οὐκ ἀποτέτμηται τοῦ Φωτός· ἔστι γὰρ τὸ Φῶς καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ· παραπλησίως καὶ ὁ Πατὴρ οὐσιωδῶς καὶ ἀχρόνως καὶ ἀπαθῶς γεννήσας τὸν Υἱὸν, οὐδ' ὁπωσοῦν διέστη τοῦ Υἱοῦ· ἔστι γὰρ ὁ Υἱὸς καὶ ἐκ τοῦ Πατρὸς ἀεὶ, καὶ ἐν τῷ Πατρὶ ἀεὶ, καὶ ὁ Πατὴρ ἐν αὐτῷ ἀεί. Καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀεὶ ἐκπορεύεται· καὶ ἐν τῷ Πατρὶ, καὶ ἐν τῷ Υἱῷ ἐστιν ἀεί. Καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν τῷ Πνεύματι τῷ ἁγίῳ ἀεί. Μονὰς οὖν καὶ κατὰ τοῦτο καθέστηκεν ἡ ἁγία Τριάς. Καὶ κατὰ πάντα δὲ, πλὴν τῶν Ἰδιοτήτων, ὁ Πατὴρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴρ καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἕν εἰσι. Θεὸς τέλειος ὁ Πατήρ. Θεὸς τέλειος ὁ Υἱός. Θεὸς τέλειος τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' εἷς Θεὸς, οὐ τρεῖς Θεοί. Τοὺς μὲν γὰρ τρεῖς Ἀνθρώπους, ἀλλὰ δὴ καὶ τοὺς δύο, οὐκ ἔστιν εἰπεῖν ἄνθρωπον ἕνα κἂν φύσεως ὦσιν ἄνθρωποι πάντες μιᾶς. Ἀπ' ἀλλήλων γὰρ διακέκρινται πράγματι, καὶ ἕκαστος αὐτῶν ἰδίαν ἔχει περιγραφὴν τοπικήν· ἀλλὰ καὶ χρόνῳ, καὶ γεννήσει, καὶ βουλήσει, καὶ δυνάμει, καὶ δόξῃ, καὶ πολλοῖς ἄλλοις ἕτερος ἑτέρου διείργεται. Παραπλήσιόν τι κἀπὶ τῶν Ἀγγέλων ὑποληπτέον. Κἀκείνων γὰρ ἕκαστος ἰδίῳ τόπῳ νοερῶς περιγράφεται· διότι πάντες περιγραπτοί, καὶ βαθμὸς ἄλλος ἄλλῳ κεκλήρωται· καὶ ἄλλος ἄλλην ἔλλαμψιν δέχεται· καὶ ὁ μὲν πρότερον, ὁ δ' ὕστερον, καὶ ὁ μὲν, ἀμέσως, ὁ δ' οὐκ ἀμέσως, ἀλλ' ἢ δι' ἑνὸς, ἢ διὰ πλειόνων τῶν μεταξύ· καὶ ἄλλος ἀλλαχοῦ ἀποστέλλεται· καὶ ἁπλῶς εἰπεῖν, πολλά ἐστι τὰ ἐξ ἀλλήλων αὐτοὺς διατέμνοντα. Μόνα δὲ τὰ τρία πρόσωπα τῆς ὑπερτάτης, Θεότητος οὔτε τόπος ἀπ' ἀλλήλων διΐστησιν, ὅτι ἀπερίγραπτα, καὶ ὅτι πάντῃ τε καὶ πάντως ἐν ἀλλήλοις περικεχωρήκασιν ἄτερ συγχύσεως· οὔτε χρόνος· προαιώνια γὰρ ὁμοῦ τὰ τρία καὶ ὑπέρχρονα, καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ μετ' αὐτό· ἀλλὰ καὶ μία τοῖς τρισὶ Βούλησίς τε καὶ Θέλησις· μία Δύναμις πανσθενής· Ἐνέργεια μία παντουργική· μία Κυριότης παντοκρατής· Δόξα, Λαμπρότης, ὑπέρδοξος, ὑπέρλαμπρος, ἡ αὐτὴ τοῖς τρισίν· ὁμοουσίως τε τοῖς αὐτοῖς καὶ ὁμοτίμως τὸ ὑπερούσιον. Οὕτω τοι τὰ τρία ἓν ἀραρότως εἰσὶν, ἀσύγχυτα, ταῖς ὑποστατικαῖς Ἰδιότησι καὶ ὄντα καὶ πιστευόμενα.

Ἰδιότης δὲ καὶ Ἰδίωμα καὶ Ἴδιον λέγεται, τὸ μιᾶς ἑκάστης χαρακτηριστικὸν Ὑποστάσεως γνώρισμα, διὰ τὸ ἰδικῶς ἐκείνῳ μόνῳ προσεῖναι τῷ, οὗ ἐστιν Ἴδιον, οὐ μὴν καὶ ἄλλῳ τινί. Τὸ γὰρ καὶ ἄλλῳ τινὶ προσὸν, τοῦτο κοινὸν καὶ οὐκ ἴδιον. Οἷον, Ἴδιον τοῦ Πατρὸς τὸ Ἀγέννητον· τοῦτο ἰδικῶς μόνῳ πρόσεστι τῷ Πατρί· μόνος γὰρ ὁ Πατὴρ Ἀγέννητος, ἐπεὶ καὶ μόνος Πατήρ. Ἴδιον τοῦ Υἱοῦ τὸ Γεννητόν. Ἴδιον τοῦ ἁγίου Πνεύματος τὸ Ἐκπορεύεσθαι παρὰ τοῦ Πατρός.

τρός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρός. Οὔτε δὲ τὸ Πνεῦμα γεννᾶται τὸ ἅγιον, οὔτε ὁ Υἱὸς ἐκπορεύεται. Τὸ μέν τοι ἄκτιστον καὶ ἀπερίγραπτον καὶ ὑπερούσιον καὶ τὰ τοιαῦτα, Κοινὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Διὰ τοῦτο καὶ τῆς θείας φύσεως Ἰδιώματα λέγονται. Τῆς θείας μὲν φύσεως, ὅτι φυσικὰ καὶ οὐχ ὑποστατικὰ ταῖς τρισὶν ὁμοτίμως προσόντα τῆς θεότητος ὑποστάσεσιν. Ἰδιώματα δὲ, ὡς ἄλλῃ πάσῃ φύσει, πλὴν μόνης τῆς θείας οὐσίας, πάμπαν ἀμέθεκτα, μήτ' Ἀνθρώποις, μήτ' Ἀγγέλοις ὅλως ἐνθεωρούμενα. Καλεῖται δὲ Οὐσία, καὶ Φύσις, καὶ Μορφὴ κοινῶς, ἡ τῶν ἰδικῶς ὄντων Περιοχή· Οὐσία, ὡς οὖσα ἀεί· Φύσις δὲ, ὡς φύουσα τὰς Ὑποστάσεις· Μορφὴ δὲ, ὡς ὅλων τῶν μορφωμάτων τῶν ὑπ' αὐτὴν, ἤτοι τῶν Χαρακτήρων συλληπτική. Τὰ δὲ περιεχόμενα λέγονται καὶ Ἄτομα, καὶ Ὑποστάσεις, καὶ Πρόσωπα· καὶ Ἄτομα μὲν, διὰ τὸ μηδὲν αὐτῶν τομὴν, ἤτοι διαίρεσιν ἐπιδέχεσθαι. Τῆς γὰρ ἀνθρωπίνης οὐσίας, ταυτὸν δ' εἰπεῖν ἀνθρωπότητος, εἰς τοὺς κατ' αἴσθησιν Ἀνθρώπους διαιρουμένης, οὐδεὶς αὐτῶν εἰς ἄλλους Ἀνθρώπους τέμνεσθαι δύναται· ζῶα λογικὰ καὶ θνητὰ, νοῦ καὶ ἐπιστήμης δεκτικά. Καὶ κατὰ τοῦτον τὸν λόγον, εἰ ἐπὶ μέρους ἅπαντες, Ἄτομα. Ὑποστάσεις δὲ, ὡς ὑπὸ τὴν Φύσιν ἑστῶτα καὶ μένοντα, καθ' ὅλου ταύτης οὔσης καὶ θεωρουμένης ἐννοηματικῶς· τῶν δὲ, μερικῶν ὄντων, καὶ τὸ εἶναι ἐχόντων πραγματικῶς. Πρόσωπα δὲ, διότι ἕκαστον αὐτῶν οἰκεῖον ἔχει χαρακτῆρα τοῖς λοιποῖς ἀκοινώνητον. Τοιγαροῦν Κοινὸν ἐπὶ τῆς θεότητος, μίαν Οὐσίαν, μίαν Φύσιν, μίαν Μορφὴν δογματίζομεν. Ἄτομα δὲ τρία, τρεῖς Ὑποστάσεις, τρία Πρόσωπα χαρακτῆρσι τρισὶ καταλλήλοις, εἴτ' οὖν Ἰδιώμασι γνωριζόμενα.

Χαρακτὴρ δὲ λέγεται τῆς πατρικῆς Ὑποστάσεως ὁ Υἱὸς, οὐχ ὅτι αὐτὸς ἐστὶ τὸ Ἴδιον τοῦ Πατρός. Τίς γὰρ τοῦτ' ἂν ὑπονοήσειε, λόγου μετεσχηκώς; ἀλλ' ὅτι καθ' ὃ Πατὴρ ὁ Πατὴρ ἐκ τοῦ ἔχειν Υἱὸν χαρακτηρίζεται καὶ γνωρίζεται, καὶ ὅτι πάντα τὰ τοῦ Πατρὸς ἔχων ὁ Υἱὸς ἐν ἑαυτῷ, μένων Υἱὸς, δείκνυσι τὸν ἐξ οὗ, καθάπερ εἰκὼν αὐτοῦ φυσικὴ καὶ ἀπαράλλακτος. Διὸ καί φησιν, » ὁ ἑωρακὼς ἐμὲ,

ἑώρακε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑώρακε καὶ τὸν Πατέρα. Νοῦς δὲ ὢν ὁ ἄναρχος φύσει Θεός, ὁμοφυοῦς ὑπάρχει λόγου πηγαστικός. Πατὴρ δὲ ὤν, γεννητικός ἐστιν ὁμοουσίου Υἱοῦ. Διὰ τοῦτο καὶ τοῦ Θεοῦ Λόγος, καὶ Υἱὸς τοῦ Πατρὸς ὁ αὐτός.

Οὗτος ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρός, δι᾽ οὗ πᾶσαν τὴν κτίσιν, ὡς δι᾽ οἰκείας σοφίας τε καὶ δυνάμεως ἐδημιούργησεν ὁ Πατήρ. Αὐτὸς γάρ ἐστιν ἡ τοῦ Πατρὸς σοφία καὶ δύναμις. Οὗτος δι᾽ ἡμᾶς εὐδοκίᾳ τοῦ γεγεννηκότος αὐτὸν ἐνηνθρώπησεν, ἐν τῷ Πατρὶ ὢν καὶ μεθ᾽ ἡμῶν γεγονώς, (ἀπερίγραπτος γάρ·) καὶ Σάρκα. Ψυχήν, Νοῦν, Λόγον, Θέλησιν, Ἐνέργειαν, πάντα τὰ κατὰ φύσιν τῷ ἀνθρώπῳ προσόντα προσείληφε, μὴ δ᾽ αὐτῶν τῶν μετὰ τὴν πρώτην ἁμαρτίαν ἐπεισαχθέντων ἡμῖν παθῶν, ὧν οὐ καθικνεῖται μῶμος, μείνας ἀπείρατος. Ἀλλὰ καὶ ταῦτα διὰ πολλὴν συγκατάβασιν προσηκάμενος, ἵνα μετασκευάσῃ πρὸς τὸ κρεῖττον πᾶσαν τὴν ἀνθρωπότητα. Καὶ ἁπλῶς εἰπεῖν, τέλειος γέγονεν Ἄνθρωπος οὐ κατὰ φαντασίαν ἢ δόκησιν, ἀλλ᾽ ὄντως καὶ ἐναργῶς ὑπάρξας Ἄνθρωπος καθ᾽ ἡμᾶς ὁμοῦ καὶ ὑπὲρ ἡμᾶς.

Καθ᾽ ἡμᾶς μέν, ὅτι συλληφθεὶς ἐν Μήτρᾳ Γυναικός, ζωοπλασθεὶς ἐν αὐτῇ, κυοφορηθείς, ἐφ᾽ ὅσον, καὶ καθὼς ὁ τῆς φύσεως ἐδίδου Νόμος, ἐτέχθη βρεφοπρεπῶς. Ὑπὲρ ἡμᾶς δέ, ὅτιπερ ἡ Σύλληψις ἐξ ἁγίου Πνεύματος, ἄτερ συνδυασμοῦ, σαρκικῆς ἐκτὸς ἡδονῆς, χωρίς τινος ἐμπαθοῦς ἐννοήματος. Ἡ τοῦ Σώματος σύμπηξις ἐκ παναγνων αἱμάτων τῶν παρθενικῶν. Ἡ τελεσιουργία τοῦ Σχήματος, ἐκ πρώτης ἀρχῆς, ἐξ αὐτῆς τῆς Συλλήψεως. Οὕτω γὰρ ἔπρεπε τῷ δίχα σπορᾶς. Ὁ τόκος ἄνευ ὠδίνων, καὶ τὴν τῆς γειναμένης Παρθενίαν οὐκ ἐλυμήνατο. Μεμένηκε γὰρ αὐτὴ Παρθένος καὶ μετὰ τόκον, ὥσπερ ἦν καὶ πρὸ τόκου καὶ πρὸ συλλήψεως, ἡ καὶ διὰ βίου παντὸς Ἀειπάρθενος, ἄχραντός τε καὶ ἀκηλίδωτος. Τοιαύτην γὰρ ἔπρεπεν εἶναι τὴν τεκοῦσαν Θεόν. Καθ᾽ ἡμᾶς ὅτι σῶμα χοϊκὸν ἀνελάβετο καὶ φθαρτὸν ἐκ τῶν τεσσάρων συντεθειμένον Χυμῶν, Ψυχῇ τριμερεῖ ζωοποιούμενον, ἐμφύτῳ θερμῷ καὶ δυνάμεσι φυσικαῖς διοικούμενον, πείνῃ καὶ δίψῃ καὶ τοῖς

ἄλλοις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄλλοις ἀνεγκλήτοις τῆς φύσεως ἀσθενήμασιν ὑποκείμενον. Ὑπὲρ ἡμᾶς, ὅτιπερ οὐ ψιλὸς ἄνθρωπος ἦν, ἀλλὰ Ἄνθρωπος ὁμοῦ καὶ Θεός. Οὐ γὰρ τραπεὶς ἐκ τοῦ εἶναι Θεὸς, εἰς τὸ γενέσθαι Ἄνθρωπος τὴν οἰκείαν ἐνανθρώπησιν ἐξετέλεσεν, ἀλλὰ μείνας Θεὸς ὅπερ ἦν, γέγονεν Ἄνθρωπος ὅπερ οὐκ ἦν, οὐκ εἰς θείαν φύσιν τὴν ἀνθρωπίνην φύσιν μεταβαλὼν, ἣν προσείληφεν, ἀλλ' ἐν τοῖς οἰκείοις ὅροις μείνασαν, θεώσας αὐτὴν διὰ τῆς ἄκρας ἑνώσεως. Ὥσπερ γὰρ τῷ Σιδήρῳ τὸ Πῦρ ἑνούμενον ὁλικῶς, ἐκ πυροῖ μὲν αὐτὸν, τῆς δὲ τοῦ Σιδήρου φύσεως οὐκ ἐξίστησι· μένει γὰρ οὗτος καὶ μετὰ τὴν ἐκπύρωσιν Σίδηρος, καὶ πεπυρωμένος Σίδηρος ἐστί τε καὶ λέγεται. Τοιουτοτρόπως τῇ βροτείᾳ φύσει ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς ἑνωθεὶς, ἐθέωσε μὲν αὐτὴν, τοῦ δὲ βροτείαν εἶναι φύσιν αὐτὴν οὐκ ἐξέστησε. Μένει γὰρ αὐτὴ βροτεία φύσις καὶ μετὰ τὴν θέωσιν, καὶ τεθεωμένη φύσις βροτεία καὶ λέγεταί καὶ ἐστί· τεθεωμένη σὰρξ μετὰ Ψυχῆς νοερᾶς, λογικῆς, θελητικῆς, ἐνεργητικῆς.

Ἐπεὶ δὲ νόθον ἡ ἁμαρτία καὶ παρὰ φύσιν, (ἔξωθεν γὰρ ἡμῖν, ὅταν μὴ νήφωμεν, ἐπεισέρχεται.) ταύτην εἰκότως ὁ Θεὸς Λόγος οὐ προσελάβετο. Πάλιν ἐπεὶ τὴν προσληφθεῖσαν φύσιν ὅλην ἐθέωσεν, ἀνεπίβατος δικαίως ἡ θεωθεῖσα καὶ ἄψαυστος κατὰ πάντα τρόπον τῇ ἁμαρτίᾳ μεμένηκεν. Ἀλλ' οὐδὲ προαίρεσις ἡ ἀμφιῤῥεπὴς ἦν ἐν Χριστῷ. Προαιρετικὸς μὲν γὰρ ἦν, ὡς Αὐτεξούσιος, καὶ κατὰ τὸ ἀνθρώπινον ὁ Χριστὸς, ὅτι καὶ λογικός. Πᾶν γὰρ λογικὸν αὐτεξούσιον. Πᾶν δὲ αὐτεξούσιον προαιρετικόν. Βουλῆς δὲ καὶ σκέψεως καὶ γνώμης καὶ προαιρέσεως, ὥσπερ ἡμεῖς, ἔχρῃζεν οὐδαμῶς· ὥσπερ αὖ οὐδὲ νήψεως. Θεὸς γὰρ ἦν κατ' ἄμφω, τὸ μὲν, φύσει, τὸ δὲ, θεώσει. Διὸ δὴ καὶ κατὰ τοῦτον τὸν λόγον πάσης ἁμαρτίας ἀνώτερος ἦν. Ἢ γὰρ ἐξ ἐπισφαλοῦς προαιρέσεως τὸ ἁμαρτάνειν· ἢ καὶ παρὰ προαίρεσιν ἐξ ἀπροσεξίας ἡμῖν ἐπιγίνεται. Μᾶλλον δὲ καὶ αὐτὸ τὸ ἀπροσεκτεῖν ἁμαρτία ἐστὶν, ἢ τέως γοῦν ἁμαρτίας ἀρχή. Διάτοι τοῦτο καὶ τῶν ἀκουσίων ἁμαρ-

τημά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τημάτων εἰσπραττόμεθα δίκας. Ὅθεν δ' ἀπέδρα τὸ αἴτιον, ποίαν ἐκεῖ τὸ αἰτιατὸν εἶχε παρείσδυσιν;

Προαίρεσις μὲν οὖν ἁπλῶς ἐστι, Πρόοδος πρὸς τὸ αἱρετὸν, ἤγουν αὐτεξούσιος Ἔλλογος ὁρμὴ πρὸς τὸ θελητόν· ἥτις πρόσεστι παντὶ λογικῷ κατὰ Φύσιν. Προαίρεσις λέγεται πάλιν, ἡ πρὸ ἑτέρου αἵρεσις, ἥτις γίνεται Βουλῆς προηγησαμένης, εἶτα Κρίσεως· μεθ' ἣν ἡ πρὸς τὸ ἐκ Βουλῆς κριθὲν διάθεσις ἕπεται, καὶ λέγεται Γνώμη. Τὴν Γνώμην, ἡ νῦν δηλουμένη Προαίρεσις, εἴτ' οὖν ἡ ἐπιλογὴ τοῦ δόξαντος καλοῦ διαδέχεται. Τὴν τοιαύτην Προαίρεσιν, οὐκ ἂν εἴποι τις εὖ Φρονῶν ἐπὶ τοῦ Χριστοῦ. Ποίας γὰρ ἦν Βουλῆς ἐνδεής; ἢ τίνος τῶν ἐκ Βουλῆς ὁ θαυμαστὸς Σύμβουλος, ἡ Σοφία τοῦ Θεοῦ καὶ Πατρός; Ἢ πῶς ἂν προσαφθείη Προαίρεσις ἡ ἐν ἡμῖν τῷ προεκλεξαμένῳ τὸ Ἀγαθὸν καθὼς μεμαρτύρηται; Καὶ γὰρ Ἡσαΐας προανακέκραγεν· ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ ἐκλέξεται τὸ Ἀγαθόν, τοῦτ' ἔστιν οὔτ' ἂν γνοίη πονηρὰ συνόλως οὗτος, οὔτ' ἂν προέλοιτο. Τὸ δ' Ἀγαθὸν ἐκ πρώτης ἀρχῆς ἐκλέξεται. Καὶ αὖθις· πρὶν ἢ γνῶναι τὸ Παιδίον Ἀγαθὸν ἢ Κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ Ἀγαθόν. Ἤγουν πρὸ πάσης γνώσεως τὸ Παιδίον ἐν ἄκρᾳ νηπιότητι πρὸς τὸ Πονηρὸν ἀπαθῶς ἔχον καὶ ἀρρεπῶς, τὸ Ἀγαθὸν οἰκειώσεται. Τὸ δὲ πρὶν ἢ γνῶναι, κατὰ τὸ Φαινόμενον εἴρηται. Πότε γὰρ ἦν μὴ γινῶσκον τὸ Παιδίον, ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς Σοφίας καὶ τῆς Γνώσεως οἱ ἀπόκρυφοι, καταλλήλοις καιροῖς ἐφ' ὅσον ἐχρῆν, Φανερούμενοι; Τοιοῦτόν ἐστι καὶ τὸ Σοφίᾳ καὶ Χάριτι προκόπτειν μετὰ τῆς ἡλικίας τὸν Ἰησοῦν, κατὰ τὸ Φαινόμενον δηλαδή. Τῆς μὲν γὰρ ἡλικίας ἐπίδοσις ἦν αὐξανομένου τοῦ Σώματος Φυσικῶς. Σοφίας δὲ καὶ Χάριτος τῶν πρωτίστων καὶ ἀκροτάτων οὐκ ἐπίδοσις, ἀλλὰ Φανέρωσις εὔκαιρος. Τοιγαροῦν ὁ Χριστὸς, Θεὸς ὢν ἡνωμένος τῇ ἀνθρωπίνῃ οὐσίᾳ καθ' ὑπόστασιν, ἦν Ἀγαθὸς ὡς Θεός. Εἶχε δὲ καὶ ὡς Ἄνθρωπος αὐτεξουσίως τὸ Ἀγαθὸν, κατὰ Φύσιν ὄν. Ὥσπερ γὰρ τὸ Κακὸν καὶ ἡ Ἁμαρτία παρὰ Φύσιν· οὕτω δὴ τὸ Ἀγαθὸν καὶ ἡ Ἀρετὴ κατὰ Φύσιν ἐστί. Διὰ τοῦτο καὶ ἡ Ἁμαρτία τὴν τοιαύτην



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔσχηκε προσηγορίαν, ὡς ἀποτυχία τοῦ κατὰ φύσιν καὶ Ἀγαθοῦ. Οἱ μὲν οὖν Ἄγγελοι δυσκίνητοι πρὸς τὸ κακὸν καὶ λέγονται καὶ εἰσὶ, τῇ περὶ Θεὸν προσεδρίᾳ, καὶ τῇ ἐκεῖθεν ἐλλάμψει τῇ συνεχεῖ βοηθούμενοι· ἡ δὲ τοῦ Κυρίου Ψυχὴ, παντελῶς πρὸς τὸ κακὸν ἀκίνητος ἦν, αὐτὸν ἔχουσα τὸν Θεὸν Λόγον ἐν ἑαυτῇ οὐ κατὰ σχέσιν, ἀλλὰ καθ' ἕνωσιν. Καὶ ἡ μὲν, τὴν ἡγεμονίαν ἐνήργει τοῦ Σώματος· ὁ δὲ Θεὸς Λόγος ἦν αὐτῆς Ἡγεμὼν, αὐτεξουσίως ἑπομένης αὐτῷ, καὶ τὴν τοῦ θείου θελήματος αὐτοῦ καὶ λίαν ἐπιποθούσης ἐκπλήρωσιν, τῷ τῆς ἁγιότητος ὑπερβάλλοντι. Διὸ καὶ ὁ Κύριος πρὸς τὸν αὐτοῦ Πατέρα προσευχόμενος ἐν τῷ καιρῷ τοῦ πάθους, ὡς Ἄνθρωπος ἔλεγεν· » Οὐχ ὡς ἐγὼ θέλω » ἀλλ' ὡς σὺ, γενηθήτω τὸ θέλημά σου. Καὶ γὰρ οὗτος ὁ Λόγος τῆς τοῦ Κυρίου Ψυχῆς, ἓν εἰδυίας θέλημα τοῦ ἡνωμένου ταύτῃ Θεοῦ Λόγου καὶ τοῦ Πατρός.

Εἶχε μὲν οὖν ὁ Δεσπότης τὰ τῶν δούλων, διὰ τοὺς δούλους, ἀλλ' ὑπὲρ τοὺς δούλους. Δεσπότης γὰρ ἦν, εἰ καὶ δουλικὴν εἰλήφει μορφήν, ἐπείνα κατ' ἀλήθειαν, ὡς ἡμεῖς, ἐδίψα, νυσταγμὸν ἔφερε, κοπιῶν ἦν, λυπούμενος ἦν, δακρύων, δειλιῶν, ἀγωνιῶν· ἀλλ' ἑκουσίως. Ὅτε θέλων αὐτὸς ἐνεδίδου τῇ αὐτοῦ ἀνθρωπότητι τὸ ἴδιον ἀμέμπτως ποιεῖν, τοῦτο ὑπὲρ ἡμᾶς. Πάλιν ἤσθιεν, ἔπινεν, ἐκάθευδε, διελέγετο, καθάπερ ἡμεῖς· ἀλλὰ πάντα ἀναμαρτήτως, καὶ τοῦτο ὑπὲρ ἡμᾶς. Τίνι γὰρ ἂν ἡμῶν ἐν τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις εὑρεθείη δι' ὅλου τὸ ἄμεμπτον; Ἔπαθεν ὑπὲρ ἡμῶν, ἤλγει τῇ ἐν Σταυρῷ προσηλώσει καὶ διατάσει· τέλος, ἀπέθανεν. Ἀλλ' ἐθελούσιον ἦν αὐτῷ καὶ τὸ πάθος, καὶ τὸ ἄλγος, καὶ τὸ θανεῖν. Ἔπαθεν ἡ Σὰρξ, ἤλγει φυσικῶς ἡ Ψυχὴ διὰ τὴν συνάφειαν. Ἐξ αὐτῆς γὰρ ἡ αἴσθησις τῇ σαρκί. Πλὴν ἡ Θεότης ἡ ἐν ἀμφοῖν, οὐκ ἔπαθεν, οὐκ ἤλγει. Τῶν γὰρ τοιούτων τὸ θεῖον ὑπέρτερον. Ἡ Ψυχὴ διῄρητο τῆς σαρκὸς, ἀλλ' ἡ Θεότης ἐξ ἀμφοῖν ἀδιαίρετος ἦν. Παθὼν γὰρ ὁ Κύριος καὶ θανὼν καὶ ταφεὶς, ἀπετινάξατο τὴν φθορὰν, καὶ τὰ τῆς φθορᾶς· καὶ μετασκευάσας αὐτοῦ τὸ Σῶμα πρὸς ἀφθαρσίαν, καὶ τὴν οἰκείαν Ψυχὴν κατ' ἐξουσίαν, ὡς Θεὸς προσλαβόμενος,

ἀνέστη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνέστη τριήμερος. Ἐγὼ γὰρ τίθημι τὴν Ψυχήν μου φησὶν, ἵνα λάβω πάλιν αὐτήν· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω λαβεῖν πάλιν αὐτήν.

Εἰ δὲ καὶ μετὰ τὴν Ἀνάστασιν ὁ Κύριος ἔφαγεν, ἀλλὰ κατ' οἰκονομίαν τοῦτο πεποίηκε, τοῖς ἰδίοις παριστῶν μαθηταῖς, ὡς αὐτὸς ἦν ἀναστὰς ὁ πρότερον ὢν μετ' αὐτῶν. Ὅταν δὲ λέγω κατ' οἰκονομίαν, τὴν φαντασίαν ἐκκρούομαι. Καὶ γὰρ ἔφαγεν ἀληθῶς· τὴν τροφὴν δὲ καινοπρεπῶς, ὡς οἶδεν αὐτὸς, διῳκήσατο· Διὰ τοῦτο καὶ τύπους ὑπεδείκνυ πληγῶν, καὶ τὰ γεγονότα μὲν, μὴ ὄντα δὲ, παρόντα ποιῶν ὡς παντοδύναμος. Ἐπεί τοί γε τὸ Σῶμα ἐκεῖνο, (ὅτε λέγω τὸ Σῶμα ἐκεῖνο, συνεκδοχικῶς φημι τοῦ Χριστοῦ τὸ τεθεωμένον Σῶμα μετὰ τῆς τεθεωμένης Ψυχῆς αὐτοῦ) πάσης ἐνδείας, πάσης ἀντιτυπίας ὑπέρτερον γεγονὸς, οὔτε τροφὰς, οὔτε ψηλαφήσεις προσίετο. Διὸ καὶ μὴ κατὰ Σάρκα νῦν εἶναι τὸν Κύριον λέγομεν, ὡς τὰ τῆς Σαρκὸς ἀποθέμενον, τροφῆς ἔφεσιν, ὕπνον, κόπον, καὶ τὰ τοιαῦτα, πρὸς τούτοις καὶ τὸ ἀντίτυπον. Τὸ Σῶμα γὰρ αὐτοῦ διὰ τῆς ἀπεκδύσεως τῆς φθορᾶς, ἀνενδεὲς ἀπετελέσθη, καὶ ἀπαθὲς, καὶ ἀναφὲς, καὶ ἀθάνατον, οὐ μὴν καὶ ἄκτιστον, οὔτ' αὖ ἀπερίγραπτον. Ταῦτα γὰρ μόνης Θεότητος. Καὶ ἵν' εἴπω συνελὼν, ὅσον μὲν ἦν δεκτικὸν θείων αὐχημάτων τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, μετέχειν ὑπ' αὐτοῦ τοῦ Λόγου, διὰ τὴν ἕνωσιν· δι' ἣν καὶ σεπτόν ἐστι καὶ προσκυνητόν. Ὅσον δ' οὐκ ἦν δεκτικὸν οὐ μετέχειν, ἵνα κἂν τεῦθεν τό, τε διάφορον τῶν Φύσεων τοῦ Χριστοῦ, τό, τε μοναδικὸν τοῦ προσώπου γινώσκωμεν.

Πρεσβεύομεν τοίνυν ἐπὶ Χριστοῦ μίαν Ὑπόστασιν σύνθετον, ἐκ δύω συντεθειμένην Φύσεων, Θεότητος δηλαδὴ καὶ Ἀνθρωπότητος, ἀλλήλαις ἡνωμένων κατ' αὐτὴν τὴν τοῦ Λόγου Ὑπόστασιν. Διὰ τοῦτο γὰρ καὶ τὴν τοιαύτην ἕνωσιν, καθ' Ὑπόστασιν λέγομεν, ὅτι μία Ὑπόστασις ἐκ τῶν τριῶν τῆς Θεότητος Ὑποστάσεων, ἥτις ἐστὶν ἡ τοῦ Υἱοῦ, τὰς δύω Φύσεις ἀλλήλαις ἥνωσεν ἀσυγχύτως ἐν ἑαυτῇ τε καὶ καθ' αὐτήν. Οὐ γὰρ ὑπέστη καθ' αὑτὸ κἂν ἀκαριαίως τὸ τοῦ Χριστοῦ ἀνθρώπινον, ὡς ἂν Ὑπόστασις τοῦτο λέγοιτο.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ γὰρ οὐκ ἐχρῆν. Τί γὰρ ἦν τὸ κέρδος ἡμῖν τὸ θεωθῆναι μίαν Ὑπόστασιν; Ἀλλὰ τὴν Φύσιν ὁ Θεὸς Λόγος ἐν ἑαυτῷ προσελάβετο πᾶσαν τῆς ἀνθρωπότητος, ἵνα θεώσῃ πάντας ἡμᾶς. Ὅθεν μιᾶς Ὑποστάσεως κηρύττομεν τὸν Χριστὸν, καὶ δύω Φύσεων ἡνωμένων ἀλλήλαις ἀσυγχύτως ἕνωσιν ἄκραν, ἀδιαιρέτων μενουσῶν ἀϊδίως ἔκ τε ἀλλήλων, καὶ τῆς Ὑποστάσεως καθ' ἣν ἥνωνται. Τῶν δὲ Φύσεων ἐχουσῶν τὸ ἀσύγχυτον, καὶ τὰ προσόντα ταύταις ἀσύγχυτα τὰς Θελήσεις καὶ τὰς Ἐνεργείας φημί. Μένει γοῦν ἡ θεϊκὴ Θέλησις, θεϊκὴ, καὶ ἡ Ἀνθρωπίνη πάλιν Ἀνθρωπίνη· πλὴν τεθεωμένη διὰ τὴν ἕνωσιν. Τοῦτο κἀν ταῖς ἐνεργείαις γινώσκεται. Δύω τοίνυν Θελήσεις Ἐνέργειαί τε δύω, καθὼς καὶ δύω Φύσεις ἐν τῷ Χριστῷ.

Θέλων δὲ καὶ κατ' ἄμφω τὰς Θελήσεις, κατ' ἄμφω τε τὰς Ἐνεργείας ἐνεργῶν, εἷς ὁ αὐτὸς ὁ θεάνθρωπος, μὴ διαιρέμενος εἰς Θεὸν ἰδικῶς, καὶ εἰς Ἄνθρωπον ἰδικῶς· ἀλλ' εἷς ἀμερίστως ὑπάρχων Θεὸς καὶ Ἄνθρωπος ὢν ὁ αὐτός· ταὐτὸν δ' εἰπεῖν Θεὸς καὶ Ἀνήρ. Ὅθεν θεανδρικὴν Ἐνέργειαν ὁ εἰπὼν, οὐ σύγχυσιν ταῖς Φυσικαῖς Ἐνεργείαις εἰσήγαγεν· ἀλλὰ τὴν εἰς ἄκρον αὐτῶν παρέστησεν ἕνωσιν, καὶ τὸ τεθεῶσθαι τὴν ἀνθρωπίνην Ἐνέργειαν. Ὥσπερ γὰρ ἐν Χριστῷ διὰ τῆς ἑνώσεως ἡ ἀνθρωπίνη τεθέωτο Φύσις· οὕτω δὴ καὶ ἡ Θέλησις συντεθέωτο καὶ ἡ Ἐνέργεια. Διὸ καὶ τερατουργοῦντος αὐτοῦ τοῖς θεϊκοῖς ἐνεργήμασι τὰ ἀνθρωπικὰ συνεζεύγνυτο· κἀκ τῶν ἀνθρωπικῶν ἐνεργημάτων, λόγου, δηλονότι, καὶ ἀφῆς καὶ τῶν τοιούτων αἱ Θεοσημεῖαι προέβαινον. Καθάπερ Σιδήρου τμητικοῦ πυρωθέντος καὶ τέμνοντος καὶ καίοντος ἐν ταὐτῷ, καὶ ἡ τομὴ μετὰ τῆς καύσεως γίνεται, καὶ ἡ καῦσις ἀχώριστός ἐστι τῆς τομῆς· καὶ ἡ τῶν δύω ἐνεργειῶν συνδρομὴ, τὸ ἑνιαῖον εἰσφέρει ταύταις οὐ κατὰ Φύσιν, ἀλλὰ καθ' ἕνωσιν. Ὁ τοίνυν θεανδρικὴν φήσας Ἐνέργειαν, διὰ μὲν τῆς ἑνικῆς προφορᾶς τὸ τὰς δύω Ἐνεργείας ἓν εἶναι τῇ συνελεύσει, καὶ μὴ διακεκρίσθαι ταύτας πραγματικῶς ἀπ' ἀλλήλων δεδήλωκεν. Ἐν δὲ τῷ εἰπεῖν Θεανδρικὴν, θείαν δηλονότι καὶ ἀνδρικὴν, τὸ τῶν Ἐνεργειῶν τῇ Φύσει διάφορον, καὶ μετὰ

τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἕνωσιν ἔδειξεν. Ἄλλως δὲ δύω τινὰ δηλοῦντος τοῦ τῆς Ἐνεργείας ὀνόματος. Ἐνέργεια γὰρ φυσική ἐστιν ἡ τῆς ἐνοικούσης τῇ φύσει δυνάμεως πρόβασις, εἰς ἔργου τινὸς ἐκπλήρωσιν· ἥτις ἐν τῷ ἐνεργεῖν ἔχει τὸ εἶναι, καθὼς ἡ δυνάμις ἐν τῷ πεφυκέναι καὶ δύνασθαι. Λέγεται πάλιν Ἐνέργεια καὶ ἡ τοῦ ἔργου ἐκπλήρωσις, αὐτὸ τὸ ἐνεργητὸν, ὁ τοῦ πράγματος ἀποτελεσμὸς, ἡ πρᾶξις αὐτή. Τοῦτο δὴ τὸ δεύτερον σημαινόμενον τῆς Ἐνεργείας προσαρμοστέον τῇ Θεανδρικῇ. Θεανθρώπου γὰρ ὑπάρχοντος τοῦ Χριστοῦ, καὶ πᾶσα πρᾶξις αὐτοῦ Θεανθρωπικὴ καὶ Θεανδρική. Τὸ δ' οὕτω λέγειν οὐ φέρει σύγχυσιν ταῖς Ἐνεργείαις ταῖς φυσικαῖς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν εἶναι διασαφεῖ τὸν ἐνεργοῦντα καὶ θεϊκῶς καὶ ἀνθρωπικῶς· οὔτε τὰ θεῖα κατὰ Θεὸν, Ἄνθρωπος γάρ· οὔτε κατὰ Ἄνθρωπον τὰ ἀνθρώπινα, Θεὸς γάρ. Ὡσαύτως καὶ ὁ μίαν φύσιν εἰρηκὼς τοῦ Θεοῦ Λόγου σεσαρκωμένην, οὐ μιᾶς φύσεως τὸν Κυρίον ἐδογμάτισε. Τὸ γὰρ σεσαρκωμένην προσθεὶς, τὴν τοιαύτην ἀνεῖλεν ὑπόνοιαν. Ἑτέρα γὰρ ἡ τοῦ Λόγου φύσις, ἤγουν ἡ θεία, καὶ ἑτέρα πάλιν ἡ τῆς Σαρκὸς, ἤτοι ἡ ἀνθρωπική συνεκδοχικῶς, ἕτερον θέλημα τῆς θείας φύσεως, καὶ ἕτερον τῆς ἀνθρωπικῆς. Θέλημα δὲ τὴν θέλησιν λέγομεν αὐτὴν τὴν δύναμιν τὴν θελητικὴν, ἥτις ἐστι θέλημα φυσικόν. Τὸ τοίνυν τῆς ἀνθρωπίνης θέλημα φύσεως, ὁ Κύριος προσλαβόμενος, καὶ θεώσας αὐτὸ, διετήρησεν, ὅπερ ἦν κατὰ φύσιν ἀνθρώπινον. Καὶ τοῦτο παραστῆσαι βουλόμενος ἐναργῶς, εἰσελθὼν εἰς οἶκον ἐν τοῖς μέρεσι Τύρου καὶ Σιδῶνος, „ οὐδένα ἠθέλησε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν· οἰκονομι- „ κῶς γὰρ θελήσας λαθεῖν, οὐ δεδύνητο, διδάσκων ἡμᾶς διὰ τῶν πραγμάτων αὐτῶν ὅτι τῆς ἀνθρωπίνης θέλημα φύσεως τὸ ἀσθενὲς, ὁ πανσθενὴς οὐκ ἀπεδοκίμασεν, ἀλλ' οὐσιωδῶς ᾠκειώσατο καὶ αὐτὸ, τὴν ἡμετέραν ὅλην φύσιν μετὰ πάντων τῶν κατὰ φύσιν ἀναλαβών.

Λέγεται μὲν οὖν Θέλημα προηγουμένως ἡ Θέλησις, ἥτις ἐστι θέλημα φυσικὸν, ὡς δεδήλωται. Λέγεται γὰρ Θέλημα καὶ αὐτὸ τὸ θελητὸν, ὅπερ ἐν ἀνθρώποις ἐστὶν ὑποτακτικὸν, οὐ τὸ αὐτὸ πάσῃ τῇ φύσει προσόν. Τῷ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν γὰρ τῶν Ἀνθρώπων, τὸ ἰδιάζειν τυχὸν τεθέληται, τῷ δὲ, τὸ παῤῥησιάζεσθαι· καὶ τῷ μὲν, τὸ γεηπονεῖν· τῷ δὲ, τὸ ναυτίλλεσθαι· καὶ ἄλλῳ πάλιν ἄλλο τὶ κατὰ γνώμην ἐστί. Πολλάκις δὲ τῷ αὐτῷ καὶ ἑνὶ διάφορον καὶ ἄλλοτε ἄλλο τὸ θελητόν. Καλεῖται δὲ τὸ τοιοῦτον ὑποστατικὸν θέλημα γνωμικόν. Τοιγαροῦν ὁ Κύριος, ἐπεὶ δύω φύσεων ὡμολόγηται, δύω κεκτῆσθαι καὶ θελήματα πιστεύεται φυσικὰ, θεῖόν τε καὶ ἀνθρώπινον· ἤγουν Δυνάμεις δύω θελητικὰς, ἀλλήλων διαφερούσας τῷ λόγῳ τῆς Φύσεως. Ἐπεὶ δὲ μιᾶς ὑποστάσεως ἔγνωσται, σφαλερὸν εἰπεῖν ἐπ᾽ αὐτοῦ διάφορα θελήματα γνωμικά. Τὸ γὰρ θελητὸν ἓν, ὅτι καὶ ὁ θέλων εἷς· τῆς ἀνθρωπικῆς αὐτοῦ Θελήσεως πρὸς τὸ οἰκεῖον θελητὸν κινουμένης, ὅτε τοῦτο τῇ θεϊκῇ Θελήσει αὐτοῦ, θελητὸν ἦν· καὶ ἐφ᾽ ὅσον ἦν θελητόν.

Διχῶς δὲ τῆς Γνώμης λεγομένης, (Λέγεται γὰρ Γνώμη καὶ ἡ ἁπλῶς ῥοπὴ πρὸς τὸ θελητὸν, ὡς ἐλλόγως γινομένη καὶ μετὰ γνώσεως ἐν τοῖς λογικοῖς. Λέγεται Γνώμη καὶ ἡ ἐκ προβουλεύσεως καὶ κρίσεως περί τι διάθεσις.) Οὐκ ἀσφαλὲς ἢ Γνώμην, ἢ Θέλημα γνωμικὸν εἰπεῖν ἐπὶ τοῦ Χριστοῦ, κατὰ τὸ τῆς Γνώμης δεύτερον σημαινόμενον, διὰ τὸ συνεισάγεσθαι τούτοις τὴν ἄγνοιαν. Εἰ γὰρ καὶ τὴν ἀγνοοῦσαν ὁ Κύριος Φύσιν ἀνέλαβεν, ἀλλὰ τῶν θείων αὐχημάτων ταύτῃ μετέδωκε. Καὶ ἦν ἡ τοῦ Κυρίου Ψυχὴ, πᾶσαν ἔχουσα Σοφίαν θείαν, ἅμα δὴ καὶ ἀνθρωπικὴν, πᾶσαν γνῶσιν, τῶν γεγονότων, τῶν ὄντων, τῶν ἐσομένων, οὐ Φύσει, οὐ χάριτι· διὰ δὲ τὴν πρὸς αὐτὸν τὸν μόνον Σοφὸν, καὶ πάντα καὶ πρὸ τῆς αὐτῶν γενέσεως εἰδότα προαιωνίως καθ᾽ Ὑπόστασιν Ἕνωσιν. Ποίας οὖν ἐχρῄζεν αὕτη Βουλῆς; Τίνος τῶν μετὰ τὴν Βουλὴν, ἡ πάντα γινώσκουσα καθὼς ἔφαμεν; Εἰ δέ ποτε πεινῶντα τὸν Κύριον ἐλθεῖν γέγραπται πρὸς Συκῆν καρπὸν οὐκ ἔχουσαν, εἰ ἄρα εὑρήσῃ τί ἐν αὐτῇ, καὶ οὐχ εὗρεν εἰ μὴ Φύλλα, καθ᾽ ὑπόνοιαν ὁ τοιοῦτος τοῦ λόγου σχηματισμὸς, καθὼς ἂν ὑπενόησεν ἴσως ὁ τὴν αὐτοῦ πρὸς τὴν Συκῆν κατιδὼν ἔλευσιν, μὴ μέντοι τὸν τῆς Οἰκονομίας λόγον εἰδώς. Τίνι γὰρ ἂν καὶ τῶν τυχόντων ἠγνοήθη τὸ πρόδηλον; ἐπεὶ καὶ καιρὸς Σύκων

ἐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἦν· ἀλλ' ὡς ἂν ὁ τὸ πᾶν ἰσχύων, ἐνδείξηται κατὰ καιρὸν, ὅτι μὴ μόνον ἔχει εὐεργετικὴν δύναμιν, ἀλλά γε καὶ τιμωρητικὴν, καὶ ὡς εἴπερ ἐθέλοι λόγῳ μόνῳ τοὺς σταυρώσαντας ἀποξηρανεῖ, τὴν πεῖναν καὶ τὴν πρὸς τὴν Συκῆν ἔλευσιν προηγούμενα τίθησι τῆς τοιαύτης ἐνδείξεως ὁ Σοφὸς καὶ Φιλάνθρωπος. Διά τοι τοῦτο καὶ παρὰ τὸ εἰωθὸς ἡ πεῖνα, πρωΐας οὔσης. Καθὼς τεθέλητο τοιγαροῦν ἡ πρὸς τὴν Συκῆν ἄφιξις, ὡσαύτως καὶ ἡ περὶ τοῦ Λαζάρου πεῦσις ὅποι τέθειτο θανὼν ἐκεῖνος, καὶ ἔτι παραπλήσιον, οὐκ ἀγνοίας, ἀλλ' Οἰκονομίας καὶ προσφόρου συγκαταβάσεως. Κατὰ μὲν οὖν τὸ δεύτερον τῆς Γνώμης καὶ τῆς Προαιρέσεως σημαινόμενον, οὔτε Γνώμην, οὔτε Προαίρεσιν εἴποιμεν ἂν ἐπὶ τοῦ Χριστοῦ. Κατὰ δὲ τὸ πρῶτον καὶ κατὰ Γνώμην Θεοῦ τό δέ τι διαπεπράχθαι φαμέν· τοῦτ' ἔστι θελητὸν τῷ Θεῷ καὶ ἀποδεκτὸν τὸ πραχθὲν, ὡς εἰ λέγοιμεν τὸν Δαβὶδ βεβασιλευκέναι κατὰ Γνώμην Θεοῦ· καὶ Προαιρετικὸς μὲν ὁ τοῦ Θεοῦ Λόγος, Προαιρετικὸν δὲ τὸ Πνεῦμα τὸ ἅγιον εἴρηται.

Δέον οὖν ἐρευνᾶσθαι τὴν λέξιν ἐν ἅπασιν, εἰ πλείω δηλοῖ τοῦ ἑνὸς, καὶ μετ' εὐκρινείας τοὺς λόγους προβαίνειν πρὸς τὰ δηλούμενα. Πολλὴ γὰρ ἡ ἐκ τῆς ὁμωνυμίας ἀπάτη, καὶ πρῶτος αὕτη τρόπος ἐν τοῖς σοφίσμασιν. Οὕτω τοι καὶ τὸ Θεὸς ὄνομα καὶ τὸ Ἄνθρωπος, ποτὲ μὲν Φύσιν σημαίνει, ποτὲ δὲ Ὑπόστασιν. Ἡ δὲ Θεότης ὡσαύτως καὶ ἡ Ἀνθρωπότης, Φύσιν ἀεὶ μόνην, ἀλλ' οὔποτε καὶ Ὑπόστασιν. Τὸ δὲ Χριστὸς, Ὑπόστασιν δηλοῖ σύνθετον, ἐκ Θεότητός τε καὶ Ἀνθρωπότητος. Καὶ τὸ Χρίσμα μὲν ἡ Θεότης, ἡ Ἀνθρωπότης δὲ τὸ χρισθέν. Χρίσιν δὲ νοητέον, τὴν ὅλου τοῦ χρίσματος εἰς ὅλον τὸ χρισθὲν Περιχώρησιν. Οὕτω γὰρ ἂν εἴη τὸ τὴν χρίσιν δεδεγμένον ταῖς ἀληθείαις ὅλον Χριστόν. Τὸ γὰρ ἐπιπολαίως χρισθὲν, ἐκ μέρους χριστὸν, ἀλλ' οὐχ ὁλικῶς. Ὅθεν οὐδὲ κυρίως χριστόν. Διὸ Βασιλεῖς τε καὶ Ἀρχιερεῖς τῷ ἐλαίῳ χριόμενοι, καὶ τὴν ἐπιπόλαιον δεχόμενοι χρίσιν, οὐ κυρίως Χριστοί· Εἰ δὲ ἡ Χάρις εἰς βάθος διὰ τοῦ Χρίσματος, ἀλλ' οὐδὲ πάλιν κυρίως Χριστοί. Χάριτι γὰρ, καὶ ἐπίκηροι. Μόνος τοίνυν ὁ Κύριος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κυρίως Χριστός. Ὡς ὅλος δι' ὅλου καὶ οὐ χάριτι, τῇ δὲ καθ' Ὑπόστασιν Ἑνώσει καὶ ἀϊδίως Χριστός.

Τὸ δὲ Θεὸς ὄνομα σημαίνει μὲν καὶ τὸ ποιητικὸν καὶ τὸ δημιουργικόν. Θεῖναι γὰρ τὸ ποιῆσαι, καὶ θεὶς ὁ ποιήσας. Ἀριδηλότερον δὲ καὶ τῆς θεατικῆς ἐνεργείας ἐστὶ παραστατικόν. Καὶ αὐτῶν γὰρ τῶν μήπω γενομένων, ὡς ὑπ' ὄψιν κειμένων θεατής ἐστιν ὁ Θεὸς, ἔφορός τε τῶν ὅλων ἁπαξαπλῶς. Πάντων δὲ τῶν ὀνομάτων οἰκειότερον τῷ Ἀνάρχῳ καὶ Ἀπείρῳ καὶ Παραγωγεῖ τῶν ποτε μὴ ὄντων, τὸ, Ὤν, ὅτι τε ἀεί ἐστι μόνος αὐτὸς, καὶ ὅτι πηγὴ τοῦ εἶναι μόνος αὐτός· καὶ διὰ ταῦτα Κύριος καὶ ἀληθῶς ὢν μόνος αὐτός.

Τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Τοῦ αὐτοῦ περὶ Ἀρετῆς καὶ Ἀσκήσεως.

Ἤδη τῇ πρώτῃ καὶ δευτέραν ὑμῖν ὑπόμνησιν προσεκτίθημι τοῖς κληρονόμοις τῆς ὄντως ζωῆς· ὡς πάσης ἀπερρηγμένοις θνητότητος, ἀφωσιωμένοις δὲ τῷ ὄντι, διὰ τοῦ τὰ μὴ ὄντα πάντα καταλιπεῖν, ἀποστῆναί τε τῆς ὅλης ὁλοτελῶς ματαιότητος. Ἐπεὶ γὰρ Ἔργα Πίστεως ἔρημα, καὶ Πίστις Ἔργων χωρὶς, οἷα νεκρὰ, ζωὴν τῷ κεκτημένῳ παρασχεῖν οὐχ ἱκάνωνται, περὶ τοῦ ὀρθοῦ Δόγματος ἐν ἐπιτομῇ προδιαλαβὼν, εἰκότως καὶ περὶ τῆς ὀρθῆς Πράξεως τὸν αὐτὸν τρόπον ἐπιδιαλαβεῖν οὐ κατώκνησα. Τὴν μὲν οὖν πληρεστάτην ὑφήγησιν ἐν ἀμφοῖν ἐκ τῶν κοινῶν Μυστηπόλων τῆς Χάριτος ἔχετε. Πλὴν καὶ αὐτὸς ἔργον πνευματικῆς στοργῆς ἐκτελῶν, τὰ τῆς Σωτηρίας αἴτια καθ' ὅσον οἷόν τε πάσης ὑποτυπώσεως προεκθεῖναι προῄρημαι, βραχεῖάν τινα τῶν ἀναγκαίων ἐγνῶσθαι ποιούμενος ὑπαγόρευσιν.

Ἡ τοῦ ἀνθρώπου Ψυχὴ, μήτε πρὸ τοῦ Σώματος ὅλως ὑπάρξασα, μήτε μὴν μετὰ τὸ σῶμα καὶ ὑστερογενῶς, ἀλλὰ σὺν αὐτῷ τε καὶ μετ' αὐτοῦ, (κἂν τὸ μὲν ἐκ τῆς τετρακτύος συντέθειται τῆς στοιχειακῆς, ἡ δ' ἀνωτέρας οὐσίας τετύχηκε.) λογικὴ παρῆκται καὶ νοερὰ καὶ αὐτεξουσίως θεληντικὴ καὶ αὐτεξουσίως ἐνεργητικὴ, καὶ ἡγεμονικὴ καὶ ἀθάνατος, κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν γεγονυῖα τοῦ κτίσαντος· κατ' εἰκόνα διὰ τὸ ἀρχικὸν, καθ' ὁμοίωσιν ὡς ὁμοιοῦσθαι Θεῷ, κατὰ τὸ δυνατὸν, πεφυκυῖα διὰ τῶν Ἀρετῶν. Ἀλλὰ ταῦτα μὲν ἰδιαίτατα τῆς τοῦ ἀνθρώπου Ψυχῆς. Ὑπέζευκται δὲ ταύτῃ καὶ τὸ Ἐπιθυμητικὸν καὶ Θυμικὸν, ὀρεκτικαὶ Δυνάμεις καὶ τοῖς ἀλόγοις Ζώοις κοιναί. Πλὴν κἂν τούτοις διενήνοχε τῶν ἀλόγων τὸ λογικὸν Ζῶον ὁ Ἄνθρωπος. Ὅτι τὰ μὲν, ὑπὸ τῆς ὀρέξεως ἄγεται, τὸν ἡγεμόνα Λόγον ἐντὸς οὐκ ἔχοντα. Τὸ δὲ λογικὸν Ζῶον ἄγειν δύναται τὰς ὀρέξεις, ὡς Λογικόν τε καὶ Ἡγεμονικὸν, καὶ χρᾶσθαι ταύταις ὡς βούλεται, καὶ ὅτε, καὶ ὅποι, καὶ ἐφ' ὅσον, ὡς Αὐτεξούσιον. Πᾶ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σα γὰρ ὄρεξις καὶ ὁρμὴ καὶ πρᾶξις, ἐν αὐτεξουσιότητι γίνεται, καὶ ἄρχονται ὑπὸ τοῦ λόγου, τό, τε Θυμικὸν καὶ Ἐπιθυμητικόν· καὶ πείθονται τῷ λόγῳ κατὰ θεῖον θεσμὸν Φυσικῶς. Διὸ καὶ τῆς Ψυχῆς τὸ μὲν ἁπλῶς λογικόν, τὸ δὲ πῶς λογικόν· ἤγουν ὡς λόγῳ ἐπιπειθές· τοῦτ' ἔστι τὸ μὲν, οὐσιωδῶς λογικόν· τὸ δὲ, κατὰ μέθεξιν. Ὥσπερ ἐπὶ τῶν δύω Φωστήρων ἐστὶν ἰδεῖν· Ὁ μὲν γὰρ αὐτῶν οἴκοθεν Φωτεινὸς, καὶ φωτιστικός· ὁ δέ γε κατ' ἐπεισαγωγήν. Ἀερομιγὲς γὰρ ἔχων τὸ σῶμα καὶ ζοφερὸν, ἐκ τοῦ μείζονος εἰσδέχεται τὰς αὐγὰς, καὶ γίνεται καὶ οὗτος Φωτοειδής. Ὅταν δὲ ἐξ Ἀντιφράξεως τῆς γῆς κωλύοιτο καταυγάζεσθαι, Φωτὸς ἐστερημένος εὑρίσκεται· Καὶ ποτὲ μὲν ὁλικῶς ἐκλείπει τὸ Φαεινὸν ἐξ αὐτοῦ, ποτὲ δὲ μερικῶς πρὸς λόγον τῆς Ἀντιφράξεως. Οὕτω τοι καὶ τὸ ἡγεμονικὸν ἐν τῇ τοῦ ἀνθρώπου Ψυχῇ Φύσει λογικὸν ὑπάρχει καὶ νοερόν· τὸ δ' ὑποβεβηκὸς ἄνευ καὶ ἄλογον. Θέσει δέ πως γίνεται καὶ αὐτὸ λογοειδές τε καὶ νοοειδές. Ὅτε μέν τοι παρὰ τοῦ ὑπερέχοντος, τὰς λογικάς τε καὶ νοερὰς ἐλλάμψεις οὐ δέχοιτο, τῆς γεηρᾶς διατειχιζούσης καὶ ὑλοχαροῦς προαιρέσεως, τὴν ἀλογίαν εὐθὺς ἐπιδείκνυσι, καὶ κτηνωδῶς ὑπὸ τῶν ὀρέξεων ἄγεται πρὸς μέτρον τῆς κατὰ προαίρεσιν ὑλοχαρίας καὶ γεηρότητος. Διὸ πᾶσαν σπουδὴν εἰς βελτίωσιν Προαιρέσεως εἰσάγειν ἀναγκαιότατον. Προαιρέσεως γὰρ εὖ ἐχούσης, ἅπαν κατορθοῦται χρηστὸν, ἐλεοῦντος Θεοῦ· χωρὶς γὰρ αὐτοῦ, καθὼς Φησιν αὐτὸς, οὐ δύναταί τις ποιῆσαι οὐδέν.

Προσευχὴ τοιγαροῦν προηγούμενον αἴτιον παντὸς κατορθώματος. Αὕτη γὰρ ἐπισπᾶται τῷ προσευχομένῳ τὸν ἔλεον τοῦ Θεοῦ. Προσευχὴ δέ ἐστιν ὁμιλία νοῦ πρὸς Θεὸν δεητική. Πέφυκε δ' αὕτη μὴ μόνον ἐν τεταγμένοις καιροῖς, ἀλλὰ καὶ συνεχῶς ἐπιτελεῖσθαι κατὰ πᾶσαν ὥραν, ἐργαζομένων, τρεφομένων, ἢ καὶ ἀλλήλοις ὁμιλούντων ἡμῶν. Οὕτω καὶ δυνατὸν, καὶ κατὰ πάντα λυσιτελέστατον τὸ ἀδιαλείπτως προσεύχεσθαι.

Βελτιοῦται δὲ Προαίρεσις, πρῶτον μὲν ἐκ τοῦ πάμπαν τῆς τῶν ἀβελτέρων ἀπέχεσθαι συναναστροφῆς. Αὕτη γὰρ

ἐνίησι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐνίησι τῇ Ψυχῇ τοῦ τοῖς εἰρημένοις ἐνδιατρίβοντος τὴν μίμησιν τοῦ κακοῦ λαθρηδὸν, ὥσπερ τινα θανατηφόρον ἰόν. Εἶτα μεγάλην δίδωσι τῇ προαιρέσει ῥοπὴν πρὸς τὸ Ἀγαθὸν, τὸ διηνεκῶς φέρειν ἐν λογισμῷ τὰς θεοφιλεῖς ἐργασίας τῶν λαμψάντων ἐν ὁσιότητι, καὶ μετὰ πάσης ἀτενίζειν ἐπιμελείας πρὸς τὰ τῆς Ἀρετῆς παραδείγματα. Τὸ μὲν οὖν ἀπὸ τῶν ῥαθύμων ἐκκλίνειν ὁλοσχερῶς, καὶ τὰς αὐτῶν ὁμιλίας ἀποφυγεῖν, ἀρχὴ βελτιώσεως, ὅτι περ οἱ τοιοῦτοι καὶ μόνον ὁρώμενοι, πολλὴν τὴν λύμην ἐνιέναι πεφύκασι, ταῖς ἐπιῤῥεπέσιν εἰς ῥαθυμίαν ψυχαῖς. Τὸ δὲ νοερῶς καὶ συνδιάγειν τοῖς νήφουσιν, ἐκ τοῦ τὰ περὶ αὐτῶν ἱστορούμενα διὰ μελέτης ποιεῖσθαι, καὶ λίαν ἐπωφελές. Ἀλλὰ ταῦτα μὲν ὡς πρόδηλα διὰ βραχυλογίας ἐπήλθομεν.

Καταμάθωμεν τὸ λοιπὸν τί τοῦ Ἀνθρώπου τὸ ἔργον ἐστὶν, οὐ καθ᾽ ὃ γεωργικὸς οὗτος, ἢ ναυτικὸς, ἢ τέχνης ὅλως εἰδήμων τινὸς, ἀλλὰ καθ᾽ ὃ Ἄνθρωπος. Τὸ μὲν οὖν ἁπλῶς ζῆν, φαίνεται κοινὸν εἶναι καὶ τοῖς φυτοῖς. Ζῇ γὰρ καὶ ταῦτα τρεφόμενα καὶ αὐξανόμενα, πρὸς δὲ καὶ γεννητικῆς οὐκ ἐστερημένα δυνάμεως. Τὸ δ᾽ αἰσθητικῶς ζῆν, καὶ καθ᾽ ὁρμὴν κινεῖσθαι, καὶ κατ᾽ ἐπιθυμίαν ὀρέγεσθαι, καὶ θυμὸν, κοινὰ ζώῳ παντί. Λείπεται τοίνυν Ἀνθρώπου ἔργον εἶναι καθ᾽ ὃ Ἄνθρωπος τὸ μετὰ λόγου ζῆν. Ἐπεὶ δὲ πανταχοῦ διαφέρει τὸ ἁπλῶς ἐνεργεῖν, καὶ τὸ εὖ ἐνεργεῖν· διαφέροι ἂν καὶ τὸ ἁπλῶς μετὰ λόγου ζῆν, καὶ τὸ εὖ μετὰ λόγου ζῆν. Τοῦ μὲν οὖν ἁπλῶς Ἀνθρώπου ἔργον ἐστὶ, τὸ ἁπλῶς μετὰ λόγου ζῆν. Τοῦ δὲ Σπουδαίου, τὸ Εὖ μετὰ λόγου Ζῆν. Λογικὸν γὰρ ζῷον ὁ ἄνθρωπος καὶ μετὰ λόγου πᾶσα πρᾶξις αὐτοῦ. Ἀλλ᾽ ὁτὲ μὲν ἀπλανῶς πράττει τὸ Ἀγαθὸν, ὁτὲ δὲ πεπλανημένως τὸ μὴ ἀγαθὸν, ὡς ἀγαθὸν ἐνεργεῖ. Πολλάκις δὲ καὶ τὸ μὴ ἀγαθὸν οἶδεν, ὅτι οὐκ ἀγαθὸν, ἀλλ᾽ ἐκ φαύλης προαιρέσεως πράττει αὐτό. Ἐνίοτε δὲ οὐκ ἀγαπᾷ πράττειν αὐτὸ, ἀλλ᾽ ὑπὸ μοχθηρᾶς συνηθείας ἀγόμενος, πράττει αὐτὸ, ἔστιν ὅτε καὶ ἐν αὐτῷ τῷ πράττειν καταγινώσκων αὐτοῦ. Ποτὲ δὲ πράττων τὸ Ἀγαθὸν, οὐκ ἀεὶ καὶ ἀπλημμελῶς καὶ καθὼς δεῖ πράτ-

τει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τει τὸ Ἀγαθόν. Τοῦτο δέ ἐστι τὸ μὴ ζῆν αὐτὸν δι' ὅλου κατὰ τελείαν Ἀρετὴν καὶ ἀνόθευτον.

Χρὴ τοίνυν διαλαβεῖν περὶ Ἀρετῆς, ἥτις ἐκ τοῦ αἱρετὴ κατὰ Φύσιν εἶναι τὴν κλῆσιν εἴληχε. Εἴη δ' ἂν μᾶλλον ἐκ τοῦ αἴρειν ἐτῶς, ἤγουν ὑψοῦν ἀληθῶς τὸν κεκτημένον ὠνομασμένη· καθὼς ἡ Κακία τὸ ἀντικείμενον ἐκ τοῦ κάτω κεῖσθαι ποιεῖν. Οὔσης οὖν ἐν ἡμῖν τριμεροῦς τῆς Ψυχῆς, καὶ διαιρουμένης εἴς τε τὸ Ἄρχον, καὶ τὸ Ἀρχόμενον. Ἄρχον μέν ἐστιν ἐν αὐτῇ κατὰ Φύσιν τὸ Λογικόν. Ἀρχόμενον δὲ τὸ Ἐπιθυμητικὸν καὶ τὸ Θυμικόν. Ἐπὶ δὲ τῶν Φαύλων ἄρχει παρὰ Φύσιν τὸ ὑποβεβηκός, καὶ κατακυριεύει τὸ χεῖρον τοῦ κρείττονος ἐπικρατούσης τῆς ἀλόγου ζωῆς. Ἐπὶ μέντοι τῶν Σπουδαίων Φυλάττεται τὸ κατὰ Φύσιν, καὶ τοῦ χείρονος ἄρχει τὸ κρεῖττον πρεπόντως, τὸ Λογικόν. Τοῦτο δὲ καλεῖται καὶ Νοερὸν καὶ Διανοητικόν. Νοερὸν μέν, ὅταν αὐτόθεν ἁπλαῖς ἐπιβολαῖς ἐντυγχάνῃ τοῖς νοητοῖς. Διανοητικὸν δέ, ὁπότε διὰ κατεξετάσεως νοεῖ καὶ μαθήσεως.

Ἀλλ' ἐν οἷς μὲν σχέσις οὐκ ἔστι τις ἔνυλος, οὐθ' ὅλως προσπάθεια σώματος, ἀμέσως καὶ ἀχρόνως τὸ Νοερὸν ἐπιβάλλει τοῖς νοητοῖς, καὶ καλεῖται Νοῦς ἐνεργείᾳ· καὶ ἔστι Νοῦς πρῶτος θεωρητικός. Καὶ καθάπερ ὄψις ὁμιλοῦσα τοῖς ὁρατοῖς, οὐ δεῖται τοῦ διδάσκοντος, ὅτι τόδε λίθος τυχὸν ἐστί, καὶ τόδε ξύλον, καὶ ἄλλο τι τῶν αἰσθητῶν· βλέπει γὰρ καὶ γινώσκει τί τούτων ἕκαστον. Οὕτω καὶ Νοῦς ἐπιβάλλων τοῖς νοητοῖς, οὐ χρῄζει διδασκαλίας τινὸς εἰς τὴν αὐτῶν κατανόησιν. Ἐναργῶς γὰρ αὐτὰ καθορᾷ. Διὸ καὶ καλῶς εἴρηται τοῖς ἀρχαίοις, ὡς ὅπερ Ὄψις ἐν τῷ Σώματι, τοῦτο Νοῦς ἐν Ψυχῇ. Τοῦτο μὲν οὖν ἐν τοῖς ὑπεραναβεβηκόσι τὴν αἴσθησιν.

Ἐν οἷς δὲ βίος ἐστὶν ὑλικώτερος, καὶ προμήθεια σώματος, διανοητικῶς ἐνεργεῖ τὸ τῆς Ψυχῆς Λογικόν, καὶ Διάνοια καὶ δυνάμει Νοῦς ὀνομάζεται. Διάνοια μέν, ἐκ τοῦ διά τινος ὁδοῦ νοεῖν, καὶ διὰ μεσοτήτων τινῶν καὶ μεταβάσεων ἐνεργεῖν, ἀλλ' οὐ πρώτως εὐθὺς χωρὶς μερισμοῦ. Δυνάμει δὲ Νοῦς, ὡς μὴ τῇ οὐσίᾳ σύνδρομον ἐπιδεικνύμενον τὴν ἐνέρ-

γειαν

γειαν καθὼς ἔχει φύσεως, ὑλικαῖς εἰς τοῦτο καὶ σωματικαῖς ἐπισκοτήσεσι κωλυόμενον. Δυνάμενον μέντοι κατὰ πρόβασιν, τὸ κατὰ πρώτας ἐπιβολὰς ἔργον ὑστέρως ἐπιτελεῖν, καὶ ἀπὸ τοῦ δυνάμει καὶ ἀτελοῦς εἰς τὸ ἐνεργείᾳ προϊέναι, καὶ τελείως διὰ ζητήσεως καὶ ἀνιχνεύσεως· ἔτι τε τοῦ ἐκ διδασκαλίας φωτὸς, καὶ τῆς ἔξωθεν ὁδηγίας καὶ δείξεως. Οὐχ ἕτερος γὰρ ὁ δυνάμει Νοῦς τῷ λόγῳ τῆς οὐσίας παρὰ τὸν ἐνεργείᾳ Νοῦν· ἀλλ' εἷς Νοῦς ὁ αὐτὸς διαφορωτέπους τὰς ἐνεργείας, πρὸς τὴν αὔξην ἢ τὴν ῥαθυμίαν τῶν κεκτημένων ποιούμενος.

Τοῦτο δὴ τὸ τῆς Ψυχῆς διανοούμενον· περὶ μὲν τὰ καθ' ὅλου καὶ ὑπὲρ αἴσθησιν ἐνδιατρῖβον, Σοφίαν τε κατορθοῖ καὶ Ἐπιστήμην, καὶ Νοῦς θεωρητικὸς καὶ Διάνοια λέγεται. Περὶ δὲ τὰ καθ' ἕκαστα καταγινόμενον καὶ πρακτά, Νοῦς τε πρακτικὸς καὶ Λογισμὸς ὀνομάζεται, καὶ Φρόνησιν ἀπαρτίζει, καὶ δι' αὐτῆς τὰς ἄλλας πρακτικὰς Ἀρετάς. Ὅτε μὲν γὰρ τὴν τῶν ὄντων Γνῶσιν περισκοπῇ, θεωρητικῶς ἐνεργεῖ· ὅτε δὲ τὴν τῶν συμφερόντων τῷ ἀνθρώπῳ, πρὸς τὸ εὖ μετὰ λόγου ζῆν, εὕρεσιν ποιεῖται, πρᾶξιν ἐπιτελεῖ. Τέλος δὲ τοῦ Θεωρητικοῦ ἡ Ἀλήθεια· τοῦ Πρακτικοῦ δὲ τὸ Ἀγαθόν. τοῦτ' ἔστιν ἡ Ἀρετή.

Τέσσαρες δὲ παραδίδονται γενικαὶ περιληπτικαὶ πασῶν Ἀρεταὶ πρακτικαί· Δικαιοσύνη, Σωφροσύνη, Ἀνδρεία, καὶ Φρόνησις. Ὑπερέχει δὲ τῶν ἄλλων ἡ Φρόνησις. Ἀρχὴ γὰρ ἐστι πασῶν πρακτικῶν Ἀρετῶν. Ὅτι καὶ τοῦ ὑπερέχοντος καθέστηκεν Ἀρετή· τοῦ Διανοητικοῦ φημι καὶ τοῦ Λογιστικοῦ· πρακτικὴ δὲ Ἀρετή. Θεωρητικὴ γὰρ Ἀρετὴ τοῦ Λογικοῦ τῆς Ψυχῆς ἡ Σοφία ἐστίν, Ἐνέργεια οὖσα περὶ τὰ πάσης ὑπερανῳκισμένα μεταβολῆς. Ἡ δὲ Φρόνησις περὶ τὰ πρακτά, ἐν οἷς αἵρεσις καὶ φυγὴ κατὰ τὴν ἡμῶν αὐτεξουσιότητα. Καὶ γὰρ ἐφ' ἡμῖν ἐστιν αὐτὰ πρᾶξαι καὶ μὴ πρᾶξαι. Ταῦτα δὴ καὶ μεταβολῆς οὐκ ἐκτός. Ποτὲ γὰρ τόδε συμφέρει· ποτὲ δ' οὐ συμφέρει· καὶ πᾶσι πάντα συμφέρειν καὶ ὡσαύτως ἀδύνατον.

Ἐπεὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπεὶ δὲ Φρόνιμός ἐστιν ὁ δυνάμενος ἀρίστως βουλεύσασθαι περὶ τὰ αὐτῷ ἀγαθὰ, δι᾽ ὧν ἂν ἔχοι τὸ εὖ κατὰ ἀλήθειαν ζῆν, ἀνάγκη τὴν Φρόνησιν Ἕξιν εἶναι μετὰ λόγου ἀληθοῦς, περὶ τὰ ὄντως ἀνθρώπινα ἀγαθὰ πρακτικὴν, δηλονότι εὑρετικήν. Φρονήσεως γὰρ ἔργον, εὑρίσκειν τί τὸ Ἀγαθὸν, καὶ τί τὸ Κακὸν, καὶ Βουλεύεσθαι πῶς τοῦ Ἀγαθοῦ μὲν ἐπιτεύξεται, τὸ πονηρὸν δὲ ἀποφύγῃ. Καὶ ἄμφω γὰρ ἥτε τοῦ Ἀγαθοῦ ἐπίτευξις, καὶ ἡ ἀποφυγὴ τοῦ Κακοῦ, Φρονήσεως κατορθώματα. Ὥσπερ δὲ ὁ Ἀρχιτέκτων τοῖς οἰκοδόμοις ὑφηγεῖται τοῖς ὑπ᾽ αὐτὸν, τοὺς τῆς δομήσεως τρόπους ἀρχικῶς τε καὶ διδασκαλικῶς, οὕτω καὶ ἡ Φρόνησις τῶν ἄλλων ἐξάρχουσα πρακτικῶν Ἀρετῶν, ταύταις ἐπιτάττει τὰ δέοντα. Σοφίας δέ τις οὖσα οἷον ἐπίτροπος, τὰ πάθη κατέχει καὶ σωφρονίζει· καὶ ταύτην παρασκευάζει τὸ οἰκεῖον ἔργον ἀθορύβως ποιεῖν. Ἔργον δὲ Σοφίας ἐστὶν ἡ Γνῶσις τῶν ὄντων καθ᾽ ὃ ὄντα εἰσίν· ἡ Εὕρεσις τῶν ἀρχῶν, ἐξ ὧν ἡ γνῶσις· ἡ Θεωρία τῆς ἀληθείας, καὶ ἡ Εὐσέβεια. Σύνεσις δὲ καταγίνεται μὲν καὶ αὐτὴ περὶ τὰ πρακτὰ, πλὴν κἀν τοῖς θεωρητικοῖς εὑρίσκεται χρησιμεύουσα. Ποῦ γὰρ οὐ χρήσιμον τὸ συνιέναι; Περὶ μὲν οὖν τὰ μεγάλα καὶ ὁλικώτερα τῶν πρακτῶν, ἡ Φρόνησις τῶν ὅλων ἀρχιτεκτονοῦσα πρακτικῶν Ἀρετῶν καταγίνεται. Περὶ δὲ τὰ μικρὰ καὶ μερικώτερα καὶ καθ᾽ ἡμέραν, ἡ Σύνεσις. Συνετὸς γάρ ἐστιν ὁ δυνάμενος ὀρθῶς περὶ τοῦ προκειμένου βουλεύσασθαι, καὶ τὸ δέον γνῶναι καὶ συνιδεῖν οἴκοθέν τε, κἀκ τῶν ἑτέρωθεν ὑφηγήσεων καὶ διατάξεων τὸ κρῖναι καλῶς τὰ λεγόμενα. Συνέσεως δὲ καὶ Φρονήσεως ποιητικὰ, πολυπειρία, καὶ προσευχὴ, καὶ ἀγάπησις τοῦ καλοῦ τὸ δὴ πρώτιστον.

Εἰ τοίνυν μετ᾽ ἐπιστασίας ἐν ἀληθεῖ καρδίας διαθέσει τὰ περὶ τῶν σπουδαίων ἀνδρῶν ἱστορούμενα σπεύδομεν ἀναλέγεσθαι καὶ κατέχειν παρ᾽ ἑαυτοῖς, ἐσόμεθα περιστικοὶ τῶν πρὸς εὐζωΐαν ἀληθῆ συμφερόντων ἡμῖν. Φρόνησις μὲν οὖν ἐκ τοῦ φέρειν ὄνησιν ἢ ὠφέλειαν, εἴρηται. Σύνεσις δ᾽ οὖν ἐκ τοῦ συνιέναι τὸν συνετὸν εἴτ᾽ οὖν συνορᾷν, εἰς γνῶσιν ἄγειν, καταμανθάνειν τὸ χρήσιμον· ὃ δὴ καὶ αὐτῷ τῷ συνιέντι

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ λοιποῖς πρὸς ὠφέλειαν. Ἐν γὰρ τοῖς βλαπτικοῖς, οὔτε Σύνεσις οὔτε Φρόνησις, ἀλλὰ Πονηρία καὶ Δολιότης. Ἄκρων δὲ δύω φευκτῶν Ἀφροσύνης καὶ Πονηρίας, Μεσότης ἡ Φρόνησις· αὐτῇ τε τῇ Φρονήσει καὶ ἀλλήλοις ἀντικειμένων· τῇ μὲν, ὡς Μεσότητι καὶ ὡς αἱρετῇ κατὰ φύσιν· ἀλλήλοις δὲ, πάλιν ὡς ἀλλήλων πορρωτάτω διεστηκόσιν. Ἡ δὲ Σύνεσις, Μεσότης Ἀσυνεσίας καὶ Δολιότητος, καὶ ὁμοιότροπος ἡ ἀντίθεσις ἐπί τε ταύτης καὶ πάσης Ἀρετῆς. Αἱ κακίαι γὰρ αἱ παρ' ἑκάτερα τῆς Μεσότητος, ἀντίκεινται μὲν, ὡς Κακίαι τῇ Ἀρετῇ, καὶ ὡς ἄκρα τῷ μέσῳ. Διὰ δὲ τὴν ἀπ' ἀλλήλων ἐς ἴσον ἀπόστασιν, (τὸ μὲν γὰρ, Ἔλλειψις· τὸ δ', Ὑπερβολή.) καὶ ἀλλήλοις ἀντίκεινται.

Φρόνησις μὲν οὖν Ἀρετὴ τοῦ Λογιστικοῦ, καθὼς ἔφαμεν. Ἀνδρία τοῦ Θυμικοῦ· Σωφροσύνη τοῦ Ἐπιθυμητικοῦ καὶ τοῦ Θυμικοῦ. Δικαιοσύνη κοινὴ τοῦ Ἐπιθυμητικοῦ καὶ τοῦ Θυμικοῦ. Καὶ γὰρ ὁ μὴ ἐπιθυμῶν τῶν ἑτέρῳ διαφερόντων, καὶ διὰ τοῦτο τὴν πλεονεξίαν ἀποσειόμενος, Δίκαιος· ὅ, τε μὴ Προσωποληπτῶν ἐν τῷ δικάζειν, μὴ τῷ ἀρέσκειν χαίρων, μὴ δώροις ἐφηδόμενος, Δίκαιος. Ὡσαύτως ὁ λαχὼν ἄρχειν καὶ τὸν προσλελυπηκότα μὴ ἀμυνόμενος, μήτε μὴν ἐν κρίσει παρορῶν αὐτὸν ἀδικούμενον, μήτε μὴν ἐν διανομαῖς τῶν κατ' ἀξίαν ἀποστερούμενον, μήτε μὴν ἐν λειτουργίαις παρὰ τὸ εἰκὸς βαρυνόμενον· ἀλλ' ἀπονέμων ἐν πᾶσιν αὐτῷ τὸ κατάλληλον, ἀντιλυπῆσαι μὴ προαιρούμενος, Δίκαιος.

Δικαιοσύνη δὲ καὶ Σωφροσύνη καὶ Ἀνδρία, ὡς ἐξ Ἔθους κλώμεναι καὶ Ἀσκήσεως, καὶ ὡς τὸ τοῦ ἀνθρώπου κοσμοῦσαι ἦθος, τὸν τρόπον δηλονότι, τὴν διαγωγὴν, τὴν ἀναστροφὴν, ὠνομάσθησαν ἠθικαί. Πάμπολυ γὰρ ὁ πρὸς αὐτὰς ἐθισμὸς εἰς τὴν αὐτῶν συμβάλλεται κτῆσιν καὶ παγιότητα· καὶ τό γε πλεῖον, εἰ μὴ πᾶν ἐξ ἔθους ἐστὶν ἐν αὐταῖς.

Ἔθος γὰρ Φύσις δευτέρα καὶ λέγεται καὶ γινώσκεται. Διὸ δὴ καὶ τῶν Τεχνῶν καὶ τῶν Ἐπιστημῶν, αἱ Ἀρεταὶ μονιμώτεραι· τῆς αἰεὶ διενεργήσεως τῷ κατ' αὐτὰς ζῶντι προξενούσης τὸ ἀνεπίληστον. Ἐν Ἀρετῇ μὲν γὰρ

τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ ἀνθρώπῳ διὰ παντὸς ζῆν ἐποφείλεται· κατὰ δὲ τὰς Τέχνας καὶ τὰς Ἐπιστήμας, οὐ διὰ παντὸς ὁ ἄνθρωπος ἐνεργεῖ. Τοίνυν ὁ κατὰ τὰς Ἀρετὰς διηνεκὴς ἐθισμὸς, παρέχει ταύταις τὸ βεβαιότατον. Ἔθει μὲν γὰρ κλῶνται, πόνῳ πολλῷ καὶ μεγίστῃ σπουδῇ ῥιζούμεναι τῇ Ψυχῇ· Κλιθεῖσαι δὲ καὶ ῥιζωθεῖσαι ῥᾳότερον ἐνεργοῦνται καὶ εὐχερέστερον. Ἐκ μὲν γὰρ τοῦ τῶν σωματικῶν ἐθίσαι καταφρονεῖν ἡδονῶν, καὶ τούτων ἀπέχεσθαι, γινόμεθα Σώφρονες. Γενόμενοι δὲ μᾶλλον αὐτῶν ἀπέχεσθαι καὶ πλέον δυνάμεθα, τῶν τε φοβερῶν καταφρονεῖν ἐθιζόμενοι, καὶ ὑπομένειν αὐτὰ καὶ φέρειν γενναίως, ἀνδρεῖοι γινόμεθα. Γινόμενοι δὲ, καταφρονητικώτερον φέρειν ἰσχύομεν. Ὅθεν δεῖ πεπαιδεῦσθαι καλῶς ἐκ νεότητος, ὥστε καὶ τῶν ἡδονῶν κρατεῖν, καὶ τῶν λυπηρῶν κατευμεγεθεῖν.

Ὅτε μὲν οὖν τις τῶν σωματικῶν ἡδονῶν καθυπερτερεῖ, καὶ μάλιστα τῶν δι' ἁφῆς τε καὶ γεύσεως, Σώφρων καθωμολόγηται. Συμφοραῖς δὲ καὶ περιστάσεσιν ἀνθρωπικαῖς οὐχ' ἡττώμενος, οὔτε φόβοις ἐπὶ προσδοκίᾳ σωματικῆς κακώσεως δειλαινόμενος, στερέμνιός τις ὢν καὶ ἀπερικλόνητος, Ἀνδρεῖος ἐπέγνωσται. Καὶ ὁ μὲν Σώφρων ἐκ τοῦ τὰ σῶα φρονεῖν κατωνόμασται, σῶον ἔχων ἅπαν τὸ φρόνημα, καὶ τοῖς ποικίλοις τῆς ἡδονῆς δελεάσμασιν οὐδόλως ἐξαπατώμενος. Ὁ δ' Ἀνδρεῖος ἐκ τοῦ τὰ ἄνω δρᾷν προσηγόρευται, τὰ ὑψηλὰ δηλονότι καὶ ἀταπείνωτα, μὴ κατακαμπτόμενος τοῖς ἐπερχομένοις ἀνιαροῖς, ἔκ τε τοῦ ἀῤῥενωπός τις εἶναι τὴν ψυχὴν καὶ διεγηγερμένος, εὐθαρσὴς, εὐσταθὴς, καὶ ἀκαταγώνιστος· ἀναλλοίωτος μένων ἐν ταῖς τῶν καιρῶν ἀλλοιώσεσι, κἂν ταῖς τῶν πραγμάτων μεταπτώσεσιν ἀμετάπτωτος· μήτ' ἐν δυσημερίαις καὶ δυσπραγίαις καταπίπτων· μήτ' ἐν εὐημερίαις καὶ εὐπραγίαις ὑπεραιρόμενος.

Ὁρίζονται δὲ τὴν Ἀνδρίαν, Ἕξιν ἐκ προαιρέσεως ὁρμητικὴν κατὰ λόγον, πρὸς τοὺς ὑπὲρ Ἀγαθοῦ κινδύνους, ἐν Ὑπομονῇ βεβαίᾳ τῶν κατ' ἄνθρωπον ἀλγεινῶν. Τὴν δὲ Σωφροσύνην Ἕξιν ἀνένδοτον περὶ τὰς σωματικὰς ἡδονὰς μετ' ὀρθοῦ λόγου κατὰ Προαίρεσιν. Μεσότης ἡ Ἀνδρία,

Δειλίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δειλίας καὶ Θράσους· ἡ Σωφροσύνη, Μεσότης Ἀκολασίας καὶ Ἠλιθιότητος. (οὐ τῆς ἐκ φύσεως, ἢ νοσήματος, (οὐ κακία γὰρ αὕτη· καὶ γὰρ ἀπροαίρετος.) ἀλλὰ τῆς ἐκ προαιρέσεως. Ὅτε δή τις τὰ Κρέα, τὸν Οἶνον, τὸν ἔννομον Γάμον, οὐκ ἐν τῷ ζῆν ἐθέλειν ὑπὲρ Φύσιν καὶ Νόμον μετ᾽ αἰσθήσεως παραιτοῖτο ψυχῆς· ἀλλ᾽ ἀναισθήτως, εἴτ᾽ οὖν ἀφρόνως ἀποστρέφοιτο μυσαττόμενος, καὶ τοὺς αὐτοῖς χρωμένους βδελυκτοὺς ἡγοῖτο, καὶ ἀποτροπαίους ποιοῖτο. Πῶς γὰρ οὐκ ἠλίθιος οὗτος, ὁ μὴ τὴν Φύσιν εἰδώς, ὁ μὴ τὸν Νόμον τιμῶν· ᾧ καὶ Θεὸς ἐπένευσεν ὁ τῆς φύσεως Δημιουργός, ἐπείπερ οὐ πάντες χωροῦσι τὸν λόγον τῆς ὑψηλοτέρας διαγωγῆς;) ἡ Ἐγκράτεια, τῇ Σωφροσύνῃ καὶ γειτνιάζει καὶ ὑποβέβηκε. Σώφρων μὲν γάρ ἐστιν ὁ φαύλαις ἡδοναῖς ἀπροσπέλαστος ἐκνικήσαντος τοῦ λόγου, καὶ πᾶσαν ἀποκρουσαμένου παρὰ λόγον προσβολήν. Ἐγκρατὴς δέ ἐστιν ὁ τοιαύταις μὲν ἡδοναῖς ἐνοχλούμενος· ἀντιβαίνων δὲ καὶ κρατῶν, καὶ μὴ ἐκνικώμενος, ἔχων τὸν ὀρθὸν Λόγον, καὶ δι᾽ αὐτοῦ πρὸς τὸ σωφρονικὸν ἐπειγόμενος. Ὡς ἡ Ἐγκράτεια πρὸς τὴν Σωφροσύνην, ἡ Καρτερία πρὸς τὴν Ἀνδρίαν. Ὁ μὲν γὰρ Ἀνδρεῖος τῆς ἐν Κόσμῳ δυσχερείας ἁπάσης εὐλόγως ὑπερορᾷ, καὶ χαίρει μᾶλλον ἐγκύρσας ἀνιαροῖς διὰ τὸ ἀγαθόν· ὁ δὲ Καρτερικός, βιάζεται μέν, ἀνθίσταται δέ, μὴ παρασυρῆναι ταῖς ἀνθρωπίναις περιστάσεσιν ἀγωνιζόμενος, ὀρθότητι λόγου πείθων ἑαυτὸν ἐγκαρτερεῖν τοῖς δεινοῖς· ἡ Ἀκρασία τῆς Ἐγκρατείας ἰδίως ἀντίθετος, καὶ ἡ Μαλθακότης τῆς Καρτερότητος. Τ᾽ ἄλλα δ᾽ ἄκρα ταῖς ὑποβεβηκυίαις πρὸς τὰς ὑπερεχούσας, κοινά.

Λείπεται περὶ Δικαιοσύνης εἰπεῖν. Ἐπεὶ γοῦν Δίκαιος ὁ ἐκ προαιρέσεως δι᾽ αὐτὸ τὸ Ἀγαθὸν δικαιοπραγῶν· ἐκ τοῦ δίχα δὲ τὸ δίκαιον εἴρηται, δίχαιον ὡς ἂν εἴποι τις ὄν, ἡ Δικαιοσύνη, τοῦ δίχα καὶ τοῦ ἴσου τυγχάνει διανεμητική. Τὸ Ἴσον δὲ νοητέον κατ᾽ ἀναλογίαν, οὐ κατὰ ποσότητα. Τὸ γὰρ Ἴσον ποσότητι, προδήλως ἄνισον. Εἰ γάρ τις τῷ πολλῶν ἀξίῳ, καὶ τῷ μὴ πολλῶν ἀπονέμοι τὸ ἴσον κατὰ ποσόν, ἀνισότητα μᾶλλον καὶ ἀδικίαν ἐποίησεν. Δι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καιοσύνη τοίνυν ἐστὶν Ἕξις προαιρετικὴ κατὰ τὸν ὀρθὸν Λόγον, τοῦ κατ' ἀξίαν παρεκτική. Δικαιοσύνη δὲ κυρίως καὶ πρώτως ἡ τελεία καθέστηκεν Ἀρετή· καθ' ἣν πολλῆς καὶ μεγάλης τῆς ἀναῤῥήσεως ἀξιοῦται ἐν ταῖς ἱεραῖς Γραφαῖς ὁ Δίκαιος, ὁ Φύλαξ ὅλου τοῦ Νόμου, τοῦ γεγραμμένου δὴ καὶ τοῦ Φυσικοῦ, τῶν ὁμοίων καὶ συγγενῶν καὶ τοῦ αὐτοῦ σκοποῦ. Γεγραμμένος Νόμος, αἱ Ἐντολαὶ τοῦ ἡμετέρου Νομοθέτου καὶ βασιλέως Χριστοῦ. Φυσικὸς Νόμος, ὅτε δὴ τὸ καθῆκον ἑκάστῳ τῶν τῆς ψυχῆς μερῶν διασώζοιτο· καὶ τῷ μὲν Λόγῳ, τὸ Ἀρχικὸν καὶ Βασιλικόν· τῷ δὲ Θυμῷ, τὸ Στρατηγικόν, καὶ πρὸς τὸν Αὐτοκράτορα δορυφορικόν, καθὼς ἂν ἐκεῖνος ἐπιτάττοι καθυπηρετικόν, οἰκείων τε καὶ ἀλλοτρίων σφαλμάτων ἐπεξελευστικῷ χρηματίζοντι, διὰ τὴν πρὸς τὸν λόγον ὑπακοήν· ἔτι μὲν χαῦνον φρόνημα καὶ ὡς οὐ δεῖ καταπεπτωκὸς, διεγείροντι καὶ συντείνοντι· πᾶσαν δὲ τυραννικὴν ἐπανάστασιν καταβάλλοντι· βίαν ὕπνου βιαίως ἐξαίροντι· τροφῆς λίχνον ἔφεσιν μετ' αὐστηρίας ἀναχαιτίζοντι· σὺν ἀπειλῇ δὲ μείζονι θράσος ὀργῆς ἀποκρουομένῳ παράλογον· Ἀλαζονείαν καὶ τῦφον ἀποῤῥαπίζοντι καὶ διώκοντι· Δοξομανίαν φαυλίζοντι, καὶ σὺν μυκτηρισμῷ καὶ χλεύῃ κατὰ τὸ προσῆκον ὑπερορίζοντι· σχέσιν τὴν πρὸς τὴν σάρκα γενναίως ἐκκόπτοντι, καὶ πᾶσαν ὁμοῦ κίνησιν ἄτοπον ἐμβριθῶς ἠρεμίζοντι. Ταῦθ' οὕτως ὁπότ' ἔχει. Τῇ δ' Ἐπιθυμίᾳ προσείη τὸ μόνως ἄρχεσθαι καὶ μὴ ἀντιτείνειν ὅλως, ἀλλ' ὑπείκειν κατὰ πάντα καὶ πείθεσθαι. Τοῦτο γὰρ ταύτῃ κατάλληλον ἡ κρατιστεύουσα τότε τῷ ἀνθρώπῳ ζωή. Τί γὰρ τὸ ἐνοχλῆσον, ἔνθα τὸ τοιοῦτον ἁρμοδιώτατον εὑρίσκοιτο Δίκαιον; δέδιε τὰ πάθη καὶ πέφρικε, πάντα κατέπληχε, πάντα διαπεφώνηκεν. Αὕτη Δικαιοσύνη τὰ μάλιστα καὶ ὁ τοιουτοτρόπως διοικούμενος, ἐντελέστατος Δίκαιος.

Ἔστι Δικαιοσύνη, καὶ ἡ συνεζευγμένη ταῖς γενικαῖς· ἥτις ἐνθεωρεῖται Διανομαῖς, Συναλλάγμασι, Κρίσεσιν· ἐν πᾶσι δικαιοπραγεῖ τούτοις ὁ κατ' Ἀρετὴν προῃρημένος βιοῦν· ἐν Διανομαῖς παρέχων ἑκάστῳ τὸ πρὸς ἀξίαν· ἐν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Συναλλάγμασι πλεονεξίαν μὴ προσιέμενος, ἀλλ᾽ ἤδη καὶ τῶν οἰκείων ἐπιδιδούς· οὐδὲν γὰρ ἀπόλλυσιν· ἐν Κρίσεσι τοὺς Νόμους μετ᾽ ἐπιεικείας τηρῶν. Ἐπιεικὴς δ᾽ ἐστὶν ὁ τὸν Νόμον ἐκλαμβανόμενος πρὸς τὸ συμπαθὲς, καθ᾽ ὅσον οἷόν τε, χωρὶς τοῦ παρανομεῖν, οὐ τόσον τῷ γράμματι προσέχων, ὅσον τῷ τοῦ Νομοθέτου σκοπῷ, συγγνωμονικὸς μετὰ νουνεχίας γινόμενος· ὥστε μὴ τὸ κακὸν λαμβάνειν ἐκ τῆς συγγνώμης ἰσχύν. Οἶμαι δὲ κατὰ τοῦτον τὸν λόγον εἰρῆσθαι καὶ τὸ, μὴ γίνου Δίκαιος πολύ· τῷ χρῆναι τὸν Δικαστὴν τὸ ἀκριβοδίκαιον μικρὸν ὑπεκκλίνοντα, μετ᾽ ὀρθοῦ λόγου νεύειν πρὸς τὸ φιλάνθρωπον.

Ἐπεὶ δὲ τὴν ἠθικὴν γινώσκομεν Ἀρετὴν περὶ λύπας οὖσαν καὶ ἡδονὰς, ἀγνοεῖν οὐ δεῖ τὴν ὄντως Ἡδονήν, οὐ τὴν βέβηλον λέγω καὶ ἄτιμον, τὴν κτηνώδη καὶ ἄλογον, ἀλλὰ τὴν ἔλλογον καὶ ἀνθρώπῳ τῷ κατ᾽ εἰκόνα θείαν ἐπιπρεπῆ, τὴν τιμίαν καὶ ἱερὰν Ἡδονήν· ἥτις ἀδιαστάτως τῷ Σπουδαίῳ παρέπεται. Τῷ γὰρ τῶν ἡδονῶν ὑπερανῳκίσθαι, καὶ τῶν λυπηρῶν ὑπερῆρθαι, θαυμαστάς τινας ὁ πρὸς τοῦτ᾽ αὐτὸ πεφθακὼς, καὶ βεβαιοτάτας καρποῦται τὰς ἡδονάς. Ὅθεν ὁ κατ᾽ Ἀρετὴν βίος, ὁμολογουμένως μεθ᾽ Ἡδονῆς ἀληθοῦς. Εἰ γὰρ οὐ μεθ᾽ Ἡδονῆς, οὐδέ γε κατ᾽ Ἀρετήν. Ὁ γὰρ τῷ δικαιοπραγεῖν μὴ χαίρων, οὐ Δίκαιος, εἰ καὶ πράττει διόλου τὸ δίκαιον· ἀλλ᾽ οὐδὲ Σώφρων, ὁ μὴ τῇ τῶν σωματικῶν ἡδονῶν ἐπιγαννύμενος ἀποχῇ, κἂν ταῖς αὐτῶν πυκναῖς προσπελάσεσιν ἀήττητος μένων. Οὔτ᾽ αὖ Ἀνδρεῖος ὁ μὴ ταῖς διὰ τὸ καλὸν ὑποφοραῖς τῶν ἀλγεινῶν γεγηθώς. Ἀνδρεῖος καὶ γὰρ ἐκεῖνός ἐστιν ὁ τῇ συῤῥοίᾳ τῶν δυσχερῶν ἀπερίτρεπτος καθεστὼς, ὥσπερ τις πύργος στεῤῥότατος, κἀντεῦθεν ἀγαλλιώμενος, μή τις ἀνάλγητος ὢν, ἀλλὰ γεννάδας καὶ βεβηκώς. Οὗτος οὐδὲ τιμαῖς, ἢ ἄλλοις τισὶν ἀνθρωπίνοις θυμήρεσι χαυνωθήσεται· μένει δ᾽ ὁ αὐτὸς ἐπὶ πάσαις ταῖς ἐν βίῳ μεταβολαῖς. Ἡδονῇ τοίνυν συνέζευκται, καθάπερ διασεσάφηται, τὸ κατ᾽ ὀρθὸν λόγον ἐνεργεῖν προαιρέσει Ἀγαθὸν, δι᾽ αὐτὸ δῆτα τὸ Ἀγαθὸν, μὴ πλημμελῶς, μὴ κατ᾽ ἀνάγκην, μὴ διὰ τι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴν, μὴ δὲ ἔπαινον. Ὅθεν οἱ τῆς Εὐσεβείας Ἀγωνισαὶ πολυτρόποις ἰδέαις ὕβρεων κυκλούμενοι καὶ κολάσεων, ταῖς ἀτιμίαις ἐσέφοντο, ταῖς βασάνοις ἐνετρύφων, καὶ ὡς κακοῦργοι πικρῶς ἀναιρούμενοι σὺν ἀνεκλαλήτῳ χαρᾷ τῆς παρούσης ζωῆς μεθίσαντο. Πρὸς τοῦτο δὴ τὸ κατ' Ἀρετὴν ἡδύ τε καὶ χάριεν, καὶ τὸ πάντοτε χαίρειν ἐν Κυρίῳ τείνει· καὶ οὕτω δυνατὸν πληροῦσθαι τὸ τοιοῦτον παράγγελμα. Τὸ μὲν οὖν κατ' Ἀρετὴν Ἡδὺ, καὶ Κυρίως Ἡδύ.

Τὰ δὲ τοῦ Σώματος ἡδέα, κἂν τοῖς κακῶς διακειμένοις ἡδέα δοκοίη, πλὴν τοῖς ὑγιαίνουσι τὰ τῆς Ψυχῆς Αἰσθητήρια τοὐναντίον φαίνεται· καὶ οἱ ταῦτα μεταδιώκοντες, πόῤῥω τοῦ ἡδέος ἀπεπλανήθησαν. Ἡδὺ τῷ Χοίρῳ βόρβορος, καὶ τῷ διεφθαρμένῳ σαρκὸς ἡδονή. Λογικῷ δὲ ζώῳ καὶ πάσχοντι κακῶς, ὁ κατ' Ἀρετὴν βίος ἡδύτατος· κἂν ὑπό τινων δυσφημοῖτο, καὶ πολλῶν ἢ καὶ πάντων ὁ τὴν Ἀρετὴν μετιὼν, οὐκ ἂν ἐπισραφείη δυσφημιῶν, οὐδ' ἀνθρωπίνους ἐπαίνους ὁ Σπουδαῖος περισκοπήσειε, πρὸς μόνον ὁρῶν τ' Ἀγαθὸν, καὶ διὰ τοῦτ' αὐτὸ πάντα δρῶν. Ὃς δ' ἀνιᾶται κακηγορούμενος, ἢ μὴ τιμώμενος ἄχθεται, σκιὰν κατέχει καὶ εἴδωλον Ἀρετῆς, αὐτὴν δὲ τὴν ἀλήθειαν καὶ τὴν οὐσίαν ἀφήρηται.

Τεσσάρων δ' οὐσῶν ἐν τῇ Ψυχῇ γενικῶν ἀρετῶν, εἶναι λέγονται κἂν τῷ σώματι τέσσαρες. Ὡς πρὸς Φρόνησιν Εὐαισθησία, γνῶσις εὖ ἔχουσα καὶ αὕτη, πάσης ἐν σώματι προεξάρχουσα πράξεως. Ὡς πρὸς Ἀνδρίαν Ῥώμη, τοὺς σωματικοὺς πόνους εὐμαρῶς ὑποφέρουσα. Ὡς πρὸς Σωφροσύνην Κάλλος, τῶν ὅλων μορίων τοῦ Σώματος τὸ σῶον ἐχόντων καὶ ἄρισον, κατά τε μέγεθος καὶ σχῆμα καὶ χροιὰν, καὶ τὴν πρὸς ἄλληλα σύνθεσιν. Ὡς πρὸς Δικαιοσύνην Ὑγιεία· ὅτε δὴ τὸ ἀνάλογον ἑκάσῳ τῶν Χυμῶν ἐν τῇ Κράσει διαφυλάττοιτο. Διὸ καὶ κατὰ συνεπτυγμένας ὑπογραφὰς, Φρόνησίς ἐσιν Εὐαισθησία Ψυχῆς. Ἀνδρία, Ῥώμη Ψυχῆς. Σωφροσύνη, Κάλλος Ψυχῆς. Δικαιοσύνη, Ὑγιεία Ψυχῆς. Ὅθεν ὁ τούτων ἐσερημένος, οὗτος ἀναίσθητος, ἢ δυσαίσθητος, ἀνίσχυρος, αἴσχισος, νοσωδέσατος.

Διὸ

Διὸ δὴ πᾶσαν εἰσενεκτέον σπουδὴν εἰς τὴν κτῆσιν τῶν Ἀρετῶν, ἵνα μὴ κατὰ τὸν Κόσμον τοῦτον φαινοίμεθα οἷον Ἐκτρώματα. Κατ' ἐκεῖνον δὲ τὸν ἀεὶ μένοντα, τὸ ἀπερρίφθαι Θεοῦ, καθάπερ ἄγη τινὰ καὶ βδελύγματα κληρωσαίμεθα. Τοῖς καλοῖς ἔθεσιν ἐνασκήσωμεν, φερεπονοῦντες ἐν πᾶσι τοῖς δυσχερέσι κατ' αἴσθησιν. Πολλοὶ γὰρ τὸν ὀρθὸν ἔχοντες Λόγον καὶ μισητὸν ἡγούμενοι τὸ κακὸν, εἰς αὐτὸ φέρονται καὶ κατολισθαίνουσιν, ἐξ ἐθῶν πονηρῶν. Παιδαγωγητέον τὴν Αἴσθησιν, καὶ πρῶτον τὴν Ὅρασιν, ὥστε τοὺς ἀρχομένους, ἤδη δὲ καὶ τοὺς προϊόντας εἰς Ἀρετὴν μὴ ἀναιδῶς εἰς πρόσωπον καθορᾷν· τοῦτο δὴ καὶ φυλακτικὸν, τοῦτο δὴ καὶ σεμνοπρεπές. Ἀσεμνολογία πᾶσα, μήτε λεγέσθω μήτε ἀκουέσθω. Καὶ γὰρ ἔννοιαν ἀσεμνοπραξίας ἐνίησιν· ἀλλὰ καὶ καθ' αὐτὴν σεμνοῖς ἀνδράσιν ἀπόβλητος, καὶ στυγητὴ τῷ Θεῷ.

Τὸ Ψεῦδος ἐκ τοῦ Διαβόλου· μᾶλλον δ' αὐτὸς ὁ Διάβολος. Εἰ γὰρ Χριστὸς ἡ ἀλήθεια, τὸ Ψεῦδος πάντως ὁ Ἀντικείμενος. Ὅθεν μηδὲ γινώσκοιτο τοῖς Μαθηταῖς τοῦ Χριστοῦ, τοῖς τῆς ἀληθείας θεραπευταῖς. Ἐξοριστέον τῶν σωζομένων τὸ τῆς ἀπωλείας παραίτιον. „Ἀπολεῖς γὰρ „πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος, ἐν Πνεύματι φησὶν ὁ προφήτης πρὸς τὸν Θεόν. Ὀλέθριος ἡ Καταλαλιά, καὶ ἀπωστέος ὁ ταύτῃ χρώμενος. „Τὸν καταλαλοῦντα γάρ „φησι λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Τὸ μὴ ὀμνύειν ὅλως ἐπιτάττει μὲν ὁ Δεσπότης, αἰδεσίμους δὲ καθιστᾷ τοὺς φυλάττοντας. Εὐτραπελίαι καὶ Γελοιασμοὶ τῆς ἀσκητικῆς ἀπεληλάσθωσαν κοσμιότητος. Ταῦτα γὰρ παιζόντων καὶ παιζομένων, ἀλλ' οὐ σπουδαζόντων ἐπιτηδεύματα. Ῥόδων, Ὠκίμων, Μύρων, καὶ τῶν ὁμοίων οὐ προσιτέον τὰς εὐωδίας. Περιττὰ γὰρ τὰ τοιαῦτα καὶ ἀλόγου ὀρέξεως προκλητικὰ *), καὶ τοῖς ἀποταξαμένοις ἀνοίκεια καὶ καταγνώσεως ἄξια. Καρυκείας βρωμάτων καὶ λιπαρότητας, καὶ πεμμάτων γλυκύτητας, καὶ πομάτων ἡδύ-



*) Ἐκ τῆς περισπαστικῆς ἴσως τῶν ὑπ' αὐτὸν περὶ τὰ τοιαῦτα ἀσχολίας καὶ παραχρήσεως ὁ Πατὴρ ταῦτα λέγει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ δύτητας, ὅσον χρὴ φεύγειν τὸν Ἀσκητὴν οὐκ ἔστιν εἰπεῖν. Οὐδὲ γὰρ γεγόναμεν, ἵν' ἐσθίωμεν, ἵνα πίνωμεν· ἀλλ' ἵνα ταῖς Ἀρεταῖς εἰς δόξαν τοῦ πεποιηκότος ἡμᾶς διαλάμπωμεν. Τρεφόμεθα καὶ κατ' ἀνάγκην, ἵν' ἡμῶν ἡ κατὰ πρᾶξιν καὶ θεωρίαν συντηροῖτο ζωή, δι' ἃ καὶ γεγόναμεν.

Χρεὼν οὖν μόνοις ἡμᾶς εἰς τροφὴν ἀρκεῖσθαι τοῖς συντηρητικοῖς τῆς ζωῆς, ὡσαύτως καὶ εἰς σκέπην τοῦ Σώματος. Διόπερ οὐδὲ τῶν ἐνδυμάτων ἐπιλεκτέον τὰ μαλακά, καὶ τὴν χροιὰν ἀνθηρά τε, καὶ στίλβοντα. Φιλοκοσμίας τοῦτο καὶ Ματαιότητος· Ἀλλ' οὐδ' αὖ τοὐναντίον διερρηγμένα περιβλητέον, ἢ μὴν ἐκ πολλῶν τεμμαχίων συντεθειμένα τε καὶ συνερραμμένα. Τοῦτο γὰρ ἀλαζονείας καὶ ὑποκρίσεως, ὥσπερ καὶ τὸ τὴν γενειάδα πιλεῖν, καὶ ἔτι ἄλλο τῷ τοῖς ἐρημικοῖς πάντη καὶ ἀσκηταῖς πρεπωδέστατον συνδιάγοντι. Αἱ πάντων δ' ἀκρότητες ἀπρεπεῖς τε καὶ σφαλεραί. Τό γε μὴν ἐνδοτάτω καὶ ἄλλο πρὸ παντὸς περιβόλαιον, ὅσῳ τραχύτερον, τοσούτῳ τοῖς ἀγωνιζομένοις καὶ χρησιμώτερον, ὥσπερ εὐνὴ σκληρά, τροφῆς ἔνδεια, βραχύτης ὕπνου, καὶ τἄλλα τὰ σάρκα πιέζοντα καὶ χαλινοῦντα τὸ ταύτης φρύαγμα, καὶ τὴν ἄλογον φορὰν ἀναστέλλοντα. Πολὺ τὸ ἐπίβουλον τῆς Ἀφῆς· πολλῆς δεῖται καὶ τῆς εἰς αὐτὴν παραφυλακῆς. Ὅθεν συντετηρημένων ἀνδρῶν ἐστιν ἀπέχεσθαι τῶν πρὸς ἀλλήλους προσεγγισμῶν, καὶ μὴ τὴν ἀγάπην διὰ προσψαύσεων ἐθέλειν ἐνδείκνυσθαι. Καὶ γὰρ οὐκ ὀλίγοι διὰ τοῦ κατὰ Θεὸν δῆθεν ἀγαπᾶν καὶ ἀγαπᾶσθαι, καθάπερ διά τινος δελέατος τὸ τῆς ἡδονῆς ἄγκιστρον εἰσωκίσαντο, καὶ τὸν θάνατον ἐξ ἀβουλίας ἐλεεινῶς ἐπεσπάσαντο. Διὸ καὶ αὐτῶν τῶν ἰδίων μελῶν τὰς οὐκ ἀναγκαίας πρὸς ἄλληλα θήξεις παραιτητέον ἕκαστον ὅση δύναμις, κἂν εἰς ἄκραν ἤδη τις ἑαυτὸν ἀπάθειαν καταντήσαντα. Τότε γὰρ χρεία μᾶλλον, ὅσῳ καὶ μείζων ὁ φθόνος, ἀγῶνος μείζονος, καὶ τοῦ τὸν μόνον σώζειν δυνάμενον ἐπικαλεῖσθαι πρὸς ἀρωγὴν δι' ἐμμονωτέρας ἐντεύξεως. Πολλοῖς γὰρ ἐν ἀπαθείᾳ θαρρήσασιν ἑαυτοῖς, οἴκτιστον πτῶμα καὶ πολλῶν δακρύων ἐπισυμ-

συμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμβέβηκεν ἄξιον. Δεῖ δὴ τὸ λοιπὸν ἡμῖν Ταπεινοφροσύνης καὶ νήψεως, καὶ τοῦ προορᾶσθαι τὸν Κύριον ἑαυτῶν ἐνώπιον διὰ παντός.

Ἐπεὶ δὲ προδήλως ἐξ ἀναθυμιάσεως γαστρὸς ὁ Ἐγκέφαλος βαρυνόμενος, κάρον ἐμποιεῖ καὶ χρόνιον νυσταγμὸν, περιαιρετέον τὰ αἴτια, βρωμάτων παχύτητας, οἰνοποσίας, καὶ ἀναπαύσεις σωματικάς. Ταῦτα γὰρ καὶ μακροὺς ὕπνους ἐπάγουσι, καὶ νῆψιν περιαιροῦσι, καὶ τῇ σαρκὶ ταραχὰς καὶ κλύδωνας ἐπεγείρουσι, καὶ τὸν ἡμέτερον οὐκ ἐῶσι νοῦν ἀνάγεσθαι πρὸς Θεόν. Θαυμασίως οὖν εἴρηται καὶ ἀρίστως τὸ τὸν ἀγωνιζόμενον, μὴ τὸ μὲν, τὸ δ', οὔ, τὰ πάντα δ' ἁπλῶς ἐγκρατεύεσθαι. Σαρκὸς γὰρ εὐπάθεια, ταλαιπωρία Ψυχῆς. Ὅσον δ' ὁ ἐκτὸς » Ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἐντὸς ἀνανεοῦται, κατὰ » τὸ λόγιον.

Ἔκδικος δὲ δραστήριος ἐκ τοῦ Δημιουργοῦ δεδομένος ἡμῖν πρὸς ἐμπαθῆ πᾶσαν ὄρεξιν ὁ Θυμός. Εἰ τοίνυν ἐλλόγως τούτῳ χρησαίμεθα, καὶ λαιμοῦ κρατήσομεν, καὶ γαστρὸς, ὕπνου τε βάρος ἀποσεισόμεθα τῷ Θυμῷ, καὶ σκιρτημάτων πωλικῶν κατακυριεύσομεν, καὶ αὐτὴν τὴν πρὸς τὸν πλησίον ὀργὴν ἢ μῆνιν ἐκδιώξομεν διὰ Θυμοῦ, τὸ καινότατον. Εἴτις ἀσφαλῶς ἐθέλει ταῦτα γνῶναι τῇ πείρᾳ γνώσεται. Δύναμις Ψυχῆς τὸ Θυμοειδὲς πρὸς ἀποτροπὴν τῶν παρὰ Βούλησιν, καὶ πρὸς ἄμυναν τῶν ἐναντιουμένων ὁρμητική. Τὸ δ' Ἐπιθυμητικὸν, Δύναμις Ψυχῆς καὶ αὐτὸ, πρὸς οἰκείωσιν τῶν κατὰ Βούλησιν, καὶ ἀπόλαυσιν τῶν ἐφετῶν διεγερτική· τὰ δὲ ταύταις ἀντικείμενα, παρὰ βούλησιν ἐφετὰ τοῖς τὸ διακριτικὸν ὑγιαίνουσι· τὰ καθαρῶς (γὰρ) ἡδέα καὶ διαπαιτὸς, ὧν οὐχ ἅπτεται μῶμος, οὐκ αἰσχύνη τις, οὐ μετάμελος (κατὰ Βούλησιν.) Ἐναντιούμενα δέ εἰσι τὰ πρὸς Ἀρετὴν ἐμποδιστικά. Πάντων δὴ τῶν τοιούτων ἐναντιωμάτων, πάσης τε κακίας ὁ ἔλλογος Θυμὸς ἀναιρετικός. Πρὸς τοῦτον δὴ τὸν σκοπὸν ὑποτεθεῖσθαι δοκεῖ, καὶ τὸ τὸν Θυμὸν ἡμῖν εἶναι κατὰ μόνου τοῦ Ὄφεως. Ἵνα δηλονότι πᾶν ὑφέρπον τῇ Ψυχῇ πάθος ἀποδιώκοιτο, τῇ τοῦ Θυμοῦ συντόνῳ φορᾷ. Τί γὰρ ἀλγεινὸν ἐξ ἀνθρωπίνου Θυμοῦ τῷ Σατὰν,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰ μὴ τῷ τὰ πάθη μετὰ σφοδρότητος ἐξ ἡμῶν ἀπελαύνεσθαι, καὶ τὰς δυνάμεις ἐκείνου, δι᾽ ὧν ἐκστρατεύει καθ᾽ ἡμῶν ἡττᾶσθαι, καὶ δραπετεύειν ἐκ τῆς ἡμετέρας ἐπιτιμήσεως; Μήποτε δὲ εἰς τοῦτο, καὶ τὴν κατὰ τῆς Λύπης Ἐμβρίμησιν ὥσπερ τινα παιδείαν ἔμπρακτον ὁ Σωτὴρ ἡμῶν προὔτεινε καὶ Καθηγητής. Δι᾽ ἀποπομπῆς εἰς ἀδιαβλήτου πάθους ὑποδεικνύς, ὅπως χρὴ καὶ ἡμᾶς μετὰ σφοδρᾶς ὁρμῆς τοῖς πάθεσιν ἀντιφέρεσθαι, καὶ κατ᾽ αὐτῶν ὀργίζεσθαι καὶ ταράττεσθαι, καὶ οἷον ἐκφοβεῖν αὐτὰ καὶ ἀποτρέπειν σὺν ἀπειλῇ. Τί γὰρ ἔχρηζεν αὐτὸς ἐμβριμᾶσθαι, καὶ ταραγμὸν ὅλως ἐμφαίνειν ἐν ἑαυτῷ, νεύματι τὸ πᾶν ἰσχύων φέρειν ὅποι καὶ βούλοιτο;

Τοῦ τοίνυν Θυμοειδοῦς ἐμπάθειαν πᾶσαν ἀποσβεννῦντος ἐκ τῆς Ψυχῆς, ἔτι τε σὺν τῷ Ἐπιθυμητικῷ τὰς ἠθικὰς Ἀρετὰς εἰσοικίζοντος ἐν αὐτῇ, διὰ τῆς τοῦ λογικοῦ κατὰ τὴν Φρόνησιν ὑφηγήσεως, τὸ αἰσιώτατον τέλος ἕπεται. Τό δ᾽ ἐστι τὸ κατὰ πᾶσαν ἀρίστην πρᾶξιν ἀπόνως καὶ ἡδέως ἐνεργουμένην τὸν Ἄνθρωπον ζῆν, τὸ θαυμαστὸν ἆθλον τῶν προηγησαμένων κόπων ἐν Ἀρετῇ. Τοῦτο δὲ πᾶσιν ἀνθρώποις τοῖς μὴ πεπηρωμένοις πρὸς Ἀρετὴν ὑπάρξαι δύναται, διὰ Μαθήσεως, δι᾽ Ἐθισμοῦ, δι᾽ Ἐπιμελείας, διὰ Φερεπονίας ὡς εἴρηται. Τοῦτον ζήσεται τὸν τρόπον ὁ φιλῶν ἀληθῶς ἑαυτόν. Ὁ δὲ κατὰ τὰς δοκούσας ἐθέλων ζῆν ἡδονάς, ἐμίσησε καὶ ἀπεκτήνωσεν ἑαυτόν.

Διττῆς δὲ τῆς Φιλαυτίας γινωσκομένης, τῆς μέν, ὄντως. Τῆς δέ, δοκούντως, καὶ κατὰ τοὺς πολλούς. Φίλαυτος μὲν ἀληθῶς ἐστιν ὁ φιλῶν ἑαυτὸν ἐμπαθῶς, ὁ φιλόψυχος, εἴτ᾽ οὖν φιλόζωος, ὁ φιλόπρωτός τε καὶ φίλαρχος· ὁ πᾶσαν σωματικὴν ἀπόλαυσιν καὶ πᾶσαν ἀνθρωπίνην τιμὴν ἕλκων εἰς ἑαυτόν, καὶ πάντα πράττων ἕνεκεν ἑαυτοῦ. Πάλιν ἐπεὶ Νῷ καὶ Λόγῳ τῶν ἄλλων ζῴων διενηνόχαμεν. Νοῦς παρά τισι τῶν ἀρχαιοτέρων Σοφῶν ὁ Ἄνθρωπος εἴρηται. Διὸ καὶ αὐτὸς μὲν ὁ Νοῦς· αὐτοῦ δὲ τὸ Σῶμα· περὶ αὐτὸν δέ, πάνθ᾽ ὅσα τῷ τῆς περιουσίας ὀνόματι προσφυῶς περιείληπται. Τοίνυν εἰ τὸ νοερὸν αὐτός, τὸ Θυμικὸν καὶ τὸ Ἐπιθυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπιθυμητικὸν αὐτοῦ μᾶλλον, ἤπερ αὐτός. Ὁ μὲν οὖν Φίλαυτος ὡς φιλῶν ἑαυτὸν, τὴν νοερὰν καὶ λογικὴν μεταδιώκει ζωήν. Ὁ δ' ὡς φιλῶν τὸ ἑαυτοῦ Φίλαυτος, τῷ ἀλογωτέρῳ χαρίζεται τῆς Ψυχῆς. Ἰδίως παρὰ τῇ Συνηθείᾳ Φίλαυτος ὁ Αὐτάρεσκος, ἴσως ἐκ τοῦ φιλεῖν τὸ αὐτοῦ Νόημα, κἂν μοχθηρὸν εἴη, τοῦτ' ἔστι στέργειν καὶ περιέπειν ἐξόχως, μεταπεισθῆναι μηδαμῶς ἀνεχόμενος. Ὁ μὲν οὖν ἀλόγως φιλῶν ἑαυτὸν, ἢ τὸ αὐτοῦ Φίλαυτος, ἄτιμος. Ὁ δ' ἐλλόγως φιλῶν αὐτὸν, Φίλαυτος τίμιος. Καλοῖτο δ' ἂν ὁ τοιοῦτος Φίλαυτος, καὶ ὡς τὸ φίλιον ἐν ἑαυτῷ καὶ ἀστασίαστον, καὶ εἰρηναῖον πάντῃ κατορθωκώς· τοῦ μὲν ἡγεμόνος νοῦ προνοοῦντος τῶν ὑπ' αὐτὸν μετὰ πολλῆς νήψεως καὶ σπουδῆς, καὶ προσηκόντως αὐτὰ παιδαγωγοῦντός τε καὶ ῥυθμίζοντος· τῶν δ' αὖ ἑτοίμως πειθομένων ταῖς αὐτοῦ διατάξεσί τε καὶ ὑφηγήσεσι, καὶ ὅλαις ὁρμαῖς ἑπομένων ἐφ' οἷς ἂν αὐτὸς ἄγοι δεσποτικῶς τε καὶ κηδεμονικῶς. Κατὰ τούτους τοὺς λόγους ἡ Φιλαυτία ζηλωτὴ, καὶ ὁ Φίλαυτος ἐπαινούμενος.

Εἰ τοίνυν ἐπαινετόν τε καὶ τίμιον τὸ φιλεῖν αὐτὸν ἀληθῶς ὡς δεδήλωται, οὐ καλόν εἶναι τοιοῦτον καλὸν ἀκοινώνητον. Τάχα γὰρ οὐδὲ καλὸν ἂν εἴη συμφραττόμενον καὶ στενοχωρούμενον, μὴ μέντοι προχεόμενόν τε καὶ μετεχόμενον. Οὐ δὲ φιλεῖ τις ἑαυτὸν ἀσφαλῶς, ὅτε μὴ κἀκείνους, οἷς συντέτακται, τὸν ὅμοιον τρόπον φιλεῖ. Τὸ γὰρ αὐτόν μὲν ὀλβίζειν Ἀρεταῖς, ἀλογεῖν δὲ τῶν σὺν αὐτῷ τῆς αὐτῆς ἐχόντων ἐνδεῶς ὀλβιώτεως, οὐκ ἀσφαλοῦς φιλίας τῆς εἰς αὐτὸν, ἐπείπερ οὐδὲ τῆς Ἐντολῆς. „Ἀγαπήσεις γάρ φησι τὸν πλησίον σου ὡς ἑαυτόν.“ Διὸ χρὴ κήδεσθαι τοὺς συνασκουμένους ἀλλήλων ὡς ἑαυτῶν. Καὶ εἴτις ἴσως σφάλλοιτό ποτε κατά τι τοῦ δέοντος, ὑπόμνησιν ποιεῖσθαι τοὺς ἱκανωτέρους τοῦ συνοίσοντος πρὸς αὐτὸν ἐν πρᾳότητι, τὸ σφάλμα τιθέντας ὑπ' ὄψιν, καὶ τὴν διόρθωσιν ἐπισπεύδοντας. „Ἐλεγμῷ γὰρ ἐλέγξεις τὸν πλησίον σου“ γέγραπται· „καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν.“ Ἁμαρτάνει τοιγαροῦν ὁμολογουμένως ὁ ἐφησυχάζων τοῖς ἁμαρτάνουσιν· ὅ, τε δῶ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρον εἰληφὼς ἀρετῆς καὶ παρ' ἑαυτῷ κατορύττων, καὶ μὴ διδοὺς ἐν σπουδῇ τοῖς οὐκ ἔχουσιν, ὡς ὀκνηρὸς δοῦλος καὶ πονηρὸς κατακρίνεται, καὶ σωτηρίαν ἑαυτῷ μονοτροπευόμενος, σωτηρίαν ἀπόλλυσι, τῷ περιορᾷν τὸν ἀδελφὸν μὴ σωζόμενον. Ὅ γε μὴν ἔργοις τιμίοις ἑαυτόν τε πλουτίζων, καὶ πενομένοις προσεπαρκῶν, ἀγαθὸς καὶ πιστὸς, καὶ πολλῶν ἐπάξιος ἀντιδόσεων.

Τοσαῦτα κατ' ἐπιτομὴν εἰρήσθω περὶ Ἀρετῆς Πρακτικῆς καὶ Καθαρτικῆς. Καθαρτικὴ γὰρ οὐδὲν ἕτερον, ἢ τῆς Πρακτικῆς τὸ ἀκρότατον· μεθ' ἣν ἡ Νοερά, μεθ' ἣν ἡ Θεουργική. Τέσσαρας γὰρ Ἀρετῆς ᾔδεσαν βαθμίδας οἱ Παλαιοί. Δύω Πρακτικῆς, Πολιτικὴν, ἢ καὶ Μετριοπάθεια, καὶ Καθαρτικὴν, τὴν δὴ καὶ Ἀπάθειαν. Δύω τε Θεωρητικῆς, Νοερὰν ἤ τοῦ ἀμιγοῦς καὶ ἀσυνθέτου καὶ ἀληθοῦς Ἀνθρώπου ζωὴ, καὶ Θεουργικὴν, ἥτις ἐστὶν ὑπὲρ Ἄνθρωπον. Αἱ μὲν γὰρ ἠθικαὶ Ἀρεταὶ καὶ ἡ Φρόνησις, Ἀνθρώπου εἰσὶν Ἀρεταὶ τοῦ ἐκ Ψυχῆς συντεθειμένου καὶ Σώματος. Τοῦ δ' ἁπλοῦ Ἀνθρώπου καὶ ὄντως, ἡ κατὰ νοῦν ἐνέργεια καθέστηκεν Ἀρετὴ, καὶ τὸ ὑπὲρ Ἀρετὴν αὐτὸν ἐνεργεῖν. Ὅτε δὲ καὶ αὐτὴν ὑπεραναβαίη τὴν φύσιν, καὶ ἀδιαστάτως καθ' ὅσον οἷόν τε τὸν Θεὸν ἐνοπτρίζοιτο, τότε τὴν Θεουργικὴν Ἀρετὴν ἐκ θείας κληροῦται χάριτός τε καὶ ἀγαθότητος, καὶ ὑπὲρ Ἄνθρωπον ἐνεργεῖ, καὶ ὑπὲρ Ἄνθρωπον ζῇ, Θεὸς γεγονὼς τῇ μετοχῇ τῆς θείας ἐλλάμψεως. Οὐ μὴν εἰς τὴν ὑπερούσιον οὐσίαν ὁπωσοῦν μεταβιβαζόμενος. Τέλος Πρακτικῆς, ἀληθὴς Εὐζωΐα καὶ Μακαριότης· ἣν ὁρίζονται Ψυχῆς ἐνέργειαν κατ' Ἀρετὴν τελείαν ἐν Βίῳ τελείῳ, μεθ' ἡδονῆς ἀψευδοῦς. Βίος τέλειος, ἡ πᾶσα τοῦ Ἀνθρώπου ζωή. Ἀρετὴ τελεία, ἡ ὁλότης τῶν Ἀρετῶν. Ὁ γὰρ εἰς τὴν τοιαύτην Εὐζωΐαν καὶ Μακαριότητα πεφθακὼς, ἐνεργήσει κατὰ πάσας τὰς Ἀρετὰς ἐν ἡδύτητι θαυμαστῇ διὰ Βίου παντὸς, μεμνημένος τῶν διὰ τὴν Ἀρετὴν κόπων καὶ πόνων αὐτοῦ, καὶ ἧς δι' αὐτῶν τετύχηκε διαγωγῆς ἐκ θείας χρηστότητος, ὅσων τε καὶ οἵων ἐπάθλων διὰ δεσποτικὸν ἔλεον ἐσύστερον τεύξεται, θυμη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρεστάτην εἰλικρινῶς τὴν ὅλην ἕξει ζωήν. Κἄν τι τῶν ἐν βίῳ δυσχερῶν ἐπισυμβαίη καὶ πάλιν, προσθήκη καὶ τοῦτο γένοιτ᾽ ἂν αὐτῷ τῆς Ἀγαλλιάσεως.

Προσεχῶς δὲ φάμενοι τὰς Ἀρετὰς ἐνεργεῖν τὸν Μακάριον· ἐνέργειάν τε τὴν Μακαριότητα κατὰ πᾶσαν εἰρηκότες εἶναι τὴν Ἀρετήν, περὶ τῶν κατὰ πρᾶξιν εἴπομεν Ἀρετῶν. Περὶ τοῦ Τέλους γὰρ τῆς Πρακτικῆς ἐποιούμεθα τὸν λόγον, καὶ τῆς κατὰ πρᾶξιν Μακαριότητος. Ἡ γάρ τοι Θεωρία πάσης Ἀρετῆς ὑπεραιώκισται Πρακτικῆς, οὐρανία τις οὖσα καὶ ὑπερύψηλος, ἐνεργείᾳ θείᾳ κατὰ δύναμιν ἀνθρωπίνην παρεμφερής. Ἀδύνατον δὲ συστῆναι ταύτην οὐκ οὔσης Πράξεως. Ἀλλ᾽ ὅταν ἡ Πρᾶξις ἐκτελεσθείη βεβαίως καὶ ἀσφαλῶς, καὶ ὡς οὐκ ἂν ἔχοι τις κρειττόνως εἰπεῖν, καὶ ἡ καθ᾽ αὐτὴν ἔλθοι Μακαριότης, κάλλει φυσικῷ διαλάμπουσα, τότε καὶ ἡ Θεωρία μετὰ πλείστης ἀγλαΐας ἐπέρχεται καὶ φαιδρότητος, τὴν Πρᾶξιν ὄχημα ποιουμένη, καὶ ταύτης ἐπιπρεπῶς ἐπιβαίνουσα. Θεωρία γάρ ἐστιν ἐνέργεια νοερά, καὶ ἡ κατ᾽ αὐτὴν ζωὴ νοερὰ ζωή, (διὰ τελείας κατορθουμένη καθάρσεως.) καὶ παντὸς σαρκικοῦ φρονήματος ἀπόθεσις. Σύμπαντα γὰρ τὰ τοῖς σαρκικοῖς ἐμφαινόμενα πορρωτάτω, διὰ τῆς καθαρτικῆς ἀποσκορακίσας ὁ Θεωρητικός, καὶ πᾶσαν ὕλην ἐκτιναξάμενος ἅσπερ τινα φόρτον ἀνοίκειον, ἀκατάλληλον, καὶ ἀπέριττος, ἢ μᾶλλον ἄϋλος γεγονώς, κοῦφος ἄνεισι πρὸς Θεὸν τῆς αὐτοῦ μόνης ἐφιέμενος λαμπρότητος καὶ θαυμασιότητος. Ταῖς θείαις τοίνυν ἀστραπαῖς ἐλλαμπόμενός τε καὶ φωτιζόμενος, καὶ ἄρρητον ἀγαλλιώμενος ἀγαλλίασιν, ὅσον ἐλλάμπεσθαι δύναται, μᾶλλον ἐπιτείνει τὴν ἔφεσιν. Ὅσον δ᾽ αὐτὴν ἐπιτείνει, πλέον ἐλλάμπεται. Διὸ δὴ πᾶσαν σχέσιν καὶ κόσμου καὶ Σώματος, καὶ ζωῆς τῆς ἐν γῇ πάμπαν ἀπαρνησάμενος, καὶ πάντα πόθον ὁλοτελῶς συναγαγὼν εἰς Θεόν, καὶ παρὰ Θεῷ μόνῳ ἠδρασμένος διαπαντός, Θεὸς γίνεται κατὰ μέθεξιν καὶ αὐτός, καὶ ἀπὸ τῆς ἁπλῶς νοερᾶς ἐνεργείας τε καὶ ζωῆς, φθάνει πρὸς τὴν θεουργικήν, βαθμοὺς ἀμείβων Μακαριότητος.

ριότητος. Ὥσπερ γὰρ τῆς Πρακτικῆς ἀκρότατον ἡ Καθαρτική· οὕτω τῆς Θεωρητικῆς ἀκρότατον ἡ Θεουργική. Καὶ καθὼς ἡ πολιτοπρεπὴς Ἀρετὴ μετριοπαθῆ ποιεῖ τὸν ταύτην κτησάμενον, ἡ δέ γε κάθαρσις ἀπαθῆ· παραπλησίως ἡ νοερὰ μόνως καὶ ἰδιαίτατα δείκνυσιν Ἄνθρωπον τὸν ἔχοντα ταύτην. Καὶ γὰρ Ἄνθρωπος εἰλικρινὴς ταῖς ἀληθείαις ὁ Νοῦς, ἐκτός τινος ἑτερότητος. Ἡ δέ γε Θεουργικὴ Θεὸν ἐργαζομένη τὸν εἰς αὐτὴν κατανοήσαντα, τὸ Τέλος τῆς ἀναβάσεως δίδωσιν αὐτῷ, καὶ εἶναι καὶ ζῆν, καὶ ἐνεργεῖν ὑπὲρ Ἄνθρωπον. Ὁ μὲν οὖν διὰ τῆς Πρακτικῆς ἑαυτὸν ἀπαθανατίσας Μακάριος. Ὁ δὲ καὶ τὴν Θεωρίαν διὰ τῆς παντελοῦς καθάρσεως ἠξιωμένος προσεπικλῆσθαι, καὶ νοερῶς ζῆν, εἶτα καὶ τελέως μετὰ Θεοῦ τετάχθαι, καὶ χάριτι τεθεῶσθαι· Μακαριώτατος.

Τῷ Συντελεστῇ τῶν Ὅλων Θεῷ Χάρις, τοῦ Τέλους χάριν.

ΘΗΚΗ
ΚΟΥΡΙΛΑ
ΟΤΟΥ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ